Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

2054 e. 16/1

# PAUSANIAE
# DESCRIPTIO GRAECIAE.

RECOGNOVIT

JOANNES HENRICUS CHRISTIANUS SCHUBART.

VOLUMEN PRIMUM.

BIBLIOTHECA · BODLEIANA ·

LIPSIAE
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLXXV.

166.

CAROLO FRIDERICO HERMANN

AMICITIAE ERGO PER PLUS QUAM SEX LUSTRA CONTINUATAE

D. D. D.

EDITOR.

# PRAEFATIO.

---

### Liber I.

I, 1. *Πτολεμαίου* omittunt codices; addunt edd. recc. — 3. *ἀρχαιότατον* Spengel; *ἀρχαιότερον* edd. codd. — 4. *ἡρώων [καὶ] παίδων?* — II, 4. *ὅσοις τι ὑπῆρχεν [ὧν τις λόγος] ἐς δόξαν* Kayser *); uncos omittunt reliqui. — 5. *Ἀπόλλων τε* scripsi cum Mo Vt Lab Pabcd; *Ἀπόλλωνός τε* edd. cum codd. quibusdam. — III, 3. *θεοὺς τοὺς δώδεκα*; articulum ego adieci. — IV, 5. *ἐς τὴν νῦν Γαλατίαν αὐτοὺς ἐλαύνουσιν ἀπὸ θαλάσσης* SW (i. e. editio Schubarto-Walziana) Dind. e coniectura Siebelisii. Nondum restitutus est locus. — 6. *γῆν [τὴν] Τρῳάδα*; articulum om. Va SW Dind. — V, 3. *Κέκροπα δὲ καὶ Πανδίονα* Dind. e coni. Siebel.; *Κέκρ. δὲ ἢ Πανδ.* edd. rell. codd. Mox *ἔσχηκεν — μετῴκησεν* restitui corruptam, fortasse lacunosam codicum lectionem; quod editiones habent *ἔσχηκε, καὶ ὕστερον ἄλλος, ὃς μετῴκησεν* Musuri est interpolatio. — VI, 6. *Πτολεμαίου καὶ ναυμαχίᾳ αὖθις* et mox *ἐπολιόρκει ὁ Δημήτριος*; cf. Z. f. A. 1846. p. 195. — IX, 7. *Κολοφωνίων θρηνῆσαι τὴν ἅλωσιν* correxi; *Κολοφώνιον* edd. codd. — 8. *ἐπηρείᾳ* correxit Siebel., *ἐπήρειαν* codd., et addita praepositione (*ἐς, ἐπ', κατ', πρὸς*) alii. — X, 2. *Νεστίων καὶ Μακεδόνων*, quod habent codd. edd., plane ineptum est; delenda est copula; de Macedonibus Nestiis conf. Strab. lib. VII. fr. 35. p. 84. Kram. et VII, 7, 4. p. 498. A. 323. C. 61. Kram. 3. *ἐπὶ τῷ * * * βουλεῦσαι λέγουσιν*; optimorum codicum restitui lectionem, lacunam indicans; alii *ἐπιβουλεῦσαι λέγουσιν*; alii *ἐπιβουλεῦσαι* sine *λέγουσιν*. — XII, 4. *ἀνδρῶν χρείας* reposui e coniectura;

---

*) Commentario critico perpetuo Pausaniam illustravit, et plurima egregie emendavit Kayser in Zeitschrift f. d. Alterthumswissenschaft (Z. f. A.) inde ab anno 1848 p. 495; quod semel moneo. Quid de codicum classibus eorumque auctoritate mihi videatur exposui in Z. f. A. 1853. p. 385 seqq.

idem invenit Emperius *), probavit Schneidewin.; ἀνδρ. χεῖρας edd. codd. In sequentibus praestare videtur θεασάμενος δὲ ἢ πεπυσμένος. — 5. Post θάλασσαν οἱ πολλοὶ excidit aliquid. — XIII, 5. Pro κατέστησαν, quod habent codd. edd., scripsi κατέστη et virgulam posui post Ἀκροτάτου, qua mutatione lacunae suspicio amovetur. Deinceps τοῦ ἐν Λεύκτροις scripsi; τοῖς ἐν Λεύκτροις FaLa; τῆς ἐν Λευκτρ. edd. et rell. codd. — 9. τῶν καλουμένων Αἰακιδῶν τρισί ingeniose coniicit Dind. — XIV, 3. καὶ ὁπόσα ἐξήγ. — ἱερόν; verba corrupta. — XV, 3. Malim Τελευταῖον (s. τελευταῖοι cum Clav. Siebel. Dind.) δὲ τῆς γραφῆς ἔνθα (s. ᾗ) εἰσιν οἱ μαχεσάμενοι Μαραθῶνι, Βοιωτῶν οἱ Πλάταιαν et mox παρ' ἀμφοτέρων τὰ ἐς τὸ ἔργον. — XVI, 2. Τοῖς βασιλεῦσιν e dittographia ortum videtur; aptam certe interpretationem vix admittit; sensus postulat τοῖς στρατιώταις vel aliud verbum huic simile. Minus placet Lachmanni τοῖς ἐθέλουσι. — XVII, 2. Praestat τῆς Ἀθηνᾶς ἐπὶ τῇ ἀσπίδι. Quomodo in hac descriptione Pausaniam erroris reum agere potuerint interpretes haud satis possum mirari; τοῦ Ὀλυμπίου Διός referendum esse non ad templum quod Olympiae, sed ad id quod Athenis erat (v. c. 18, 6.), manifesto demonstrat additum σφίσιν in πεποίητο δέ σφισιν. In sequentibus cancellis circumscripsi articulum ante Λαπιθῶν, eiiciendum nisi eiusdem soloecismi plura apud Pausaniam occurrerent exempla; cf. 5, 18, 4. 10, 22, 10. et quod simile est 4, 29, 1. — XVIII, 9. ἑκατόν εἰσι κίονες scripsi (v. Z. f. A. 1840. p. 606 seq.) propter seq. καὶ ἐνταῦθα ἑκατόν, et propter Pausaniae usum constantem, quo in numeris compositis a minori adscendit ad maiorem; probant correcturam Kayser et Dind. praef. p. XXII; ἑκατὸν εἴκοσι κίονες codd. edd. In seqq. distinxi post κίονες et δὲ expunxi post πεποίηνται; post λίθου distinguunt reliqui. Deinceps καὶ οἴκημα — κεκοσμημένον — ἐς αὐτό scripsi; καὶ οἰκήματα — κεκοσμημένα — ἐς αὐτό codd. et edd., quae tamen ἐς αὐτά, praeter antiquiores. — XIX, 1. ἐς τὸν ὄροφον scripsi; codd. edd. praepositionem ante ὑψηλότερον collocant; cf. Z. f. A. 1840. p. 608; Dind. praef. XXXIII. malit ἥ σφισι παρῆγε τὸν ὄροφον. — 2. Ἀφροδίτης τῆς ἐν Κήποις e coniectura; Ἀφροδίτης ἐν τοῖς Κήποις codd. edd.; deinde ἐν ὀλίγοις Kuhn.; ἐν λόγοις codd. edd. — XX, 1. Ἔστι δὲ ὁδὸς — εἰργασμένα; locus nondum sanatus. Mox ὁμολογεῖν μέν φασιν

*) Emperius, Opuscula philologica, ed. F. G. Schneidewin. Gotting. 1847. p. 341 seqq.; ubi multi Pausaniae loci corriguntur.

οἱ δ' ἐραστὴν διδόναι μὲν κατειπεῖν codd.; ὁμολογεῖν μέν φασι διδόναι οἱ ἐραστὴν ὄντα, κατειπεῖν edd.; Bekkerus restituit οἷα, reliqua ego mutavi. — 3. scribendum est γεγραμμένα ἐστί. — XXI, 2. τὴν δὲ εἰκόνα κ. τ. λ. Quod olim proposui πολλῷ τι in ordinem recepi; πολλῷ τε edd. codd.; praeterea καί, quod omittunt MVn Pc Ag Lab, circumscripsi. Cf. de hoc loco Westermann Memoria Ernesti p. 7, Kayser Z. f. A. 1848. p. 501. Dindorf. praef. Pausan. p. III seq., Wieseler Götting. gel. Anz. 1848. p. 1220—51, Welcker Alte Denkm. I, 466. Mihi nondum displicent quae proposui Z. f. A. 1840. p. 610 seq. — XXII, 6. Διομήδης ἦν κ. τ. λ. Intactum reliqui locum lacunosum; καὶ Ὀδυσσεὺς ab interpolatore profectum est; ὁ μὲν ... ὁ δὲ, nomine utroque in loco omisso, repugnat usui Pausaniae. — 7. τῶν δὲ γραφῶν e coniectura; ἔτι δὲ τῶν γραφῶν G. Hermann, SW. Dind.; ἐπὶ δὲ τῶν γραφῶν codd.; ἐπι est correctura ad seq. ἐξελεξάμην. — XXIII, 9. Inter Κριτίας (quam formam apud Pausaniam tueor) et Οἰνοβίῳ lacunam latere suspicatur Bergk. — XXIV, 3. Σπουδαιων δαίμων, nomen vexatum. Ἰουδαίων δαίμ. C. O. Müller, laudatus a Franzio (Berl. Jahrbb. f. wiss. Kr. 1841. p. 226.) et a Dind. praef. p. XXXV; ὁ Βουταδῶν δαίμ. Gerhard (Zwei Minerven, p. 11. Schneidew. Philolog. III, 759 seqq. Ueber Agathodaemon in Abh. d. Berl. Akad. 1847. 2. p. 488. not. 53.); Ὑπουδαίων s. Ὑπουδαῖος δαίμ. (quidni Ἐπουδ. δαίμ.?) Mercklin in Archäol. Zeitung IX. N. 32. Verba πεποίηται δὲ usque ἀναφαίνων Ποσειδῶν aptius collocari segmento 5. post ὑπὲρ τῆς γῆς recte observat C. F. Hermann. Non uno loco verba, versus, sententiae per incuriam omissae, deinceps margini adscriptae in locum ineptum se insinuarunt maximasque turbas procrearunt. — 6. Post Ἀριμασποῖς addidi articulum. — 7. καὶ Νίκην ὅσον τε τεσσάρων πηχῶν, ἐν δὲ τῇ (ἑτέρᾳ) χειρὶ δόρυ ἔχει scripsi; sic certe loquitur Pausanias; cf. v. g. 5, 22, 5; ὅσον τε emendavit Porson.; codd. τε ὅσον et Νίκη. Haud improbat coniecturam meam Franzius (Berl. Jahrbb. f. wiss. Kr. 1841. p. 222.). Eodem fere redit Kayseri restitutio καὶ Νίκη ὅσον τε τεσσάρων πηχῶν, ἐν δὲ τῇ ἑτέρᾳ χειρὶ δόρυ ἔχει; eiusdem vero neque rationem neque interpretationem probo. Aliam mecum communicavit coniecturam C. F. Hermann: καὶ Νίκη ... ἐν τῇ χειρὶ, ἐν δὲ τῇ δόρυ ἔχει. — XXV, 4. Fortasse Θηβαίων ἠρημωμένην et 7. ἀποδειξάμενος. — XXVII, 5. in εντος latet vatis nomen. — XXVIII, 2. χωρὶς δὲ ἢ e correctura Bekkeri, probata a Dind.; χωρὶς δέ γε codd. edd. Mox

inserui μάχην cum Clav. Bekk. SW Dind.; possis etiam τὰ ἐπὶ τῆς ἀσπίδος, sine μάχην. — 3. Acarnaniae nomen Dindorfio etiam displicuit, nec E. Curtio (Rhein. Mus. 8, 137.) probatum est; at quod ipse proposuit Ἀρκαδίαν expedire difficultatem minus videtur. — 4. ἐν σπηλαίῳ — πεμφθείη; restitui codicum lectionem, indicavi lacunam; ἐν σπηλαίῳ καὶ Πανός. Κρεούσῃ ... νομίζουσι. περὶ δὲ τοῦ Πανός φασιν ὡς πεμφθείη edd. e Musuri interpolatione. — 8. Ὁπόσα δὲ ἐπὶ τοῖς φονεῦσίν ἐστιν, πρῶτον μὲν τὸ ἐπὶ Παλλαδίῳ καλοῦσιν, οὗ τοῖς ἀποκτείνασιν ... C. F. Hermann (Philologus III, 518.). Equidem malim: Ὁπόσα δὲ ἐπὶ τοῖς φονεῦσιν, ἔστιν ἄλλα· καὶ ἐπὶ Παλλαδίῳ καλουμένῳ τοῖς ἀποκτείνασιν .. — XXIX, 2. Pro Σαπφοῦς legendum esse Πάμφω collato Pausaniae loco 8, 35, 7. haud improbabilis A. Heckeri est coniectura; cf. Schneidewin. Philolog. 5, 429. — 4. μνήματα Ἀθηναίοις C. F. Hermann; μνῆμα Ἀθ. codd. edd. — 7. καὶ Ἀθηναῖοι parum placet; in sequentibus scripsi ἀνδρῶν μνήματα; codd. edd. ὀνόματα. Deinde διὰ τοῦ Μαιάνδρου ἐτάφησαν, καὶ οἱ e coniectura; διὰ τοῦ Μαιάνδρου. Ἐτάφησαν δὲ καὶ οἱ codd. edd. — XXXI, 1. καὶ βωμὸς, copulam sepsi. — XXXIII, 1. ἀπέχει τῇ μὲν corruptum. — 7. ἐπεὶ μηδὲ Σμυρναίοις correxi; ἐπειδὴ δὲ codd. edd.; deinde ἔχει scripsi cum La; ἔχειν codd. rell. et edd.; πτερά· οἱ δὲ ὕστερον correxit Kayser; πτερὰ οἶδα ὕστερον codd. edd.; porro ἐπὶ τῷ ἐρᾶν reposui suadente Siebel.; ἐπὶ τοῖς ἐρᾶν codd. edd. Mox inter λέγουσιν et Λήδαν expunxi Ἕλληνες, idque reposui inter ταὐτὰ et Δία, ubi codd. edd. habent Ἑλένης. Illud Ἕλληνες margini adscriptum tanquam correctura ad Ἑλένης in locum alienum irrepsit totumque sensum turbavit. — 8. πεποίηκεν Ἑλένην Clav. Siebel.; μὲν addit Bekker, eumque secuti SW Dind.; praeter necessitatem; πεποίηται Ἑλ. codd. — XXXIV, 2. ἀλλ' ἔνθα (ᾗ) ἐστίν? — 4. σπλάγχνα ἱερείων e coniectura; ἱερῶν codd. edd. — XXXV, 2. Ἀσκληπιάδου C. F. Hermann; Ἀσκητάδου vix sanum. — XXXVII, 2. Δήμητρ' ᾧ (ἥ?) τότε πρῶτον Meineke Vindic. Strab. p. 45. Placet. — XXXVIII, 8. μὲν παρ' Ἐλευθερεῦσιν? Mox Ἐλευθεραῖς τὸ ἐφ' ἡμῶν scribendum videtur. — XXXIX, 6. Σκίρωνα (Σκίρον codd.) συνοικῆσαι codd., quod recepi indicata lacuna; τοῦτον inserunt edd. — XLI, 5. εἶναι βουλόμενος codd.; εἶναι βουλομένοις C. F. Hermann. Mox εἴγε Θησεὺς ἦν Kayser; εἴγε Θησ. μὲν codd. edd. — 7. θάψαι αὐτῇ (ταύτῃ?) e coniectura; αὐτὴν codd. edd.; deinde expunxi ἐνταῦθα

post ἀποθανοῦσαν cum codd. — XLII, 3. Distinxi post κολοσσός, post *Αἰγυπτίαις* Dind.; neutro loco edd. rell. Sequentia conformavi ad Dindorfii (praef. p. IV.) sententiam; variant codd. edd. inter καλουμένας. εἶδον ἔτι καθήμενον, καλουμ. ἔστι γὰρ ἔτι καθήμ., καλουμένας ἔστι γὰρ καθήμενον. Deinde ἠχοῦν scripsi cum Letronne, Dind., coll. Alciphr. Ep. 2, 4. Lucian. Philops. c. 33.; ἠλεῖοι s. ἠλεῖον codd. Mox οὗ τοῦτο — Καμβύσης ex Emperii emendatione; ἄγαλμα ἦν. ἤκουσα δὲ ἤδη κ. Σ. φαμ. εἶναι τοῦτο τὸ ἄγαλμα, ὃ Καμβύσης edd. — 7. ἄγειν quod melioris notae libri omittunt, sinistra est interpolatio; ἄγουσι potius post ἀνὰ πᾶν ἔτος a sequente λέγουσι absorptum videtur. — XLIII, 1. ἱερόν, ὃ Ἀγαμέμνων edd. — XLIV, 1. κατὰ δή τι; e more Pausaniae adieci τι; in sequentibus ἀθλητῶν Ὀλύμπια edd. codd. Ad rem cf. Böckh Corp. Inscr. n. 1050. — 2. Ἀπόλλωνα ὀνομάζουσι Καρικόν C. F. Hermann. Placet. — 3. οὐ μεγάλη Μινώα· ἐνταῦθα correxit Siebel., recipit Dind.; οὐ μεγάλη. Μίνως ἐνταῦθα codd. et edd. rell. — 6. τὴν δὲ ὀνομαζομένην ἀπὸ Σκίρωνος καὶ ἐς τόδε Σκιρώνην, Σκίρων ἡνίκα Curtius Peloponn. I, p. 26. n. 7. Locus impeditus. — 7. οὗ τὸ θεῖον αἴτιον οὐ γενέσθαι retinui lectionem a SW Dind. receptam, quamvis mihi non probatam; variant codd.; lectionem receptam solus habet Vb (at οὗ γενέσθαι); οὐ τὸ θεῖον A MVa NR (in M. ὂν supra versum); ὃ τὸ θεῖον LabPcAgVn (in Vn οὐ super ὃ); ὂν γενέσθαι codd., nisi quod ὄν habent VaLa; nondum sanus est locus. — 9. κατὰ δή τι scripsi ex usu constanti Pausaniae; κατά τι δὴ codd. edd.

## Liber II.

I, 3. Θησέως κατὰ τὸ ἔπηγ *** ταύτην; Locum perdite corruptum simulque lacunosum e lectione codicis Lb (non La) dedi, ad quam melioris notae codices plerique adludunt, lacuna etiam in mstis indicata. Quod libri quidam Πιτυοκάμπτην, et editiones Φαιὰν ὗν offerunt, ab interpolatione vel coniectura profectum est. Lectio laevigata, quae e SW in editionem Dind. immigravit, ἐνταῦθα γραφῆναί φασι Φαιὰν κατὰ τὰ ἔπη ὗν καὶ τὸν λεγόμενον Πιτυοκάμπτην· καὶ Θησέως ἐς αὐτόν ἐστιν ἔργον, Hasii est coniectura. — 7. τῷ ναῷ δὲ ὄντι μέγεθος οὐ μείζονι quid sit, haud facile quis dixerit; post μείζονι hiare sermo videtur. — 8. Verba ταύταις καὶ ἑτέρωθι — Ἀλκμαίωνι quam sint inepta dici non potest; καὶ

ante ἐτέρωθι apte sensu caret; post ἀναθέντας lacuna latere, ποιμαίνεσιν vel omnino corruptum, vel e verborum fragmentis conflatum videtur. — II, 1. ἔστι δὲ καὶ ἄλλος? — 7. ἴσα τῷ θεῷ (i. e. Baccho) σέβειν; male Dind. articulum expunxit; cf. praef. p. XVI. — IV, 7. καὶ στήλη uncis notavi; lectionis varietatem contemplanti haud erit improbabile, ad sequens καὶ αὐτὴ extitisse casu nescio quo lectionem καὶ στήλη; haec margini adscripta et loco alieno in ordinem recepta turbavit orationem. Alio modo restituere locum conatus est Kayser. Idem recte observavit, inter καὶ et Δήμητρος inserendum esse articulum; secutus sum. — V, 8. Pro Χρυσόρθη malim Χρυσορόη. — VII, 4. Fortasse ἄνεισιν ἐκ πηγῆς; cf. 10, 32, 7. — 7. τοὺς inter ἀνθρώπους et ἐν inserui suasore Dind. — VIII, 5. συμβαλόντες e coniectura; συμβαλόντι codd. edd. Mox 6. τῶν ἐν τοῖς φρουρίοις, partim (τῶν) cum La, partim e coniectura; idem voluit Dind.; τὸν ἐν τοῖς φρουροῖς edd. et rell. codd. — X, 1. Ὀνόματα dittographia ad sequens ὀνομάζοντες, verumque nomen expulsum est. — 4. * * δὲ αὐτοῦ ἄλλος — ἱερός scripsi cum Dind., qui tamen post αὐτοῦ retinuit δέ inter uncos; ἄλλος — ἱερός invenit etiam Spengel (Comment. gratulat. ad Fr. Creuzer. p. 7.). Lacuna fortasse nihil aliud hausit quam πλησίον. Mox τοῖς δὲ ἄλλοις καθέστηκεν ὁρᾶν ἀπὸ τῆς ἐσόδου, vel simile quid? — 5. τοὺς μηροὺς (θύουσι δὲ πλὴν ὑῶν τἆλλα) ἀρκεύθου Bekker, priora cum PcAg, δὲ post τἆλλα expunxit e coniectura; meam lectionem habent edd. rell. et MVabLab. — XI, 1. Inter αὐτὸν et βωμὸς lacunam indicavi cum MPcAgLb, quam sinistra interpolatione edd. et rell. codd. explent vocabulo κατέκαυσε; quo expuncto Dind. coniicit κεραυνοῖ θεὸς (imo ὁ θεός). Propter lacunam in codd. indicatam, propter orationem abruptam et quum tempus praesens κεραυνοῖ minus aptum videatur satius duxi asteriscos ponere. — 6. Non displicet οἰκέται τοῦ θεοῦ; idem probat Curtius Pelop. II, 586. n. 65. — 7. Ἄκεσιν scripsi cum RAgPcLab; cf. Böckh Corp. Inscr. I, n. 511. et Addenda p. 914 seq.; Ἀκέσιον edd. cum codd. rell. — XIII, 4. Reposui τοὺς οἰκέτας cum edd. antiquioribus et MVabLa; τοὺς ἱκέτας edd. recentiores et PcAgLb; deinde malui cum Bekkero retinere lectionem codicum AgLabPacdVb. ἐπεὶ τῆς γε Ἥρας, ad quam adludunt etiam VaVt, ἐπεί γε τῆς Ἥρας, quamvis suspectam, quam recipere coniecturam editionum recc. Ἔπειτα τῆς Ἥρας minime probabilem. — 5. Post παῖδος pro distinctione maxima posui minimam, ita ut in

praecedentibus subintelligatur τὸ μὲν. Deinde οὐκ ἔχων dictum est ex usu Pausaniae. — XIV, 1. Sensu flagitante ἐκείνων ἐστὶ μίμησις dedi; ἐκείνων ἐστὶν ἐς μίμησιν (i. e. μίμησιν with ις) codd. edd. cf. 8, 31, 7. — XV, 5. καὶ τὸν Ἴναχον ποταμόν circumscribunt Siebel. SW. Dind.; non necessarium; praecedens τοῦτον δὲ ad Phoroneum referri potest. — XVI, 4. Ἀκουσιλάου scripsi; Ἀκουσιλάῳ Porson. Bekker. SW. Dind.; ἀκοῦσαι λόγον, ἀκοῦσι λόγον, ἀκουσιλόγον codd. — 5. τὰ ἐν Τίρυνθι; articulum adieci, ut scriptum est 9, 36, 5. — 7. Post Αἴγισθος edd. (inter uncos Bekker) habent καὶ Ἠλέκτρας; expunxi cum MVaPcAgVtLb, lacunam indicans. — XVII, 2. αὐτῇ στεφάνους dedi volente Bekker., αὐτῆς στεφάνους codd. edd. — 7. ὅτε ὁ λύχνος πρῶτον στεφανωμάτων Spengel, qui praeterea πρῶτον τῶν στεφ. malit; πρὸ τῶν στεφ. codd.; ὁ πρὸ τῶν στεφ. Sylb. Siebel. SW. Dind. — XIX, 7. Multa sunt quae in hoc segmento offendant; quum medela non succurrat Bekkerum secutus servavi codicum lectionem βόθρος, πεποιημένα — ἔχων; Siebel. βάθρον, πεποιημένην — ἔχον; SW. Dind. θρόνος, πεποιημένην ἔχων. Deinceps cum codd. κίονας ἐκ * * Διὸς scripsi, indicans hiatum; unus cod. καὶ Διὸς, quod probant Sieb. Bekk. SW. Dind., unus (?) ἐς Διός. Deinde ξόανον codd. et antiquae edd.; ξόανα edd. recc. praeter Bekk. — XXII, 9. Καπανεία Dind. Bergk; Καπανία s. καὶ καπανία MVaPaRLa; καὶ πανία edd. et rell. codd. — XXIII, 2. ὄψει πειναδράστου MPcAgLb; excidit versus; τὴν Ἀδράστου edd. et rell. codd. — XXIV, 5. καὶ [πρὸς] Ἀρκαδίας? — XXV, 2. αὐτόθεν dedi; αὐτόθι codd. edd. — 3. Malim ἐξικνεῖται τῆς πηγῆς. cf. 8, 41, 10. — 10. Σαπυσελάτων ἐπὶ Ἰνάχου κτλ. verba corrupta, fortasse lacera. — XXVI, 1. κατ' αὐτὴν γεν. τ. πόλιν e coniectura; κατὰ ταύτην γ. τ. π. codd. edd. — 9. Βαλάκραις Meincke ad Steph. Byz. p. 244. Mox οὐ καθεστηκός? — XXVII, 1. καθὰ καὶ ἐπὶ Δήλῳ τῇ νήσῳ τὸ αὐτὸ νομίζουσι? — 4. ἵππους — εἴκοσι, nondum inventa est medela huius loci. — 5. πολὺ δή τι ὑπερῆρκε Bekker; probat Dind.; πολὺ δή τι καὶ ὑπερῆρε (i. e. ὑπερῆρε with κε) codd. edd. — XXVIII, 1. οἱ λοιποὶ et τοὺς μεγάλους medelam adhuc exspectant. — 3. Ἀργαίῳ Lb; Ἀγραίῳ rell. — XXIX, 1. Ἀρτέμιδός ἐστιν ἄλλος e Siebelisii coniectura; nisi fortasse in praecedentibus malis ναὸς δὲ. In Allg. Lit. Zeit. 1839. p. 249. hiare sermonem suspicatur Siebelis. ἄγαλμα codd. duo; ἄλσος edd. et rell. codd. Mox Ἀθηνᾶν τὴν ἐν, articulum adieci volente Dind. — 5. καὶ ἀνέ-

λαβον μὲν et πλούτου δὲ καὶ δυνάμεως? — XXXI, 6. καὶ ὁ Σαμίοις; articulus vel delendus, vel post Σαμίοις transponendus, vel ὁ παρὰ Σαμίοις scribendum videtur. — XXXII, 7. ὀρέων codd. edd. — 10. ἐπονομάζουσι τοῦτο codd. edd. — XXXIV, 4. οὐ γὰρ ἄν ποτε? — 12. ὡς ἐστὶν εἰρημένον ἤδη μοι Preller et Spengel; ὡς ἔτι εἰ μὲν ἂν ἤδη μοι τὸ Lb; ὡς ἔτι εἶμεν ἀνήδημοι Pc; ὡς ἔτι εἶμεν ἂν εἴδη μοι το Ag, et similiter alii codd.; ὡς ἔτι ἔμενον οἱ δῆμοι, τὸ edd. — XXXVI, 4. Ἀσιναία voluit Bekk.; Ἀσίνη vel Ἀσίνα codd. — 7. Λερναία VabLab et fortasse plures; Λερναῖα rell. — XXXVII, 2. ἕτερος δ' ἐν ναῷ? — XXXVIII, 5. ἤπειρον * * αὐτῆς χωρίον scripsi, lacunam indicans, cum codd. omnibus (αὐτῶν Pc); ἤπειρον Θυρέα χωρίον edd. ex interpolatione Musuri.

## Liber III.

I, 8. ἐπὶ παντὶ τὰ scripsi, ut 5, 25, 3. 7, 9, 6. 8, 7, 5. 8, 51, 4.; ἐπὶ πάντα τὰ codd. et pleraeque edd.; ἐπίπαν τὰ Dind. e coniectura Bekkeri. — II, 4. Ἔθηκε δὲ ὁ Λυκοῦργος? — III, 3. ἄξια λόγου Exc. Palat. Siebel. SW. Dind.; ἀξιόλογα codd. omnes et rell. edd. — 4. ἐν τῇ γῇ placet. — IV, 2. θεῶν [τε] τῶν ἐν Ἐλευσῖνι? — 4. εἴχετο pro εἵλετο Valcken. Bekk. SW. Dind. — 6. ἔκ τε ἥρωος (i. e. Argi, τοῦ ἥρωος?) ὁμοῦ? — V, 4. τὰ ante ἐναντία circumscripsi; nunquam in hac elocutione articulum addit Pausanias. — 8. Verba ὡσαύτως δὲ καὶ Ἀθηναίοις sepsi, utpote glossema prorsus ineptum. — VIII, 1. De lacuna in capitis initio v. SW. T. II. p. XI. Kayser. Franz (Berl. Jahrbb. 1841. p. 218.). Mox ἐπιφανεστέρα ἐς τὰς νίκας οὐδεμία ἐστὶν αὐτῆς Spengel; ἐς τὰς νίκας (δίκας Va) ᾠδή ἐστιν αὐτῆς VabLa; ᾠδή in marg. Vt; ὧν ἡ ἐπιφανεστέρα ἐς τὰς νίκας ἐστὶν αὐτῆς (quaedam αὐτὴ) edd. — 9. γεγονὸς μὲν ἐκεῖ; latet corruptela; ἐκείνῳ minus nunc placet, propter Plutarch. Lysandr. c. 22. Agesil. 3. Xenoph. h. gr. 3, 3, 3. cf. Kayser. — 10. αἴτιος — γενέσθαι; etiam haec corrupta sunt; Agesilai nomen inserui cum edd. recc.; fortasse Pausanias scripsit αἴτιος δὲ.. Λύσανδρος ἐγένετο Ἀγησιλάῳ συσπεύδων, quod correxit scilicet librarius. — IX, 2. κατακαυθέντος Camerar.; cf. 2, 5, 5.; κατακλυσθέντος, κατακλεισθέντος codd. edd. — 3. Ἀριστομηλίδας Keil Analect. p. 236. coll. 8, 47. 6. — 6. διδόασιν ἄρχοντα εἶναι καὶ τῶν νεῶν αὐτῷ scribendum, quo deducit corrupta codicum lectio αὐτῶν; cf. 10, 34, 2. ib. not. in SW. — XI, 1. ἀφηγήσεως, ἃ ἕκαστοι scripsi; ἀφηγήσεων

ὧν (i. e. ἀφηγήσεως, with ων written above) ἃ ἕκαστοι MVaPcAgLb; ἀφηγήσεως ὧν ἑκ. e Porsoni coniectura edd. recc.; ἀφηγήσεων ὧν ἑκ. edd. antiqq. — 4. τὸ δὲ ὄνομα τοῦτο Αὔγουστος κατὰ γλῶσσαν δύν.? — 6. Praestat πέντε ἀγῶνας πολέμου, ut §. 7. — 8. ἐξ Ἰσθμοῦ; inepta haec verba reddidi Pausaniae, e corrupto Herodoti libro (9, 35.) ea transscribenti; om. Sylb. Bekk. SW. Dind.; uncis notat Siebel.; in ἐκ τοῦ σεισμοῦ mutat A. Hecker (in Schneidew. Philolog. 5. p. 458.) post multos alios. — XII, 2. εὑρέθη· [καὶ] ὡς ego distinxi et scripsi; εὑρέθη, καὶ ὡς rell. — 5. Τυνδάρεω παῖδας AVbLa; Τυνδάρεω παῖδα PcAgMVaLb et edd. post Bekkerum. In sequentibus lacuna latet, quam indicavi cum Bekkero; Sieb. SW. Dind. Ταιναρίου includunt. — 6. Etiam hic locus laborat; κατὰ τοῦτο om. MAgPcLb; iidem βουλευσαμένους habent; βουλευσάμενοι VabLa. — 9. μετά γε αὐτὸν e Bekkeri coniectura; μετὰ δὲ αὐτὸν codd.; μετὰ δὴ αὐτόν edd. — XIII, 5. εἴη ὁ Κάρνειος dedi; εἴη καὶ Κάρν. Bekk. MVa PcAgLb; εἴη Κάρν. rell. — XIV, 1. τὰ δὲ ὀστᾶ — ὑπέμειναν. Locus procul dubio corruptus. Pausanias scripsisse videtur: ἀνελομένου ἐκ Θερμοπυλῶν Παυσανίου τοῦ Πλειστοάνακτος τοῦ Παυσανίου. — 3. ἐγένοντό οἱ νῖκαι? — 4. Λεανδρίς VaLa; probat Meineke; Λαιανδρὶς rell. — XVI, 5. κατὰ τὸν ἔλαιον τὸν κῦφον Meineke, quod placet prae reliquis; adludit πάγκυφος in arce Athenarum. — 8. Scripsi Καππαδόκαι οἱ; quod codd. et edd. antiqq. habent Καππάδοκες καὶ οἱ (with και written above) nihil aliud est quam Καππάδοκες οἱ; SW. Dind. Καππάδοκες οἱ. — 9. καὶ οἱ ἐκ Μεσόας? — XVII, 9. καὶ δὴ καὶ ἐς Φιγαλίαν? — XVIII, 11. ὄντα quod om. Lb, alio loco alii collocant, est correctura ad συνοικήσαντα, ut legunt libri quidam. — 13. πεποίηται τῶν ἔργων τὸ ἐς et postea Ἄναξις scripsi, volente Dind.; πεπ. τάξις τῶν ἔργων τῶν ἐς edd. codd.; τάξις (i. e. ναξις) est correctura ad Ἀναξίας, quod habent codd. — XIX, 5. καὶ τὰ ἐς τὸ ἄνθος Löscher; ἢ τὰ ἐς τὸ ἄνθος codd. edd. — 6. ἄγαλμα notavi Kayserum secutus. — 7. τοῦτό ἐστιν ἐν ἀριστερᾷ ex vestigiis codicum; τοῦτό ἐστι μὲν ἀρ. s. τοῦτο μέν ἐστιν ἐν ἀρ. codd. meliores. Deinde τῆς ὁδοῦ τὸ ἄγαλμα, καὶ τοὺς codd. Librarii distinguentes post ἄγαλμα addebant καί; equidem cum Bekkero, qui καὶ mutat in δέ, aliisque distinguo post ὁδοῦ, deleo καί, et post τὸ insero δ'; quod voluit etiam Koraes; ὁδοῦ, τὸ ἄγ. δὲ καὶ τοὺς Dind. — XX, 4. θύειν post οἶδα delendum videtur. — 7. Δέρειον,

*Δερεάτιδος* scribo cum codd. optimis; *Δέῤῥιον*, *Δεῤῥιάτιδος* edd.; contra literam geminatam non pugno. — 8. *Ἀθηνᾶς Παρείας*; vix genuinum cognomen; conieci olim *Ἀρείας*, nunc magis placet *Πρακείας*, a Prace dedicante. — 9. Post *πολὺ* indicavi lacunam; edd. recc. *οἳ* uncis includunt, medela vix salutifera. — XXI, 1. Inter *εἶναι* et *τὰ* expunxi *καί*, volente Buttmanno; uncis notant Bekk. SW. Dind. — 2. *καὶ ἡ μετὰ τοῦτο* codd. edd. Deinde *τε καὶ ἐς Γύθιον* scripsi; *τε ἐς Γύθ.* codd.; *δὲ ἐς Γύθ.* Bekk. SW. Dind. — 4. *ἡ κώμη — διήκουσα* restitui codicum lectionem mutilam; *καλουμένη* om. MVaPcAg; *ἡ κώμη καλουμένη Κροκέαι· ἧς ἡ λιθοτομία* edd. Sequentia alii aliter restituere conati sunt; fortasse *οὐ διήκουσα* interpretatio ad *οὐ συνεχὴς* locusque sic scribendus est: *ἡ λιθοτομία οὐδεμία μὲν πέτρα συνεχής, λίθοι δέ.* — 5. *ἀποτραπεῖσιν* e codd. restitui; *ἀποτραπεὶς* e Siebel. coniectura Bekk. SW. Dind. Frequentissima apud Pausaniam sunt haec anacolutha, quum in eiusmodi elocutionibus omnes casus absolute ponere videatur. Sic v. g. *προελθόντι … ὀνομάζουσι* 3, 20, 2; *ἐπανελθόντων … ἥξεις* 2, 25, 9; *προελθόντων … ἀφίξῃ* 8, 20, 1; *διαβάντων … ἔστιν* 3, 25, 1; *ἰόντι … προελθόντι … ἄγει* 8, 13, 4; *ἐκτραπέντα ἔστιν ανευρεῖν* 1, 44, 2; *ὁδεύσαντι … ὄψει* 5, 6, 4; *διαβάντα … ἔστιν* 4, 33, 4; *ἰόντων … ἔστιν* 4, 33, 6. 7; *ἰόντι … σε ἐκδέξεται* 8, 28, 1. — 8. *Κάρνειος* Facius, Dind.; *Καρνίας* codd. et rell. edd. — XXII, 13. *Ἴσιδος. Ἥτιδος δ' ἐρείπια* Curtius Pelop. II, p. 329. n. 74. — XXIII, 2. Imo *ἄνθρωποι περιοικοῦσιν οὐ πολλοί.* „Une côte élevée et aride" appellat Buillon-Boblaye. — XXIV, 2. Pro *ἓξ που* alius numerus, fortasse *ἑξήκοντα* s. *ἑκατόν* substituendus est. Deinceps *ἐν δὲ αὐτοῖς σπήλαιον* scribendum videtur; *γήθαιον* MVa; *στήθαιον* AVbLab; *στήθεον* PcAg. — 7. *παρὰ Λαῶν* scripsi; *παρὰ Λακεδαιμονίων* codd. edd. Ad rem cf. Eckhel Doctr. Num. II, 285. Mionnet Descr. d. méd. II, 227. — XXV, 1. *κατ' αὐτὸν* dedi; *καὶ τοῦτον* codd.; *κατὰ τοῦτον* edd. Deinde inter *ἀρχαῖον* et *ἀπωτέρω* excidisse aliquid videtur. „Vult dicere: esse ibi antiquum Jovis templum et aram Jovis, sed illud ab hoc paulo remotius esse." Siebel. Si re vera hoc dicere voluit Pausanias, sententiam ineptam non potuit exprimere ineptius. — 3. *σπανίζοιέν τ' ἂν* codd. edd.; *τ'* om. Bekker. — 4. *ναὸς εἰκασμένος σπηλαίῳ* habet quod displiceat; sensus et sequens *διὰ τοῦ σπηλαίου* et lectio codicis M. *εἰκασμένον* deducere videntur ad *ναῷ εἰκασμένον σπήλαιον.* — 7. *τὸν παιδί?* — 9. *ἄκρα Ταινάρου*; latet corruptela. Aliter sentit Curtius Pelop. II, 326. n. 66. — XXVI, 1.

Cum Dind. Creuzero probavi Camerarii, Sylburgii, correcturam *Πασιφάης*, *Πασιφάη* pro *Παφίης*, *Παφίη*. Deinceps plenius distinxi post *ηδύ*, cum omnibus codicibus reposui *ἐπίκλησις* pro editionum *ἐπίκλησιν*, reliqua intacta servavi. In SW. Dind. inter *ἐπίκλησιν* et *καὶ οὐ* lacuna indicatur. — 4. Ubique *Λεῦκτρα* scripsi; semel *Λεῦκτρον* edd. codd. — 5. *τὰ δὲ φύλλα τῷ ἦρι ἀπὸ τῶν δένδρων πίπτοντα*; ubi tandem verno tempore ex arboribus folia decidunt? Num forlasse *τὰ ἀπὸ τ. δένδρ. πίπτοντα*, ita ut *τῷ ἦρι* cum seqq. *οὐκ ἂν ὑπὸ κ.τ.ἕ.* copulari possit? — 10. *αὐτὸς οἶδα*, volente Siebel.; *αὐτοῖς οἶδα* codd. edd. — 11. *ἐστιν ἐν* dedi cum codd. omnibus; deinceps post *Κλαίας* (*Καλαθίας*?) delevi *ἱερὸν* a codicibus melioris notae omnibus omissum, et indicavi lacunam; *ἐστιν, καὶ ἐν* editiones.

## Liber IV.

I, 5. *Κολαίνου* scribendum videtur, quod voluerunt Siebel. et C. O. Müller Encycl. Halens. s. n. Eleusinien p. 274. n. 83. — 7. *τελετῶν δὲ καὶ ὀργίων*? — 9. *καὶ ἐς τὸν Λύκον τά τε ἄλλα* scripsi; *τὰ* post *καὶ* habent codd. edd.; utroque loco Dind. — III, 5. *ἀλλὰ γῆς μὲν Ἀριστοδήμου παισὶ ξηρᾶς* scripsi; *ἀλλὰ τοῖς μὲν κ.τ.ἕ.* edd. codd. Legit nimirum librarius *ἀλλὰ τῆς μὲν κτλ.*, quod sua sponte in *ἀλλὰ τοῖς μὲν* etc. depravatum est. — 9. *εὐσεβείας δὲ ἐς πλέον*? Nunquam aliter Pausanias. Deinceps *ἀνέντων* Kayser; *ἄνευ τῶν* codd. edd. — V, 4. *πρό τε δὴ* dedi; *πρὸ δὲ δὴ* codd. edd. Mox malim *σφισι τὴν πρὸς Ἀπολλόδωρον*. — VI, 1. *διακρῖναι — ἠθέλησα*; verba corrupta dedi ut leguntur in PcdAgLb. Deinceps *Μεσσήνιον δὲ ἀπὸ τῶν Μεσσηνίων τῶν συμφορῶν*, omisso in seqq. *τῶν Μεσσηνίων*? Possis etiam *Μεσσηνίων δὲ ἀπὸ τῶν συμφορῶν*; sed magis placet illud. — 6. *παρὰ τῶν ἀποσωθέντων* e coniectura; *παρ' αὐτῶν τῶν ἀποσωθέντων* codd. edd. — VII, 9. *ἐπιπαριόντες ... ἑαυτῶν. Πρὸς* recepi Dindorfii emendationem; *ἐπεὶ παριόντες ... ἑαυτῶν, πρὸς* codd. edd. — VIII, 5. *ἀτρῶσι*, Emperius; *ὁρῶσι* Sylburg; probantibus Siebel. Bekk. recepit Dind.; *δρῶσι* codd. et rell. edd. — 11. *τὰ δὲ μέσα ἀμφότεροι*? — 12. *οὐ γάρ τι* volente Dind.; *οὐ γάρ τοι* codd. edd. — IX, 1. *πάντως ἐκλείπειν*? — 5. Ineptum *ἐν τούτῳ* notavi; varia lectio ad seq. *ἐν τοσῷδε* in locum alienum irrepsit. — X, 1. *ἀνείρητο* scribo; *ἀπείρητο* codd.; *προείρητο* edd. recc. cum Porsono. — 3. Scripsit Pausanias *ἥ τε ἐς τὸν Εὐφάην ὑπάρχουσα εὔνοια*; ad *ἐς* erat varia lectio *προς*

(πρ̀ο) quae male cum ὑπάρχουσα copulata est. — XI, 1. Vel post τῆς Ἀριστοδήμου cum Dind. lacuna indicanda, vel scribendum est τοῦ Ἀριστοδήμου μέλλοντος; at manca est sententia. — 3. εἶχεν ἂν ἕκαστος? — 8. διά τε τῆς Ἀρκαδίας πειρωμένοις? — XII, 10. λέγων ἅμα ἃ, cum anacoluthia in sequentibus? — XIV, 2. Ἀφροδίτης ἄγαλμα — ὑπὸ τῷ τρίτῳ; ab uncis liberavi haec verba; cf. Z. f. A. 1850. p. 106. seqq. Welcker Kleine Schriften. III, 533 seqq. Brunn Griech. Künstler. I. p. 85. seqq. — 4. τροφῶν uncis notavi; qui vocem suspectam servare velit, scribat πάντα cum codicibus deterioris notae VbLa. — 6. οὐδὲν ὁρῶντες e coniectura; οὐδὲν ἐνορῶντες codd. edd. — XVI, 8. Inter τε et μετὰ hiat oratio; φυλάξας τὸ μετὰ e Siebelisii coniectura Dind. — 10. δοκεῖν δέ μοι placet Dindorfio, nec mihi displicet; at non sanat locum; scribendum praeterea ἢ ἄλλως vel ἢ καὶ ἄλλως. — XVIII, 1. Quod post Εἶραν edd. habent ἀνῳκίσθησαν id expunxi cum codd. omnibus et indicavi lacunam; lenior fortasse est medela ἐς τὴν Εἶραν γῆς τῆς ἄλλης ἐξείργοντο; cf. 9, 1, 7. At profundius latere vulnus videtur, quum codices omnes (excepto fortasse Vb) ἢ ἐλῄστευον habeant. — 4. Hoc loco et postea e codicum auctoritate Κεάδαν scripsi; Καιάδαν edd. — XIX, 2. Pro Εἴδεκτον, quod habent codd. edd., Σείδεκτον (s. Σειδέκταν) vel Σίδεκτον (s. Σιδέκταν) proponit Keil Anal. p. 237. Σείδεκτον invenit etiam Bergk. Eadem corruptela 5, 17, 1. codices ἔμιλις habent pro Σμῖλις. — XXI, 9. Quid sibi vult μεθ' ἡμέραν ἀεὶ καὶ νύκτα συνεχῶς οἱ αὐτοὶ τρίτην ἠμύνοντο? quid ἤδη τε ἡμέρα ἦν? Scribendum puto: μεθ' ἡμέραν γὰρ ἀεὶ καὶ νύκτα συνεχῶς οἱ αὐτοὶ ἠμύνοντο. Τρίτη ἤδη ἡμέρα ἦν.. — XXIII, 8. καὶ quod circumscripsi omittit Ag. — XXIV, 5. Ἀρχιδημίδου Ἀθήν. ἄρχοντος Palmer. Clav. Siebel. SW. Dind. — XXV, 7. τοὺς κατὰ τοῦτο dedi; τοὺς κατὰ ταὐτὸ codd. edd. — XXVI, 1. ὁρμητήριον ἐπὶ τὴν Πελοπόννησον? cf. 1, 11, 6. 7, 13, 6. — 2. et 3. τὸ Ἀθηναίων et Μεσσήνῃ τῇ πρὸς, articulos addidi. — 5. ἔκ τε τῆς ἅλης e coniectura; ἔκ τε τῆς ἄλλης codd. edd. — 6. ἐξευρίσκειν e coniectura; ἐξευρίσκει codd.; ἐξεύρισκε e Clavierii coniectura edd. recc. — XXVIII, 1. φόβῳ τῷ Θηβαίων? Deinde οὗτος notavi; ortum est e correctura (ὁ αὐτὸς) male intellecta. — XXIX, 2. κατήγετό που τῆς Ἀργείας; num hoc credibile? Φαραίας vel aliud nomen latere suspicor. — 12. οὐ πολὺ ὕστερον placet. — XXXI, 2. ὀνομαζόμενον θεοῦ Συρίας.

Nonne ὀνομαζομένης? Deinde segmento 4. malim ἐς ἀριστερά; ibidem ἀλλὰ καὶ τὰ ἐπὶ τὸν Πάμισον τετραμμένα scripsi; τὰ om. MVa LbPcdAg; post Πάμισον collocant VbLa. Mox Βακχικὸν τὸ ἐπίφθεγμα? — 7. Pro ἔλαβον Emperius vult ἔμαθον; at totus locus, quamquam laevigatus, misere corruptus est. — 10. ἀγάλματα notavi; mox scribendum fortasse Δαμοφῶν Μεσσήνιος εἰργάσατο. Cf. Dind. praef. p. XXVI. et Kayser. — XXXII, 2. Lacunosus locus; ἔχειν ἐν τιμῇ. Αἰθίδαν δὲ ἐμαυτοῦ πρεσβύτερον ὄντα εὕρισκον edd. et codices interpolati VbLa; Aethidae nomen codices melioris notae omnes, MVaPcdAgLb omittunt, eiusque loco habent Θησέα, copulandum scilicet cum praecedente ἔχειν ἐν τιμῇ. At etiam hi lacunam, quam in libro invenerunt, de suo explere conati sunt. Excidit commemoratio Aethidae; deinceps orationem hoc fortasse modo continuavit Pausanias: γενεᾷ δὲ ἐμαυτοῦ... — XXXII, 5. ἀσπίδι κοσμήσαντες, ἐμῷ τὴν εἵσατο νηῷ? — XXXIII, 4. παρ' αὐτὸ ἄγαλμα codd.; et addito articulo edd. post Clavierium. — XXXIV, 1. ἐπὶ τοῦ Παμίσου Koraes Dind.; ὑπὸ τοῦ Παμ. edd. rell. et codd. praeter MVaLa, qui ἐκ τοῦ Παμ., unde ἐς τοῦ Π. fecit Kayser. — 3. οἱ δὲ Ἑλλ. ποταμοὶ δείματα — εἰσιν οὐδέν (hoc absolute positum) scripsi cum MPcdAgLbR; οὐδέν habet etiam Va; δείματα — οὐδένα Bekk. Dind.; si quid mutandum malim δεῖμα; edd. antiqq. et interpolati VbLa τοῖς δὲ Ἑλλήνων ποταμοῖς δείματα — εἰσὶν οὐδένα. — 4. τῇ Μαθίᾳ Bekk. Dind. PcAg; probat Curtius Pelop. II, 195. n. 40.; recte sic scribi probat Pd, in quo τῇ ἰμαθίᾳ (i. e. τῇ Μαθίᾳ, cum ι adscripto); Τημαθίᾳ edd. rell. MVaLab; τῇ Ἡμαθίᾳ Franz. et Kiepert. Deinceps χωρίον, ὃ scripsi; χωρίον, καὶ codd. edd. — XXXV, 1. Cum Palmerio scribendum est παρὰ Διομήδην; μετὰ Διομήδην codd. meliores VaPcAgLb. Mox καὶ quod est ante ἅμα aptius collocatur post ἐργάζεται. — 4. Προκλῆς — ἀμείνονα γενέσθαι; ad marginem releganda videntur. — 5. ὑπ' αὐτῆς? — 8. Παράσχοιτο δ' ἂν dedi e correctura Kuhnii, a Clavierio, Bekkero probata; idem Dindorfius voluisse videtur (cf. Praef. p. XXXII.); παράσχοιτο εὐωδίαν codd. edd. praeter Dind., qui παράσχοιτο πᾶσαν habet; δ' ἂν primum in δίαν per errorem corruptum, deinde ab interpolatore in εὐωδίαν mutatum est. — 11. Verba καὶ ὅσαις μὲν πηγαῖς θαῦμα ἰδεῖν καὶ ἰδόντι corrupta esse, nemo non videt. Kayserus ἰδιαίτερόν τι proponit, quod est contra usum Pausaniae et nimis remotum a literis. Lacunam latere suspicatur Franzius (Berl. Jahrbb. f. wiss.

Krit. 1841. p. 221.), quam miro artificio sic fere explendam censet: ὅσαις μὲν πηγαῖς θαῦμά [φασιν εἶναι χρωμένῳ] καὶ ἰδόντι. Fortasse duae lectiones ὅσαις μὲν πηγαῖς θαῦμα ἰδεῖν et ὅσαι μὲν πηγαὶ θαῦμα ἰδόντι in unam coaluerunt. — XXXVI, 5. „malim τοσαύταις.“ Bekk. Probo. — 6. Ἀθηναῖοι δὲ — ἐν τῇ Σφακτηρίᾳ; etiam haec e margine illata videntur.

## Liber V.

I, 2 Κορίνθιοι scripsi; Κορινθίων codd. edd. — 4. Ἐρικύδην Schneidew. gött. gel. Anz. 1853. p. 604. at Εὐρυκύδειον commemorat Strabo 8, 3, 19. p. 346. C. 532. A. 123 Kr. — III, 1. ἀπέδωκε malim cum Bekkero. Deinde post ἑκουσίως pro maiori distinctione posui minimam, et ante αἰχμάλωτα delevi γὰρ cum MVab (habet La), ita ut αἰδοῖ — ἑκουσίως parenthetice, τἄλλα absolute dictum sit; porro ἐφίησιν dedi cum MVaPcdLab; ἀφίησιν rell. — 3. τοῦ ἐν Ὠλένῳ βασιλεύοντος? — 7. τὸν Σκοπίου volente Kor. dedi cum Dind.; τὸν ante ἀδελφόν notavi, utpote correcturam ad τοῦ Σκοπίου loco alieno illatam. — IV, 3. Ἑλίκης τῶν Ἀχαιῶν codd. edd. — V, 3. Usus Pausaniae et iustae descriptionis regulae sic fere postulant: Ἰόντι δὲ ἀπὸ τῆς Νέδας (cf. IV, 36, 7. extr.) Ἠλείας χωρίον ἐστίν. Omnia sana esse iudicat Curtius Pelop. II, 115. n. 80. Mox verba καὶ Ἀριστοφάνης — Ἠλείων a Pausania profecta esse vix crediderim. — VI, 1. Σαμία ἐπὶ τοῦ Σαμικοῦ scripsi; cf. Z. f. A. 1847. p. 218. Curtius Pelop. II. 79. et 115, n. 81; Σαμία ἐπ' αὐτοῦ Σαμικοῦ codd.; Σαμικοῦ uncis notant Bekker SW. Dind. Quae sequuntur ego circumscripsi; τῇ Σαμικῷ tantum, Siebel. Bekk. SW. Dind. — 4. ὁδεύσαντι codd. omnes SW. Dind.; ὁδεύσας edd. rell.; cf. ad 3, 21, 5. In sequentibus nihil mutandum; ὀπίσω necessarium est. — 6. καὶ notavi. — 8. ἐποίησαν MVbPcAgLab; ἐποιήσαντο Va. — VII, 1. παρὰ δὴ τοῦτο? — 3. Plura hoc segmento sunt corrupta; frustra desudarunt in sanandis verbis λόγου τοῦ ἐς Ἀλφειὸν ἐς τὴν Ὀρτυγίαν. In oraculi versu tertio ἐὔρρείτης Ἀρεθούσης probavit etiam Dind. Deinceps κατὰ τοῦτο οὖν vix sanum; num fortasse διὰ τοῦτο οὖν? — 8. Malui servare ἐπεὶ δὲ cum MVaPcLb (ab Ag haec absunt), quam scribere ἔπειτα δὲ cum LaVb, vel ἔπειτα cum A et edd. antiqq. Scripsisse Pausaniam suspicor ἔπη δὲ Μελάνωπος; postea ᾠδήν addidit librarius, quod necessarium videbatur, postquam ἔπη transierat in ἐπεὶ; nisi fuit, quod magis est proba-

bile, correctura ad praecedentia, ubi revera ad Ὠλήν invenimus varietatem ᾠδήν; quare haec vox etiam ab iis notanda videtur, qui ἔπειτα δὲ praeferunt. Mox ἂν inserui post τάχα, ante εἴη volente Porsono Dind. Deinceps praestat τότε τὸν ἀγῶνα. — 10. καὶ αὐτὸν Κρόνῳ Kayser; fort. αὐτῷ Κρόνῳ sine καί. Deinde κατειργασμένῳ (sc. Κρόνῳ) scripsi, probante Kaysero; κατειργασμένοι (i. e. -μένωι.) La; κατειργασμένοις codd. rell. et edd., quibus Τιτᾶσι addit Porson. — VIII, 4. οὗτός τε οὖν ἅρματι? — 6. Inter ἑξῆς et Ἄκανθος excidisse quaedam vidit Krause (Olympia p. 72.) cf. Z. f. A. 1847. p. 219. — IX, 3. Hunc locum critici recentiores plerique lacuna laborare censent, quam alii aliter explere conati sunt. Dind. inter ἵππων et ὕστερα asteriscum habet. Fortasse non lacuna, sed unius vocabuli corruptela latet; sic scripsisse Pausaniam puto: ὡς θύεσθαι τῷ θεῷ τὰ ἱερεῖα πεντάθλου μὲν καὶ δρόμου τῶν λοιπῶν ὕστερα ἀγωνισμάτων; eodem modo infra §. 5. τὰ λοιπὰ τῶν ἀγωνισμάτων. — 4. πεντηκοστῇ procul dubio corruptum; conieci olim οἱ ἀπὸ Ὀξύλου πέντε· εἰκοστῇ δὲ Ὀλ. cf. Z. f. A. 1847. p. 220. et quae vere contra me monuit Kayser (ib. 1848. p. 1090.), τῇ δ' εἰκοστῇ ipse coniiciens. Mihi nunc Strabonis locum 8, 3, 30. p. 543. A. 354. C. 138 Kr. contemplanti scribendum videtur: οἱ ἀπὸ Ὀξύλου· πέμπτῃ καὶ εἰκοστῇ δὲ Ὀλυμπιάδι. — 5. εἰκοστῇ corruptum esse inter omnes constat. E loco 6, 3, 7. mihi quidem fit verisimile, unice veram esse Böckhii restaurationem ἐνενηκοστῇ. — X, 3. De epigrammate cf. Z. f. A. 1849. p. 385. Brunn Griech. Künstler I, p. 42. Post Ἀλυάττην inserendum est ἦν; quod mihi certe minus videtur violentum quam animo subintelligere quod non potest subintelligi. — 4. τοὶ Λακεδαιμόνιοι συμμαχία τ' ἀνέθεν scripsi, probantibus G. et E. Curtius Pelop. II. p. 110. n. 58.; τοὶ restituit C. O. Müller; τοῖς VaPacd AgLab; τῆς AMVb; τᾶς Jacobs Siebel. Bekk.; θεῷ (quidni θεοῖς?) Kayser; tum Λακεδαιμόνιοι Buttm. Müller Kayser; Λακεδαιμονίοις codd.; συμμαχία Kayser, Curtius; συμμαχίαν VaPcdAgRLab; συμμαχίδος AVb, marg. R.; γ' ἀνέθεν Buttm.; τ' ἀνέθεν Kayser, Curtius; τἄνθεν MRPcdAgLab; τεθέν Vb; γε τεθέν edd. — 7. τὰ δὲ ἐς ἀριστερὰ PcAgLab; ἐπ' ἀρ. rell.; fortasse etiam paullo ante ἐς ante τὰ ἄλλα huc referendum est. — 7. ἡνιόχει Sylb., quod probo. — 8. ἀπόγονος inserui, ut 8, 22, 1. 5, 13, 2. post τέταρτος SW. Dind.; ἀπὸ Πέλοπος Clavier. — XI, 1. πᾶσι διηνθισμένον Völkel, Kayser (cf. Z. f. A. 1848. p. 1090. 1849. p. 389.); πᾶσιν ἠνθισμένον

codd. edd. In sequentibus adhuc probabile mihi videtur scriptum fuisse *καθήμενός ἐστι χρυσοῦ, χρυσοῦ δὲ καί*; cf. Brunn, Griech. Künstler. I. 169. — 3. *οὐ γάρ πω* — *Φειδίου*; cf. Z. f. A. 1849. p. 392 seq.; adde Brunn d. l. p. 171. — 8. Inter *Ἥρα* et *παρὰ* excidit Neptuni nomen; cf. Brunn d. l. p. 174 seq. — 9. cf. Z. f. A. 1849. p. 406. Brunn p. 175. — 11. *τῷ Ἀσκληπιῷ* scripsi cum Kor.; *τῷ Ἀσκληπιοῦ* coni. Fac., probarunt Siebel. SW. Dind.; *τοῦ Ἀσκληπιοῦ* codd. et rell. edd. — XII, 2. *ποταμίοις* — *γενύων*, adversarii cuiusdam est notula. Etiam segmenti sequentis verba *φιλότιμοι* — *ἐς ποίησιν ἀγαλμάτων* a librario potius quam a Pausania profecta videntur. — 4. *ἡ ἐς τὰ ἀναθήματα* in SW mutatum est in *ἐστὶν ἀναθήματα*; secutus est Dind.; at pluralis *ἀναθήματα* probat profundius cubare mendum. — XIII, 7. *Πλακιανῆς* scripsi; idem (*Πλακιηνῆς*) voluerunt Siebel. et Dind. praef. p. XXXI. Cf. Böckh Corp. Inscr. II. p. 914 seq. n. 3657.; *Πλαστάνης* La; *Πλαστήνης* rell. — 8. *καθάπερ γε καὶ ἐν Περγάμῳ τέφρας ἐστὶ τῇ Ἥρᾳ τῇ Σαμίᾳ βωμός*? — 9. *τῆς δὲ ἐπὶ* scripsi, quum respondeat praecedenti *κρηπῖδος τῆς πρώτης*; codd. edd. *τοῦ δὲ ἐπὶ*, quod quo possit referri non video. — 10. *παρέχεται καὶ ἀναβασμοὺς* VaLa; *καὶ* om. rell. — 11. *αὐτὸν μέγεθος* Bekk. SW. Dind. e coniectura Sylburgii; *αὐτῶν* codd.; aptius fortasse *αὐτῷ*. — XIV, 1. Circumscripsi *Ἠλείας* (*Ὀλυμπίας* alii) quod profectum puto a librario, qui *Eleorum* sacrificio in errorem inductus est. Fortasse etiam *ἐξελαύνοντι* librario corrigenti debemus; *ἐξελαύνοντες*, quod habet La (eodem alludit lectio *ἐξελαύνοντος* in VabAgLb), eum praebet sensum, ut caerimoniae pars fuerit abigere muscas. — 3. Pro *μάλιστα* vel *κάλλισται* cum Bekkero, vel *μέγισται* legendum est. Deinde *γῆς τῆς Κελτῶν* dedi; *γῆς τῆς τῶν Κελτῶν* MVbAgPcLa; *γῆς τῶν Κελτῶν* VaLb. SW. Dind. — 7. *μετὰ τοῦτον* scripsi; *μετὰ τοῦτο* codd. edd.; mox malim *πεποίηνται δέ*. — XV, 1. *Ὀπίσω δὲ* — *Λεωνιδαίου*. Lacuna latere videtur; *τόδε ἐκτὸς* scripsi; *τὸ δὲ ἐκτὸς* rell. E locis 5, 15, 4. 6, 17, 1. suspicari licet *ἐντός* rectius scribi; praeterea lectionis varietas ad h. l. et ad 6, 17, 1. suspectam reddit nominis formam *Λεωνίδαιον*. — 4. *ἔτι*, quod Bekkero debemus, notavi; *δέ τοι* edd. ante Bekk.; *δέ τι* Vb; *δὲ τοῖς* PcAgLa; *δὲ τῆς* Lb; *δὲ ἐντός* Va. Locus vix sanus. Mox *Δεσποίναις* reduxi cum codd. omnibus; eodem modo §. 10. *ταῖς Δεσποίναις*; edd. recc. id mutarunt in *Δεσποίνης* et *τῇ Δεσποίνῃ*. Mihi quidem *τὰ δὲ ἐς τὴν θεόν* obstare non videtur. — 10. *τὰ ἐς τὰς*

θυσίας dedi; τὰς θυσίας (τὰ sup. lin.) M, et sine correctura VabLb; τὰ ἐς θυσίας rell. — XVI, 1. πρέποντα ἐς συγγραφήν hoc uno loco legitur ap. Pausaniam. Mox lacuna haec fere hausit: μῆκος δέ εἰσι τοῦ ναοῦ πόδες τρεῖς καὶ ἑξήκοντα [καὶ ἑκατόν, τὸ δὲ εὖρος * *, το δὲ ὕψος ποδῶν ἑξήκοντα] οὐκ ἀποδεῖ. — 2. οὔτι που πᾶσαι (sc. εἰσιν) codd. fere omnes; πάσαις edd. praeter SW. — 3. εἰσὶ δὲ καὶ — ἀγων. γυναῖκες. Omnia sana sunt. Etiam ministrae, quarum numerus incertus, erant γυναῖκες, non παρθένοι; cf. 5, 13, 10. — 7. Lacuna haec fere hausit: καὶ τἆλλα [καὶ τῶν γυναικῶν τὸν ἀριθμὸν καταλυθεισῶν πλείστων] ὅμως τῶν πόλεων. — XVII, 4. Certatim corrigunt Καλχηδόνιος pro Καρχηδόνιος. „Le changement de Καρχηδόνιος en Καλχηδόνιος ou Χαλχηδόνιος (sic) proposé par O. Müller est d' une évidente nécessité. La confusion de ces mots est perpétuelle.“ Letronne Mem. de l'Ac. d. I. et BL. T. XV, 2. p. 145. „La correction d' O. Müller est indubitable.“ R. Rochette Lettre à M. Schorn p. 237. Adde Wien. Jahrbb. B. 39. p. 149. Heidelb. Jahrbb. 1828. p. 790. Brunn Griech. Künstler I. p. 500; mihi coniectura probabilis, non omnino necessaria videtur. — 6. Verba καὶ τὰ μὲν — Ἕλληνες ab aliis aliter tentata, sic satis probabiliter restituit Kayserus: καὶ τὰ μὲν ἐς εὐθὺ αὐτῶν ἔχει σχῆμα, τὰ δὲ καὶ ἄλλο τῶν γραμμάτων· βουστροφηδὸν καλοῦσιν Ἕλληνες. Cf. 5, 20, 1. — XVIII, 1. τῷ καθεύδοντι; articulum ego addidi. — 2. αἰσχρὰν κολάζουσα? cf. 10, 28, 5. Deinceps Ἴδας Μάρπησσαν — οὐκ ἀέκουσαν restitui cum codd. omnibus; mutato verborum ordine ἄγει πάλιν cum Musuro edd. omnes; mihi placet quod proposuit Dindorfius praef. p. IX. ἄν οἱ Ἀπόλλων Ἅρπασεν, ἐκ ναοῦ πάλιν ἐξάγει οὐκ ἀέκουσαν. Minus probo quod idem reponere velit οὐκ ἐθέλουσαν. — 3. ἐς τὸν λόγον τῶν Ἑλλήνων vix sana videntur. — XIX, 2. Scripsi Ἔρις αἰσχίστη τὸ εἶδος· ἐοικυῖαν πρὸς ταύτην καὶ Καλλιφῶν; de ἐοικυῖαν πρὸς ταύτην conf. ad 10, 34, 3; Ἔρις αἰσχίστη τὸ εἶδος ἐοικυῖα· πρὸς δὲ ταύτῃ (ταύτην Vb) καὶ Καλλιφῶν edd. codd. sensu inepto. Cui minus placet ratio mea scribat ἐοικυῖαν ταύτῃ, quum πρὸς e varia lectione ad πρόκλησιν praecedens facile possit derivari. — 3. ἕλκετον (ἕλκε τὸν Lb) Ἀθάναθεν MPcAgLabFab; ἕλκε τὴν Ἀθήναθεν Va; verborum ordinem a codicibus oblatum restitui, ἑλκεῖτον scripsi suadente C. F. Webero meo; ordine inverso Ἀθέναθεν ἕλκετον cum Musuro edd. ante Bekkerum; Ἀθάναθεν ἕλκετον Bekker SW. Dind.; Αἴθραν Ἀφίδναθεν Bergk Archäol. Zeitung 1845. p. 173. n. 18.;

*Αἴθραν δ' ἀπ' Ἀθανᾶν ἕλκετον* Dind. praef. p. VIII. — 4. *οὗτός γε* Heyne; *οὗτός τε* edd. codd. — 6. *περὶ αὐτὸ* Bergk d. l. p. 175.; *περὶ αὐτὸν* edd. codd. Idem *καὶ* (*μίλακες*) *μηλέαι τε* velit. — 10. Haud immerito in *κατειργασμένον* offendit Kayserus; nullo alio loco sic loquitur Pausanias. — XX, 2. Restitui cum codd. omnibus et edd. antiquis *αὐτὸν διδαχθῆναι*, lacunam indicans; *αὐτοδιδαχθῆναι*, e Buttmanni coniectura Bekker et cum lacunae signo SW. Dind. — 3. *ἐπὶ δὲ* (*τῇ*) *κλειδί* scripsi; *ἐπὶ δὲ κλεῖδα* (*ἤλιδα*, *ἤλειδα*) MRPcAgLab; *ἡ δὲ κλεῖδα* marg. R, Vb edd. Post *κλεῖν* expunxi *καὶ* cum VaPc AgLab. — 6. *Ἣν δὲ καλοῦσιν* — *τέσσαρες δέ εἰσιν*. Locus non medicina, sed ferro sanandus; si *ἣν δὲ καλοῦσιν* usque ad *ἔστι μὲν* et *δὲ* post *τέσσαρες* includimus, recte procedit oratio. Sed manum violentam retineo. — XXI, 1. *ἐπεξερχόμενος* s. *ἐπεξερχομένοις* scribendum videtur. — 5. *οὐδὲ ἀποδιδόντες*? — 8. Verba *οἵτινες* — *ἐξηγητάς* cancellis notavi utpote absurda hoc loco et inepta. Exciderant, puto, §. 5. post *ζημίας ὑπὸ Ἠλείων*, ubi apte collocantur; deinceps margini adscripta casu quodam in locum nostrum depressa sunt. Sequens *γὰρ* omittit Va. Etiam segmento 9. verba *Ἀλεξανδρείας δὲ* usque *Ῥακῶτιν* quam sint inepta dici non potest. — 15. Sensus postulare videtur *ἄνδρας οὐχ ὑπὲρ αὐτῆς μαχομένους τῆς νίκης ἐφώρασαν, συνθεμένους δὲ ὑπὲρ λήμματος*. Mox *αὐτῶν Σαραπάμμων* scripsi, hoc volente Clavierio; *αὐτῷ Γαραπάμμων* edd. codd. — 16. *ἄλλως* MVaPcAgLab; *ἄλλους* edd. — XXIII, 3. *τῶν Μηδικῶν ὕστερον* e Siebelisii coniectura ediderunt Bekk. SW. Dind.; *ὑπὸ τῶν Μηδικῶν ὕστερον* codd., in quo *οὐ πο* (λ) i. e. *οὐ πολὺ τ. Μηδ. ὕστερον* latere suspicor. Mox *συνοικισμὸν τὸν πρὸς* malim; denique *τὰ ἐς πλάστας* scripsi; *τὰ ἐς Πλαταιὰς* edd. codd. cf. 5, 20, 2. — 5. *Φύλακος* dedi e coniectura Clavierii, haud improbante Dindorfio; *Ψύλακος* codd. praeter Vb, qui habet *Θύλακος*; et sic edd. — 6. *Δύο δὲ ἦσαν ἐν Σικελίᾳ πόλεις* placet; deinde *τὰ ὀνόματα ἐν τῇ Καταναίᾳ, ἡ μὲν* scripsi; cf. Z. f. A. 1840. p. 606.; probat Dind. praef. p. XXV; *τὰ ὀνόματα, ἐν Καταναίᾳ δὲ ἡ μὲν* codd. edd. — 7. *καὶ* * * *μετρεῖτ' Ἀρίστων ἠδὲ Τελέστας* | *Αὐτοκασίγνητοι χᾶμα Λάκωνες ἔσαν* Dind., quod placet. Violentior est Kayseri medela: *Οἵ δ' ἔργον τελέσαντες Ἀρίστων ἠδὲ Τελέστας* | *Αὐτοκασίγνητοί τ' ἠδὲ Λάκωνες ἔσαν*. Equidem retinui Bekkeri lectionem, non quidem probans, at incerta incertis substituere nolens. — XXIV, 10.

E lectione ἐπὶ ἱερεῖα (ἐπεὶ R marg.) quam habent La et R marg. Kayserus ἐπὶ ἱερείῳ eruit; ἔτι ἱερεῖα codd. rell.; ἐς τὰ ἱερεῖα edd. — XXV, 7. Malim τὸν δὲ τὸν ἐν Νεμέᾳ, ut 5, 26, 7. 6, 5, 5. 5, 11, 5. — 9. ἐπὶ μόνῳ τῷ Ἀγαμέμνονι dedi; cf. Z. f. A. 1847. p. 290.; ἐπὶ μόνῳ τῷ ἀγάλματι Ἀγαμέμνονι codd.; ἐπὶ μόνῳ τῷ ἀγάλματι Ἀγαμέμνονος edd. — XXVI, 1. Μεσσήνιοι δὲ — Ἀθηναίων; latet corruptela; Dind. post σφισιν asteriscum posuit. — XXVII, 3. δῆλα δὲ — τῷ ἵππῳ. Locus nondum sanus: ἔστι μὴν * * ἀνδρὸς et γίνεσθαι Dind.; δηλοῖ δὲ καὶ ἄλλα, ὅτι μόνον ἀνδρὸς μάγου σοφίᾳ γίνεται τὰ συμβαίνοντα τῷ ἵππῳ Kayser; fortasse: δῆλα δὲ καὶ ἄλλα ἀνδρὸς μάγου σοφίᾳ γενέσθαι καὶ τὰ συμβαίνοντα τῷ ἵππῳ; at ἐς τιμὴν omnes habent codd. praeter AgLb. — 10. Post κατὰ lacunam indicavi cum Dind.; hiare sermonem viderunt Böckh. Bekker. Franzius (Jahrbb. f. wiss. Krit. 1841. p. 220.) Explere lacunam post alios conatur Kayserus. Fortasse ut 2, 28, 7. κατὰ χώραν λείπειν τὸ ἀνάθημα scripsit Pausanias. Sequens καθάρσια, quod om. MLb, circumscripsi, idem probante Kaysero. — 12. Nonne τεῖχος ἢ πόλις?

## Liber VI.

I, 6. Ἐς δὲ τὴν dedi, volentibus Dind. Kayser.; ἐς δὴ τὴν codd. edd. Mox γέγραπται δὲ καὶ ἐπίγραμμα τὰ ἐς τὴν Κυνίσκαν ἔχον? Aliter sentit Kayserus. — II, 1. Pancratiastae Acarnanis nomen lacuna hausit; eius locum occupavit Ξενάρχης, lectionis varietas ad Ξενάργης. — 5. Circumscripsi ὡς cum Vb; expungunt particulam SW. Dind.; pro εἰσι in MVaPcLb est ἐστὶ, in AgLa ἔστι, unde Kayserus Κύπριοι δὲ καὶ ὑσὶν ἐπεξεῦρον ὡς ἔστι μαντεύεσθαι eruit. Nihil placet. — 8. Hoc loco et 6, 12, 6. Αἴπυτος verum nomen esse videtur; Αἴσηπος utroque loco Dind.; cf. Jen. Lit. Zeit. 1846. p. 83. Exemplis ibi prolatis adde 7, 2. n. 45. — III, 3. Λακεδαιμονίων pro Λακεδαιμονίοις restituendum puto, ut v. gr. 1, 3, 4. 8, 27, 8. — 4. καὶ πατρὸς uncis notant Siebel. Bekk. SW., expungit Dind.; at Υἱὸς Πατροκλέος Δαίδαλος ἐργάσατο est in titulo ap. Böckh. II. n. 2984. Πατρὸς Πατροκλέους dictum est ut v. g. §. 6. et 6, 4, 5. 6, 9, 5. — 5. Κρίτιον (Κριτίον) et Κριτίῳ Dind. Comprobari hanc formam inscriptionis auctoritate, et hac ipsa fortasse usum esse artificem nemo facile negaverit; eandem ubique restituendam esse, ubi Κριτίας exhibent libri scripti equidem nego.

Pro παρ' αὐτῷ Κριτίᾳ malim παρὰ τῷ Κριτίᾳ. — 9. δὶς πεντάθλῳ in SW propositum, a Dind. receptum equidem retineo, quum proxime ad literas accedat; contra pugnat Kayser; δὶς ἐνταῦθα codd. et rell. edd. — 10. τὸ πάθημα? Certe μάθημα de ludorum exercitio apud Pausaniam non invenitur. — 12. Καλλιβρότου; cf. Keil Anal. p. 124. n. 1.; Καλλιμβρότου Dind. — 14. δαμοσίᾳ? — IV, 1. Pausaniae usus postulare videtur τοὺς ἐσελθόντας. — 5. ἐπεὶ ἄλλως γε κ. τ. ἕ. cf. Z. f. A. 1850. p. 129 seqq. — 8. δύο omittunt MVaPcAgLab. — 11. ὃς inclusi cum SW Dind.; fortasse τε inserendum est ante τετύχηκεν. — V, 7. κατειλεγμένων μοι? — 8. Malim ἥ τε ὀροφὴ τηνικαῦτα, ut 8, 42, 13. 10, 32, 5 et 7. Suidas in libro suo iam invenit κορυφή. — VI, 4. Καικῖνον scripsi cum Lab; Καικίνην rell. cf. Aelian. V. H. 8, 18. Thucyd. 3, 103. — 11. τοιάδε MVbLb; τοιᾶδε rell. — VII, 1. Pausanias νίκας ἐν παισί dicere solet. — 4. ὑπὸ τριήρων ἁλοὺς; praepositionem omittunt codd., eamque abesse posse exemplis probare conatur Dind., quorum tamen ratio diversa mihi videtur. Hoc certe constat multis aliis in locis ab usu communi non recedere Pausaniam; vide v. g. 1, 9, 6. 1, 15, 2. 1, 22, 6. 2, 2, 5. 2, 22, 6. 3, 26, 8. — VIII, 1. Etiam hoc loco τοὺς ἐσελθόντας Pausanias scripsisse videtur; cf. ad c. 4, 1. — 2. Δεννύτα vel Διννύτα, aeolice, Bergk; Διvύττα, Δενύττα, Διvύτα codd.; deinde τάνδ' scripsi; idem voluit Bergk; τήνδ' edd. codd. — 5. Κριτόδαμος — Δαμοκρίτου, cf. Bergk. Exerc. Plin. I. p. 31. — IX, 1. Αἰγινήταις τισιν codd. et edd. antiquae; Αἰγινήταις τις Siebel. ed. min. Bekk. SW Dind. e coniectura C. O. Mülleri; deinde αὐτὸν εἴη dedi; αὐτὰ ἂν εἴη (i. e. αὐτὰ εἴη, with ὃν written above) codd. Dind.; αὐτὰ εἴη rell. edd. — 4. τρίτη — Ὀλυμπιάδας; sic codd.; lectio vix sana, restauratio dubia. — X, 4. ὁ τοῦ ὅπλου δρόμος scripsi, ut 6, 13, 2.; ὁ τοῦ ὁπλίτου δρόμος codd. edd. cf. 10, 7, 7. Mox post ὁμωνύμῳ addendum, non subintelligendum est τῷ μέν. — 5. εἰδότες ἐκ πατέρων malim; idem sibi placere indicavit mihi Bergk. — XI, 3. τῶν πολιτῶν ἀνήρ τις scripsi, probante Bergkio; τῶν πολλῶν ἀνήρ τις edd. codd. — XII, 4. κρατήσαντες; imo κρατήσαντι. — 6. Αἰγύπτου; cf. ad 6, 2, 8. Quae sequuntur recte esse restaurata nolim affirmare. In codicibus parum subsidii. — 8. Αἰμοστράτου nomen corruptum; fortasse Δαμοστράτου s. Δημοστράτου. Ante εὕρισκον adieci negationem, quam necessariam esse

hoc loco iudicarunt Abresch, Schneider, Facius, Bekker; idem fecerunt Clavier. SW Dind.; negatio, quam ante περιέχει habent codd., e margine in locum alienum irrepsit. Expunxi cum Claviero; circumscribunt Bekker. Dind.; Siebel. et SW eundem sensum assequi sibi videntur post δόγμα distinguendo interrogationis signo. — 9. Τρίτειαν codd.; Τρίταιαν s. Τριταίαν edd.; cf. ad 7, 22, 6. — XIII, 1. τρισὶ — Ὀλυμπιάσι scripsi; cf. 6, 7, 1. et Z. f. A. 1847. p. 294.; τρεῖς — Ὀλυμπίασι edd. codd.; Ὀλυμπιάσι Lb; Ὀλυμπιᾶσι M. — 2. Ἀνάκειται δὲ καὶ ἐν Ὀλυμπίᾳ στήλη scripsi; cf. Z. f. A. 1847. p. 294 seq.; ἀνάκ. δὲ τῇ ἐν Ὀλ. καὶ στήλη codd.; ἀνάκ. δὲ ἐν τῇ Ὀλυμπίᾳ καὶ στήλη edd. Respicit Pausanias locum 3, 14, 3. — 5. Fortasse Ἱππίου τοῦ * * τὸ δὲ ἐπίγραμμα, ita ut patris nomen exciderit. Mox post καιρόν delevi καθ' ὃν cum Bekkero MPcd Lab, lacunamque hoc loco indicavi, post δῆμον Bekker. SW Dind. Tota haec pagina fuit corrupta. — 8. Scripsi τοὺς Νεμέᾳ * * τας. Cf. Z. f. A. 1847. p. 295 seq. Hoc certissimum est, Νεμεάτας (Νεμέατας Lb), quod habent codices et edd. esse corruptum et excidisse Isthmionicas. Ἰσθμιάτας autem non magis probo quam Νεμεάτας. — 11. Agathinus et Telemachus fratres erant; cf. 3, 18, 13. 6, 7, 8. 7, 1, 6. Locus sanus est. — XV, 2. Ὀλίδαν codd.; nomen vix sanum; Ὀλαΐδαν, quod e coniectura dederunt SW, probavitque Dind., ad veram nominis formam accedere, non ipsam restaurare videtur. Scriptum fuit ΟΛΥΜΠΙΑΙΟΛΑΙΔΑΝ i. e. Ὀλυμπίᾳ Ἰολαΐδαν. Cf. 10, 7, 8. — XVI, 8. καὶ τάδε ἐπιλέγουσιν? Mox Σθέννιδος vult Keil Anal. p. 221. et sic 6, 17, 5. habent Lab; cf. Stephan Paris. s. n. Σθέννις; simplici elemento nomen legitur sine varietate Strab. 12, 3, 11. p. 525. Kramer. Plut. Lucull. c. 23. — XVII, 1. Λεωνιδαίου; cf. ad 5, 15, 1. — 8. „Non dubium quin Pausaniae pro Καρμαντίδου reddi debeat Χαρμαντίδου, coll. Suid. v. Γοργίας.“ Keil Analect. p. 208. — 9. Malim ἀλλὰ ἐκείνου γε ἐς πλέον e codicum vestigiis. — XIX, 4. ὑπὸ Μυάνων; literam α hoc loco et 10, 38, 8. a codicibus oblatam expellere nolui; ο vel ω substituunt editiones; cf. Jen. Lit. Zeit. 1846. p. 84. Fortasse segmento seq. scribendum est Μυᾶνες. — 6. ἀνάθημα Μιλτιάδου; cf. Seguier de S. Brisson in Mém. de l'Ac. d. I. et BL. T. XV. p. 140 seq. Erravit Pausanias. — 7. Ποθαίου τέχνη τοῦ Ἀντιφίλου καὶ Μεγακλέους s. Ποθαίου τέχνη καὶ Ἀντιφίλου τῶν Μεγακλέους? — 8. αὗται μὲν scripsi pro αὐται μέν. — XX, 8. ἐπὶ ζημίᾳ ut cap. 23, 4.; ἐπὶ

ζημίας MVab; ἐπὶ ζημίαις (i. e. ζημίᾳ^ς, ι adscripto) AgLab; ἀπὸ ζημίας edd. Mox ἐπὶ τούτων τῷ πέρατι malim. — XXI, 5. ἀπὸ τούτου τὸν ποταμόν (i. e. Λευκυανίαν) Curtius Peloponn. II. p. 108. n. 50. — XXII, 2. Ὀλυμπιάδι μὲν τῇ ὀγδόῃ καὶ εἰκοστῇ Falconer. ad Strab. 5, 14, 5. — 9. Post συνῆν expunxi ἀκολουθῶν cum MPc AgLab; circumscribunt Bekk. Dind. — XXIII, 1. ἐντὸς τείχους? — 2. οἱ Ἑλλανοδίκαι αὐτοὺς dedi; τοὺς edd. codd. Cf. Z. f. A. 1847. p. 298. seq. Curtius Pelop. II. p. 100. n. 25. Possis etiam τοὺς ἀθλητάς. — 8. οὕτω λανθ. Curtius Pelop. II. p. 97.; οὗτοι edd. codd. — XXIV, 3. δεῖ ποιεῖν om. MAgLab; circumscripsi simul cum σφᾶς. — 5. Πύρρωνος τοῦ Πλειστοκράτους Röper in Schneidewin. Philolol. III, 65.

Signo parenthesis rotundo ( ) notavi quae inserenda, uncis [ ] quae delenda aut omnino suspecta viderentur.

# *ΑΤΤΙΚΑ.*

2 I. 1. (Facius, Siebelis.) *Τῆς ἠπείρου τῆς Ἑλληνι-* Bekker
Kuhn *κῆς κατὰ νήσους τὰς Κυκλάδας καὶ πέλαγος τὸ Αἰγαῖον ἄκρα Σούνιον πρόκειται γῆς τῆς Ἀττικῆς· καὶ λιμήν τε παραπλεύσαντι τὴν ἄκραν ἐστί, καὶ ναὸς Ἀθηνᾶς Σουνιάδος ἐπὶ κορυφῇ τῆς ἄκρας. πλέοντι δὲ ἐς τὸ πρόσω Λαύριόν τέ ἐστιν, ἔνθα ποτὲ Ἀθηναίοις ἦν ἀργύρου μέταλλα, καὶ νῆσος ἔρημος οὐ μεγάλη Πατρόκλου καλουμένη· τεῖχος γὰρ ᾠκοδομήσατο ἐν αὐτῇ καὶ χάρακα ἐβάλετο Πάτροκλος, ὃς τριήρεσιν ἐπέπλει ναύαρχος Αἰγυπτίαις, ἃς Πτολεμαῖος ὁ (Πτολεμαίου) τοῦ Λάγου τιμωρεῖν ἔστειλεν Ἀθηναίοις, ὅτε σφίσιν Ἀντίγονος ὁ Δημητρίου στρατιᾷ τε αὐτὸς ἐσβεβληκὼς ἔφθειρε τὴν χώραν καὶ ναυσὶν ἅμα ἐκ θαλάσσης κατεῖργεν. 2. Ὁ* 2
*δὲ Πειραιεὺς δῆμος μὲν ἦν ἐκ παλαιοῦ, πρότερον δὲ*
3 *πρὶν ἢ Θεμιστοκλῆς Ἀθηναίοις ἦρξεν, ἐπίνειον οὐκ ἦν· Φάληρον δέ, ταύτῃ γὰρ ἐλάχιστον ἀπέχει τῆς πόλεως ἡ θάλασσα, τοῦτό σφισιν ἐπίνειον ἦν, καὶ Μενεσθέα φασὶν αὐτόθεν ταῖς ναυσὶν ἐς Τροίαν ἀναχθῆναι, καὶ τούτου πρότερον Θησέα δώσοντα Μίνῳ δίκας τῆς Ἀνδρόγεω τελευτῆς. Θεμιστοκλῆς δὲ ὡς ἦρξε, τοῖς τε γὰρ πλέουσιν ἐπιτηδειότερος ὁ Πειραιεὺς ἐφαίνετό οἱ προκεῖσθαι καὶ λιμένας τρεῖς ἀνθ' ἑνὸς ἔχειν τοῦ Φαληροῖ, τοῦτό σφισιν ἐπίνειον εἶναι κατεσκευάσατο. καὶ νεὼς καὶ ἐς ἐμὲ ἦσαν οἶκοι, καὶ πρὸς τῷ μεγίστῳ λιμένι τάφος Θεμιστοκλέους· φασὶ γὰρ μεταμελῆσαι τῶν ἐς Θεμιστοκλέα Ἀθηναίοις, καὶ ὡς οἱ προσήκοντες τὰ ὀστᾶ κομίσαιεν ἐκ Μαγνησίας ἀνελόντες. φαίνονται δὲ οἱ παῖδες οἱ Θεμιστοκλέους καὶ κατελθόντες καὶ γραφὴν ἐς τὸν Παρθενῶνα ἀναθέντες,*

3 ἐν ᾗ Θεμιστοκλῆς ἐστι γεγραμμένος. 3. Θέας δὲ ἄξιον τῶν ἐν Πειραιεῖ μάλιστα Ἀθηνᾶς ἐστι καὶ Διὸς τέμενος· χαλκοῦ μὲν ἀμφότερα τὰ ἀγάλματα, ἔχει δὲ ὁ μὲν σκῆπτρον καὶ Νίκην, ἡ δὲ Ἀθηνᾶ δόρυ. Ἐνταῦθα Λεωσθένην, ὃς Ἀθηναίοις καὶ τοῖς πᾶσιν Ἕλλησιν ἡγούμενος Μακεδόνας ἔν τε Βοιωτοῖς ἐκράτησε μάχῃ καὶ αὖθις 4
ἔξω Θερμοπυλῶν, καὶ βιασάμενος ἐς Λαμίαν κατέκλεισε τὴν ἀπαντικρὺ τῆς Οἴτης, τοῦτον τὸν Λεωσθένην καὶ τοὺς παῖδας ἔγραψεν Ἀρκεσίλαος. ἔστι δὲ τῆς στοᾶς τῆς μακρᾶς, ἔνθα καθέστηκεν ἀγορὰ τοῖς ἐπὶ θαλάσσης, καὶ γὰρ τοῖς ἀπωτέρω τοῦ λιμένος ἐστὶν ἑτέρα, τῆς δὲ ἐπὶ θαλάσσης στοᾶς ὄπισθεν ἑστᾶσι Ζεὺς καὶ Δῆμος, Λεωχάρους ἔργον. πρὸς δὲ τῇ θαλάσσῃ Κόνων ᾠκοδόμησεν Ἀφροδίτης ἱερόν, τριήρεις Λακεδαιμονίων κατεργασάμενος περὶ Κνίδον τὴν ἐν τῇ Καρικῇ χερρονήσῳ. Κνίδιοι γὰρ τιμῶσιν Ἀφροδίτην μάλιστα, καί σφισιν ἔστιν ἱερὰ τῆς θεοῦ· τὸ μὲν γὰρ ἀρχαιότατον Δωρίτιδος, μετὰ δὲ τὸ Ἀκραίας, νεώτατον δὲ ἣν Κνιδίαν οἱ πολλοί, Κνίδιοι δὲ αὐτοὶ καλοῦσιν Εὔπλοιαν.

4 4. Ἔστι δὲ καὶ ἄλλος Ἀθηναίοις ὁ μὲν ἐπὶ Μουνυχίᾳ λιμήν, καὶ Μουνυχίας ναὸς Ἀρτέμιδος, ὁ δὲ ἐπὶ Φαλήρῳ, καθὰ καὶ πρότερον εἴρηταί μοι, καὶ πρὸς αὐτῷ Δήμητρος ἱερόν. ἐνταῦθα καὶ Σκιράδος Ἀθηνᾶς ναός ἐστι καὶ Διὸς ἀπωτέρω, βωμοὶ δὲ θεῶν τε ὀνομαζομένων ἀγνώστων καὶ ἡρώων καὶ παίδων τῶν Θησέως καὶ Φαλήρου· τοῦτον γὰρ τὸν Φάληρον Ἀθηναῖοι πλεῦσαι μετὰ Ἰάσονός φασιν ἐς Κόλχους. ἔστι δὲ καὶ Ἀνδρόγεω βωμὸς τοῦ Μίνω, καλεῖται δὲ ἥρωος· Ἀνδρόγεω δὲ ὄντα ἴσασιν οἷς ἐστιν
5 ἐπιμελὲς τὰ ἐγχώρια σαφέστερον ἄλλων ἐπίστασθαι. Ἀπέ- 5
χει δὲ σταδίους εἴκοσιν ἄκρα Κωλιάς· ἐς ταύτην φθαρέντος τοῦ ναυτικοῦ τοῦ Μήδων κατήνεγκεν ὁ κλύδων τὰ ναυάγια. Κωλιάδος δέ ἐστιν ἐνταῦθα Ἀφροδίτης ἄγαλμα

καὶ Γενετυλλίδες ὀνομαζόμεναι θεαί. δοκῶ δὲ καὶ Φωκαεῦσι τοῖς ἐν Ἰωνίᾳ θεὰς ἃς καλοῦσι Γενναΐδας εἶναι ταῖς ἐπὶ Κωλιάδι τὰς αὐτάς. Ἔστι δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς Ἀθήνας ἐκ Φαλήρου ναὸς Ἥρας οὔτε θύρας ἔχων οὔτε ὄροφον· Μαρδόνιόν φασιν αὐτὸν ἐμπρῆσαι τὸν Γωβρύου. τὸ δὲ ἄγαλμα τὸ νῦν δή, καθὰ λέγουσιν, Ἀλκαμένους ἐστὶν ἔργον. οὐκ ἂν τοῦτό γε ὁ Μῆδος εἴη λελωβημένος.

II. Ἐσελθόντων δὲ ἐς τὴν πόλιν ἐστὶν Ἀντιόπης μνῆμα Ἀμαζόνος. ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι, Τροιζηνίῳ δὲ Ἡγίᾳ τοιάδε ἐς αὐτὴν πεποίηται· Ἡρακλέα Θεμίσκυραν πολιορκοῦντα τὴν ἐπὶ Θερμώδοντι ἑλεῖν μὴ δύνασθαι, Θησέως δὲ ἐρασθεῖσαν Ἀντιόπην, στρατεῦσαι γὰρ ἅμα Ἡρακλεῖ καὶ Θησέα, παραδοῦναι τὸ χωρίον. τάδε μὲν Ἡγίας πεποίηκεν· Ἀθηναῖοι δέ φασιν, ἐπεί τε ἦλθον Ἀμαζόνες Ἀντιόπην μὲν ὑπὸ Μολπαδίας τοξευθῆναι, Μολπαδίαν δὲ ἀποθανεῖν ὑπὸ Θησέως. καὶ μνῆμά ἐστι καὶ Μολπαδίας Ἀθη-
6 ναίοις. 2. Ἀνιόντων δὲ ἐκ Πειραιῶς ἐρείπια τῶν τει- 2
χῶν ἐστίν, ἃ Κόνων ὕστερον τῆς πρὸς Κνίδῳ ναυμαχίας ἀνέστησε· τὰ γὰρ Θεμιστοκλέους μετὰ τὴν ἀναχώρησιν οἰκοδομηθέντα τὴν Μήδων ἐπὶ τῆς ἀρχῆς καθῃρέθη τῶν τριάκοντα ὀνομαζομένων. εἰσὶ δὲ τάφοι κατὰ τὴν ὁδὸν γνωριμώτατοι Μενάνδρου τοῦ Διοπείθους καὶ μνῆμα Εὐριπίδου κενόν. τέθαπται δὲ Εὐριπίδης ἐν Μακεδονίᾳ παρὰ τὸν βασιλέα ἐλθὼν Ἀρχέλαον· ὁ δέ οἱ τοῦ θανάτου τρόπος, πολλοῖς γάρ ἐστιν εἰρημένος, ἐχέτω καθὰ λέ-
γουσιν. 3. Συνῆσαν δὲ ἄρα καὶ τότε τοῖς βασιλεῦσι 3
ποιηταί, καὶ πρότερον ἔτι καὶ Πολυκράτει Σάμου τυραννοῦντι Ἀνακρέων παρῆν καὶ ἐς Συρακούσας πρὸς Ἱέρωνα Αἰσχύλος καὶ Σιμωνίδης ἐστάλησαν· Διονυσίῳ δέ, ὃς ὕστερον ἐτυράννησεν ἐν Σικελίᾳ, Φιλόξενος παρῆν, καὶ Ἀντιγόνῳ Μακεδόνων ἄρχοντι Ἀνταγόρας Ῥό-

διος καὶ Σολεὺς Ἄρατος. Ἡσίοδος δὲ καὶ Ὅμηρος ἢ συγγενέσθαι βασιλεῦσιν ἠτύχησαν ἢ καὶ ἑκόντες ὠλιγώρησαν, ὁ μὲν ἀγροικίᾳ καὶ ὄκνῳ πλάνης, Ὅμηρος δὲ ἀποδημήσας ἐπὶ μακρότατον καὶ τὴν ὠφέλειαν τὴν ἐς χρήματα παρὰ τῶν δυνατῶν ὑστέραν θέμενος τῆς παρὰ τοῖς πολλοῖς δόξης, ἐπεὶ καὶ Ὁμήρῳ πεποιημένα ἐστὶν Ἀλκίνῳ παρεῖναι Δημόδοκον, καὶ ὡς Ἀγαμέμνων καταλείποι τινὰ παρὰ τῇ γυναικὶ ποιητήν. Ἔστι δὲ τάφος οὐ πόρρω τῶν πυλῶν, ἐπίθημα ἔχων στρατιώτην ἵππῳ παρεστηκότα· ὅντινα μὲν οὐκ οἶδα, Πραξιτέλης δὲ καὶ τὸν ἵππον καὶ τὸν στρατιώτην ἐποίησεν.

4 4. Ἐσελθόντων δὲ ἐς τὴν πόλιν οἰκοδόμημα ἐς παρασκευήν ἐστι τῶν πομπῶν, ἃς πέμπουσι τὰς μὲν ἀνὰ πᾶν ἔτος, τὰς δὲ καὶ χρόνον διαλείποντες. καὶ πλησίον ναός ἐστι Δήμητρος, ἀγάλματα δὲ αὐτή τε καὶ ἡ παῖς καὶ δᾷδα ἔχων Ἴακχος· γέγραπται δὲ ἐπὶ τῷ τοίχῳ γράμμασιν Ἀττικοῖς ἔργα εἶναι Πραξιτέλους. τοῦ ναοῦ δὲ οὐ πόρρω Ποσειδῶν ἐστιν ἐφ' ἵππου, δόρυ ἀφιεὶς ἐπὶ γίγαντα Πολυβώτην, ἐς ὃν Κῴοις ὁ μῦθος περὶ τῆς ἄκρας ἔχει τῆς Χελώνης· τὸ δὲ ἐπίγραμμα τὸ ἐφ' ἡμῶν τὴν εἰκόνα ἄλλῳ δίδωσι καὶ οὐ Ποσειδῶνι. Στοαὶ δέ εἰσιν ἀπὸ τῶν πυλῶν ἐς τὸν Κεραμεικόν, καὶ εἰκόνες πρὸ αὐτῶν χαλ-
5 καῖ καὶ γυναικῶν καὶ ἀνδρῶν, ὅσοις τι ὑπῆρχεν [ὧν τις 7
λόγος] ἐς δόξαν. ἡ δὲ ἑτέρα τῶν στοῶν ἔχει μὲν ἱερὰ θεῶν, ἔχει δὲ γυμνάσιον Ἑρμοῦ καλούμενον· ἔστι δὲ ἐν αὐτῇ Πουλυτίωνος οἰκία, καθ' ἣν παρὰ τὴν Ἐλευσῖνι δρᾶσαι τελετὴν Ἀθηναίων φασὶν οὐ τοὺς ἀφανεστάτους· ἐπ' ἐμοῦ δὲ ἀνεῖτο Διονύσῳ. Διόνυσον δὲ τοῦτον καλοῦσι Μελπόμενον ἐπὶ λόγῳ τοιῷδε ἐφ' ὁποίῳ περ Ἀπόλλωνα Μουσηγέτην. Ἐνταῦθά ἐστιν Ἀθηνᾶς ἄγαλμα Παιωνίας καὶ Διὸς καὶ Μνημοσύνης καὶ Μουσῶν, Ἀπόλλων τε ἀνάθημα καὶ ἔργον Εὐβουλίδου, καὶ

δαίμων τῶν ἀμφὶ Διόνυσον Ἄκρατος· πρόσωπόν ἐστίν
οἱ μόνον ἐνῳκοδομημένον τοίχῳ. μετὰ δὲ τὸ τοῦ Διονύ-
σου τέμενός ἐστιν οἴκημα ἀγάλματα ἔχον ἐκ πηλοῦ, βα-
σιλεὺς Ἀθηναίων Ἀμφικτυὼν ἄλλους τε θεοὺς ἑστιῶν
καὶ Διόνυσον. ἐνταῦθα καὶ Πήγασός ἐστιν Ἐλευθερεύς,
ὃς Ἀθηναίοις τὸν θεὸν ἐσήγαγε· συνεπελάβετο δέ οἱ τὸ
ἐν Δελφοῖς μαντεῖον ἀναμνῆσαν τὴν ἐπὶ Ἰκαρίου ποτὲ
ἐπιδημίαν τοῦ θεοῦ. 5. Τὴν δὲ βασιλείαν Ἀμφικτυὼν 6
ἔσχεν οὕτως. Ἀκταῖον λέγουσιν ἐν τῇ νῦν Ἀττικῇ βασι-
λεῦσαι πρῶτον· ἀποθανόντος δὲ Ἀκταίου Κέκροψ ἐκ-
δέχεται τὴν ἀρχὴν θυγατρὶ συνοικῶν Ἀκταίου, καί οἱ
γίνονται θυγατέρες μὲν Ἕρση καὶ Ἄγλαυρος καὶ Πάν-
δροσος, υἱὸς δὲ Ἐρυσίχθων. οὗτος οὐκ ἐβασίλευσεν
Ἀθηναίων, ἀλλά οἱ τοῦ πατρὸς ζῶντος τελευτῆσαι συν-
έβη, καὶ τὴν ἀρχὴν τὴν Κέκροπος Κραναὸς ἐξεδέξατο,
Ἀθηναίων δυνάμει προύχων. Κραναῷ δὲ θυγατέρας καὶ
ἄλλας καὶ Ἀτθίδα γενέσθαι λέγουσιν· ἀπὸ ταύτης ὀνο-
μάζουσιν Ἀττικὴν τὴν χώραν, πρότερον καλουμένην
Ἀκταίαν. Κρανῷ δὲ Ἀμφικτυὼν ἐπαναστάς, θυγατέρα
8 ὅμως ἔχων αὐτοῦ, παύει τῆς ἀρχῆς· καὶ αὐτὸς ὕστερον
ὑπὸ Ἐριχθονίου καὶ τῶν συνεπαναστάντων ἐκπίπτει.
πατέρα δὲ Ἐριχθονίῳ λέγουσιν ἀνθρώπων μὲν οὐδένα
εἶναι, γονέας δὲ Ἥφαιστον καὶ Γῆν.

III. Τὸ δὲ χωρίον ὁ Κεραμεικὸς τὸ μὲν ὄνομα ἔχει
ἀπὸ ἥρωος Κεράμου, Διονύσου τε εἶναι καὶ Ἀριάδνης
καὶ τούτου λεγομένου· πρώτη δέ ἐστιν ἐν δεξιᾷ καλου-
μένη στοὰ βασίλειος, ἔνθα καθίζει βασιλεὺς ἐνιαυσίαν
ἄρχων ἀρχήν, καλουμένην βασιλείαν. ταύτης ἔπεστι τῷ
κεράμῳ τῆς στοᾶς ἀγάλματα ὀπτῆς γῆς, ἀφιεὶς Θησεὺς
ἐς θάλασσαν Σκείρωνα καὶ φέρουσα Ἡμέρα Κέφαλον,
ὃν κάλλιστον γενόμενόν φασιν ὑπὸ Ἡμέρας ἐρασθείσης
ἁρπασθῆναι, καί οἱ παῖδα γενέσθαι Φαέθοντα *** καὶ

φύλακα ἐποίησε τοῦ ναοῦ. ταῦτα ἄλλοι τε καὶ Ἡσίοδος
2 εἴρηκεν ἐν ἔπεσι τοῖς ἐς τὰς γυναῖκας. Πλησίον δὲ τῆς στοᾶς Κόνων ἕστηκε καὶ Τιμόθεος υἱὸς Κόνωνος, καὶ βασιλεὺς Κυπρίων Εὐαγόρας, ὃς καὶ τὰς τριήρεις τὰς Φοινίσσας ἔπραξε παρὰ βασιλέως Ἀρταξέρξου δοθῆναι Κόνωνι· ἔπραξε δὲ ὡς Ἀθηναῖος καὶ τὸ ἀνέκαθεν ἐκ Σαλαμῖνος, ἐπεὶ καὶ γενεαλογῶν ἐς προγόνους ἀνέβαινε Τεῦκρον καὶ Κινύρου θυγατέρα. Ἐνταῦθα ἕστηκε Ζεὺς ὀνομαζόμενος Ἐλευθέριος, καὶ βασιλεὺς Ἀδριανὸς ἐς ἄλλους τε ὧν ἦρχεν εὐεργεσίας καὶ ἐς τὴν πόλιν μάλιστα
3 ἀποδειξάμενος τὴν Ἀθηναίων. 2. Στοὰ δὲ ὄπισθεν ᾠκοδόμηται γραφὰς ἔχουσα θεοὺς τοὺς δώδεκα καλουμένους. ἐπὶ δὲ τῷ τοίχῳ τῷ πέραν Θησεύς ἐστι γεγραμμένος καὶ Δημοκρατία τε καὶ Δῆμος· δηλοῖ δὲ ἡ γραφὴ 9
Θησέα εἶναι τὸν καταστήσαντα Ἀθηναίοις ἐξ ἴσου πολιτεύεσθαι. κεχώρηκε δὲ φήμη καὶ ἄλλως ἐς τοὺς πολλοὺς ὡς Θησεὺς παραδοίη τὰ πράγματα τῷ δήμῳ, καὶ ὡς ἐξ ἐκείνου δημοκρατούμενοι διαμείναιεν, πρὶν ἢ Πεισίστρατος ἐτυράννησεν ἐπαναστάς. Λέγεται μὲν δὴ καὶ ἄλλα οὐκ ἀληθῆ παρὰ τοῖς πολλοῖς οἷα ἱστορίας ἀνηκόοις οὖσι καὶ ὁπόσα ἤκουον εὐθὺς ἐκ παίδων ἔν τε χοροῖς καὶ τραγῳδίαις πιστὰ ἡγουμένοις, λέγεται δὲ καὶ ἐς τὸν Θησέα ὡς αὐτός τε ἐβασίλευσε, καὶ ὕστερον Μενεσθέως τελευτήσαντος καὶ ἐς τετάρτην οἱ Θησεῖδαι γενεὰν διέμειναν ἄρχοντες. εἰ δέ μοι γενεαλογεῖν ἤρεσκε, καὶ τοὺς ἀπὸ Μελάνθου βασιλεύσαντας ἐς Κλείδικον τὸν Αἰσιμίδου καὶ τούτους ἂν ἀπηριθμησάμην.

4 3. Ἐνταῦθά ἐστι γεγραμμένον καὶ τὸ περὶ Μαντίνειαν Ἀθηναίων ἔργον, οἳ βοηθήσοντες Λακεδαιμονίοις ἐπέμφθησαν. συνέγραψαν δὲ ἄλλοι τε καὶ Ξενοφῶν τὸν πάντα πόλεμον, κατάληψίν τε τῆς Καδμείας καὶ τὸ πταῖσμα Λακεδαιμονίων τὸ ἐν Λεύκτροις, καὶ ὡς ἐς Πελοπόννη-

σον ἐσέβαλον Βοιωτοὶ καὶ τὴν συμμαχίαν Λακεδαιμονίοις τὴν παρ' Ἀθηναίων ἐλθοῦσαν. ἐν δὲ τῇ γραφῇ τῶν ἱππέων ἐστὶ μάχη, ἐν ᾗ γνωριμώτατοι Γρύλος τε ὁ Ξενοφῶντος ἐν τοῖς Ἀθηναίοις, καὶ κατὰ τὴν ἵππον τὴν Βοιωτίαν Ἐπαμεινώνδας ὁ Θηβαῖος. ταύτας τὰς γραφὰς Εὐφράνωρ ἔγραψεν Ἀθηναίοις, καὶ πλησίον ἐποίησεν ἐν τῷ ναῷ τὸν Ἀπόλλωνα Πατρῷον ἐπίκλησιν. πρὸ δὲ τοῦ νεὼ τὸν μὲν Λεωχάρης, ὃν δὲ καλοῦσιν Ἀλεξίκακον, Κάλαμις ἐποίησε. τὸ δὲ ὄνομα τῷ θεῷ γενέσθαι λέγουσιν, ὅτι τὴν λοιμώδη σφίσι νόσον ὁμοῦ τῷ Πελοποννησίων πολέμῳ πιέζουσαν κατὰ μάντευμα ἔπαυσεν ἐκ Δελφῶν.

4. Ὠικοδόμηται δὲ καὶ Μητρὸς θεῶν ἱερόν, ἣν Φειδίας εἰργάσατο, καὶ πλησίον τῶν πεντακοσίων καλουμένων βουλευτήριον, οἳ βουλεύουσιν ἐνιαυτὸν Ἀθηναίοις· Βουλαίου δὲ ἐν αὐτῷ κεῖται ξόανον Διός, καὶ Ἀπόλλων τέχνη Πεισίου, καὶ Δῆμος ἔργον Λύσωνος. τοὺς δὲ θεσμοθέτας ἔγραψε Πρωτογένης Καύνιος, Ὀλβιάδης δὲ Κάλλιππον, ὃς Ἀθηναίους ἐς Θερμοπύλας ἤγαγε φυλάξοντας τὴν ἐς τὴν Ἑλλάδα Γαλατῶν ἐσβολήν.

IV. Οἱ δὲ Γαλάται οὗτοι νέμονται τῆς Εὐρώπης τὰ ἔσχατα, ἐπὶ θαλάσσῃ πολλῇ καὶ ἐς τὰ πέρατα οὐ πλωΐμῳ· παρέχεται δὲ ἄμπωτιν καὶ ῥαχίαν καὶ θηρία οὐδὲν ἐοικότα τοῖς ἐν θαλάσσῃ τῇ λοιπῇ· καί σφισι διὰ τῆς χώρας ῥεῖ ποταμὸς Ἠριδανός, ἐφ' ᾧ τὰς θυγατέρας τὰς Ἡλίου ὀδύρεσθαι νομίζουσι τὸ περὶ τὸν Φαέθοντα τὸν ἀδελφὸν πάθος. ὀψὲ δέ ποτε αὐτοὺς καλεῖσθαι Γαλάτας ἐξενίκησεν· Κελτοὶ γὰρ κατά τε σφᾶς τὸ ἀρχαῖον καὶ παρὰ τοῖς ἄλλοις ὠνομάζοντο. Συλλεγεῖσα δέ σφισι στρατιὰ τρέπεται τὴν ἐπὶ Ἰονίου, καὶ τό τε Ἰλλυριῶν ἔθνος καὶ πᾶν ὅσον ἄχρι Μακεδόνων ᾤκει καὶ Μακεδόνας αὐτοὺς ἀναστάτους ἐποίησε, Θεσσαλίαν τε ἐπέδραμε. καὶ ὡς ἐγγὺς Θερμοπυλῶν ἐγίνοντο, ἐνταῦθα οἱ πολλοὶ τῶν Ἑλλήνων

ἐς τὴν ἔφοδον ἡσύχαζον τῶν βαρβάρων, ἅτε ὑπὸ Ἀλε-
ξάνδρου μεγάλως καὶ Φιλίππου κακωθέντες πρότερον·
καθεῖλε δὲ καὶ Ἀντίπατρος καὶ Κάσσανδρος ὕστερον τὸ
Ἑλληνικόν, ὥστε ἕκαστοι δι' ἀσθένειαν οὐδὲν αἰσχρὸν
2 ἐνόμιζον ἀπεῖναι τὸ κατὰ σφᾶς τῆς βοηθείας. 2. Ἀθη-
ναῖοι δὲ μάλιστα μὲν τῶν Ἑλλήνων ἀπειρήκεσαν μήκει
τοῦ Μακεδονικοῦ πολέμου καὶ προσπταίοντες τὰ πολλὰ
ἐν ταῖς μάχαις, ἐξιέναι δὲ ὅμως ὥρμηντο ἐς τὰς Θερμο-
πύλας σὺν τοῖς ἐθέλουσι τῶν Ἑλλήνων, ἑλόμενοι σφίσι
τὸν Κάλλιππον τοῦτον ἡγεῖσθαι. Καταλαβόντες δὲ ᾗ
στενώτατον ἦν, τῆς ἐσόδου τῆς ἐς τὴν Ἑλλάδα εἶργον 11
τοὺς βαρβάρους. ἀνευρόντες δὲ οἱ Κελτοὶ τὴν ἀτραπὸν
ἣν καὶ Μήδοις ποτὲ Ἐφιάλτης ἡγήσατο ὁ Τραχίνιος, καὶ
βιασάμενοι Φωκέων τοὺς τεταγμένους ἐπ' αὐτῇ, λανθά-
3 νουσι τοὺς Ἕλληνας ὑπερβαλόντες τὴν Οἴτην. 3. Ἔνθα
δὴ πλείστου παρέσχοντο αὑτοὺς Ἀθηναῖοι τοῖς Ἕλλησιν
ἀξίους, ἀμφοτέρωθεν, ὡς ἐκυκλώθησαν, ἀμυνόμενοι
τοὺς βαρβάρους. οἱ δέ σφισιν ἐπὶ τῶν νεῶν μάλιστα ἐτα-
λαιπώρουν, ἅτε τοῦ κόλπου τοῦ Λαμιακοῦ τέλματος πρὸς
ταῖς Θερμοπύλαις ὄντος· αἴτιον δέ, ἐμοὶ δοκεῖν, τὸ ὕδωρ
ταύτῃ τὸ θερμὸν ἐκρέον ἐς τὴν θάλασσαν. μείζονα οὖν
εἶχον οὗτοι πόνον· ἀναλαβόντες γὰρ ἐπὶ τὰ καταστρώ-
ματα τοὺς Ἕλληνας ναυσὶν ὑπό τε ὅπλων βαρείαις καὶ
4 ἀνδρῶν ἐβιάζοντο κατὰ τοῦ πηλοῦ πλεῖν. 4. Οὗτοι μὲν
δὴ τοὺς Ἕλληνας τρόπον τὸν εἰρημένον ἔσωζον, οἱ δὲ
Γαλάται Πυλῶν τε ἐντὸς ἦσαν, καὶ τὰ πολίσματα ἑλεῖν
ἐν οὐδενὶ τὰ λοιπὰ ποιησάμενοι Δελφοὺς καὶ τὰ χρήματα
τοῦ θεοῦ διαρπάσαι μάλιστα εἶχον σπουδήν. Καί σφισιν
αὐτοί τε Δελφοὶ καὶ Φωκέων ἀντετάχθησαν οἱ τὰς πόλεις
περὶ τὸν Παρνασσὸν οἰκοῦντες. ἀφίκετο δὲ καὶ δύναμις
Αἰτωλῶν· τὸ γὰρ Αἰτωλικὸν προεῖχεν ἀκμῇ νεότητος
τὸν χρόνον τοῦτον. Ὡς δὲ ἐς χεῖρας συνῄεσαν, ἐνταῦθα

κεραυνοί τε ἐφέροντο ἐς τοὺς Γαλάτας καὶ ἀπορραγεῖσαι
πέτραι τοῦ Παρνασοῦ, δείματά τε ἄνδρες ἐφίσταντο
ὁπλῖται τοῖς βαρβάροις. τούτων τοὺς μὲν ἐξ Ὑπερβο-
ρέων λέγουσιν ἐλθεῖν, Ὑπέροχον καὶ Ἀμάδοκον, τὸν δὲ
τρίτον Πύρρον εἶναι τὸν Ἀχιλλέως· ἐναγίζουσι δὲ ἀπὸ
ταύτης Δελφοὶ τῆς συμμαχίας Πύρρῳ, πρότερον ἔχοντες
ἅτε ἀνδρὸς πολεμίου καὶ τὸ μνῆμα ἐν ἀτιμίᾳ. 5. Γαλατῶν 5
δὲ οἱ πολλοὶ ναυσὶν ἐς τὴν Ἀσίαν διαβάντες τὰ παραθα-
λάσσια αὐτῆς ἐλεηλάτουν. χρόνῳ δὲ ὕστερον οἱ Πέργα-
12 μον ἔχοντες, πάλαι δὲ Τευθρανίαν καλουμένην, ἐς ταύ-
την Γαλάτας ἐλαύνουσιν ἀπὸ θαλάσσης. οὗτοι μὲν δὴ
τὴν ἐκτὸς Σαγγαρίου χώραν ἔσχον, Ἄγκυραν πόλιν ἑλόν-
τες Φρυγῶν, ἣν Μίδας ὁ Γορδίου πρότερον ᾤκισεν.
ἄγκυρα δέ, ἣν ὁ Μίδας ἀνεῦρεν, ἦν ἔτι καὶ ἐς ἐμὲ ἐν ἱερῷ
Διός, καὶ κρήνη Μίδου καλουμένη· ταύτην οἴνῳ κερά-
σαι Μίδαν φασὶν ἐπὶ τὴν θήραν τοῦ Σιληνοῦ. ταύτην τε
δὴ τὴν Ἄγκυραν εἷλον καὶ Πεσινοῦντα ὑπὸ τὸ ὄρος ***
τὴν Ἄγδιστιν, ἔνθα καὶ τὸν Ἄττην τεθάφθαι λέγουσι.
6. Περγαμηνοῖς δὲ ἔστι μὲν σκῦλα ἀπὸ Γαλατῶν, ἔστι δὲ 6
γραφὴ τὸ ἔργον τὸ πρὸς Γαλάτας ἔχουσα. ἣν δὲ νέμονται
οἱ Περγαμηνοί, Καβείρων ἱεράν φασιν εἶναι τὸ ἀρχαῖον·
αὐτοὶ δὲ Ἀρκάδες ἐθέλουσιν εἶναι τῶν ὁμοῦ Τηλέφῳ
διαβάντων ἐς τὴν Ἀσίαν. πολέμων δὲ τῶν μὲν ἄλλων,
εἰ δή τινας ἐπολέμησαν, οὐκ ἐς ἅπαντας κεχώρηκεν ἡ
φήμη· τρία δὲ γνωριμώτατα ἐξείργασταί σφισι, τῆς τε
Ἀσίας ἀρχὴ τῆς κάτω, καὶ ἡ Γαλατῶν ἀπ' αὐτῆς ἀναχώ-
ρησις, καὶ τὸ ἐς τοὺς σὺν Ἀγαμέμνονι Τηλέφου τόλμη-
μα, ὅτε Ἕλληνες ἁμαρτόντες Ἰλίου τὸ πεδίον ἐλεηλά-
τουν τὸ Μύσιον ὡς γῆν [τὴν] Τρῳάδα. ἐπάνειμι δὲ ἐς
τὴν ἀρχὴν ὅθεν ἐξέβην τοῦ λόγου.

V. Τοῦ βουλευτηρίου τῶν πεντακοσίων πλησίον
Θόλος ἐστὶ καλουμένη, καὶ θύουσί τε ἐνταῦθα οἱ πρυ-

τάνεις καί τινα καὶ ἀργύρου πεποιημένα ἐστὶν ἀγάλματα οὐ μεγάλα. ἀνωτέρω δὲ ἀνδριάντες ἑστήκασιν ἡρώων, ἀφ' ὧν Ἀθηναίοις ὕστερον τὰ ὀνόματα ἔσχον αἱ φυλαί. Ὅστις δὲ κατεστήσατο δέκα ἀντὶ τεσσάρων φυλὰς εἶναι καὶ μετέθετό σφισι τὰ ὀνόματα ἀντὶ τῶν ἀρχαίων, Ἡρο-
2 δότῳ καὶ ταῦτά ἐστιν εἰρημένα. 2. Τῶν δὲ ἐπωνύμων, καλοῦσι γὰρ οὕτω σφᾶς, ἔστι μὲν Ἱπποθόων Ποσειδῶνος 13
καὶ Ἀλόπης θυγατρὸς Κερκύονος, ἔστι δὲ Ἀντίοχος τῶν παίδων τῶν Ἡρακλέους, γενόμενος ἐκ Μήδας Ἡρακλεῖ τῆς Φύλαντος, καὶ τρίτος Αἴας ὁ Τελαμῶνος, ἐκ δὲ Ἀθηναίων Λεώς· δοῦναι δὲ ἐπὶ σωτηρίᾳ λέγεται κοινῇ τὰς θυγατέρας τοῦ θεοῦ χρήσαντος. Ἐρεχθεύς τέ ἐστιν ἐν τοῖς ἐπωνύμοις, ὃς ἐνίκησεν Ἐλευσινίους μάχῃ καὶ τὸν ἡγούμενον ἀπέκτεινεν Ἰμμάραδον τὸν Εὐμόλπου. Αἰγεύς τέ ἐστι καὶ Οἰνεὺς Πανδίονος υἱὸς νόθος, καὶ τῶν
3 Θησέως παίδων Ἀκάμας. 3. Κέκροπα δὲ καὶ Πανδίονα, εἶδον γὰρ καὶ τούτων ἐν τοῖς ἐπωνύμοις εἰκόνας, οὐκ οἶδα οὓς ἄγουσιν ἐν τιμῇ· πρότερός τε γὰρ ἦρξε Κέκροψ, ὃς τὴν Ἀκταίου θυγατέρα ἔσχηκεν ὕστερον καὶ δή γε μετῴκησεν ἐς Εὔβοιαν, Ἐρεχθέως υἱὸς τοῦ Πανδίονος τοῦ Ἐριχθονίου. καὶ δὴ καὶ Πανδίων ἐβασίλευσεν ὁ τοῦ Ἐριχθονίου καὶ ὁ Κέκροπος τοῦ δευτέρου. τοῦτον Μητιονίδαι τῆς ἀρχῆς ἐξελαύνουσι καί οἱ φυγόντι ἐς Μέγαρα, θυγατέρα γὰρ εἶχε Πύλα τοῦ βασιλεύσαντος ἐν Μεγάροις, συνεκπίπτουσιν οἱ παῖδες. καὶ Πανδίονα μὲν αὐτοῦ λέγεται νοσήσαντα ἀποθανεῖν, καί οἱ πρὸς θαλάσσῃ μνῆμά ἐστιν ἐν τῇ Μεγαρίδι ἐν Ἀθηνᾶς Αἰθυίας
4 καλουμένῳ σκοπέλῳ· 4. οἱ δὲ παῖδες κατίασί τε ἐκ τῶν Μεγάρων ἐκβαλόντες Μητιονίδας, καὶ τὴν ἀρχὴν τῶν Ἀθηναίων Αἰγεὺς πρεσβύτατος ὢν ἔσχεν. Θυγατέρας δὲ οὐ σὺν ἀγαθῷ δαίμονι ἔθρεψεν ὁ Πανδίων, οὐδέ οἱ τιμωροὶ παῖδες ἀπ' αὐτῶν ἐλείφθησαν· καίτοι δυνάμεώς

γε ἕνεκα πρὸς τὸν Θρᾷκα τὸ κῆδος ἐποιήσατο. ἀλλ᾽ οὐδεὶς πόρος ἐστὶν ἀνθρώπῳ παραβῆναι τὸ καθῆκον ἐκ τοῦ
14 θεοῦ. λέγουσιν ὡς Τηρεὺς συνοικῶν Πρόκνῃ Φιλομήλαν ᾔσχυνεν, οὐ κατὰ νόμον δράσας τὸν Ἑλλήνων, καὶ τὸ σῶμα ἔτι λωβησάμενος τῇ παιδὶ ἠγαγεν ἐς ἀνάγκην δίκης τὰς γυναῖκας. Πανδίονι δὲ καὶ ἄλλος ἀνδριάς ἐστιν ἐν ἀκροπόλει θέας ἄξιος. 5. Οἵδε μέν εἰσιν Ἀθηναίοις 5
ἐπώνυμοι τῶν ἀρχαίων· ὕστερον δὲ καὶ ἀπὸ τῶνδε φυλὰς ἔχουσιν, Ἀττάλου τοῦ Μυσοῦ καὶ Πτολεμαίου τοῦ Αἰγυπτίου καὶ κατ᾽ ἐμὲ ἤδη βασιλέως Ἀδριανοῦ, τῆς τε ἐς τὸ θεῖον τιμῆς ἐπὶ πλεῖστον ἐλθόντος καὶ τῶν ἀρχομένων ἐς εὐδαιμονίαν τὰ μέγιστα ἑκάστοις παρασχομένου. καὶ ἐς μὲν πόλεμον οὐδένα ἑκούσιος κατέστη, Ἑβραίους δὲ τοὺς ὑπὲρ Σύρων ἐχειρώσατο ἀποστάντας· ὁπόσα δὲ θεῶν ἱερὰ τὰ μὲν ᾠκοδόμησεν ἐξ ἀρχῆς, τὰ δὲ καὶ ἐπεκόσμησεν ἀναθήμασι καὶ κατασκευαῖς, ἢ δωρεὰς πόλεσιν ἔδωκεν Ἑλληνίσι, τὰς δὲ καὶ τῶν βαρβάρων τοῖς δεηθεῖσιν, ἔστιν οἱ πάντα γεγραμμένα Ἀθήνησιν ἐν τῷ κοινῷ τῶν θεῶν ἱερῷ.

VI. Τὰ δὲ ἐς Ἄτταλον καὶ Πτολεμαῖον ἡλικίᾳ τε ἦν ἀρχαιότερα, ὡς μὴ μένειν ἔτι τὴν φήμην αὐτῶν, καὶ οἱ συγγενόμενοι τοῖς βασιλεῦσιν ἐπὶ συγγραφῇ τῶν ἔργων καὶ πρότερον ἔτι ἠμελήθησαν. τούτων ἕνεκά μοι καὶ τὰ τῶνδε ἐπῆλθε δηλῶσαι ἔργα τε ὁποῖα ἔπραξαν, καὶ ὡς ἐς τοὺς πατέρας αὐτῶν περιεχώρησεν Αἰγύπτου καὶ ἡ Μυσῶν καὶ τῶν προσοίκων ἀρχή. 2. Πτολεμαῖον Μακεδόνες 2
15 Φιλίππου παῖδα εἶναι τοῦ Ἀμύντου, λόγῳ δὲ Λάγου νομίζουσι· τὴν γάρ οἱ μητέρα ἔχουσαν ἐν γαστρὶ δοθῆναι γυναῖκα ὑπὸ Φιλίππου Λάγῳ. Πτολεμαῖον δὲ λέγουσιν ἄλλα τε ἐν τῇ Ἀσίᾳ λαμπρὰ ἀποδείξασθαι, καὶ Ἀλεξάνδρῳ κινδύνου ξυμβάντος ἐν Ὀξυδράκαις μάλιστά οἱ τῶν ἑταίρων ἀμῦναι. τελευτήσαντος δὲ Ἀλεξάνδρου τοῖς ἐς

Ἀριδαῖον τὸν Φιλίππου τὴν πᾶσαν ἄγουσιν ἀρχὴν ἀντι-
στὰς αὐτὸς μάλιστα ἐγένετο ἐς τὰς βασιλείας αἴτιος τὰ
3 ἔθνη νεμηθῆναι. 3. αὐτὸς δὲ ἐς Αἴγυπτον διαβὰς Κλεο-
μένην τε ἀπέκτεινεν, ὃν σατραπεύειν Αἰγύπτου κατέ-
στησεν Ἀλέξανδρος, Περδίκκᾳ νομίζων εὔνουν καὶ δι'
αὐτὸ οὐ πιστὸν αὑτῷ, καὶ Μακεδόνων τοὺς ταχθέντας
τὸν Ἀλεξάνδρου νεκρὸν ἐς Αἰγὰς κομίζειν ἀνέπεισεν αὑ-
τῷ παραδοῦναι. καὶ τὸν μὲν νόμῳ τῷ Μακεδόνων ἔθα-
πτεν ἐν Μέμφει, οἷα δὲ ἐπιστάμενος πολεμήσοντα Περ-
δίκκαν, Αἴγυπτον εἶχεν ἐν φυλακῇ. Περδίκκας δὲ ἐς μὲν
τὸ εὐπρεπὲς τῆς στρατείας ἐπήγετο Ἀριδαῖον τὸν Φιλίπ-
που καὶ παῖδα Ἀλέξανδρον ἐκ Ῥωξάνης τῆς Ὀξυάρτου
γεγονότα καὶ Ἀλεξάνδρου, τῷ δὲ ἔργῳ Πτολεμαῖον ἐπε-
βούλευεν ἀφελέσθαι τὴν ἐν Αἰγύπτῳ βασιλείαν. Ἐξω-
σθεὶς δὲ Αἰγύπτου καὶ τὰ ἐς πόλεμον ἔτι οὐχ ὁμοίως
θαυμαζόμενος, διαβεβλημένος δὲ καὶ ἄλλως ἐς τοὺς Μα-
4 κεδόνας, ἀπέθανεν ὑπὸ τῶν σωματοφυλάκων. 4. Πτολε-
μαῖον δὲ αὐτίκα ἐς τὰ πράγματα ὁ Περδίκκου θάνατος
ἐπέστησε· καὶ τοῦτο μὲν Σύρους καὶ Φοινίκην εἷλε,
τοῦτο δὲ ἐκπεσόντα ὑπὸ Ἀντιγόνου καὶ φεύγοντα ὑπε-
δέξατο Σέλευκον τὸν Ἀντιόχου, καὶ αὐτὸς παρεσκευά-
ζετο ὡς ἀμυνούμενος Ἀντίγονον. καὶ Κάσσανδρον τὸν
Ἀντιπάτρου καὶ Λυσίμαχον βασιλεύοντα ἐν Θρᾴκῃ μετα- 16
σχεῖν ἔπεισε τοῦ πολέμου, φυγὴν λέγων τὴν Σελεύκου
καὶ τὸν Ἀντίγονον φοβερόν σφισιν εἶναι πᾶσιν αὐξη-
5 θέντα. 5. Ἀντίγονος δὲ τέως μὲν ἦν ἐν παρασκευῇ πολέ-
μου καὶ τὸν κίνδυνον οὐ παντάπασιν ἐθάρρει. ἐπεὶ δὲ ἐς
Λιβύην ἐπύθετο στρατεύειν Πτολεμαῖον ἀφεστηκότων
Κυρηναίων, αὐτίκα Σύρους καὶ Φοίνικας εἷλεν ἐξ ἐπι-
δρομῆς, παραδοὺς δὲ Δημητρίῳ τῷ παιδί, ἡλικίαν μὲν
νέῳ, φρονεῖν δὲ ἤδη δοκοῦντι, καταβαίνει ἐπὶ τὸν Ἑλ-
λήσποντον. πρὶν δὲ ἢ καταβῆναι πάλιν ἦγεν ὀπίσω τὴν

στρατιάν, Δημήτριον ἀκούων ὑπὸ Πτολεμαίου μάχῃ κε-
κρατῆσθαι. Δημήτριος δὲ οὔτε παντάπασιν ἐξειστήκει
Πτολεμαίῳ τῆς χώρας, καί τινας τῶν Αἰγυπτίων λοχή-
σας διέφθειρεν οὐ πολλούς. τότε δὲ ἥκοντα Ἀντίγονον
οὐχ ὑπομείνας Πτολεμαῖος ἀνεχώρησεν ἐς Αἴγυπτον.
6. Διελθόντος δὲ τοῦ χειμῶνος Δημήτριος πλεύσας ἐς 6
Κύπρον Μενέλαον σατράπην Πτολεμαίου ναυμαχίᾳ καὶ
αὖθις αὐτὸν Πτολεμαῖον ἐπιδιαβάντα ἐνίκησε. φυγόντα
δὲ αὐτὸν ἐς Αἴγυπτον Ἀντίγονός τε κατὰ γῆν καὶ ναυ-
σὶν ἅμα ἐπολιόρκει καὶ Δημήτριος. Πτολεμαῖος δὲ ἐς
πᾶν ἀφικόμενος κινδύνου διέσωσεν ὅμως τὴν ἀρχὴν
στρατιᾷ τε ἀντικαθήμενος ἐπὶ Πηλουσίῳ καὶ τριήρεσιν
ἀμυνόμενος ἅμα ἐκ τοῦ ποταμοῦ. Ἀντίγονος δὲ Αἴ-
γυπτον μὲν αἱρήσειν ἐκ τῶν παρόντων οὐδεμίαν ἔτι εἶ-
χεν ἐλπίδα, Δημήτριον δὲ ἐπὶ Ῥοδίους στρατιᾷ πολλῇ
καὶ ναυσὶν ἔστειλεν, ὡς, εἴ οἱ προσγένοιτο ἡ νῆσος, ὁρ-
μητηρίῳ χρήσεσθαι πρὸς τοὺς Αἰγυπτίους ἐλπίζων. Ἀλ-
λὰ αὐτοί τε οἱ Ῥόδιοι τολμήματα καὶ ἐπιτεχνήσεις παρέ-
σχοντο ἐς τοὺς πολιορκοῦντας, καὶ Πτολεμαῖός σφισιν ἐς
ὅσον δυνάμεως ἧκε συνήρατο ἐς τὸν πόλεμον. 7. Ἀντί- 7
γονος δὲ Ῥόδου τε ἁμαρτὼν καὶ Αἰγύπτου πρότερον, οὐ
πολλῷ τούτων ὕστερον ἀντιτάξασθαι Λυσιμάχῳ τολμή-
σας καὶ Κασσάνδρῳ τε καὶ τῇ Σελεύκου στρατιᾷ, τῆς δυ-
17 νάμεως ἀπώλεσε τὸ πολὺ καὶ αὐτὸς ἀπέθανε ταλαιπω-
ρήσας μάλιστα τῷ μήκει τοῦ πρὸς Εὐμένη πολέμου. Τῶν
δὲ βασιλέων τῶν καθελόντων Ἀντίγονον ἀνοσιώτατον
κρίνω γενέσθαι Κάσσανδρον, ὃς δι' Ἀντιγόνου τὴν Μα-
κεδόνων ἀρχὴν ἀνασωσάμενος πολεμήσων ἦλθεν ἐπ' ἄν-
δρα εὐεργέτην. 8. Ἀποθανόντος δὲ Ἀντιγόνου Πτολε- 8
μαῖος Σύρους τε αὖθις καὶ Κύπρον εἷλε, κατήγαγε δὲ
καὶ Πύρρον ἐς τὴν Θεσπρωτίδα ἤπειρον. Κυρήνης δὲ
ἀποστάσης, Μάγας Βερενίκης υἱὸς Πτολεμαίῳ τότε συν-

οἰκούσης ἔτει πέμπτῳ μετὰ τὴν ἀπόστασιν εἷλε Κυρήνην. Εἰ δὲ ὁ Πτολεμαῖος οὗτος ἀληθεῖ λόγῳ Φιλίππου τοῦ Ἀμύντου παῖς ἦν, ἴστω τὸ ἐπιμανὲς ἐς τὰς γυναῖκας κατὰ τὸν πατέρα κεκτημένος, ὃς Εὐρυδίκῃ τῇ Ἀντιπάτρου συνοικῶν ὄντων οἱ παίδων, Βερενίκης ἐς ἔρωτα ἦλθεν, ἣν Ἀντίπατρος Εὐρυδίκῃ συνέπεμψεν ἐς Αἴγυπτον. ταύτης τῆς γυναικὸς ἐρασθεὶς παῖδας ἐξ αὐτῆς ἐποιήσατο, καὶ ὡς ἦν οἱ πλησίον ἡ τελευτή, Πτολεμαῖον ἀπέλιπεν Αἰγύπτου βασιλεύειν, ἀφ᾽ οὗ καὶ Ἀθηναίοις ἐστὶν ἡ φυλή, γεγονότα ἐκ Βερενίκης ἀλλ᾽ οὐκ ἐκ τῆς Ἀντιπάτρου θυγατρός.

VII. Οὗτος ὁ Πτολεμαῖος Ἀρσινόης ἀδελφῆς ἀμφοτέρωθεν ἐρασθεὶς ἔγημεν αὐτήν, Μακεδόσιν οὐδαμῶς ποιῶν νομιζόμενα, Αἰγυπτίοις μέντοι ὧν ἦρχεν. δεύτερα δὲ ἀδελφὸν ἀπέκτεινεν Ἀργαῖον ἐπιβουλεύοντα, ὡς λέγεται. καὶ τὸν Ἀλεξάνδρου νεκρὸν οὗτος ὁ καταγαγὼν ἦν ἐκ Μέμφιδος. Ἀπέκτεινε δὲ καὶ ἄλλον ἀδελφὸν γεγονότα ἐξ Εὐρυδίκης, Κυπρίους ἀφιστάντα αἰσθόμενος. Μάγας δὲ ἀδελφὸς ὁμομήτριος Πτολεμαίου παρὰ Βερενίκης τῆς μητρὸς ἀξιωθεὶς ἐπιτροπεύειν Κυρήνην, ἐγε- 16
γόνει δὲ ἐκ Φιλίππου τῇ Βερενίκῃ Μακεδόνος μέν, ἄλλως δὲ ἀγνώστου καὶ ἑνὸς τοῦ δήμου, τότε δὴ οὗτος ὁ Μάγας ἀποστήσας Πτολεμαίου Κυρηναίους ἤλαυνεν ἐπ᾽
2 Αἴγυπτον. 2. Καὶ Πτολεμαῖος μὲν τὴν ἐσβολὴν φραξάμενος ἐπέμενεν ἐπιόντας Κυρηναίους, Μάγᾳ δὲ ἀπαγγέλλεται καθ᾽ ὁδὸν ἀφεστηκέναι Μαρμαρίδας· εἰσὶ δὲ Λιβύων οἱ Μαρμαρίδαι τῶν νομάδων. καὶ τότε μὲν ἐς Κυρήνην ἀπηλλάσσετο· Πτολεμαῖον δὲ ὡρμημένον διώκειν αἰτία τοιάδε ἐπέσχεν. ἡνίκα παρεσκευάζετο ἐπιόντα ἀμύνεσθαι Μάγαν, ξένους ἐπηγάγετο καὶ ἄλλους καὶ Γαλάτας ἐς τετρακισχιλίους· τούτους λαβὼν ἐπιβουλεύοντας κατασχεῖν Αἴγυπτον, ἀνήγαγε σφᾶς ἐς νῆσον ἔρημον

διὰ τοῦ ποταμοῦ. καὶ οἱ μὲν ἐνταῦθα ἀπώλοντο ὑπό τε ἀλλήλων καὶ τοῦ λιμοῦ. 3. Μάγας δὲ ἤδη γυναῖκα ἔχων 3
Ἀπάμην Ἀντιόχου τοῦ Σελεύκου θυγατέρα, ἔπεισεν Ἀντίοχον παραβάντα ἃς ὁ πατήρ οἱ Σέλευκος ἐποιήσατο συνθήκας πρὸς Πτολεμαῖον, ἐλαύνειν ἐπ' Αἴγυπτον. Ὡρμημένου δὲ Ἀντιόχου στρατεύειν, Πτολεμαῖος διέπεμψεν ἐς ἅπαντας ὧν ἦρχεν Ἀντίοχος, τοῖς μὲν ἀσθενεστέροις λῃστὰς κατατρέχειν τὴν γῆν, οἳ δὲ ἦσαν δυνατώτεροι στρατιᾷ κατεῖργεν, ὥστε Ἀντιόχῳ μήποτε ἐγγενέσθαι στρατεύειν ἐπ' Αἴγυπτον. οὗτος ὁ Πτολεμαῖος καὶ πρότερον εἴρηταί μοι ὡς ναυτικὸν ἔστειλεν ἐς τὴν Ἀθηναίων συμμαχίαν ἐπ' Ἀντίγονον καὶ Μακεδόνας· ἀλλὰ γὰρ ἀπ' αὐτοῦ οὐδὲν μέγα ἐγένετο ἐς σωτηρίαν Ἀθηναίοις. οἱ δέ οἱ παῖδες ἐγένοντο ἐξ Ἀρσινόης οὐ τῆς
19 ἀδελφῆς, Λυσιμάχου δὲ θυγατρός· τὴν δέ οἱ συνοικήσασαν ἀδελφὴν κατέλαβεν ἔτι πρότερον ἀποθανεῖν ἄπαιδα, καὶ νομός ἐστιν ἀπ' αὐτῆς Ἀρσινοΐτης Αἰγυπτίοις.

**VIII.** Ἀπαιτεῖ δὲ ὁ λόγος δηλῶσαι καὶ τὰ ἐς Ἄτταλον ἔχοντα, ὅτι καὶ οὗτος τῶν ἐπωνύμων ἐστὶν Ἀθηναίοις. ἀνὴρ Μακεδὼν Δόκιμος ὄνομα, στρατηγὸς Ἀντιγόνου, Λυσιμάχῳ παραδοὺς ὕστερον αὑτὸν καὶ τὰ χρήματα, Φιλέταιρον Παφλαγόνα εἶχεν εὐνοῦχον. ὅσα μὲν δὴ Φιλεταίρῳ πεπραγμένα ἐς τὴν ἀπόστασίν ἐστι τὴν ἀπὸ Λυσιμάχου, καὶ ὡς Σέλευκον ἐπηγάγετο, ἔσται μοι τῶν ἐς Λυσίμαχον παρενθήκη· 2. ὁ δὲ Ἄτταλος Ἀττάλου μὲν παῖς ὤν, ἀδελφιδοῦς δὲ Φιλεταίρου, τὴν ἀρχὴν Εὐμένους παραδόντος ἔσχεν ἀνεψιοῦ. Μέγιστον δέ ἐστίν οἱ τῶν ἔργων· Γαλάτας γὰρ ἐς τὴν γῆν, ἣν ἔτι καὶ νῦν ἔχουσιν, ἀναφυγεῖν ἠνάγκασεν ἀπὸ θαλάσσης.

3. Μετὰ δὲ τὰς εἰκόνας τῶν ἐπωνύμων ἐστὶν ἀγάλ- 2
ματα θεῶν, Ἀμφιάραος καὶ Εἰρήνη φέρουσα Πλοῦτον παῖδα. Ἐνταῦθα Λυκοῦργός τε κεῖται χαλκοῦς ὁ Λυκό-

φρονος καὶ Καλλίας, ὃς πρὸς Ἀρταξέρξην τὸν Ξέρξου
τοῖς Ἕλλησιν, ὡς Ἀθηναίων οἱ πολλοὶ λέγουσιν, ἔπραξε
τὴν εἰρήνην. 4. ἔστι δὲ καὶ Δημοσθένης, ὃν ἐς Καλαυ-
ρίαν Ἀθηναῖοι τὴν πρὸ Τροιζῆνος νῆσον ἠνάγκασαν
ἀποχωρῆσαι, δεξάμενοι δὲ ὕστερον διώκουσιν αὖθις
3 μετὰ τὴν ἐν Λαμίᾳ πληγήν. Δημοσθένης δὲ ὡς τὸ δεύ-
τερον ἔφυγε, περαιοῦται καὶ τότε ἐς τὴν Καλαυρίαν,
ἔνθα δὴ πιὼν φάρμακον ἐτελεύτησεν· φυγάδα τε Ἕλ- 2
ληνα μόνον τοῦτον Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐκ ἀνή-
γαγεν Ἀρχίας. ὁ δὲ Ἀρχίας οὗτος Θούριος ὢν ἔργον
ἤρατο ἀνόσιον· ὅσοι Μακεδόσιν ἔπραξαν ἐναντία πρὶν
ἢ τοῖς Ἕλλησι τὸ πταῖσμα ἐν Θεσσαλίᾳ γενέσθαι, τούτους
ἦγεν Ἀρχίας Ἀντιπάτρῳ δώσοντας δίκην. Δημοσθένει
μὲν ἡ πρὸς Ἀθηναίους ἄγαν εὔνοια ἐς τοῦτο ἐχώρησεν·
εὖ δέ μοι λελέχθαι δοκεῖ ἄνδρα ἀφειδῶς ἐκπεσόντα ἐς
πολιτείαν καὶ πιστὰ ἡγησάμενον τὰ τοῦ δήμου μήποτε
καλῶς τελευτῆσαι.

4 5. Τῆς δὲ τοῦ Δημοσθένους εἰκόνος πλησίον Ἄρεώς
ἐστιν ἱερόν, ἔνθα ἀγάλματα δύο μὲν Ἀφροδίτης κεῖται,
τὸ δὲ τοῦ Ἄρεως ἐποίησεν Ἀλκαμένης, τὴν δὲ Ἀθηνᾶν
ἀνὴρ Πάριος, ὄνομα δὲ αὐτῷ Λόκρος. ἐνταῦθα καὶ
Ἐνυοῦς ἄγαλμά ἐστιν, ἐποίησαν δὲ οἱ παῖδες οἱ Πραξιτέ-
λους. Περὶ δὲ τὸν ναὸν ἑστᾶσιν Ἡρακλῆς καὶ Θησεὺς καὶ
Ἀπόλλων ἀναδούμενος ταινίᾳ τὴν κόμην· ἀνδριάντες δὲ
Καλάδης Ἀθηναίοις, ὡς λέγεται, νόμους γράψας, καὶ
Πίνδαρος ἄλλα τε εὑρόμενος παρὰ Ἀθηναίων καὶ τὴν εἰ-
5 κόνα, ὅτι σφᾶς ἐπήνεσεν ᾆσμα ποιήσας. οὐ πόρρω δὲ
ἑστᾶσιν Ἁρμόδιος καὶ Ἀριστογείτων οἱ κτείναντες Ἵπ-
παρχον· αἰτία δὲ ἥτις ἐγένετο, καὶ τὸ ἔργον ὅντινα τρό-
πον ἔπραξαν, ἑτέροις ἐστὶν εἰρημένα. τῶν δὲ ἀνδριάν-
των οἱ μέν εἰσι Κριτίου τέχνη, τοὺς δὲ ἀρχαίους ἐποίησεν
Ἀντήνωρ. Ξέρξου δέ, ὡς εἷλεν Ἀθήνας ἐκλιπόντων τὸ

ἄστυ Ἀθηναίων, ἀπαγαγομένου καὶ τούτους ἅτε λάφυρα, κατέπεμψεν ὕστερον Ἀθηναίοις Ἀντίοχος.

6. Τοῦ θεάτρου δὲ ὃ καλοῦσιν Ὠιδεῖον, ἀνδριάντες 6
πρὸ τῆς ἐσόδου βασιλέων εἰσὶν Αἰγυπτίων. ὀνόματα μὲν δὴ κατὰ τὰ αὐτὰ Πτολεμαῖοί σφισιν, ἄλλη δὲ ἐπίκλησις
21 ἄλλῳ· καὶ γὰρ Φιλομήτορα καλοῦσι, καὶ Φιλάδελφον ἕτερον, τὸν δὲ τοῦ Λάγου Σωτῆρα, παραδόντων Ῥοδίων τὸ ὄνομα. τῶν δὲ ἄλλων ὁ μὲν Φιλάδελφός ἐστιν οὗ καὶ πρότερον μνήμην ἐν τοῖς ἐπωνύμοις ἐποιησάμην· πλησίον δέ οἱ καὶ Ἀρσινόης τῆς ἀδελφῆς ἐστὶν εἰκών.

IX. Ὁ δὲ Φιλομήτωρ καλούμενος ὄγδοος μέν ἐστιν ἀπόγονος Πτολεμαίου τοῦ Λάγου, τὴν δὲ ἐπίκλησιν ἔσχεν ἐπὶ χλευασμῷ· οὐ γάρ τινα τῶν βασιλέων μισηθέντα *
ἴσμεν ἐς τοσόνδε ὑπὸ μητρός· ὃν πρεσβύτατον ὄντα τῶν παίδων ἡ μήτηρ οὐκ εἴα καλεῖν ἐπὶ τὴν ἀρχήν, πρότερον δὲ ἐς Κύπρον ὑπὸ τοῦ πατρὸς πεμφθῆναι πράξασα. Τῆς δὲ ἐς τὸν παῖδα τῇ Κλεοπάτρᾳ δυσνοίας λέγουσιν ἄλλας τε αἰτίας καὶ ὅτι Ἀλέξανδρον τὸν νεώτερον τῶν παίδων κατήκοον ἔσεσθαι μᾶλλον ἤλπιζε. 2. Καὶ διὰ τοῦτο ἑλέσθαι βασιλέα Ἀλέξανδρον ἔπειθεν Αἰγυπτίους. ἐναν- 2
τιουμένου δέ οἱ τοῦ πλήθους, δευτερα ἐς τὴν Κύπρον ἔστειλεν Ἀλέξανδρον, στρατηγὸν μὲν τῷ λόγῳ, τῷ δὲ ἔργῳ δι' αὐτοῦ Πτολεμαίῳ θέλουσα εἶναι φοβερωτέρα. τέλος δὲ κατατρώσασα οὓς μάλιστα τῶν εὐνούχων ἐνόμιζεν εὔνους, ἐπήγετο σφᾶς ἐς τὸ πλῆθος ὡς αὐτή τε ἐπιβουλευθεῖσα ὑπὸ Πτολεμαίου καὶ τοὺς εὐνούχους τοιαῦτα ὑπ' ἐκείνου παθόντας. Οἱ δὲ Ἀλεξανδρεῖς ὥρμησαν μὲν ὡς ἀποκτενοῦντες τὸν Πτολεμαῖον, ὡς δὲ σφᾶς ἔφθασεν ἐπιβὰς νεώς, Ἀλέξανδρον ἥκοντα ἐκ Κύπρου ποιοῦνται βασιλέα. 3. Κλεοπάτραν δὲ περιῆλθεν ἡ δίκη 3
τῆς Πτολεμαίου φυγῆς ἀποθανοῦσαν ὑπὸ Ἀλεξάνδρου, ὃν αὐτὴ βασιλεύειν ἔπραξεν Αἰγυπτίων. τοῦ δὲ ἔργου

φωραθέντος καὶ Ἀλεξάνδρου φόβῳ τῶν πολιτῶν φεύγοντος, οὕτω Πτολεμαῖος κατῆλθε καὶ τὸ δεύτερον ἔσχεν Αἴγυπτον, καὶ Θηβαίοις ἐπολέμησεν ἀποστᾶσι, παραστησάμενος δὲ ἔτει τρίτῳ μετὰ τὴν ἀπόστασιν ἐκάκωσεν, ὡς μηδὲ ὑπόμνημα λειφθῆναι Θηβαίοις τῆς ποτὲ εὐδαιμονίας προελθούσης ἐς τοσοῦτον ὡς ὑπερβαλέσθαι πλούτῳ τοὺς Ἑλλήνων πολυχρημάτους, τό τε ἱερὸν τὸ ἐν Δελφοῖς καὶ Ὀρχομενίους. Πτολεμαῖον μὲν οὖν ὀλίγῳ τούτων ὕστερον ἐπέλαβε μοῖρα ἡ καθήκουσα· Ἀθηναῖοι δὲ ὑπ' αὐτοῦ παθόντες εὖ πολλά τε καὶ οὐκ ἄξια ἐξηγήσεως χαλκοῦν καὶ αὐτὸν καὶ Βερενίκην ἔθηκαν, ἣ μόνη
4 γνησία οἱ τῶν παίδων ἦν. 4. μετὰ δὲ τοὺς Αἰγυπτίους Φίλιππός τε καὶ Ἀλέξανδρος ὁ Φιλίππου κεῖνται· τούτοις μείζονα ὑπῆρχέ πως ἢ ἄλλου πάρεργα εἶναι λόγου. τοῖς μὲν οὖν ἀπ' Αἰγύπτου τιμῇ τε ἀληθεῖ καὶ εὐεργέταις οὖσι γεγόνασιν αἱ δωρεαί, Φιλίππῳ δὲ καὶ Ἀλεξάνδρῳ κολακείᾳ μᾶλλον ἐς αὐτοὺς τοῦ πλήθους, ἐπεὶ καὶ Λυσίμαχον οὐκ εὐνοίᾳ τοσοῦτον ὡς ἐς τὰ παρόντα χρήσιμον νομίζοντες ἀνέθηκαν.

5 5. Ὁ δὲ Λυσίμαχος οὗτος γένος τε ἦν Μακεδὼν καὶ Ἀλεξάνδρου δορυφόρος, ὃν Ἀλέξανδρός ποτε ὑπ' ὀργῆς λέοντι ὁμοῦ καθείρξας ἐς οἴκημα κεκρατηκότα εὗρε τοῦ θηρίου. τά τε οὖν ἄλλα ἤδη διετέλει θαυμάζων καὶ Μακεδόνων ὁμοίως τοῖς ἀρίστοις ἦγεν ἐν τιμῇ. τελευτήσαντος δὲ Ἀλεξάνδρου Θρᾳκῶν ἐβασίλευεν ὁ Λυσίμαχος τῶν προσοίκων Μακεδόσιν, ὅσων ἦρχεν Ἀλέξανδρος καὶ ἔτι πρότερον Φίλιππος· 6. εἴεν δ' ἂν οὗτοι τοῦ Θρᾳκίου μοῖρα οὐ μεγάλη. Θρᾳκῶν δὲ τῶν πάντων οὐδένες πλείους εἰσὶ τῶν ἀνθρώπων, ὅτι μὴ Κελτοί, πρὸς ἄλλο ἔθνος ἓν ἀντεξετάζοντι· καὶ διὰ τοῦτο οὐδείς πω πρότερος Θρᾷκας Ῥωμαίων κατεστρέψατο ἀθρόους. Ῥωμαίοις δὲ Θρᾴκη τε πᾶσά ἐστιν ὑποχείριος, καὶ Κελτῶν ὅσον

μὲν ἀχρεῖον νομίζουσι διά τε ὑπερβάλλον ψῦχος καὶ γῆς
φαυλότητα ἑκουσίως παρῶπταί σφισι, τὰ δὲ ἀξιόκτητα
ἔχουσι καὶ τούτων. 7. τότε δὲ ὁ Λυσίμαχος πρώτοις τῶν 6
περιοίκων ἐπολέμησεν Ὀδρύσαις, δεύτερα δὲ ἐπὶ Δρομι-
23 χαίτην καὶ Γέτας ἐστράτευσεν. Οἷα δὲ ἀνδράσι συμβα-
λὼν οὐκ ἀπείροις πολέμων, ἀριθμῷ δὲ καὶ πολὺ ὑπερβε-
βληκόσιν, αὐτὸς μὲν ἐς τὸ ἔσχατον ἐλθὼν κινδύνου διέ-
φυγεν, ὁ δέ οἱ παῖς Ἀγαθοκλῆς συστρατευόμενος τότε
πρῶτον ὑπὸ τῶν Γετῶν ἑάλω. Λυσίμαχος δὲ καὶ ὕστερον
προσπταίσας μάχαις καὶ τὴν ἅλωσιν τοῦ παιδὸς οὐκ ἐν
παρέργῳ ποιούμενος, συνέθετο πρὸς Δρομιχαίτην εἰρή-
νην, τῆς τε ἀρχῆς τῆς αὑτοῦ τὰ πέραν Ἴστρου παρεὶς τῷ
Γέτῃ καὶ θυγατέρα συνοικίσας ἀνάγκῃ τὸ πλέον. Οἱ δὲ
οὐκ Ἀγαθοκλέα, Λυσίμαχον δὲ αὐτὸν ἁλῶναι λέγουσιν,
ἀνασωθῆναι δὲ Ἀγαθοκλέους τὰ πρὸς τὸν Γέτην ὑπὲρ
αὐτοῦ πράξαντος. ὡς δὲ ἐπανῆλθεν, Ἀγαθοκλεῖ Λυσάν-
δραν γυναῖκα ἠγάγετο, Πτολεμαίου τε τοῦ Λάγου καὶ
Εὐρυδίκης οὖσαν. 8. Διέβη δὲ καὶ ναυσὶν ἐπὶ τὴν Ἀσίαν 7
καὶ τὴν ἀρχὴν τὴν Ἀντιγόνου συγκαθεῖλε. συνῴκισε δὲ
καὶ Ἐφεσίων ἄχρι θαλάσσης τὴν νῦν πόλιν, ἐπαγαγόμε-
νος ἐς αὐτὴν Λεβεδίους τε οἰκήτορας καὶ Κολοφωνίους,
τὰς δὲ ἐκείνων ἀνελὼν πόλεις, ὡς Φοίνικα ἰάμβων ποιη-
τὴν Κολοφωνίων θρηνῆσαι τὴν ἅλωσιν. Ἑρμησιάναξ δὲ
ὁ τὰ ἐλεγεῖα γράψας οὐκέτι, ἐμοὶ δοκεῖν, περιῆν· πάν-
τως γάρ που καὶ αὐτὸς ἂν ἐπὶ ἁλούσῃ Κολοφῶνι ὠδύ-
ρατο. 9. Λυσίμαχος δὲ καὶ ἐς πόλεμον πρὸς Πύρρον κατ-
έστη τὸν Αἰακίδου. φυλάξας δὲ ἐξ Ἠπείρου ἀπιόντα, οἷα
δὴ τὰ πολλὰ ἐκεῖνος ἐπλανᾶτο, τήν τε ἄλλην ἐλεηλάτησεν
Ἤπειρον καὶ ἐπὶ τὰς θήκας ἦλθε τῶν βασιλέων. 10. Τὰ 8
δὲ ἐντεῦθεν ἐμοί ἐστιν οὐ πιστά, Ἱερώνυμος δὲ ἔγραψε
Καρδιανὸς Λυσίμαχον τὰς θήκας τῶν νεκρῶν ἀνελόντα
τὰ ὀστᾶ ἐκρῖψαι. Ὁ δὲ Ἱερώνυμος οὗτος ἔχει μὲν καὶ ἄλ-

λως δόξαν πρὸς ἀπέχθειαν γράψαι τῶν βασιλέων πλὴ Ἀντιγόνου, τούτῳ δὲ οὐ δικαίως χαρίζεσθαι· τὰ δὲ ἐπ τοῖς τάφοις τῶν Ἠπειρωτῶν παντάπασίν ἐστι φανερὸ ἐπηρείᾳ συνθείς, ἄνδρα Μακεδόνα θήκας νεκρῶν ἀνελεῖν. χωρὶς δὲ ἠπίστατο δή που καὶ Λυσίμαχος οὐ Πύρρου σφᾶς προγόνους μόνον ἀλλὰ καὶ Ἀλεξάνδρου τοὺς αὐτοὺς τούτους ὄντας· καὶ γὰρ Ἀλέξανδρος Ἠπειρώτης τε ἦν καὶ τῶν Αἰακιδῶν τὰ πρὸς μητρός. ἥ τε ὕστερον Πύρρου πρὸς Λυσίμαχον συμμαχία δηλοῖ καὶ πολεμήσασιν ἀδιάλλακτόν γε οὐδὲν πρὸς ἀλλήλους γενέσθαι σφίσι. τῷ δὲ Ἱερωνύμῳ τάχα μέν που καὶ ἄλλα ἦν ἐς Λυσίμαχον ἐγκλήματα, μέγιστον δὲ ὅτι τὴν Καρδιανῶν πόλιν ἀνελὼν Λυσιμαχίαν ἀντ' αὐτῆς ᾤκισεν ἐπὶ τῷ ἰσθμῷ τῆς Θρᾳκίας χερρονήσου.

X. Λυσιμάχῳ δὲ ἐπὶ μὲν Ἀριδαίου βασιλεύοντος καὶ ὕστερον Κασσάνδρου καὶ τῶν παίδων φιλία διέμεινε πρὸς Μακεδόνας· περιελθούσης δὲ ἐς Δημήτριον τὸν Ἀντιγόνου τῆς ἀρχῆς, ἐνταῦθα ἤδη Λυσίμαχος πολεμήσεσθαι ἤλπιζεν ὑπὸ Δημητρίου καὶ αὐτὸς ἄρχειν ἠξίου πολέμου, πατρῷον ἐπιστάμενος ὂν Δημητρίῳ προσπεριβάλλεσθαί τι ἐθέλειν, καὶ ἅμα ὁρῶν αὐτὸν παρελθόντα ἐς Μακεδονίαν μετάπεμπτον ὑπὸ Ἀλεξάνδρου τοῦ Κασσάνδρου, ὡς δὲ ἀφίκετο, αὐτόν τε Ἀλέξανδρον φονεύσαντα καὶ ἔχοντα ἀντ' ἐκείνου τὴν Μακεδόνων ἀρχήν.
2 2. Τούτων ἕνεκα Δημητρίῳ συμβαλὼν πρὸς Ἀμφιπόλει παρ' ὀλίγον μὲν ἦλθεν ἐκπεσεῖν Θρᾴκης, ἀμύναντος δέ οἱ Πύρρου τήν τε Θρᾴκην κατέσχε καὶ ὕστερον ἐπῆρξε Νεστίων [καὶ] Μακεδόνων. τὸ δὲ πολὺ Μακεδονίας αὐτὸς Πύρρος κατεῖχε, δυνάμει τε ἥκων ἐξ Ἠπείρου καὶ πρὸς Λυσίμαχον ἐν τῷ παρόντι ἔχων ἐπιτηδείως. Δημητρίου δὲ διαβάντος ἐς τὴν Ἀσίαν καὶ Σελεύκῳ πολεμοῦντος, ὅσον μὲν χρόνον ἀντεῖχε τὰ Δημητρίου διέμει-

νεν ἡ Πύρρου καὶ Λυσιμάχου συμμαχία, γενομένου δὲ
ἐπὶ Σελεύκῳ Δημητρίου Λυσιμάχῳ καὶ Πύρρῳ διελύθη
ἡ φιλία, καὶ καταστάντων ἐς πόλεμον Λυσίμαχος Ἀντι-
γόνῳ τε τῷ Δημητρίου καὶ αὐτῷ Πύρρῳ πολεμήσας ἐκρά-
τησε παρὰ πολύ, καὶ Μακεδονίαν ἔσχεν ἀναχωρῆσαι
Πύρρον βιασάμενος ἐς τὴν Ἤπειρον. 3. Εἰώθασι δὲ ἀν- 3
25 θρώποις φύεσθαι δι' ἔρωτα πολλαὶ συμφοραί. Λυσίμα-
χος γὰρ ἡλικίᾳ τε ἤδη προήκων, καὶ ἐς τοὺς παῖδας αὐτός
τε νομιζόμενος εὐδαίμων καὶ Ἀγαθοκλεῖ παίδων ὄντων
ἐκ Λυσάνδρας, Ἀρσινόην ἔγημεν ἀδελφὴν Λυσάνδρας.
ταύτην τὴν Ἀρσινόην φοβουμένην ἐπὶ τοῖς παισί, μὴ
Λυσιμάχου τελευτήσαντος ἐπ' Ἀγαθοκλεῖ γένωνται,
τούτων ἕνεκα Ἀγαθοκλεῖ ἐπιβουλεῦσαι λέγεται. ἤδη δὲ
ἔγραψαν καὶ ὡς Ἀγαθοκλέους ἀφίκοιτο ἐς ἔρωτα ἡ Ἀρ-
σινόη, ἀποτυγχάνουσα δὲ ἐπὶ τῷ *** βουλεῦσαι λέγου-
σιν Ἀγαθοκλεῖ θάνατον. λέγουσι δὲ καὶ ὡς Λυσίμαχος
αἴσθοιτο ὕστερον τὰ τολμηθέντα ὑπὸ τῆς γυναικός, εἶ-
ναι δὲ οὐδὲν ἔτι οἱ πλέον ἠρημωμένῳ φίλων ἐς τὸ ἔσχα-
τον. 4. Ὡς γὰρ δὴ τότε ὁ Λυσίμαχος ἀνελεῖν τὸν Ἀγαθο- 4
κλέα Ἀρσινόῃ παρῆκε, Λυσάνδρα παρὰ Σέλευκον ἐκδι-
δράσκει, τούς τε παῖδας ἅμα ἀγομένη καὶ τοὺς ἀδελφοὺς
τοὺς αὐτῆς, *** οἳ περιελθὸν τοῦτο ἐς Πτολεμαῖον κατα-
φεύγουσι. τούτοις ἐκδιδράσκουσι παρὰ Σέλευκον καὶ
Ἀλέξανδρος ἠκολούθησεν, υἱὸς μὲν Λυσιμάχου, γεγο-
νὼς δὲ ἐξ Ὀδρυσιάδος γυναικός. Οὗτοί τε οὖν ἐς Βαβυ-
λῶνα ἀναβεβηκότες ἱκέτευον Σέλευκον ἐς πόλεμον πρὸς
Λυσίμαχον καταστῆναι· καὶ Φιλέταιρος ἅμα, ᾧ τὰ χρή-
ματα ἐπετέτραπτο Λυσιμάχου, τῇ τε Ἀγαθοκλέους τε-
λευτῇ χαλεπῶς φέρων καὶ τὰ παρὰ τῆς Ἀρσινόης ὕποπτα
ἡγούμενος καταλαμβάνει Πέργαμον τὴν ὑπὲρ Καΐκου,
26 πέμψας δὲ κήρυκα τά τε χρήματα καὶ αὐτὸν ἐδίδου Σε-
λεύκῳ. 5. Λυσίμαχος δὲ ταῦτα πάντα πυνθανόμενος 5

ἐφθη διαβὰς ἐς τὴν Ἀσίαν, καὶ ἄρξας αὐτος πολέμου
συμβαλών τε Σελεύκῳ παρὰ πολύ τε ἐκρατήθη καὶ αὐτὸς
ἀπέθανεν. Ἀλέξανδρος δέ, ὃς ἐκ τῆς [γυναικὸς] Ὀδρυσί-
δος ἐγεγόνει οἱ, πολλὰ Λυσάνδραν παραιτησάμενος
ἀναιρεῖταί τε, καὶ ὕστερον τούτων ἐς Χερρόνησον κο-
μίσας ἔθαψεν, ἔνθα ἔτι καὶ νῦν ἐστίν οἱ φανερὸς ὁ τά-
φος, Καρδίας τε μεταξὺ κώμης καὶ Πακτύης. τὰ μὲν οὖν
Λυσιμάχου τοιαῦτα ἐγένετο.

XI. Ἀθηναίοις δὲ εἰκών ἐστι καὶ Πύρρου. οὗτος ὁ
Πύρρος Ἀλεξάνδρῳ προσῆκεν οὐδέν, εἰ μὴ ὅσα κατὰ γέ-
νος. Αἰακίδου γὰρ τοῦ Ἀρύββου Πύρρος ἦν, Ὀλυμπιά-
δος δὲ Ἀλέξανδρος τῆς Νεοπτολέμου· Νεοπτολέμῳ δὲ
καὶ Ἀρύββᾳ πατὴρ ἦν Ἀλκέτας ὁ Θαρύπου. ἀπὸ δὲ Θα-
ρύπου ἐς Πύρρον τὸν Ἀχιλλέως πέντε ἀνδρῶν καὶ δέκα
εἰσὶ γενεαί· πρῶτος γὰρ δὴ οὗτος ἁλούσης Ἰλίου τὴν
μὲν ἐς Θεσσαλίαν ὑπερεῖδεν ἀναχώρησιν, ἐς δὲ τὴν Ἤπει-
ρον κατάρας ἐνταῦθα ἐκ τῶν Ἑλένου χρησμῶν ᾤκησε.
καί οἱ παῖς ἐκ μὲν Ἑρμιόνης ἐγένετο οὐδείς, ἐξ Ἀνδρομά-
χης δὲ Μολοσσὸς καὶ Πίελος καὶ νεώτατος ὁ Πέργαμος.
ἐγένετο δὲ καὶ Ἑλένῳ Κεστρῖνος· τούτῳ γὰρ Ἀνδρομάχη
2 συνῴκησεν ἀποθανόντος ἐν Δελφοῖς Πύρρου. 2. Ἑλένου
δέ, ὡς ἐτελεύτα, Μολοσσῷ τῷ Πύρρου παραδόντος τὴν
ἀρχὴν Κεστρῖνος μὲν σὺν τοῖς ἐθέλουσιν Ἠπειρωτῶν
τὴν ὑπὲρ Θύαμιν ποταμὸν χώραν ἔσχε, Πέργαμος δὲ δια-
βὰς ἐς τὴν Ἀσίαν Ἄρειον δυναστεύοντα ἐν τῇ Τευθρα-
νίᾳ κτείνει μονομαχήσαντά οἱ περὶ τῆς ἀρχῆς, καὶ τῇ πό-
λει τὸ ὄνομα ἔδωκε τὸ νῦν ἀπ' αὐτοῦ· καὶ Ἀνδρομάχης,
ἠκολούθει γάρ οἱ, καὶ νῦν ἐστὶν ἡρῷον ἐν τῇ πόλει. Πίε- 27
λος δὲ αὐτοῦ κατέμεινεν ἐν Ἠπείρῳ, καὶ ἐς πρόγονον
τοῦτον ἀνέβαινε Πύρρος τε ὁ Αἰακίδου καὶ οἱ πατέρες,
3 ἀλλ' οὐκ ἐς Μολοσσόν. 3. Ἦν δὲ ἄχρι μὲν Ἀλκέτου τοῦ
Θαρύπου ἐφ' ἑνὶ βασιλεῖ καὶ τὰ Ἠπειρωτῶν· οἱ δὲ Ἀλ-

κέτου παῖδες, ὥς σφισι στασιάσασι μετέδοξεν ἐπ' ἴσης
ἄρχειν, αὐτοί τε πιστῶς ἔχοντες διέμειναν ἐς ἀλλήλους
καὶ ὕστερον Ἀλεξάνδρου τοῦ Νεοπτολέμου τελευτήσαν-
τος ἐν Λευκανοῖς, Ὀλυμπιάδος δὲ διὰ τὸν Ἀντιπάτρου
φόβον ἐπανελθούσης ἐς Ἤπειρον, Αἰακίδης ὁ Ἀρύββου
τά τε ἄλλα διετέλει κατήκοος ὢν Ὀλυμπιάδι καὶ συνε-
στράτευσε πολεμήσων Ἀριδαίῳ καὶ Μακεδόσιν, οὐκ ἐθε-
λόντων ἕπεσθαι τῶν Ἠπειρωτῶν. 4. Ὀλυμπιάδος δέ, ὡς 4
ἐπεκράτησεν, ἀνόσια μὲν ἐργασαμένης καὶ ἐς τὸν Ἀρι-
δαίου θάνατον, πολλῷ δὲ ἔτι ἀνοσιώτερα ἐς ἄνδρας Μα-
κεδόνας, καὶ διὰ ταῦτα οὐκ ἀνάξια ὕστερον ὑπὸ Κασσάν-
δρου παθεῖν νομισθείσης, Αἰακίδην κατ' ἀρχὰς μὲν οὐδ'
αὐτοὶ διὰ τὸ Ὀλυμπιάδος ἔχθος ἐδέχοντο Ἠπειρῶται,
εὑρομένου δὲ ἀνὰ χρόνον παρὰ τούτων συγγνώμην δεύ-
τερα ἠναντιοῦτο Κάσσανδρος μὴ κατελθεῖν ἐς Ἤπειρον.
γενομένης δὲ Φιλίππου τε ἀδελφοῦ Κασσάνδρου καὶ
Αἰακίδου μάχης πρὸς Οἰνιάδαις, Αἰακίδην μὲν τρωθέντα
κατέλαβε μετ' οὐ πολὺ τὸ χρεών, 5. Ἠπειρῶται δὲ Ἀλ- 5
κέταν ἐπὶ βασιλείᾳ κατεδέξαντο, Ἀρύββου μὲν παῖδα καὶ
ἀδελφὸν Αἰακίδου πρεσβύτερον, ἀκρατῆ δὲ ἄλλως θυ-
μοῦ καὶ δι' αὐτὸ ἐξελασθέντα ὑπὸ τοῦ πατρός. καὶ τότε
ἥκων ἐξεμαίνετο εὐθὺς ἐς τοὺς Ἠπειρώτας, ἐς ὃ νύκτωρ
28 αὐτόν τε καὶ τοὺς παῖδας ἐπαναστάντες ἔκτειναν. ἀπο-
κτείναντες δὲ τοῦτον Πύρρον τὸν Αἰακίδου κατάγουσιν.
ἥκοντι δὲ εὐθὺς ἐπεστράτευε Κάσσανδρος, νέῳ τε ἡλι-
κίᾳ ὄντι καὶ τὴν ἀρχὴν οὐ κατεσκευασμένῳ βεβαίως.
Πύρρος δὲ ἐπιόντων Μακεδόνων ἐς Αἴγυπτον παρὰ Πτο-
λεμαῖον ἀναβαίνει τὸν Λάγου· καί οἱ Πτολεμαῖος γυ-
ναῖκά τ' ἔδωκεν ἀδελφὴν ὁμομητρίαν τῶν αὐτοῦ παίδων
καὶ στόλῳ κατήγαγεν Αἰγυπτίων. 6. Πύρρος δὲ βασιλεύ- 6
σας πρώτοις ἐπέθετο Ἑλλήνων Κορκυραίοις, κειμένην τε
ὁρῶν τὴν νῆσον πρὸ τῆς αὐτοῦ χώρας, καὶ ἄλλοις ὁρμη-

τήριον ἐφ' αὑτὸν οὐκ ἐθέλων εἶναι. μετὰ δὲ ἁλοῦσαν
Κόρκυραν ὅσα μὲν Λυσιμάχῳ πολεμήσας ἔπαθε καὶ ὡς
Δημήτριον ἐκβαλὼν Μακεδονίας ἦρξεν ἐς ὃ αὖθις ἐξέ-
πεσεν ὑπὸ Λυσιμάχου, τάδε μὲν τοῦ Πύρρου μέγιστα ἐς
ἐκεῖνον τὸν καιρὸν δεδήλωκεν ἤδη μοι τὰ ἐς Λυσίμαχον
7 ἔχοντα. 7. Ῥωμαίοις δὲ οὐδένα Πύρρου πρότερον πολε-
μήσαντα ἴσμεν Ἕλληνα. Διομήδει μὲν γὰρ καὶ Ἀργείων
τοῖς σὺν αὐτῷ οὐδεμίαν ἔτι γενέσθαι πρὸς Αἰνείαν λέγε-
ται μάχην· Ἀθηναίοις δὲ ἄλλα τε πολλὰ ἐλπίσασι καὶ
Ἰταλίαν πᾶσαν καταστρέψασθαι τὸ ἐν Συρακούσαις
πταῖσμα ἐμποδὼν ἐγένετο μὴ καὶ Ῥωμαίων λαβεῖν πεῖ-
ραν· Ἀλέξανδρος δὲ ὁ Νεοπτολέμου, γένους τε ὢν Πύρ-
ρῳ τοῦ αὐτοῦ καὶ ἡλικίᾳ πρεσβύτερος, ἀποθανὼν ἐν
Λευκανοῖς ἔφθη πρὶν ἐς χεῖρας ἐλθεῖν Ῥωμαίοις.

XII. Οὕτω Πύρρος ἐστὶν ὁ πρῶτος ἐκ τῆς Ἑλλάδος
τῆς πέραν Ἰονίου διαβὰς ἐπὶ Ῥωμαίους. διέβη δὲ καὶ οὗ-
τος ἐπαγαγομένων Ταραντίνων. 2. τούτοις γὰρ πρότε-
ρον ἔτι πρὸς Ῥωμαίους συνειστήκει πόλεμος· ἀδύνατοι
δὲ κατὰ σφᾶς ὄντες ἀντισχεῖν, προϋπαρχούσης μὲν ἐς
αὐτὸν εὐεργεσίας, ὅτι οἱ πολεμοῦντι τὸν πρὸς Κόρκυ-
ραν πόλεμον ναυσὶ συνήραντο, μάλιστα δὲ οἱ πρέσβεις
τῶν Ταραντίνων ἀνέπεισαν τὸν Πύρρον τήν τε Ἰταλίαν 29
διδάσκοντες, ὡς εὐδαιμονίας ἕνεκα ἀντὶ πάσης εἴη τῆς
Ἑλλάδος, καὶ ὡς οὐχ ὅσιον αὐτῷ παραπέμψαι σφᾶς φί-
λους τε καὶ ἱκέτας ἐν τῷ παρόντι ἥκοντας. ταῦτα λεγόν-
των τῶν πρέσβεων μνήμη τὸν Πύρρον τῆς ἁλώσεως
ἐσῆλθε τῆς Ἰλίου, καί οἱ κατὰ ταὐτὰ ἤλπιζε χωρήσειν
πολεμοῦντι· στρατεύειν γὰρ ἐπὶ Τρῶων ἀποίκους Ἀχιλ-
2 λέως ὢν ἀπόγονος. ὡς δέ οἱ ταῦτα ἤρεσκε, διέμελλε γὰρ
ἐπ' οὐδενὶ ὧν ἕλοιτο, αὐτίκα ναῦς τε ἐπλήρου μακρὰς
καὶ πλοῖα στρογγύλα εὐτρέπιζεν ἵππους καὶ ἄνδρας ὁπλί-
τας ἄγειν. 3. ἔστι δὲ ἀνδράσι βιβλία οὐκ ἐπιφανέσιν ἐς

συγγραφὴν ἔχοντα ἐπίγραμμα ἔργων ὑπομνήματα εἶναι.
ταῦτα ἐπιλεγομένῳ μοι μάλιστα ἐπῆλθε θαυμάσαι Πύρ-
ρου τόλμαν τε, ἣν μαχόμενος αὐτός [τε] παρείχετο, καὶ
τὴν ἐπὶ τοῖς ἀεὶ μέλλουσιν ἀγῶσι πρόνοιαν· ὃς καὶ τότε
περαιούμενος ναυσὶν ἐς Ἰταλίαν Ῥωμαίους ἐλελήθει καὶ
ἥκων οὐκ εὐθὺς ἦν σφίσι φανερός· γινομένης δὲ Ῥω-
μαίων πρὸς Ταραντίνους συμβολῆς, τότε δὴ πρῶτον ἐπι-
φαίνεται σὺν τῷ στρατῷ, καὶ παρ' ἐλπίδα σφίσι προσπε-
σών, ὡς τὸ εἰκός, ἐτάραξεν. ἅτε δὲ ἄριστα ἐπιστάμενος 3
ὡς οὐκ ἀξιόμαχος εἴη πρὸς Ῥωμαίους, παρεσκευάζετο
ὡς τοὺς ἐλέφαντας ἐπαφήσων σφίσιν. 4. Ἐλέφαντας δὲ
πρῶτος μὲν τῶν ἐκ τῆς Εὐρώπης Ἀλέξανδρος ἐκτήσατο,
Πῶρον καὶ τὴν δύναμιν καθελὼν τὴν Ἰνδῶν· ἀποθα-
νόντος δὲ Ἀλεξάνδρου καὶ ἄλλοι τῶν βασιλέων καὶ πλεί-
στους ἔσχεν Ἀντίγονος· Πύρρῳ δὲ ἐκ τῆς μάχης ἐγεγόνει
τῆς πρὸς Δημήτριον τὰ θηρία αἰχμάλωτα. τότε δὲ ἐπι-
φανέντων αὐτῶν δεῖμα ἔλαβε Ῥωμαίους, ἄλλο τι καὶ οὐ
ζῷα εἶναι νομίσαντας. ἐλέφαντα γάρ, ὅσα μὲν ἐς ἔργα καὶ 4
ἀνδρῶν χρείας, εἰσὶν ἐκ παλαιοῦ δῆλοι πάντες εἰδότες·
αὐτὰ δὲ τὰ θηρία, πρὶν ἢ διαβῆναι Μακεδόνας ἐπὶ τὴν
Ἀσίαν, οὐδὲ ἑωράκεσαν ἀρχὴν πλὴν Ἰνδῶν τε αὐτῶν καὶ
Λιβύων καὶ ὅσοι πλησιόχωροι τούτοις. δηλοῖ δὲ καὶ Ὅμη-
ρος, ὃς βασιλεῦσι κλίνας μὲν καὶ οἰκίας τοῖς εὐδαιμο-
νεστέροις αὐτῶν ἐλέφαντι ἐποίησε κεκοσμημένας, θηρίου
δὲ ἐλέφαντος μνήμην οὐδεμίαν ἐποιήσατο· θεασάμενος
δὲ καὶ πεπυσμένος ἐμνημόνευσεν ἂν πολύ γε πρότερον,
ἐμοὶ δοκεῖν, ἢ Πυγμαίων τε ἀνδρῶν καὶ γεράνων μάχης.
5. Πύρρον δὲ ἐς Σικελίαν ἀπήγαγε πρεσβεία Συρακου- 5
σίων· Καρχηδόνιοι γὰρ διαβάντες τὰς Ἑλληνίδας τῶν
πόλεων ἐποίουν ἀναστάτους, ἣ δὲ ἦν λοιπή, Συρακού-
σαις πολιορκοῦντες προσεκάθηντο. Ἃ τῶν πρέσβεων
Πύρρος ἀκούων Τάραντα μὲν εἴα καὶ τοὺς τὴν ἀκτὴν

ἔχοντας Ἰταλιωτῶν, ἐς δὲ τὴν Σικελίαν διαβὰς Καρχηδονίους ἠνάγκασεν ἀπαναστῆναι Συρακουσῶν· φρονήσας δὲ ἐφ' αὐτῷ Καρχηδονίων, οἳ θαλάσσης τῶν τότε βαρβάρων μάλιστα εἶχον ἐμπείρως, Τύριοι Φοίνικες τὸ ἀρχαῖον ὄντες, τούτων ἐναντία ἐπήρθη ναυμαχῆσαι τοῖς Ἠπειρώταις χρώμενος, οἳ μηδὲ ἁλούσης Ἰλίου θάλασσαν οἱ πολλοὶ μηδὲ ἁλσὶν ἠπίσταντό πω χρῆσθαι. μαρτυρεῖ δέ μοι καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείᾳ·

οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν.

**XIII.** Τότε δὲ ὁ Πύρρος, ὡς ἡττήθη, ταῖς ναυσὶν ἐς Τάραντα ἀνήγετο ταῖς λοιπαῖς. ἐνταῦθα προσέπταισε μεγάλως καὶ τὴν ἀναχώρησιν, οὐ γὰρ ἀμαχεὶ Ῥωμαίους ἠπίστατο ἀφήσοντας, πορίζεται τρόπον τοῦτον. ὡς ἐπανήκων ἐκ Σικελίας ἡττήθη, πρῶτον διέπεμψε γράμματα ἔς τε τὴν Ἀσίαν καὶ πρὸς Ἀντίγονον, τοὺς μὲν στρατιὰν τῶν βασιλέων, τοὺς δὲ χρήματα, Ἀντίγονον δὲ καὶ ἀμφότερα αἰτῶν. ἀφικομένων δὲ τῶν ἀγγέλων, ὥς οἱ γράμματα ἀπεδόθη, συναγαγὼν τοὺς ἐν τέλει τῶν τε ἐξ Ἠπείρου καὶ τῶν Ταραντίνων, ὧν μὲν εἶχε τὰ 31
βιβλία ἀνεγίνωσκεν οὐδέν, ὁ δὲ ἥξειν συμμαχίαν ἔλεγε. ταχὺ δὲ καὶ ἐς τοὺς Ῥωμαίους ἦλθε φήμη Μακεδόνας καὶ ἄλλα ἔθνη περαιοῦσθαι τῶν Ἀσιανῶν ἐς τὴν Πύρρου βοήθειαν. Ῥωμαῖοι μὲν δὴ ταῦτα ἀκούοντες ἡσύχαζον, Πύρρος δὲ ὑπὸ τὴν ἐπιοῦσαν περαιοῦται νύκτα πρὸς τὰ ἄκρα τῶν ὀρῶν ἃ Κεραύνια ὀνομάζουσι.

2 2. Μετὰ δὲ τὴν ἐν Ἰταλίᾳ πληγὴν ἀναπαύσας τὴν δύναμιν προεῖπεν Ἀντιγόνῳ πόλεμον, ἄλλα τε ποιούμενος ἐγκλήματα καὶ μάλιστα τῆς ἐς Ἰταλίαν βοηθείας διαμαρτίαν. κρατήσας δὲ τήν τε ἰδίαν παρασκευὴν Ἀντιγόνου καὶ τὸ παρ' αὐτῷ Γαλατῶν ξενικὸν ἐδίωξεν ἐς τὰς ἐπὶ θαλάσσῃ πόλεις, αὐτὸς δὲ Μακεδονίας τε τῆς ἄνω καὶ

Θεσσαλῶν ἐπεκράτησε. δηλοῖ δὲ μάλιστα τὸ μέγεθος τῆς μάχης καὶ τὴν Πύρρου νίκην, ὡς παρὰ πολὺ γένοιτο, τὰ ἀνατεθέντα ὅπλα τῶν Κελτικῶν ἔς τε τὸ τῆς Ἀθηνᾶς ἱερὸν τῆς Ἰτωνίας Φερῶν μεταξὺ καὶ Λαρίσης, καὶ τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτοῖς.

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ 3
Πύρρος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν,
πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν. οὐ μέγα θαῦμα·
αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

τούτους μὲν δὴ ἐνταῦθα, τῷ δὲ ἐν Δωδώνῃ Διὶ Μακεδόνων ἀνέθηκεν αὐτῶν τὰς ἀσπίδας. ἐπιγέγραπται δὲ καὶ ταύταις·

αἵδε ποτ' Ἀσίδα γαῖαν ἐπόρθησαν πολύχρυσον,
αἵδε καὶ Ἕλλασιν δουλοσύναν ἔπορον.
νῦν δὲ Διὸς ναῷ ποτὶ κίονας ὀρφανὰ κεῖται
τᾶς μεγαλαυχήτω σκῦλα Μακηδονίας.

3. Πύρρῳ δὲ Μακεδόνας ἐς ἅπαν μὴ καταστρέψα- 4
σθαι παρ' ὀλίγον ὅμως ἥκοντι ἐγένετο Κλεώνυμος αἴτιος, ἑτοιμοτέρῳ καὶ ἄλλως ὄντι ἑλέσθαι τὰ ἐν χερσίν. Κλεώνυμος δὲ οὗτος, ὁ τὸν Πύρρον ἀπολιπόντα τὰ Μακε-
32 δόνων πείσας ἐς Πελοπόννησον ἐλθεῖν, Λακεδαιμόνιος ὢν Λακεδαιμονίοις στρατὸν ἐς τὴν χώραν πολέμιον ἐπῆγε, δι' αἰτίαν ἣν ἐγὼ τοῦ γένους ὕστερον τοῦ Κλεωνύμου δηλώσω. Παυσανίου τοῦ περὶ Πλάταιαν τοῖς Ἕλλησιν ἡγησαμένου Πλειστοάναξ υἱὸς ἐγένετο· τοῦ δὲ Παυσανίας· τοῦ δὲ Κλεόμβροτος, ὃς ἐναντία Ἐπαμεινώνδᾳ καὶ Θηβαίοις μαχόμενος ἀπέθανεν ἐν Λεύκτροις. Κλεομβρότου δὲ Ἀγησίπολις ἦν καὶ Κλεομένης· Ἀγησιπόλιδος δὲ ἄπαιδος τελευτήσαντος Κλεομένης τὴν βασιλείαν ἔσχε. Κλεομένει δὲ παῖδες γίνονται πρεσβύτερος 5
μὲν Ἀκρότατος, νεώτερος δὲ Κλεώνυμος. Ἀκρότατον

*μὲν οὖν πρότερον κατέλαβεν ἡ τελευτή· Κλεομένους δὲ
ἀποθανόντος ὕστερον ἐς ἀμφισβήτησιν κατέστη περὶ
τῆς ἀρχῆς Ἀρεὺς ὁ Ἀκροτάτου, καὶ Κλεώνυμος ὅτῳ δὴ
τρόπῳ μετελθὼν ἐπάγει Πύρρον ἐς τὴν χώραν. 4. Λα-
κεδαιμονίοις δὲ πρὸ μὲν τοῦ ἐν Λεύκτροις οὐδὲν ἐγε-
γόνει πταῖσμα, ὥστε οὐδὲ συνεχώρουν ἀγῶνί πω κε-
κρατῆσθαι πεζῷ· Λεωνίδᾳ μὲν γὰρ νικῶντι οὐκ ἔφασαν
τοὺς ἑπομένους ἐς τελέαν ἐξαρκέσαι φθορὰν τῶν Μή-
δων, τὸ δὲ Ἀθηναίων καὶ Δημοσθένους ἔργον πρὸς τῇ
νήσῳ Σφακτηρίᾳ κλοπὴν εἶναι πολέμου καὶ οὐ νίκην.
6 πρώτης δὲ γενομένης σφίσι συμφορᾶς ἐν Βοιωτοῖς, ὕστε-
ρον Ἀντιπάτρῳ καὶ Μακεδόσι μεγάλως προσέπταισαν·
τρίτος δὲ ὁ Δημητρίου πόλεμος κακὸν ἀνέλπιστον ἦλθεν
ἐς τὴν γῆν. 5. Πύρρου δὲ ἐσβαλόντος τέταρτον δὴ τότε
στρατὸν ὁρῶντες πολέμιον αὐτοί τε παρετάσσοντο καὶ
Ἀργείων ἥκοντες καὶ Μεσσηνίων σύμμαχοι. Πύρρος δὲ
ὡς ἐπεκράτησεν, ὀλίγου μὲν ἦλθεν ἑλεῖν αὐτοβοεὶ τὴν
πόλιν, δῃώσας δὲ τὴν γῆν καὶ λείαν ἐλάσας μικρὸν ἡσύ-
χαζεν. οἱ δὲ ἐς πολιορκίαν εὐτρεπίζοντο, πρότερον ἔτι
τῆς Σπάρτης ἐπὶ τοῦ πολέμου τοῦ πρὸς Δημήτριον τά-
φροις τε βαθείαις καὶ σταυροῖς τετειχισμένης ἰσχυροῖς,* 33
7 *τὰ δὲ ἐπιμαχώτατα καὶ οἰκοδομήμασιν. 6. Ὑπὸ δὲ τοῦτον
τὸν χρόνον καὶ τὴν τοῦ πολέμου τοῦ Λακωνικοῦ τριβὴν
Ἀντίγονος τὰς πόλεις τῶν Μακεδόνων ἀνασωσάμενος
ἠπείγετο ἐς Πελοπόννησον, οἷα ἐπιστάμενος Πύρρον,
ἢν Λακεδαίμονα καταστρέψηται καὶ Πελοποννήσου τὰ
πολλά, οὐκ ἐς Ἤπειρον ἀλλ' ἐπί τε Μακεδονίαν αὖθις
καὶ τὸν ἐκεῖ πόλεμον ἥξοντα. μέλλοντος δὲ Ἀντιγόνου
τὸν στρατὸν ἐξ Ἄργους ἐς τὴν Λακωνικὴν ἄγειν, αὐτὸς
ἐς τὸ Ἄργος ἐληλύθει Πύρρος. κρατῶν δὲ καὶ τότε συν-
εσπίπτει τοῖς φεύγουσιν ἐς τὴν πόλιν καί οἱ διαλύεται*
8 *κατὰ τὸ εἰκὸς ἡ τάξις. 7. μαχομένων δὲ πρὸς ἱεροῖς ἤδη*

καὶ οἰκίαις καὶ κατὰ τοὺς στενωποὺς καὶ κατ᾽ ἄλλο ἄλλων
τῆς πόλεως, ἐνταῦθα ὁ Πύρρος ἐμονώθη καὶ τιτρώσκεται
τὴν κεφαλήν. κεράμῳ δὲ βληθέντα ὑπὸ γυναικὸς τεθνά-
ναι φασὶ Πύρρον· Ἀργεῖοι δὲ οὐ γυναῖκα τὴν ἀποκτείνα-
σαν, Δήμητρα δέ φασιν εἶναι γυναικὶ εἰκασμένην. ταῦτα
ἐς τὴν Πύρρου τελευτὴν αὐτοὶ λέγουσιν Ἀργεῖοι, καὶ ὁ
τῶν ἐπιχωρίων ἐξηγητὴς Λυκέας ἐν ἔπεσιν εἴρηκε. καί
σφισιν ἔστι τοῦ θεοῦ χρήσαντος, ἔνθα ὁ Πύρρος ἐτε-
λεύτησεν, ἱερὸν Δήμητρος· ἐν δὲ αὐτῷ καὶ ὁ Πύρρος
τέθαπται. 8. Θαῦμα δὴ ποιοῦμαι τῶν καλουμένων Αἰα- 9
κιδῶν αὐτοῖς κατὰ τὰ αὐτὰ ἐκ τοῦ θεοῦ συμβῆναι τὴν
τελευτήν, εἴ γε Ἀχιλλέα μὲν Ὅμηρος ὑπὸ Ἀλεξάνδρου
φησὶ τοῦ Πριάμου καὶ Ἀπόλλωνος ἀπολέσθαι, Πύρ-
ρον δὲ τὸν Ἀχιλλέως ἡ Πυθία προσέταξεν ἀποκτεῖναι
Δελφοῖς, τῷ δὲ Αἰακίδου συνέβη τὰ ἐς τὴν τελευτὴν
οἷα Ἀργεῖοί τε λέγουσι καὶ Λυκέας ἐποίησε. διάφορα δὲ
ὅμως ἐστὶ καὶ ταῦτα ὧν Ἱερώνυμος ὁ Καρδιανὸς ἔγρα-
34 ψεν· ἀνδρὶ γὰρ βασιλεῖ συνόντα ἀνάγκη πᾶσα ἐς χάριν
συγγράφειν. εἰ δὲ καὶ Φίλιστος αἰτίαν δικαίαν εἴληφεν,
ἐπελπίζων τὴν ἐν Συρακούσαις κάθοδον, ἀποκρύψασθαι
τῶν Διονυσίου τὰ ἀνοσιώτατα, ἦ που πολλή γε Ἱερω-
νύμῳ συγγνώμη τὰ ἐς ἡδονὴν Ἀντιγόνου γράφειν. ἡ μὲν
Ἠπειρωτῶν ἀκμὴ κατέστρεψεν ἐς τοῦτο.

XIV. Ἐς δὲ τὸ Ἀθήνησιν ἐσελθοῦσιν Ὠιδεῖον ἄλλα
τε καὶ Διόνυσος κεῖται θέας ἄξιος. πλησίον δέ ἐστι
κρήνη, καλοῦσι δὲ αὐτὴν Ἐννεάκρουνον, οὕτω κοσμη-
θεῖσαν ὑπὸ Πεισιστράτου· φρέατα μὲν γὰρ καὶ διὰ πάσης
τῆς πόλεώς ἐστι, πηγὴ δὲ αὕτη μόνη. ναοὶ δὲ ὑπὲρ τὴν
κρήνην ὁ μὲν Δήμητρος πεποίηται καὶ Κόρης, ἐν δὲ τῷ
Τριπτολέμου κείμενόν ἐστιν ἄγαλμα. 2. τὰ δὲ ἐς αὐτὸν
ὁποῖα λέγεται γράψω, παρεὶς ὁπόσον ἐς Δηϊόπην ἔχει τοῦ
λόγου. Ἑλλήνων οἳ μάλιστα ἀμφισβητοῦντες Ἀθηναίοις 2

ἐς ἀρχαιότητα καὶ δῶρα παρὰ θεῶν φασὶν ἔχειν, εἰσὶν
Ἀργεῖοι, καθάπερ βαρβάρων Φρυξὶν Αἰγύπτιοι. λέγε-
ται οὖν ὡς Δήμητρα ἐς Ἄργος ἐλθοῦσαν Πελασγὸς δέ-
ξαιτο οἴκῳ, καὶ ὡς Χρυσανθὶς τὴν ἁρπαγὴν ἐπισταμένη
τῆς Κόρης διηγήσαιτο· ὕστερον δὲ Τροχίλον ἱεροφάν-
την φυγόντα ἐξ Ἄργους κατὰ ἔχθος Ἀγήνορος, ἐλθεῖν
φασὶν ἐς τὴν Ἀττικήν, καὶ γυναῖκά τε ἐξ Ἐλευσῖνος
γῆμαι καὶ γενέσθαι οἱ παῖδας Εὐβουλέα καὶ Τριπτόλε-
μον. ὅδε μὲν Ἀργείων ἐστὶ λόγος· Ἀθηναῖοι δὲ καὶ ὅσοι
παρὰ τούτοις ** ἴσασι Τριπτόλεμον τὸν Κελεοῦ πρῶτον
3 σπεῖραι καρπὸν ἥμερον. ἔπη δὲ ᾄδεται Μουσαίου μέν, εἰ
δὴ Μουσαίου καὶ ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ
καὶ Γῆς εἶναι, Ὀρφέως δέ, οὐδὲ ταῦτα Ὀρφέως ἐμοὶ δο-
κεῖν ὄντα, Εὐβουλεῖ καὶ Τριπτολέμῳ Δυσαύλην πατέρα
εἶναι, μηνύσασι δέ σφισι περὶ τῆς παιδὸς δοθῆναι παρὰ
Δήμητρος σπεῖραι τοὺς καρπούς. Χοιρίλῳ δὲ Ἀθηναίῳ
δρᾶμα ποιήσαντι Ἀλόπην ἔστιν εἰρημένα Κερκυόνα εἶ-
ναι καὶ Τριπτόλεμον ἀδελφούς, τεκεῖν δὲ σφᾶς θυγα-
τέρα Ἀμφικτυόνος, εἶναι δὲ πατέρα Τριπτολέμῳ μὲν
Ῥᾶρον, Κερκυόνι δὲ Ποσειδῶνα. πρόσω δὲ ἰέναι με ὡρ-
μημένον τοῦδε τοῦ λόγου καὶ ὁπόσα ἐξήγησιν ἔχει τὸ
Ἀθήνῃσιν ἱερόν, καλούμενον δὲ Ἐλευσίνιον, ἐπέσχεν
ὄψις ὀνείρατος· ἃ δὲ ἐς πάντας ὅσιον γράφειν, ἐς ταῦτα
4 ἀποτρέψομαι. 3. Πρὸ τοῦ ναοῦ τοῦδε, ἔνθα καὶ τοῦ Τρι-
πτολέμου τὸ ἄγαλμα, ἔστι βοῦς χαλκοῦς οἷα ἐς θυσίαν
ἀγόμενος, πεποίηται δὲ καὶ καθήμενος Ἐπιμενίδης Κνώ-
σιος, ὃν ἐλθόντα ἐς ἀγρὸν κοιμᾶσθαι λέγουσιν ἐσελ-
θόντα ἐς σπήλαιον· ὁ δὲ ὕπνος οὐ πρότερον ἀνῆκεν αὐ-
τὸν πρὶν ἤ οἱ τεσσαρακοστὸν ἔτος γενέσθαι καθεύδοντι,
καὶ ὕστερον ἔπη τε ἐποίει καὶ πόλεις ἐκάθηρεν ἄλλας τε
καὶ τὴν Ἀθηναίων. Θάλης δὲ ὁ Λακεδαιμονίοις τὴν νό-
σον παύσας οὔτε ἄλλως προσήκων οὔτε πόλεως ἦν Ἐπι-

μενίδη τῆς αὐτῆς· ἀλλ' ὁ μὲν Κνώσιος, Θάλητα δὲ εἶναί
φησι Γορτύνιον Πολύμναστος Κολοφώνιος ἔπη Λακε-
δαιμονίοις ἐς αὐτὸν ποιήσας. 4. Ἔτι δὲ ἀπωτέρω ναὸς 5
Εὐκλείας, ἀνάθημα καὶ τοῦτο ἀπὸ Μήδων, οἳ τῆς χώρας
Μαραθῶνι ἔσχον. φρονῆσαι δὲ Ἀθηναίους ἐπὶ τῇ νίκῃ
ταύτῃ μάλιστα εἰκάζω· καὶ δὴ καὶ Αἰσχύλος, ὥς οἱ τοῦ
βίου προσεδοκᾶτο ἡ τελευτή, τῶν μὲν ἄλλων ἐμνημό-
νευσεν οὐδενός, δόξης ἐς τοσοῦτον ἥκων ἐπὶ ποιήσει καὶ
πρὸ Ἀρτεμισίου καὶ ἐν Σαλαμῖνι ναυμαχήσας· ὁ δὲ τό τε
6 ὄνομα πατρόθεν καὶ τὴν πόλιν ἔγραψε, καὶ ὡς τῆς ἀν-
δρίας μάρτυρας ἔχοι τὸ Μαραθῶνι ἄλσος καὶ Μήδων
τοὺς ἐς αὐτὸ ἀποβάντας. 5. Ὑπὲρ δὲ τὸν Κεραμεικὸν καὶ 6
στοὰν τὴν καλουμένην βασίλειον ναός ἐστιν Ἡφαίστου.
καὶ ὅτι μὲν ἄγαλμά οἱ παρέστηκεν Ἀθηνᾶς, οὐδὲν θαῦ-
μα ἐποιούμην τὸν ἐπὶ Ἐριχθονίῳ ἐπιστάμενος λόγον·
τὸ δὲ ἄγαλμα ὁρῶν τῆς Ἀθηνᾶς γλαυκοὺς ἔχον τοὺς
ὀφθαλμούς, Λιβύων τὸν μῦθον ὄντα εὕρισκον. τούτοις
γάρ ἐστιν εἰρημένον Ποσειδῶνος καὶ λίμνης Τριτωνίδος
θυγατέρα εἶναι, καὶ διὰ τοῦτο γλαυκοὺς εἶναι ὥσπερ καὶ
τῷ Ποσειδῶνι τοὺς ὀφθαλμούς. 6. Πλησίον δὲ ἱερόν 7
ἐστιν Ἀφροδίτης Οὐρανίας. πρώτοις δὲ ἀνθρώπων Ἀσ-
συρίοις κατέστη σέβεσθαι τὴν Οὐρανίαν, μετὰ δὲ Ἀσσυ-
ρίους Κυπρίων Παφίοις καὶ Φοινίκων τοῖς Ἀσκάλωνα
ἔχουσιν ἐν τῇ Παλαιστίνῃ. παρὰ δὲ Φοινίκων Κυθήριοι
μαθόντες σέβουσιν. Ἀθηναίοις δὲ κατεστήσατο Αἰγεύς,
αὐτῷ τε οὐκ εἶναι παῖδας νομίζων, οὐ γάρ πω τότε ἦσαν,
καὶ ταῖς ἀδελφαῖς γενέσθαι τὴν συμφορὰν ἐκ μηνίματος
τῆς Οὐρανίας. τὸ δὲ ἐφ' ἡμῶν ἔτι ἄγαλμα λίθου Παρίου
καὶ ἔργον Φειδίου. δῆμος δέ ἐστιν Ἀθηναίοις Ἀθμο-
νέων, οἳ Πορφυρίωνα ἔτι πρότερον Ἀκταίου βασιλεύ-
σαντα τῆς Οὐρανίας φασὶ τὸ παρὰ σφίσιν ἱερὸν ἱδρύσα-

σθαι. λέγουσι δὲ ἀνὰ τοὺς δήμους καὶ ἄλλα οὐδὲν ὁμοίως καὶ οἱ τὴν πόλιν ἔχοντες.

XV. Ἰοῦσι δὲ πρὸς τὴν στοὰν ἣν Ποικίλην ὀνομάζουσιν ἀπὸ τῶν γραφῶν, ἔστιν Ἑρμῆς χαλκοῦς καλούμενος Ἀγοραῖος καὶ πύλη πλησίον· ἔπεστι δέ οἱ τρόπαιον Ἀθηναίων ἱππομαχίᾳ κρατησάντων Πλείσταρχον, ὃς τῆς ἵππου Κασσάνδρου καὶ τοῦ ξενικοῦ τὴν ἀρχὴν ἀδελφὸς ὢν ἐπετέτραπτο. 2. Αὕτη δὲ ἡ στοὰ πρῶτα μὲν Ἀθηναίους ἔχει τεταγμένους ἐν Οἰνόῃ τῆς Ἀργείας ἐναντία Λακεδαιμονίων· γέγραπται δὲ οὐκ ἐς ἀκμὴν ἀγῶνος οὐδὲ τολμημάτων ἐς ἐπίδειξιν τὸ ἔργον ἤδη προῆκον, ἀλλὰ 37
2 ἀρχομένη τε ἡ μάχη καὶ ἐς χεῖρας ἔτι συνιόντες. ἐν δὲ τῷ μέσῳ τῶν τοίχων Ἀθηναῖοι καὶ Θησεὺς Ἀμαζόσι μάχονται. μόναις δὲ ἄρα ταῖς γυναιξὶν οὐκ ἀφήρει τὰ πταίσματα τὸ ἐς τοὺς κινδύνους ἀφειδές, εἴ γε Θεμισκύρας τε ἁλούσης ὑπὸ Ἡρακλέους, καὶ ὕστερον φθαρείσης σφίσι τῆς στρατιᾶς ἣν ἐπ' Ἀθήνας ἔστειλαν, ὅμως ἐς Τροίαν ἦλθον Ἀθηναίοις τε αὐτοῖς μαχούμεναι καὶ τοῖς πᾶσιν Ἕλλησιν. 3. ἐπὶ δὲ ταῖς Ἀμαζόσιν Ἕλληνές εἰσιν ᾑρηκότες Ἴλιον, καὶ οἱ βασιλεῖς ἠθροισμένοι διὰ τὸ Αἴαντος ἐς Κασσάνδραν τόλμημα· καὶ αὐτὸν ἡ γραφὴ τὸν Αἴαντα ἔχει, καὶ γυναῖκας τῶν αἰχμαλώτων ἄλλας τε καὶ Κασ-
3 σάνδραν. 4. τελευταῖον δὲ τῆς γραφῆς εἰσὶν οἱ μαχεσάμενοι Μαραθῶνι· Βοιωτῶν [δὲ] οἱ Πλάταιαν ἔχοντες καὶ ὅσον ἦν Ἀττικὸν ἴασιν ἐς χεῖρας τοῖς βαρβάροις. καὶ ταύτῃ μέν ἐστιν ἴσα παρ' ἀμφοτέρων ἐς τὸ ἔργον· τὸ δὲ ἔσω τῆς μάχης φεύγοντές εἰσιν οἱ βάρβαροι καὶ ἐς τὸ ἕλος ὠθοῦντες ἀλλήλους. ἔσχαται δὲ τῆς γραφῆς νῆές τε αἱ Φοίνισσαι, καὶ τῶν βαρβάρων τοὺς ἐσπίπτοντας ἐς ταύτας φονεύοντες οἱ Ἕλληνες. ἐνταῦθα καὶ Μαραθὼν γεγραμμένος ἐστὶν ἥρως, ἀφ' οὗ τὸ πεδίον ὠνόμασται, καὶ Θησεὺς ἀνιόντι ἐκ γῆς εἰκασμένος, Ἀθηνᾶ τε καὶ Ἡρα-

κλῆς· Μαραθωνίοις γάρ, ὡς αὐτοὶ λέγουσιν, Ἡρακλῆς
ἐνομίσθη θεὸς πρώτοις. τῶν μαχομένων δὲ δῆλοι μάλι-
στά εἰσιν ἐν τῇ γραφῇ Καλλίμαχός τε, ὃς Ἀθηναίοις πο-
λεμαρχεῖν ᾕρητο, καὶ Μιλτιάδης τῶν στρατηγούντων,
38 ἥρως τε Ἔχετλος καλούμενος, οὗ καὶ ὕστερον ποιήσομαι
μνήμην. 5. Ἐνταῦθα ἀσπίδες κεῖνται χαλκαῖ, καὶ ταῖς 4
μὲν ἔστιν ἐπίγραμμα ἀπὸ Σκιωναίων καὶ τῶν ἐπικούρων
εἶναι, τὰς δὲ ἐπαληλιμμένας πίσσῃ, μὴ σφᾶς ὅ τε χρόνος
λυμήνηται καὶ ὁ ἰός, Λακεδαιμονίων εἶναι λέγεται τῶν
ἁλόντων ἐν τῇ Σφακτηρίᾳ νήσῳ.

XVI. Ἀνδριάντες δὲ χαλκοῖ κεῖνται πρὸ μὲν τῆς
στοᾶς Σόλων ὁ τοὺς νόμους Ἀθηναίοις γράψας, ὀλίγον
δὲ ἀπωτέρω Σέλευκος, ᾧ καὶ πρότερον ἐγένετο ἐς τὴν
εὐδαιμονίαν τὴν μέλλουσαν σημεῖα οὐκ ἀφανῆ. Σελεύκῳ
γάρ, ὡς ὡρμᾶτο ἐκ Μακεδονίας σὺν Ἀλεξάνδρῳ, θύοντι
ἐν Πέλλῃ τῷ Διὶ τὰ ξύλα ἐπὶ τοῦ βωμοῦ κείμενα προύβη
τε αὐτόματα πρὸς τὸ ἄγαλμα καὶ ἄνευ πυρὸς ἥφθη. τε-
λευτήσαντος δὲ Ἀλεξάνδρου, Σέλευκος Ἀντίγονον ἐς
Βαβυλῶνα ἀφικόμενον δείσας καὶ παρὰ Πτολεμαῖον φυ-
γὼν τὸν Λάγου κατῆλθεν αὖθις ἐς Βαβυλῶνα, κατελθὼν
δὲ ἐκράτησε μὲν τῆς Ἀντιγόνου στρατιᾶς καὶ αὐτὸν ἀπέ-
κτεινεν Ἀντίγονον, εἷλε δὲ ἐπιστρατεύσαντα ὕστερον
Δημήτριον τὸν Ἀντιγόνου. ὡς δέ οἱ ταῦτα προκεχωρή- 2
κει καὶ μετ' ὀλίγον τὰ Λυσιμάχου κατείργαστο, τὴν μὲν
ἐν τῇ Ἀσίᾳ πᾶσαν ἀρχὴν παρέδωκεν Ἀντιόχῳ τῷ παιδί,
αὐτὸς δὲ ἐς Μακεδονίαν ἠπείγετο. 2. Στρατιὰ μὲν καὶ
Ἑλλήνων καὶ βαρβάρων ἦν παρὰ Σελεύκῳ· Πτολεμαῖος
δὲ ἀδελφὸς μὲν Λυσάνδρας καὶ παρὰ Λυσιμάχου παρ'
αὐτὸν πεφευγώς, ἄλλως δὲ τολμῆσαι πρόχειρος καὶ δι'
αὐτὸ Κεραυνὸς καλούμενος, οὗτος ὁ Πτολεμαῖος, ὡς
προσιὼν ὁ Σελεύκου στρατὸς ἐγένετο κατὰ Λυσιμαχίαν,
λαθὼν Σέλευκον κτείνει, διαρπάσαι δὲ ἐπιτρέψας τὰ

χρήματα τοῖς βασιλεῦσιν ἐβασίλευσε Μακεδονίας, ἐς ὃ 39
Γαλάταις πρῶτος ὧν ἴσμεν βασιλέων ἀντιτάξασθαι τολ-
μήσας ἀναιρεῖται ὑπὸ τῶν βαρβάρων· τὴν δὲ ἀρχὴν Ἀν-
3 τίγονος ἀνεσώσατο ὁ Δημητρίου. 3. Σέλευκον δὲ βασι-
λέων ἐν τοῖς μάλιστα πείθομαι καὶ ἄλλως γενέσθαι δί-
καιον καὶ πρὸς τὸ θεῖον εὐσεβῆ. τοῦτο μὲν γὰρ Σέλευκός
ἐστιν ὁ Μιλησίοις τὸν χαλκοῦν καταπέμψας Ἀπόλλωνα
ἐς Βραγχίδας, ἀνακομισθέντα ἐς Ἐκβάτανα τὰ Μηδικὰ
ὑπὸ Ξέρξου· τοῦτο δὲ Σελεύκειαν οἰκίσας ἐπὶ Τίγρητι
ποταμῷ καὶ Βαβυλωνίους οὗτος ἐπαγόμενος ἐς αὐτὴν
συνοίκους ὑπελίπετο μὲν τὸ τεῖχος Βαβυλῶνος, ὑπελί-
πετο δὲ τοῦ Βὴλ τὸ ἱερὸν καὶ περὶ αὐτὸ τοὺς Χαλδαίους
οἰκεῖν.

**XVII.** Ἀθηναίοις δὲ ἐν τῇ ἀγορᾷ καὶ ἄλλα ἐστὶν οὐκ
ἐς ἅπαντας ἐπίσημα καὶ Ἐλέου βωμός, ᾧ, μάλιστα θεῶν
ἐς ἀνθρώπινον βίον καὶ μεταβολὰς πραγμάτων ὅτι ὠφέ-
λιμος, μόνοι τιμὰς Ἑλλήνων νέμουσιν Ἀθηναῖοι. τού-
τοις δὲ οὐ τὰ ἐς φιλανθρωπίαν μόνον καθέστηκεν, ἀλλὰ
καὶ θεοὺς εὐσεβοῦσιν ἄλλων πλέον· καὶ γὰρ Αἰδοῦς
σφίσι βωμός ἐστι καὶ Φήμης καὶ Ὁρμῆς. δῆλά τε ἐναρ-
γῶς, ὅσοις πλέον τι ἑτέρων εὐσεβείας μέτεστιν, ἴσον
2 σφίσι παρὸν τύχης χρηστῆς. 2. Ἐν δὲ τῷ γυμνασίῳ τῆς
ἀγορᾶς ἀπέχοντι οὐ πολύ, Πτολεμαίου δὲ ἀπὸ τοῦ κατα-
σκευασαμένου καλουμένῳ, λίθου τέ εἰσιν Ἑρμαῖ θέας
ἄξιοι καὶ εἰκὼν Πτολεμαίου χαλκῆ· καὶ ὅ τε Λίβυς Ἰόβας
ἐνταῦθα κεῖται καὶ Χρύσιππος ὁ Σολεύς. πρὸς δὲ τῷ
γυμνασίῳ Θησέως ἐστὶν ἱερόν· γραφαὶ δέ εἰσι πρὸς Ἀμα-
ζόνας Ἀθηναῖοι μαχόμενοι. πεποίηται δέ σφισιν ὁ πόλε-
μος οὗτος καὶ τῇ Ἀθηνᾷ ἐπὶ τῇ ἀσπίδι καὶ τοῦ Ὀλυμπίου
Διὸς ἐπὶ τῷ βάθρῳ. γέγραπται δὲ ἐν τῷ τοῦ Θησέως ἱερῷ 40
καὶ ἡ Κενταύρων καὶ [ἡ] Λαπιθῶν μάχη· Θησεὺς μὲν
οὖν ἀπεκτονώς ἐστιν ἤδη Κένταυρον, τοῖς δὲ ἄλλοις ἐξ

ἴσου καθέστηκεν ἔτι ἡ μάχη. τοῦ δὲ τρίτου τῶν τοίχων 3
ἡ γραφὴ μὴ πυθομένοις ἃ λέγουσιν οὐ σαφής ἐστιν, τὰ
μέν που διὰ τὸν χρόνον, τὰ δὲ Μίκων οὐ τὸν πάντα
ἔγραψε λόγον. 3. Μίνως ἡνίκα Θησέα καὶ τὸν ἄλλον στό-
λον τῶν παίδων ἦγεν ἐς Κρήτην, ἐρασθεὶς Περιβοίας,
ὥς οἱ Θησεὺς μάλιστα ἠναντιοῦτο, καὶ ἄλλα ὑπὸ ὀργῆς
ἀπέρριψεν ἐς αὐτὸν καὶ παῖδα οὐκ ἔφη Ποσειδῶνος εἶ-
ναι, ἐπεὶ οὐ δύνασθαι τὴν σφραγῖδα, ἣν αὐτὸς φέρων
ἔτυχεν, ἀφέντι ἐς θάλασσαν ἀνασῶσαί οἱ. Μίνως μὲν λέ-
γεται ταῦτα εἰπὼν ἀφεῖναι τὴν σφραγῖδα· Θησέα δὲ
σφραγῖδά τε ἐκείνην ἔχοντα καὶ στέφανον χρυσοῦν,
Ἀμφιτρίτης δῶρον, ἀνελθεῖν λέγουσιν ἐκ τῆς θαλάσσης.
4. Ἐς δὲ τὴν τελευτὴν τὴν Θησέως πολλὰ ἤδη καὶ οὐχ 4
ὁμολογοῦντα εἴρηται· δεδέσθαι τε γὰρ αὐτὸν λέγουσιν
ἐς τόδε ἕως ὑφ' Ἡρακλέους ἀναχθείη. πιθανώτατα δὲ
ὧν ἤκουσα· Θησεὺς ἐς Θεσπρωτοὺς ἐμβαλών, τοῦ βασι-
λέως τῶν Θεσπρωτῶν γυναῖκα ἁρπάσων, τὸ πολὺ τῆς
στρατιᾶς οὕτως ἀπόλλυσι, καὶ αὐτός τε καὶ Πειρίθους,
Πειρίθους γὰρ καὶ τὸν γάμον σπεύδων ἐστράτευεν, ἥλω-
σαν, καὶ σφᾶς ὁ Θεσπρωτὸς δήσας εἶχεν ἐν Κιχύρῳ.
5. Γῆς δὲ τῆς Θεσπρωτίδος ἔστι μέν που καὶ ἄλλα θέας 5
ἄξια, ἱερόν τε Διὸς ἐν Δωδώνῃ καὶ ἱερὰ τοῦ θεοῦ φηγός·
πρὸς δὲ τῇ Κιχύρῳ λίμνη τέ ἐστιν Ἀχερουσία καλουμένη
καὶ ποταμὸς Ἀχέρων, ῥεῖ δὲ καὶ Κωκυτὸς ὕδωρ ἀτερπέ-
στατον. Ὅμηρός τέ μοι δοκεῖ ταῦτα ἑωρακὼς ἔς τε τὴν
ἄλλην ποίησιν ἀποτολμῆσαι τῶν ἐν Ἅιδου, καὶ δὴ καὶ τὰ
ὀνόματα τοῖς ποταμοῖς ἀπὸ τῶν ἐν Θεσπρωτίδι θέσθαι.
6. Τότε δὲ ἐχομένου Θησέως στρατεύουσιν ἐς Ἄφιδναν
οἱ Τυνδάρεω παῖδες, καὶ τήν τε Ἄφιδναν αἱροῦσι καὶ
Μενεσθέα ἐπὶ βασιλείᾳ κατήγαγον. Μενεσθεὺς δὲ τῶν 6
μὲν παίδων τῶν Θησέως παρ' Ἐλεφήνορα ὑπεξελθόντων
41 ἐς Εὔβοιαν εἶχεν οὐδένα λόγον· Θησέα δέ, εἴ ποτε παρὰ

Θεσπρωτῶν ἀνακομισθήσεται, δυσανταγώνιστον ἡγούμενος διὰ θεραπείας τὰ τοῦ δήμου καθίστατο, ὡς Θησέα ἀνασωθέντα ὕστερον ἀπωσθῆναι. στέλλεται δὴ Θησεὺς παρὰ Δευκαλίωνα ἐς Κρήτην, ἐξενεχθέντα δὲ αὐτὸν ὑπὸ πνευμάτων ἐς Σκῦρον τὴν νῆσον λαμπρῶς περιεῖπον οἱ Σκύριοι κατὰ γένους δόξαν καὶ ἀξίωμα ὧν ἦν αὐτὸς εἰργασμένος· καί οἱ θάνατον Λυκομήδης διὰ ταῦτα ἐβούλευσεν. ὁ μὲν δὴ Θησέως σηκὸς Ἀθηναίοις ἐγένετο ὕστερον ἢ Μῆδοι Μαραθῶνι ἔσχον, Κίμωνος τοῦ Μιλτιάδου Σκυρίους ποιήσαντος ἀναστάτους, δίκην δὴ τοῦ Θησέως θανάτου, καὶ τὰ ὀστᾶ κομίσαντος ἐς Ἀθήνας.

XVIII. Τὸ δὲ ἱερὸν τῶν Διοσκούρων ἐστὶν ἀρχαῖον· αὐτοί τε ἑστῶτες καὶ οἱ παῖδες καθήμενοί σφισιν ἐφ' ἵππων. ἐνταῦθα Πολύγνωτος μὲν ἔχοντα ἐς αὐτοὺς ἔγραψε γάμον τῶν θυγατέρων τῶν Λευκίππου, Μίκων δὲ τοὺς μετὰ Ἰάσονος ἐς Κόλχους πλεύσαντας· καί οἱ τῆς γραφῆς ἡ σπουδὴ μάλιστα ἐς Ἄκαστον καὶ τοὺς ἵππους ἔχει τοὺς
2 Ἀκάστου. 2. Ὑπὲρ δὲ τῶν Διοσκούρων τὸ ἱερὸν Ἀγλαύρου τέμενός ἐστιν. Ἀγλαύρῳ δὲ καὶ ταῖς ἀδελφαῖς Ἕρσῃ καὶ Πανδρόσῳ δοῦναί φασιν Ἀθηνᾶν Ἐριχθόνιον, καταθεῖσαν ἐς κιβωτόν, ἀπειποῦσαν ἐς τὴν παρακαταθήκην μὴ πολυπραγμονεῖν. Πάνδροσον μὲν δὴ λέγουσι πείθεσθαι, τὰς δὲ δύο, ἀνοῖξαι γὰρ σφᾶς τὴν κιβωτόν, μαίνεσθαί τε, ὡς εἶδον τὸν Ἐριχθόνιον, καὶ κατὰ τῆς ἀκροπόλεως, ἔνθα ἦν μάλιστα ἀπότομον, αὑτὰς ῥῖψαι. κατὰ τοῦτο ἐπαναβάντες Μῆδοι κατεφόνευσαν Ἀθηναίων τοὺς πλέον τι ἐς τὸν χρησμὸν ἢ Θεμιστοκλῆς εἰδέναι νομίζοντας καὶ τὴν ἀκρόπολιν ξύλοις καὶ σταυροῖς ἀποτει-
3 χίσαντας. 3. Πλησίον δὲ Πρυτανεῖόν ἐστιν, ἐν ᾧ νόμοι τε οἱ Σόλωνός εἰσι γεγραμμένοι, καὶ θεῶν Εἰρήνης ἀγάλματα κεῖται καὶ Ἑστίας, ἀνδριάντες δὲ ἄλλοι τε καὶ Αὐτόλυκος ὁ παγκρατιαστής· τὰς γὰρ Μιλτιάδου καὶ Θεμιστο- 42

κλέους εἰκόνας ἐς Ῥωμαῖόν τε ἄνδρα καὶ Θρᾷκα μετέγραψαν. 4. Ἐντεῦθεν ἰοῦσιν ἐς τὰ κάτω τῆς πόλεως Σαράπι- 4
δός ἐστιν ἱερόν, ὃν Ἀθηναῖοι παρὰ Πτολεμαίου θεὸν ἐσηγάγοντο. Αἰγυπτίοις δὲ ἱερὰ Σαράπιδος ἐπιφανέστατον μέν ἐστιν Ἀλεξανδρεῦσιν, ἀρχαιότατον δὲ ἐν Μέμφει· ἐς τοῦτο ἐσελθεῖν οὔτε ξένοις ἔστιν οὔτε τοῖς ἱερεῦσι, πρὶν ἂν τὸν Ἆπιν θάπτωσι. 5. τοῦ δὲ ἱεροῦ τοῦ Σαράπιδος οὐ πόρρω χωρίον ἐστὶν ἔνθα Πειρίθουν καὶ Θησέα συνθεμένους ἐς Λακεδαίμονα καὶ ὕστερον ἐς Θεσπρωτοὺς σταλῆναι λέγουσι. πλησίον δὲ ᾠκοδόμητο ναὸς 5
Εἰλειθυίας, ἥν ἐλθοῦσαν ἐξ Ὑπερβορέων ἐς Δῆλον γενέσθαι βοηθὸν ταῖς Λητοῦς ὠδῖσι, τοὺς δὲ ἄλλους παρ' αὐτῶν φασὶ τῆς Εἰλειθυίας μαθεῖν τὸ ὄνομα· καὶ θύουσί τε Εἰλειθυίᾳ Δήλιοι καὶ ὕμνον ᾄδουσιν Ὠλῆνος. Κρῆτες δὲ χώρας τῆς Κνωσίας ἐν Ἀμνισῷ γενέσθαι νομίζουσιν Εἰλείθυιαν καὶ παῖδα Ἥρας εἶναι. μόνοις δὲ Ἀθηναίοις τῆς Εἰλειθυίας κεκάλυπται τὰ ξόανα ἐς ἄκρους τοὺς πόδας. τὰ μὲν δὴ δύο εἶναι Κρητικὰ καὶ Φαίδρας ἀναθήματα ἔλεγον αἱ γυναῖκες, τὸ δὲ ἀρχαιότατον Ἐρυσίχθονα ἐκ Δήλου κομίσαι.

6. Πρὶν δὲ ἐς τὸ ἱερὸν ἰέναι τοῦ Διὸς τοῦ Ὀλυμπίου 6
— Ἀδριανὸς ὁ Ῥωμαίων βασιλεὺς τόν τε ναὸν ἀνέθηκε καὶ τὸ ἄγαλμα θέας ἄξιον, οὗ μεγέθει μέν, ὅτι μὴ Ῥοδίοις καὶ Ῥωμαίοις εἰσὶν οἱ κολοσσοί, τὰ λοιπὰ ἀγάλματα ὁμοίως ἀπολείπεται, πεποίηται δὲ ἔκ τε ἐλέφαντος καὶ χρυσοῦ, καὶ ἔχει τέχνης εὖ πρὸς τὸ μέγεθος ὁρῶσιν — ἐνταῦθα εἰκόνες Ἀδριανοῦ δύο μέν εἰσι Θασίου λίθου, δύο δὲ Αἰγυπτίου· χαλκαῖ δὲ ἑστᾶσι πρὸ τῶν κιόνων ἃς
43 Ἀθηναῖοι καλοῦσιν ἀποίκους πόλεις. ὁ μὲν δὴ πᾶς περίβολος σταδίων μάλιστα τεσσάρων ἐστίν, ἀνδριάντων δὲ πλήρης· ἀπὸ γὰρ πόλεως ἑκάστης εἰκὼν Ἀδριανοῦ βασιλέως ἀνάκειται, καὶ σφᾶς ὑπερεβάλοντο Ἀθηναῖοι τὸν

7 κολοσσὸν ἀναθέντες ὄπισθε τοῦ ναοῦ θέας ἄξιον. 7. Ἔστι
δὲ ἀρχαῖα ἐν τῷ περιβόλῳ Ζεὺς χαλκοῦς καὶ ναὸς Κρόνου
καὶ Ῥέας καὶ τέμενος Γῆς ἐπίκλησιν Ὀλυμπίας. ἐνταῦθα
ὅσον ἐς πῆχυν τὸ ἔδαφος διέστηκε, καὶ λέγουσι μετὰ τὴν
ἐπομβρίαν τὴν ἐπὶ Δευκαλίωνος συμβᾶσαν ὑπορρυῆναι
ταύτῃ τὸ ὕδωρ, ἐσβάλλουσί τε ἐς αὐτὸ ἀνὰ πᾶν ἔτος ἄλ-
8 φιτα πυρῶν μέλιτι μάξαντες. 8. Κεῖται δὲ ἐπὶ κίονος
Ἰσοκράτους ἀνδριάς, ὃς ἐς μνήμην τρία ὑπελίπετο, ἐπι-
πονώτατον μὲν ὅτι οἱ βιώσαντι ἔτη δυοῖν δέοντα ἑκατὸν
οὔποτε κατελύθη μαθητὰς ἔχειν, σωφρονέστατον δὲ ὅτι
πολιτείας ἀπεχόμενος διέμεινε καὶ τὰ κοινὰ οὐ πολυ-
πραγμονῶν, ἐλευθερώτατον δὲ ὅτι πρὸς τὴν ἀγγελίαν
τῆς ἐν Χαιρωνείᾳ μάχης ἀλγήσας ἐτελεύτησεν ἐθελοντής.
κεῖνται δὲ καὶ λίθου Φρυγίου Πέρσαι χαλκοῦν τρίποδα
ἀνέχοντες, θέας ἄξιοι καὶ αὐτοὶ καὶ ὁ τρίπους. τοῦ δὲ
Ὀλυμπίου Διὸς Δευκαλίωνα οἰκοδομῆσαι λέγουσι τὸ
ἀρχαῖον ἱερόν, σημεῖον ἀποφαίνοντες ὡς Δευκαλίων
Ἀθήνῃσιν ᾤκησε τάφον τοῦ ναοῦ τοῦ νῦν οὐ πολὺ ἀφε-
9 στηκότα. 9. Ἀδριανὸς δὲ κατεσκευάσατο μὲν καὶ ἄλλα
Ἀθηναίοις, ναὸν Ἥρας καὶ Διὸς Πανελληνίου καὶ θεοῖς
τοῖς πᾶσιν ἱερὸν κοινόν· τὰ δὲ ἐπιφανέστατα ἑκατόν εἰσι
κίονες· Φρυγίου λίθου πεποίηνται καὶ ταῖς στοαῖς κατὰ
τὰ αὐτὰ οἱ τοῖχοι. καὶ οἴκημα ἐνταῦθά ἐστιν ὀρόφῳ τε
ἐπιχρύσῳ καὶ ἀλαβάστρῳ λίθῳ, πρὸς δὲ ἀγάλμασι κεκο-
σμημένον καὶ γραφαῖς· κατάκειται δὲ ἐς αὐτὸ βιβλία.
καὶ γυμνάσιόν ἐστιν ἐπώνυμον Ἀδριανοῦ· κίονες δὲ καὶ
ἐνταῦθα ἑκατὸν λιθοτομίας τῆς Λιβύων.

XIX. Μετὰ δὲ τὸν ναὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου 44
πλησίον ἄγαλμά ἐστιν Ἀπόλλωνος Πυθίου. ἔστι δὲ καὶ
ἄλλο ἱερὸν Ἀπόλλωνος ἐπίκλησιν Δελφινίου. λέγουσι
δὲ ὡς ἐξειργασμένου τοῦ ναοῦ πλὴν τῆς ὀροφῆς ἀγνὼς
ἔτι τοῖς πᾶσιν ἀφίκοιτο Θησεὺς ἐς τὴν πόλιν. οἷα δὲ

χιτῶνα ἔχοντος αὐτοῦ ποδήρη καὶ πεπλεγμένης ἐς εὐπρεπὲς οἱ τῆς κόμης, ὡς ἐγένετο κατὰ τὸν τοῦ Δελφινίου ναόν, οἱ τὴν στέγην οἰκοδομοῦντες ἤροντο σὺν χλευασίᾳ ὅ τι δὴ παρθένος ἐν ὥρᾳ γάμου πλανᾶται μόνη. Θησεὺς δὲ ἄλλο μὲν αὐτοῖς ἐδήλωσεν οὐδέν, ἀπολύσας δέ, ὡς λέγεται, τῆς ἁμάξης τοὺς βοῦς ἣ σφισι παρῆν, ἐς τὸν ὄροφον ἀνέρριψεν ὑψηλότερον ἢ τῷ ναῷ τὴν στέγην ἐποιοῦντο. 2. Ἐς δὲ τὸ χωρίον ὃ Κήπους ὀνομάζουσι 2
καὶ τῆς Ἀφροδίτης τὸν ναὸν οὐδεὶς λεγόμενός σφισίν ἐστι λόγος· οὐ μὴν οὐδὲ ἐς τὴν Ἀφροδίτην ἣ τοῦ ναοῦ πλησίον ἕστηκε. ταύτης γὰρ σχῆμα μὲν τετράγωνον κατὰ ταὐτὰ καὶ τοῖς Ἑρμαῖς, τὸ δὲ ἐπίγραμμα σημαίνει τὴν Οὐρανίαν Ἀφροδίτην τῶν καλουμένων Μοιρῶν εἶναι πρεσβυτάτην. τὸ δὲ ἄγαλμα Ἀφροδίτης τῆς ἐν Κήποις ἔργον ἐστὶν Ἀλκαμένους, καὶ τῶν Ἀθήνησιν ἐν ὀλίγοις θέας ἄξιον. 3. Ἔστι δὲ Ἡρακλέους ἱερὸν καλούμενον 3
Κυνόσαργες· καὶ τὰ μὲν ἐς τὴν κύνα εἰδέναι τὴν λευκὴν ἐπιλεξαμένοις ἔστι τὸν χρησμόν· βωμοὶ δέ εἰσιν Ἡρακλέους τε καὶ Ἥβης, ἣν Διὸς παῖδα οὖσαν συνοικεῖν Ἡρακλεῖ νομίζουσιν. Ἀλκμήνης τε βωμὸς καὶ Ἰολάου πεποίηται, ὃς τὰ πολλὰ Ἡρακλεῖ συνεπόνησε τῶν ἔργων. 4. Λύκειον δὲ ἀπὸ μὲν Λύκου τοῦ Πανδίονος ἔχει τὸ ὄνομα, Ἀπόλλωνος δὲ ἱερὸν ἐξ ἀρχῆς τε εὐθὺς καὶ καθ' ἡμᾶς ἐνομίζετο, Λύκειός τε ὁ θεὸς ἐνταῦθα ὠνομάσθη πρῶτον. λέγεται δὲ ὅτι καὶ Τερμίλαις, ἐς οὓς ἦλθεν ὁ
45 Λύκος φεύγων Αἰγέα, καὶ τούτοις αἴτιός ἐστι Λυκίους ἀπ' αὐτοῦ καλεῖσθαι. 5. ἔστι δὲ ὄπισθεν τοῦ Λυκείου 4
Νίσου μνῆμα, ὃν ἀποθανόντα ὑπὸ Μίνω βασιλεύοντα Μεγάρων κομίσαντες Ἀθηναῖοι ταύτῃ θάπτουσιν. ἐς τοῦτον τὸν Νῖσον ἔχει λόγος τρίχας ἐν τῇ κεφαλῇ οἱ πορφυρᾶς εἶναι, χρῆναι δὲ αὐτὸν τελευτᾶν ἐπὶ ταύταις ἀποκαρείσαις. ὡς δὲ οἱ Κρῆτες ἦλθον ἐς τὴν γῆν, τὰς μὲν

ἄλλας ἐξ ἐπιδρομῆς ᾕρουν τὰς ἐν τῇ Μεγαρίδι πόλεις, ἐς δὲ τὴν Νίσαιαν καταφεύγοντα τὸν Νῖσον ἐπολιόρκουν. ἐνταῦθα τοῦ Νίσου λέγεται θυγατέρα ἐρασθῆναι Μίνω, καὶ ὡς ἀπέκειρε τὰς τρίχας τοῦ πατρός. ταῦτα μὲν οὕτω
5 γενέσθαι λέγουσι. 6. Ποταμοὶ δὲ Ἀθηναίοις ῥέουσιν Εἰλισσός τε καὶ Ἠριδανῷ τῷ Κελτικῷ κατὰ τὰ αὐτὰ ὄνομα ἔχων, ἐκδιδοὺς ἐς τὸν Εἰλισσόν. ὁ δὲ Εἰλισσός ἐστιν οὗτος ἔνθα παίζουσαν Ὠρείθυιαν ὑπὸ ἀνέμου Βορέου φασὶν ἁρπασθῆναι, καὶ συνοικεῖν Ὠρειθυίᾳ Βορέαν, καί σφισι διὰ τὸ κῆδος ἀμύναντα τῶν τριήρων τῶν βαρβαρικῶν ἀπολέσαι τὰς πολλάς. ἐθέλουσι δὲ Ἀθηναῖοι καὶ ἄλλων θεῶν ἱερὸν εἶναι τὸν Εἰλισσόν, καὶ Μουσῶν βωμος ἐπ' αὐτῷ ἐστὶν Εἰλισσιάδων. δείκνυται δὲ καὶ ἔνθα Πελοποννήσιοι Κόδρον τὸν Μελάνθου βασιλεύοντα
6 Ἀθηναίων κτείνουσι. 7. Διαβᾶσι δὲ τὸν Εἰλισσὸν χωρίον Ἄγραι καλούμενον καὶ ναὸς Ἀγροτέρας ἐστὶν Ἀρτέμιδος. ἐνταῦθα Ἄρτεμιν πρῶτον θηρεῦσαι λέγουσιν ἐλθοῦσαν ἐκ Δήλου· καὶ τὸ ἄγαλμα διὰ τοῦτο ἔχει τόξον. τὸ δὲ ἀκούσασι μὲν οὐχ ὁμοίως ἐπαγωγόν, θαῦμα δ' ἰδοῦσι, στάδιόν ἐστι λευκοῦ λίθου. μέγεθος δὲ αὐτοῦ τῇδε ἄν τις μάλιστα τεκμαίροιτο· ἄνωθεν ὄρος ὑπὲρ τὸν Εἰλισσὸν ἀρχόμενον ἐκ μηνοειδοῦς καθήκει τοῦ ποτα- 46
μοῦ πρὸς τὴν ὄχθην εὐθύ τε καὶ διπλοῦν. τοῦτο ἀνὴρ Ἀθηναῖος Ἡρώδης ᾠκοδόμησε, καί οἱ τὸ πολὺ τῆς λιθοτομίας τῆς Πεντέλησιν ἐς τὴν οἰκοδομὴν ἀνηλώθη.

XX. Ἔστι δὲ ὁδὸς ἀπὸ τοῦ Πρυτανείου καλουμένη Τρίποδες· ἀφ' οὗ καλοῦσι τὸ χωρίον, ναοὶ θεῶν ἐς τοῦτο μεγάλοι καί σφισιν ἐφεστήκασι τρίποδες, χαλκοῖ μέν, μνήμης δὲ ἄξια μάλιστα περιέχοντες εἰργασμένα. Σάτυρος γάρ ἐστιν, ἐφ' ᾧ Πραξιτέλην λέγεται φρονῆσαι μέγα· καί ποτε Φρύνης αἰτούσης ὅ τι οἱ κάλλιστον εἴη τῶν ἔργων, ὁμολογεῖν μέν φασιν οἷα ἐραστὴν διδόναι,

κατειπεῖν δ' οὐκ ἐθέλειν ὅ τι κάλλιστον αὐτῷ οἱ φαίνοιτο.
ἐσδραμὼν οὖν οἰκέτης Φρυνης ἔφασκεν οἴχεσθαι Πρα-
ξιτέλει τὸ πολὺ τῶν ἔργων πυρὸς ἐσπεσόντος ἐς τὸ
οἴκημα, οὐ μὲν οὖν πάντα γε ἀφανισθῆναι. Πραξιτέλης 2
δὲ αὐτίκα ἔθει διὰ θυρῶν ἔξω, καί οἱ καμόντι οὐδὲν
ἔφασκεν εἶναι πλέον, εἰ δὴ καὶ τὸν Σάτυρον ἡ φλὸξ καὶ
τὸν Ἔρωτα ἐπέλαβε. Φρύνη δὲ μένειν θαρροῦντα ἐκέ-
λευε· παθεῖν γὰρ ἀνιαρὸν οὐδέν, τέχνῃ δὲ ἁλόντα ὁμο-
λογεῖν τὰ κάλλιστα ὧν ἐποίησε. Φρύνη μὲν οὕτω τὸν
Ἔρωτα αἱρεῖται· Διονύσῳ δὲ ἐν τῷ ναῷ τῷ πλησίον Σά-
τυρός ἐστι παῖς καὶ δίδωσιν ἔκπωμα· Ἔρωτα δ' ἑστηκότα
ὁμοῦ καὶ Διόνυσον Θυμίλος ἐποίησεν. 2. Τοῦ Διονύ- 3
σου δέ ἐστι πρὸς τῷ θεάτρῳ τὸ ἀρχαιότατον ἱερόν. δύο
δέ εἰσιν ἐντὸς τοῦ περιβόλου ναοὶ καὶ Διόνυσοι, ὅ τε
Ἐλευθερεὺς καὶ ὃν Ἀλκαμένης ἐποίησεν ἐλέφαντος καὶ
χρυσοῦ. γραφαὶ δὲ αὐτόθι Διόνυσός ἐστιν ἀνάγων Ἥφαι-
στον ἐς οὐρανόν. λέγεται δὲ καὶ τάδε ὑπὸ Ἑλλήνων, ὡς
Ἥρα ῥίψαι γενόμενον Ἥφαιστον, ὁ δέ οἱ μνησικακῶν
πέμψαι δῶρον χρυσοῦν θρόνον ἀφανεῖς δεσμοὺς ἔχοντα·
καὶ τὴν μὲν ἐπεί τε ἐκαθέζετο δεδέσθαι, θεῶν δὲ τῶν μὲν
ἄλλων οὐδενὶ τὸν Ἥφαιστον ἐθέλειν πείθεσθαι, Διό-
νυσος δέ, μάλιστα γὰρ ἐς τοῦτον πιστὰ ἦν Ἡφαίστῳ,
μεθύσας αὐτὸν ἐς οὐρανὸν ἤγαγε. ταῦτά τε δὴ γεγραμ-
μένα εἰσὶ καὶ Πενθεὺς καὶ Λυκοῦργος ὧν ἐς Διόνυσον
47 ὕβρισαν διδόντες δίκας, Ἀριάδνη δὲ καθεύδουσα καὶ
Θησεὺς ἀναγόμενος καὶ Διόνυσος ἥκων ἐς τῆς Ἀριάδνης
τὴν ἁρπαγήν. 3. Ἔστι δὲ πλησίον τοῦ τε ἱεροῦ τοῦ Διο- 4
νύσου καὶ τοῦ θεάτρου κατασκεύασμα, ποιηθῆναι δὲ τῆς
σκηνῆς αὐτὸ ἐς μίμησιν τῆς Ξέρξου λέγεται. ἐποιήθη δὲ
καὶ δεύτερον· τὸ γὰρ ἀρχαῖον στρατηγὸς Ῥωμαίων ἐνέ-
πρησε Σύλλας Ἀθήνας ἑλών. αἰτία δὲ ἥδε τοῦ πολέμου.
Μιθριδάτης ἐβασίλευσε βαρβάρων τῶν περὶ τὸν Πόντον

τὸν Εὔξεινον. πρόφασις μὲν δὴ δι' ἥντινα Ῥωμαίοις ἐπο-
λέμησε, καὶ ὃν τρόπον ἐς τὴν Ἀσίαν διέβη, καὶ ὅσας ἢ
πολέμῳ βιασάμενος πόλεις ἔσχεν ἢ φίλας ἐποιήσατο,
τάδε μὲν τοῖς ἐπίστασθαι τὰ Μιθριδάτου θέλουσι μελέ-
τω· ἐγὼ δὲ ὅσον ἐς τὴν ἅλωσιν τὴν Ἀθηναίων ἔχει δη-
5 λώσω. ἦν Ἀριστίων Ἀθηναῖος, ᾧ Μιθριδάτης πρεσβεύειν
ἐς τὰς πόλεις τὰς Ἑλληνίδας ἐχρῆτο· οὗτος ἀνέπεισεν
Ἀθηναίους Μιθριδάτην θέσθαι Ῥωμαίων ἐπίπροσθεν.
ἀνέπεισε δὲ οὐ πάντας, ἀλλ' ὅσον δῆμος ἦν καὶ δήμου τὸ
ταραχῶδες· Ἀθηναῖοι δὲ ὧν τις λόγος, παρὰ τοὺς Ῥω-
μαίους ἐκπίπτουσιν ἐθελονταί. γενομένης δὲ μάχης πολλῷ
περιῆσαν οἱ Ῥωμαῖοι, καὶ φεύγοντας Ἀριστίωνα μὲν καὶ
Ἀθηναίους ἐς τὸ ἄστυ καταδιώκουσιν, Ἀρχέλαον δὲ καὶ
τοὺς βαρβάρους ἐς τὸν Πειραιᾶ· Μιθριδάτου δὲ στρα-
τηγὸς καὶ οὗτος ἦν, ὃν πρότερον τούτων Μάγνητες οἱ
τὸν Σίπυλον οἰκοῦντες σφᾶς ἐπεκδραμόντα αὐτόν τε
τιτρώσκουσι καὶ τῶν βαρβάρων φονεύουσι τοὺς πολ-
6 λούς. 4. Ἀθηναίοις μὲν δὴ πολιορκία καθειστήκει,
Ταξίλος δὲ Μιθριδάτου στρατηγὸς ἐτύγχανε μὲν περι-
καθήμενος Ἐλάτειαν τὴν ἐν τῇ Φωκίδι, ἀφικομένων δὲ
ἀγγέλων ἀναστήσας τὸν στρατὸν ἐς τὴν Ἀττικὴν ἦγεν.
ἃ πυνθανόμενος ὁ στρατηγὸς τῶν Ῥωμαίων Ἀθήνας μὲν
τοῦ στρατοῦ μέρει πολιορκεῖν ἀφῆκεν, αὐτὸς δὲ Ταξίλῳ
τὸ πολὺ τῆς δυνάμεως ἔχων ἐς Βοιωτοὺς ἀπαντᾷ. τρίτῃ
δὲ ὕστερον ἡμέρᾳ τοῖς Ῥωμαίοις ἦλθον ἐπ' ἀμφότερα τὰ 48
στρατόπεδα ἄγγελοι, Σύλλᾳ μὲν ὡς Ἀθηναίοις εἴη τὸ
τεῖχος ἑαλωκός, τοῖς δὲ Ἀθήνας πολιορκήσασι Ταξίλον
κεκρατῆσθαι μάχῃ περὶ Χαιρώνειαν. Σύλλας δὲ ὡς ἐς
τὴν Ἀττικὴν ἐπανῆλθε, τοὺς ἐναντιωθέντας Ἀθηναίων
καθείρξας ἐς τὸν Κεραμεικὸν τὸν λαχόντα σφῶν ἐκ δε-
7 κάδος ἑκάστης ἐκέλευσεν ἄγεσθαι τὴν ἐπὶ θανάτῳ. Σύλ-
λου δὲ οὐκ ἀνιέντος ἐς Ἀθηναίους τοῦ θυμοῦ λαθόντες

ἐκδιδράσκουσιν ἄνδρες ἐς Δελφούς· ἐρομένοις δέ σφισιν εἰ καταλαμβάνοι τὸ χρεὼν ἤδη καὶ τὰς Ἀθήνας ἐρημωθῆναι, τούτοις ἔχρησεν ἡ Πυθία τὰ ἐς τὸν ἀσκὸν ἔχοντα. Σύλλᾳ δὲ ὕστερον τούτων ἐνέπεσεν ἡ νόσος ἣ καὶ τὸν Σύριον Φερεκύδην ἁλῶναι πυνθάνομαι. Σύλλᾳ δὲ ἔστι μὲν καὶ τὰ ἐς τοὺς πολλοὺς Ἀθηναίων ἀγριώτερα ἢ ὡς ἄνδρα εἰκὸς ἦν ἐργάσασθαι Ῥωμαῖον· ἀλλὰ γὰρ οὐ ταῦτα δὴ αἰτίαν γενέσθαι οἱ δοκῶ τῆς συμφορᾶς, Ἱκεσίου δὲ μήνιμα, ὅτι καταφυγόντα ἐς τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἀπέκτεινεν ἀποσπάσας Ἀριστίωνα. Ἀθῆναι μὲν οὕτως ὑπὸ τοῦ πολέμου κακωθεῖσαι τοῦ Ῥωμαίων αὖθις Ἀδριανοῦ βασιλεύοντος ἤνθησαν.

**XXI.** *Εἰσὶ δὲ Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ*
τραγῳδίας καὶ κωμῳδίας ποιητῶν, αἱ πολλαὶ τῶν ἀφα-
νεστέρων· ὅτι μὴ γὰρ Μένανδρος, οὐδεὶς ἦν ποιητὴς
κωμῳδίας τῶν ἐς δόξαν ἡκόντων: τραγῳδίας δὲ κεῖνται
τῶν φανερῶν Εὐριπίδης καὶ Σοφοκλῆς. 2. Λέγεται δὲ
Σοφοκλέους τελευτήσαντος ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν
Λακεδαιμονίους, καὶ σφῶν τὸν ἡγούμενον ἰδεῖν ἐπι-
49 στάντα οἱ Διόνυσον κελεύειν τιμαῖς, ὅσαι καθεστήκασιν
ἐπὶ τοῖς τεθνεῶσι, τὴν Σειρῆνα τὴν νέαν τιμᾶν· καί οἱ
τὸ ὄναρ ἐς Σοφοκλέα καὶ τὴν Σοφοκλέους ποίησιν ἐφαί-
νετο ἔχειν. εἰώθασι δὲ καὶ νῦν ἔτι ποιημάτων καὶ λόγων
τὸ ἐπαγωγὸν Σειρῆνι εἰκάζειν. 3. Τὴν δὲ εἰκόνα τὴν 2
Αἰσχύλου πολλῷ τι ὕστερον τῆς τελευτῆς δοκῶ ποιηθῆ-
ναι [καὶ] τῆς γραφῆς ἢ τὸ ἔργον ἔχει τὸ Μαραθῶνι. ἔφη
δὲ Αἰσχύλος μειράκιον ὢν καθεύδειν ἐν ἀγρῷ φυλάσσων
σταφυλάς, καί οἱ Διόνυσον ἐπιστάντα κελεῦσαι τραγῳ-
δίαν ποιεῖν· ὡς δὲ ἦν ἡμέρα, πείθεσθαι γὰρ ἐθέλειν,
ῥᾷστα ἤδη πειρώμενος ποιεῖν. οὗτος μὲν ταῦτα ἔλεγεν.
4. Ἐπὶ δὲ τοῦ νοτίου καλουμένου τείχους, ὃ τῆς ἀκρο- 3
πόλεως ἐς τὸ θέατρόν ἐστι τετραμμένον, ἐπὶ τούτου Με-

δούσης τῆς Γοργόνος ἐπίχρυσος ἀνάκειται κεφαλή, καὶ
περὶ αὐτὴν αἰγὶς πεποίηται. 5. Ἐν δὲ τῇ κορυφῇ τοῦ
θεάτρου σπήλαιόν ἐστιν ἐν ταῖς πέτραις ὑπὸ τὴν ἀκρό-
πολιν· τρίπους δὲ ἔπεστι καὶ τούτῳ. Ἀπόλλων δὲ ἐν αὐ-
τῷ καὶ Ἄρτεμις τοὺς παῖδάς εἰσιν ἀναιροῦντες τοὺς Νιό-
βης. ταύτην τὴν Νιόβην καὶ αὐτὸς εἶδον ἀνελθὼν ἐς τὸν
Σίπυλον τὸ ὄρος· ἡ δὲ πλησίον μὲν πέτρα καὶ κρημνός
ἐστιν οὐδὲν παρόντι σχῆμα παρεχόμενος γυναικός, οὔτε
ἄλλως οὔτε πενθούσης· εἰ δέ γε πορρωτέρω γένοιο, δε-
δακρυμένην δόξεις ὁρᾶν καὶ κατηφῆ γυναῖκα.
4 6. Ἰόντων δὲ Ἀθήνησιν ἐς τὴν ἀκρόπολιν ἀπὸ τοῦ
θεάτρου τέθαπται Κάλως. τοῦτον τὸν Κάλων ἀδελφῆς
παῖδα ὄντα καὶ τῆς τέχνης μαθητὴν φονεύσας Δαίδαλος
ἐς Κρήτην ἔφυγε· χρόνῳ δὲ ὕστερον ἐς Σικελίαν ἐκδι-
δράσκει παρὰ Κώκαλον. 7. Τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἱερὸν
ἔς τε τὰ ἀγάλματά ἐστιν, ὁπόσα τοῦ θεοῦ πεποίηται καὶ
τῶν παίδων, καὶ ἐς τὰς γραφὰς θέας ἄξιον. ἔστι δὲ ἐν
αὐτῷ κρήνη, παρ᾽ ᾗ λέγουσι Ποσειδῶνος παῖδα Ἁλιρρό-
θιον θυγατέρα Ἄρεως Ἀλκίππην αἰσχύναντα ἀποθανεῖν
ὑπὸ Ἄρεως, καὶ δίκην ἐπὶ τούτῳ τῷ φόνῳ γενέσθαι πρῶ-
5 τον. ἐνταῦθα ἄλλα τε καὶ Σαυροματικὸς ἀνάκειται θώ-
ραξ· ἐς τοῦτόν τις ἰδὼν οὐδὲν ἧσσον Ἕλλήνων τοὺς βαρ-
βάρους φήσει σοφοὺς ἐς τὰς τέχνας εἶναι. 8. Σαυρομά-
ταις γὰρ οὔτε αὐτοῖς σίδηρός ἐστιν ὀρυσσόμενος οὔτε
σφίσιν ἐσάγουσιν· ἄμικτοι γὰρ μάλιστα τῶν ταύτῃ βαρ-
βάρων εἰσί. πρὸς οὖν τὴν ἀπορίαν ταύτην ἐξεύρηταί
σφισιν· ἐπὶ μὲν τοῖς δόρασιν αἰχμὰς ὀστεΐνας ἀντὶ σιδή-
ρου φοροῦσι, τόξα τε κράνινα καὶ ὀϊστούς, καὶ ὀστεΐνας
ἀκίδας ἐπὶ τοῖς ὀϊστοῖς· καὶ σειρὰς περιβαλόντες τῶν πο-
λεμίων ὁπόσοις καὶ τύχοιεν, τοὺς ἵππους ἀποστρέψαντες
6 ἀνατρέπουσι τοὺς ἐνσχηθέντας ταῖς σειραῖς. τοὺς δὲ
θώρακας ποιοῦνται τὸν τρόπον τοῦτον. ἵππους πολλὰς

ἕκαστος τρέφει, ὡς ἂν οὔτε ἐς ἰδιωτῶν κλήρους τῆς γῆς μεμερισμένης οὔτε τι φερούσης πλὴν ὕλης ἀγρίας, ἅτε ὄντων νομάδων. ταύταις οὐκ ἐς πόλεμον χρῶνται μόνον, ἀλλὰ καὶ θεοῖς θύουσιν ἐπιχωρίοις καὶ ἄλλως σιτοῦνται. συλλεξάμενοι δὲ τὰς ὁπλάς, ἐκκαθήραντές τε καὶ διελόντες ποιοῦσιν ἀπ' αὐτῶν ἐμφερῆ δρακόντων φολίσιν. ὅστις δὲ οὐκ εἶδέ πω δράκοντα, πίτυός γε εἶδε καρπὸν χλωρὸν ἔτι· ταῖς οὖν ἐπὶ τῷ καρπῷ τῆς πίτυος φαινομέναις ἐντομαῖς εἰκάζων τὸ ἔργον τὸ ἐκ τῆς ὁπλῆς οὐκ ἂν ἁμαρτάνοι. ταῦτα διατρήσαντες καὶ νεύροις ἵππων καὶ βοῶν συρράψαντες χρῶνται θώραξιν οὔτε εὐπρεπείᾳ τῶν Ἑλληνικῶν ἀποδέουσιν οὔτε ἀσθενεστέροις· καὶ γὰρ συστάδην τυπτόμενοι καὶ βληθέντες ἀνέχονται. οἱ δὲ 7
θώρακες οἱ λινοῖ μαχομένοις μὲν οὐχ ὁμοίως εἰσὶ χρήσιμοι, διιᾶσι γὰρ καὶ βιαζόμενοι τὸν σίδηρον, θηρεύοντας δὲ ὠφελοῦσιν· ἐναποκλῶνται γάρ σφισι καὶ λεόντων ὀδόντες καὶ παρδάλεων. 9. θώρακας δὲ λινοῦς ἰδεῖν ἔν
1 τε ἄλλοις ἱεροῖς ἔστιν ἀνακειμένους καὶ ἐν Γρυνείῳ, ἔνθα Ἀπόλλωνος κάλλιστον ἄλσος δένδρων καὶ ἡμέρων καὶ ὅσα τῶν ἀκάρπων ὀσμῆς παρέχεταί τινα ἢ θέας ἡδονήν.

XXII. Μετὰ δὲ τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ ταύτῃ πρὸς τὴν ἀκρόπολιν ἰοῦσιν Θέμιδος ναός ἐστι. κέχωσται δὲ πρὸ αὐτοῦ μνῆμα Ἱππολύτῳ. τοῦ δέ οἱ βίου τὴν τελευτὴν συμβῆναι λέγουσιν ἐκ καταρῶν. δῆλα δέ, καὶ ὅστις βαρβάρων γλῶσσαν ἔμαθεν Ἑλλήνων, ὅ τε ἔρως τῆς Φαίδρας καὶ τῆς τροφοῦ τὸ ἐς τὴν διακονίαν τόλμημα 2. ἔστι δὲ καὶ Τροιζηνίοις Ἱππολύτου τάφος· ἔχει δέ σφισιν ὧδε ὁ λόγος. Θησεὺς ὡς ἔμελλεν ἄξεσθαι Φαί- 2
δραν, οὐκ ἐθέλων, εἴ οἱ γένοιντο παῖδες, οὔτε ἄρχεσθαι τὸν Ἱππόλυτον οὔτε βασιλεύειν ἀντ' αὐτῶν, πέμπει παρὰ Πιτθέα τραφησόμενον αὐτὸν καὶ βασιλεύσοντα Τροιζῆνος. χρόνῳ δὲ ὕστερον Πάλλας καὶ οἱ παῖδες

ἐπανέστησαν Θησεῖ· τούτους κτείνας ἐς Τροιζῆνα ἔρχε-
ται καθαρσίων ἕνεκα, καὶ Φαίδρα πρώτη ἐνταῦθα εἶδεν
Ἱππόλυτον καὶ τὰ ἐς τὸν θάνατον ἐρασθεῖσα ἐβούλευσε.
μυρσίνη δέ ἐστι Τροιζηνίοις τὰ φύλλα διὰ πάσης ἔχουσα
τετρυπημένα· φῦναι δὲ οὐκ ἐξ ἀρχῆς αὐτὴν λέγουσιν,
ἀλλὰ τὸ ἔργον γεγενῆσθαι τῆς ἐς τὸν ἔρωτα ἄσης καὶ τῆς
3 περόνης ἣν ἐπὶ ταῖς θριξὶν εἶχεν ἡ Φαίδρα. 3. Ἀφροδίτην
δὲ τὴν Πάνδημον, ἐπεί τε Ἀθηναίους Θησεὺς ἐς μίαν
ἤγαγεν ἀπὸ τῶν δήμων πόλιν, αὐτήν τε σέβεσθαι καὶ
Πειθὼ κατέστησε. τὰ μὲν δὴ παλαιὰ ἀγάλματα οὐκ ἦν
ἐπ᾽ ἐμοῦ· τὰ δὲ ἐπ᾽ ἐμοῦ τεχνιτῶν ἦν οὐ τῶν ἀφανεστά-
των. ἔστι δὲ καὶ Γῆς Κουροτρόφου καὶ Δήμητρος ἱερὸν
Χλόης· τὰ δὲ ἐς τὰς ἐπωνυμίας ἔστιν αὐτῶν διδαχθῆναι
4 τοῖς ἱερεῦσιν ἐλθόντα ἐς λόγους. 4. Ἐς δὲ τὴν ἀκρόπολίν
ἐστιν ἔσοδος μία· ἑτέραν δὲ οὐ παρέχεται, πᾶσα ἀπότομος
οὖσα καὶ τεῖχος ἔχουσα ἐχυρόν. τὰ δὲ προπύλαια λίθου
λευκοῦ τὴν ὀροφὴν ἔχει, καὶ κόσμῳ καὶ μεγέθει τῶν λί-
θων μέχρι γε καὶ ἐμοῦ προεῖχε. τὰς μὲν οὖν εἰκόνας τῶν 52
ἱππέων οὐκ ἔχω σαφῶς εἰπεῖν, εἴτε οἱ παῖδές εἰσιν οἱ
Ξενοφῶντος εἴτε ἄλλως ἐς εὐπρέπειαν πεποιημέναι·
τῶν δὲ προπυλαίων ἐν δεξιᾷ Νίκης ἐστὶν Ἀπτέρου ναός.
5. Ἐντεῦθεν ἡ θάλασσά ἐστι σύνοπτος, καὶ ταύτῃ ῥίψας
5 Αἰγεὺς ἑαυτόν, ὡς λέγουσιν, ἐτελεύτησεν. ἀνήγετο μὲν
γὰρ ἡ ναῦς μέλασιν ἱστίοις ἡ τοὺς παῖδας φέρουσα ἐς
Κρήτην· Θησεὺς δέ, ἔπλει γὰρ τόλμης τι ἔχων ἐς τὸν
Μίνω καλούμενον ταῦρον, πρὸς τὸν πατέρα προεῖπε
χρήσεσθαι τοῖς ἱστίοις λευκοῖς, ἢν ὀπίσω πλέῃ τοῦ ταύ-
ρου κρατήσας. τούτων λήθην ἔσχεν Ἀριάδνην ἀφῃρη-
μένος. ἐνταῦθα Αἰγεὺς ὡς εἶδεν ἱστίοις μέλασι τὴν ναῦν
κομιζομένην, οἷα τὸν παῖδα τεθνάναι δοκῶν, ἀφεὶς αὑ-
τὸν διαφθείρεται· καί οἱ παρὰ Ἀθηναίοις ἐστὶ καλού-
6 μενον ἡρῷον Αἰγέως. 6. Ἔστι δὲ ἐν ἀριστερᾷ τῶν προ-

πυλαίων οἴκημα ἔχον γραφάς· ὁπόσαις δὲ μὴ καθέστηκεν
ὁ χρόνος αἴτιος ἀφανέσιν εἶναι, Διομήδης ἦν καὶ Ὀδυσ-
σεύς, ὁ μὲν ἐν Λήμνῳ τὸ Φιλοκτήτου τόξον, ὁ δὲ τὴν
Ἀθηνᾶν ἀφαιρούμενος ἐξ Ἰλίου. ἐνταῦθα ἐν ταῖς γρα-
φαῖς Ὀρέστης ἐστὶν Αἴγισθον φονεύων, καὶ Πυλάδης
τοὺς παῖδας τοὺς Ναυπλίου βοηθοὺς ἐλθόντας Αἰγίσθῳ.
τοῦ δὲ Ἀχιλλέως τάφου πλησίον μέλλουσά ἐστι σφάζεσθαι
Πολυξένη. Ὁμήρῳ δὲ εὖ μὲν παρείθη τόδε ὠμὸν οὕτως
ἔργον· εὖ δέ μοι φαίνεται ποιήσας Σκῦρον ὑπὸ Ἀχιλλέως
ἁλοῦσαν, οὐδὲν ὁμοίως καὶ ὅσοι λέγουσιν ὁμοῦ ταῖς
παρθένοις Ἀχιλλέα ἔχειν ἐν Σκύρῳ δίαιταν, ἃ δὴ καὶ
Πολύγνωτος ἔγραψεν. ἔγραψε δὲ καὶ πρὸς τῷ ποταμῷ
ταῖς ὁμοῦ Ναυσικᾷ πλυνούσαις ἐφιστάμενον Ὀδυσσέα
κατὰ τὰ αὐτὰ καθὰ δὴ καὶ Ὅμηρος ἐποίησε. γραφαὶ δέ
εἰσι καὶ ἄλλαι καὶ Ἀλκιβιάδης· ἵππων δέ οἱ νίκης τῆς ἐν 7
Νεμέᾳ ἐστὶ σημεῖα ἐν τῇ γραφῇ. καὶ Περσεύς ἐστιν ἐς
Σέριφον κομιζόμενος, Πολυδέκτῃ φέρων τὴν κεφαλὴν
τὴν Μεδούσης. καὶ τὰ μὲν ἐς Μέδουσαν οὐκ εἰμὶ πρό-
θυμος ἐν τοῖς Ἀττικοῖς σημῆναι. 7. Τῶν δὲ γραφῶν
53 παρέντι τὸν παῖδα τὸν τὰς ὑδρίας φέροντα, καὶ τὸν πα-
λαιστὴν ὃν Τιμαίνετος ἔγραψεν, ἐστὶ Μουσαῖος. ἐγὼ δὲ
ἔπη μὲν ἐπελεξάμην ἐν οἷς ἐστὶ πέτεσθαι Μουσαῖον ὑπὸ
Βορέου δῶρον, δοκεῖν δέ μοι, πεποίηκεν αὐτὰ Ὀνομά-
κριτος, καὶ ἔστιν οὐδὲν Μουσαίου βεβαίως ὅτι μὴ μόνον
ἐς Δήμητρα ὕμνος Λυκομίδαις. 8. Κατὰ δὲ τὴν ἔσοδον 8
αὐτὴν ἤδη τὴν ἐς ἀκρόπολιν Ἑρμῆν, ὃν Προπύλαιον
ὀνομάζουσι, καὶ Χάριτας Σωκράτην ποιῆσαι τὸν Σω-
φρονίσκου λέγουσιν, ᾧ σοφῷ γενέσθαι μάλιστα ἀνθρώ-
πων ἐστὶν ἡ Πυθία μάρτυς, ὃ μηδὲ Ἀνάχαρσιν, ἐθέλοντα
ὅμως καὶ δι᾽ αὐτὸ ἐς Δελφοὺς ἀφικόμενον, προσεῖπεν.

**XXIII.** Ἕλληνες δὲ ἄλλα τε λέγουσι καὶ ἄνδρας ἑπτὰ
γενέσθαι σοφούς. τούτων καὶ τὸν Λέσβιον τύραννον καὶ

Περίανδρον εἶναί φασι τὸν Κυψέλου· καίτοι Περιάνδρου
Πεισίστρατος καὶ ὁ παῖς Ἱππίας φιλάνθρωποι μᾶλλον καὶ
σοφώτεροι τά τε πολεμικὰ ἦσαν καὶ ὅσα ἧκεν ἐς κόσμον
τῶν πολιτῶν, ἐς ὃ διὰ τὸν Ἱππάρχου θάνατον Ἱππίας
ἄλλα τε ἐχρήσατο θυμῷ καὶ ἐς γυναῖκα ὄνομα Λέαιναν.
2 2. ταύτην γάρ, ἐπεί τε ἀπέθανεν Ἵππαρχος, λέγω δὲ οὐκ
ἐς συγγραφὴν πρότερον ἥκοντα, πιστὰ δὲ ἄλλως Ἀθη-
ναίων τοῖς πολλοῖς, Ἱππίας εἶχεν ἐν αἰκίᾳ ἐς ὃ διέφθειρεν,
οἷα ἑταίραν Ἀριστογείτονος ἐπιστάμενος οὖσαν καὶ τὸ
βούλευμα οὐδαμῶς ἀγνοῆσαι δοξάζων. ἀντὶ δὲ τούτων,
ἐπεὶ τυραννίδος ἐπαύθησαν οἱ Πεισιστρατίδαι, χαλκῆ
λέαινα Ἀθηναίοις ἐστὶν ἐς μνήμην τῆς γυναικός, παρὰ
δὲ αὐτὴν ἄγαλμα Ἀφροδίτης, ὃ Καλλίου τέ φασιν ἀνά-
θημα εἶναι καὶ ἔργον Καλάμιδος.
3 Πλησίον δέ ἐστι Διιτρεφοῦς χαλκοῦς ἀνδριὰς ὀϊστοῖς
βεβλημένος. 3. οὗτος ὁ Διιτρεφὴς ἄλλα τε ἔπραξεν ὁπό-
σα λέγουσιν Ἀθηναῖοι, καὶ Θρᾷκας μισθωτοὺς ἀφικο-
μένους ὕστερον ἢ Δημοσθένης ἐς Συρακούσας ἐξέπλευ-
σε, τούτους, ὡς ὑστέρησαν, ὁ Διιτρεφὴς ἀπῆγεν ὀπίσω.
καὶ δὴ κατὰ τὸν Χαλκιδικὸν ἔσχεν Εὔριπον, ἔνθα Βοιω- 54
τῶν ἐν μεσογαίᾳ πόλις Μυκαλησσὸς ἦν· ταύτην ἐσαναβὰς
ἐκ θαλάσσης ὁ Διιτρεφὴς εἷλε. Μυκαλησσίων δὲ οὐ μό-
νον τὸ μάχιμον οἱ Θρᾷκες, ἀλλὰ καὶ γυναῖκας ἐφόνευσαν
καὶ παῖδας. μαρτυρεῖ δέ μοι· Βοιωτῶν γὰρ ὅσους ἀνέστη-
σαν Θηβαῖοι, ᾠκοῦντο αἱ πόλεις ἐπ' ἐμοῦ, διαφυγόντων
ὑπὸ τὴν ἅλωσιν τῶν ἀνθρώπων. εἰ δὲ καὶ Μυκαλησ-
σίοις οἱ βάρβαροι μὴ πᾶσιν ἀποκτείνοντες ἐπεξῆλθον,
4 ὕστερον ἂν τὴν πόλιν ἀπέλαβον οἱ λειφθέντες. 4. το-
σοῦτον μὲν παρέστη μοι θαῦμα ἐς τὴν εἰκόνα τοῦ Διιτρε-
φοῦς, ὅτι ὀϊστοῖς ἐβέβλητο, Ἕλλησιν ὅτι μὴ Κρησὶν οὐκ
ἐπιχώριον ὂν τοξεύειν. Λοκροὺς γὰρ τοὺς Ὀπουντίους
ὁπλιτεύοντας ἤδη κατὰ τὰ Μηδικὰ ἴσμεν, οὓς Ὅμηρος

ἐποίησεν ὡς φερόμενοι τόξα καὶ σφενδόνας ἐς Ἴλιον
ἔλθοιεν. οὐ μὴν οὐδὲ Μαλιεῦσι παρέμεινε μελέτη τῶν
τόξων· δοκῶ δὲ οὔτε πρότερον ἐπίστασθαι σφᾶς πρὶν ἢ
Φιλοκτήτην, παύσασθαί τε οὐ διὰ μακροῦ. 5. Τοῦ δὲ
Διιτρεφοῦς πλησίον, τὰς γὰρ εἰκόνας τὰς ἀφανεστέρας
γράφειν οὐκ ἐθέλω, θεῶν ἀγάλματά ἐστιν Ὑγιείας τε, ἣν
Ἀσκληπιοῦ παῖδα εἶναι λέγουσι, καὶ Ἀθηνᾶς ἐπίκλησιν
καὶ ταύτης Ὑγιείας. 6. Ἔστι δὲ λίθος οὐ μέγας, ἀλλ' 5
ὅσον καθίζεσθαι μικρὸν ἄνδρα· ἐπὶ τούτῳ λέγουσιν,
ἡνίκα Διόνυσος ἦλθεν ἐς τὴν γῆν, ἀναπαύσασθαι τὸν
Σιληνόν. τοὺς γὰρ ἡλικίᾳ τῶν Σατύρων προήκοντας
ὀνομάζουσι Σιληνούς. περὶ δὲ Σατύρων, οἵτινές εἰσιν,
ἑτέρου πλέον ἐθέλων ἐπίστασθαι πολλοῖς αὐτῶν τούτων
ἕνεκα ἐς λόγους ἦλθον. 7. ἔφη δὲ Εὔφημος Κὰρ ἀνὴρ
πλέων ἐς Ἰταλίαν ἁμαρτεῖν ὑπὸ ἀνέμων τοῦ πλοῦ καὶ ἐς
τὴν ἔξω θάλασσαν, ἐς ἣν οὐκέτι πλέουσιν, ἐξενεχθῆναι.
νήσους δὲ εἶναι μὲν ἔλεγεν ἐρήμους πολλάς, ἐν δὲ ἄλλαις
οἰκεῖν ἄνδρας ἀγρίους· ταύταις δὲ οὐκ ἐθέλειν νήσοις
προσίσχειν τοὺς ναύτας, οἷα πρότερόν τε προςσχόντας 6
καὶ τῶν ἐνοικούντων οὐκ ἀπείρως ἔχοντας· βιασθῆναι δ'
οὖν καὶ τότε. ταύτας καλεῖσθαι μὲν ὑπὸ τῶν ναυτῶν
Σατυρίδας, εἶναι δὲ τοὺς ἐνοικοῦντας καὶ πυρροὺς καὶ
ἵππων οὐ πολὺ μείους ἔχειν ἐπὶ τοῖς ἰσχίοις οὐράς. τού-
τους, ὡς ᾔσθοντο, καταδραμόντας ἐπὶ τὴν ναῦν φωνὴν
μὲν οὐδεμίαν ἱέναι, ταῖς δὲ γυναιξὶν ἐπιχειρεῖν ταῖς ἐν
τῇ νηΐ. τέλος δὲ δείσαντας τοὺς ναύτας βάρβαρον γυ-
ναῖκα ἐκβαλεῖν ἐς τὴν νῆσον· ἐς ταύτην οὖν ὑβρίζειν
τοὺς Σατύρους, οὐ μόνον ᾗ καθέστηκεν, ἀλλὰ καὶ τὸ
πᾶν ὁμοίως σῶμα.

8. Καὶ ἄλλα ἐν τῇ Ἀθηναίων ἀκροπόλει θεασάμενος 7
οἶδα, Λυκίου τοῦ Μύρωνος χαλκοῦν παῖδα, ὃς τὸ περιρ-
ραντήριον ἔχει, καὶ Μύρωνος Περσέα τὸ ἐς Μέδουσαν

ἔργον εἰργασμένον. 9. καὶ Ἀρτέμιδος ἱερόν ἐστι Βραυ-
ρωνίας, Πραξιτέλους μὲν τέχνη τὸ ἄγαλμα, τῇ θεῷ δ᾽
ἐστιν ἀπὸ Βραυρῶνος δήμου τὸ ὄνομα. καὶ τὸ ἀρχαῖον
ξόανόν ἐστιν ἐν Βραυρῶνι, Ἄρτεμις, ὡς λέγουσιν, ἡ
8 Ταυρική. 10. Ἵππος δὲ ὁ καλούμενος δούριος ἀνάκειται
χαλκοῦς. καὶ ὅτι μὲν τὸ ποίημα τὸ Ἐπειοῦ μηχάνημα ἦν
ἐς διάλυσιν τοῦ τείχους, οἶδεν ὅστις μὴ πᾶσαν ἐπιφέρει
τοῖς Φρυξὶν εὐήθειαν· λέγεται δὲ ἔς τε ἐκεῖνον τὸν ἵππον
ὡς τῶν Ἑλλήνων ἔνδον ἔχοι τοὺς ἀρίστους, καὶ δὴ καὶ
τοῦ χαλκοῦ τὸ σχῆμά ἐστι κατὰ ταῦτα, καὶ Μενεσθεὺς
καὶ Τεῦκρος ὑπερκύπτουσιν ἐξ αὐτοῦ, προσέτι δὲ καὶ οἱ
9 παῖδες οἱ Θησέως. 11. Ἀνδριάντων δὲ ὅσοι μετὰ τὸν
ἵππον ἑστήκασιν, Ἐπιχαρίνου μὲν ὁπλιτοδρομεῖν ἀσκή-
σαντος τὴν εἰκόνα ἐποίησε Κριτίας, Οἰνοβίῳ δὲ ἔργον
ἐστὶν ἐς Θουκυδίδην τὸν Ὀλόρου χρηστόν· ψήφισμα γὰρ
ἐνίκησεν Οἰνόβιος κατελθεῖν ἐς Ἀθήνας Θουκυδίδην, καί
οἱ δολοφονηθέντι, ὡς κατῄει, μνῆμά ἐστιν οὐ πόρρω
10 πυλῶν Μελιτίδων. 12. Τὰ δὲ ἐς Ἑρμόλυκον τὸν παγκρα-
τιαστὴν καὶ Φορμίωνα τὸν Ἀσωπίχου γραψάντων ἑτέρων
παρίημι· ἐς δὲ Φορμίωνα τοσόνδε ἔχω πλέον γράψαι.
Φορμίωνι γὰρ τοῖς ἐπιεικέσιν Ἀθηναίων ὄντι ὁμοίῳ καὶ
ἐς προγόνων δόξαν οὐκ ἀφανεῖ συνέβαινεν ὀφείλειν
χρέα. ἀναχωρήσας οὖν ἐς τὸν Παιανιέα δῆμον ἐνταῦθα
εἶχε δίαιταν, ἐς ὃ ναύαρχον αὐτὸν Ἀθηναίων αἱρουμένων
ἐκπλεῦσαι οὐκ ἔφασκεν· ὀφείλειν τε γὰρ καί οἱ, πρὶν ἂν
ἐκτίσῃ, πρὸς τοὺς στρατιώτας οὐκ εἶναι παρέχεσθαι φρό-
νημα. οὕτως Ἀθηναῖοι, πάντως γὰρ ἐβούλοντο ἄρχειν
Φορμίωνα, τὰ χρέα ὁπόσοις ὤφειλε διαλύουσιν.

XXIV. Ἐνταῦθα Ἀθηνᾶ πεποίηται τὸν Σιληνὸν
Μαρσύαν παίουσα, ὅτι δὴ τοὺς αὐλοὺς ἀνέλοιτο, ἐρρῖ-
φθαι σφᾶς τῆς θεοῦ βουλομένης. 2. Τούτων πέραν ὧν
εἴρηκα, ἐστὶν ἡ λεγομένη Θησέως μάχη πρὸς τὸν Ταῦρον

τὸν Μίνω καλούμενον, εἴτε ἀνὴρ εἴτε θηρίον ἦν ὁποῖον κεκράτηκεν ὁ λόγος· τέρατα γὰρ πολλῷ καὶ τοῦδε θαυμασιώτερα καὶ καθ' ἡμᾶς ἔτικτον γυναῖκες. κεῖται δὲ καὶ 2
Φρίξος ὁ Ἀθάμαντος ἐξενηνεγμένος ἐς Κόλχους ὑπὸ τοῦ κριοῦ. θύσας δὲ αὐτὸν ὅτῳ δὴ θεῷ, ὡς δὲ εἰκάσαι τῷ Λαφυστίῳ καλουμένῳ παρὰ Ὀρχομενίοις, τοὺς μηροὺς κατὰ νόμον ἐκτεμὼν τὸν Ἑλλήνων ἐς αὐτοὺς καιομένους ὁρᾷ. κεῖνται δὲ ἑξῆς ἄλλαι τε εἰκόνες καὶ Ἡρακλέους· ἄγχει δέ, ὡς λόγος ἔχει, τοὺς δράκοντας. Ἀθηνᾶ τέ ἐστιν ἀνιοῦσα ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἔστι δὲ καὶ ταῦρος ἀνάθημα τῆς βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ, ἐφ' ὅτῳ δὴ ἀνέθηκεν ἡ βουλή· πολλὰ δ' ἄν τις ἐθέλων εἰκάζοι.
3. λέλεκται δέ μοι καὶ πρότερον ὡς Ἀθηναίοις περισσό- 3
τερόν τι ἢ τοῖς ἄλλοις ἐς τὰ θεῖά ἐστι σπουδῆς. πρῶτοι μὲν γὰρ Ἀθηνᾶν ἐπωνόμασαν Ἐργάνην, πρῶτοι δ' ἀκώλους Ἑρμᾶς** ὁμοῦ δέ: σφισιν ἐν τῷ ναῷ Σπουδαίων δαίμων ἐστίν. Ὅστις δὲ τὰ σὺν τέχνῃ πεποιημένα ἐπί-
57 προσθε τίθεται τῶν ἐς ἀρχαιότητα ἡκόντων, καὶ τάδε ἔστιν οἱ θεάσασθαι. κράνος ἐστὶν ἐπικείμενος ἀνήρ, Κλεοίτου, καί οἱ τοὺς ὄνυχας ἀργυροῦς ἐνεποίησεν ὁ Κλεοίτας. ἔστι δὲ καὶ Γῆς ἄγαλμα ἱκετευούσης ὗσαί οἱ τὸν Δία, εἴτε αὐτοῖς ὄμβρου δεῆσαν Ἀθηναίοις, εἴτε καὶ τοῖς πᾶσιν Ἕλλησι συμβὰς αὐχμός. ἐνταῦθα καὶ Τιμόθεος ὁ Κόνωνος καὶ αὐτὸς κεῖται Κόνων. Πρόκνην δὲ τὰ ἐς τὸν παῖδα βεβουλευμένην αὐτήν τε καὶ τὸν Ἴτυν ἀνέθηκεν Ἀλκαμένης. πεποίηται δὲ καὶ τὸ φυτὸν τῆς ἐλαίας Ἀθηνᾶ καὶ κῦμα ἀναφαίνων Ποσειδῶν. 4. καὶ 4
Διός ἐστιν ἄγαλμα τό τε Λεωχάρους καὶ ὁ ὀνομαζόμενος Πολιεύς, ᾧ τὰ καθεστηκότα ἐς τὴν θυσίαν γράφων τὴν ἐπ' αὐτοῖς λεγομένην αἰτίαν οὐ γράφω. τοῦ Διὸς τοῦ Πολιέως κριθὰς καταθέντες ἐπὶ τὸν βωμὸν μεμιγμένας πυροῖς οὐδεμίαν ἔχουσι φυλακήν· ὁ βοῦς δὲ ὃν ἐς τὴν

θυσίαν ἑτοιμάσαντες φυλάσσουσιν, ἅπτεται τῶν σπερμάτων φοιτῶν ἐπὶ τὸν βωμόν. καλοῦσι δέ τινα τῶν ἱερέων βουφόνον, καὶ ταύτῃ τὸν πέλεκυν ῥίψας, οὕτω γάρ ἐστίν οἱ νόμος, οἴχεται φεύγων· οἱ δὲ ἅτε τὸν ἄνδρα ὃς ἔδρασε τὸ ἔργον οὐκ εἰδότες, ἐς δίκην ὑπάγουσι τὸν πέλεκυν. ταῦτα μὲν τρόπον τὸν εἰρημένον δρῶσιν.

5 5. Ἐς δὲ τὸν ναὸν ὃν Παρθενῶνα ὀνομάζουσιν, ἐς τοῦτον ἐσιοῦσιν ὁπόσα ἐν τοῖς καλουμένοις ἀετοῖς κεῖται, πάντα ἐς τὴν Ἀθηνᾶς ἔχει γένεσιν, τὰ δὲ ὄπισθεν ἡ Ποσειδῶνος πρὸς Ἀθηνᾶν ἐστὶν ἔρις ὑπὲρ τῆς γῆς. αὐτὸ δὲ ἔκ τε ἐλέφαντος τὸ ἄγαλμα καὶ χρυσοῦ πεποίηται. μέσῳ μὲν οὖν ἐπίκειταί οἱ τῷ κράνει Σφιγγὸς εἰκών — ἃ δὲ ἐς τὴν Σφίγγα λέγεται, γράψω προελθόντος ἐς τὰ Βοιώτιά μοι τοῦ λόγου — καθ' ἑκάτερον δὲ τοῦ κράνους γρῦπές
6 εἰσιν ἐπειργασμένοι. 6. τούτους τοὺς γρῦπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυ- 58
σοῦ φησὶν Ἀριμασποῖς τοῖς ὑπὲρ Ἰσσηδόνων· τὸν δὲ χρυσόν, ὃν φυλάσσουσιν οἱ γρῦπες, ἀνιέναι τὴν γῆν· εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς, γρῦπας δὲ θηρία λέουσιν εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ στόμα ἀετοῦ. καὶ γρυπῶν μὲν πέρι τοσαῦτα
7 εἰρήσθω· 7. τὸ δὲ ἄγαλμα τῆς Ἀθηνᾶς ὀρθόν ἐστιν ἐν χιτῶνι ποδήρει, καί οἱ κατὰ τὸ στέρνον ἡ κεφαλὴ Μεδούσης ἐλέφαντός ἐστιν ἐμπεποιημένη, καὶ Νίκην ὅσον τε τεσσάρων πηχῶν, ἐν δὲ τῇ (ἑτέρᾳ) χειρὶ δόρυ ἔχει, καί οἱ πρὸς τοῖς ποσὶν ἀσπίς τε κεῖται, καὶ πλησίον τοῦ δόρατος δράκων ἐστίν· εἴη δ' ἂν Ἐριχθόνιος οὗτος ὁ δράκων. ἔστι δὲ τῷ βάθρῳ τοῦ ἀγάλματος ἐπειργασμένη Πανδώρας γένεσις. πεποίηται δὲ Ἡσιόδῳ τε καὶ ἄλλοις ὡς ἡ Πανδώρα γένοιτο αὕτη γυνὴ πρώτη· πρὶν δὲ ἢ γενέσθαι Πανδώραν οὐκ ἦν πω γυναικῶν γένος. ἐνταῦθα εἰκόνα ἰδὼν οἶδα Ἀδριανοῦ βασιλέως μόνου, καὶ κατὰ τὴν

ἔσοδον Ἰφικράτους ἀποδειξαμένου πολλά τε καὶ θαυμαστὰ ἔργα.

8. Τοῦ ναοῦ δέ ἐστι πέραν Ἀπόλλων χαλκοῦς, καὶ 8
τὸ ἄγαλμα λέγουσι Φειδίαν ποιῆσαι· Παρνόπιον δὲ καλοῦσιν, ὅτι σφίσι παρνόπων βλαπτόντων τὴν γῆν ἀποτρέψειν ὁ θεὸς εἶπεν ἐκ τῆς χώρας. καὶ ὅτι μὲν ἀπέτρεψεν ἴσασι, τρόπῳ δὲ οὐ λέγουσι ποίῳ. τρὶς δὲ αὐτὸς ἤδη πάρνοπας ἐκ Σιπύλου τοῦ ὄρους οὐ κατὰ ταὐτὰ οἶδα φθαρέντας, ἀλλὰ τοὺς μὲν ἐξέωσε βίαιος ἐμπεσὼν ἄνεμος, τοὺς δὲ ὕσαντος τοῦ θεοῦ καῦμα ἰσχυρὸν καθεῖλεν ἐπιλαβόν, οἱ δὲ αἰφνιδίῳ ῥίγει καταληφθέντες ἀπώλοντο. τοιαῦτα μὲν αὐτοῖς συμβαίνοντα εἶδον.

59 XXV. Ἔστι δὲ ἐν τῇ Ἀθηναίων ἀκροπόλει καὶ Περικλῆς
ὁ Ξανθίππου καὶ αὐτὸς Ξάνθιππος, ὃς ἐναυμάχησεν ἐπὶ Μυκάλῃ Μήδοις. ἀλλ' ὁ μὲν Περικλέους ἀνδριὰς ἑτέρωθι ἀνάκειται, τοῦ δὲ τοῦ Ξανθίππου πλησίον ἕστηκεν Ἀνακρέων ὁ Τήϊος, πρῶτος μετὰ Σαπφὼ τὴν Λεσβίαν τὰ πολλὰ ὧν ἔγραψεν ἐρωτικὰ ποιήσας· καί οἱ τὸ σχῆμά ἐστιν οἷον ᾄδοντος ἂν ἐν μέθῃ γένοιτο ἀνθρώπου. γυναῖκας δὲ πλησίον Δεινομένης Ἰὼ τὴν Ἰνάχου καὶ Καλλιστὼ τὴν Λυκάονος πεποίηκεν, αἷς ἀμφοτέραις ἐστὶν ἐς ἅπαν ὅμοια διηγήματα, ἔρως Διὸς καὶ Ἥρας ὀργὴ καὶ ἀλλαγή, τῇ μὲν ἐς βοῦν, Καλλιστοῖ δὲ ἐς ἄρκτον.

2. Πρὸς δὲ τῷ τείχει τῷ νοτίῳ Γιγάντων, οἳ περὶ 2
Θρᾴκην ποτὲ καὶ τὸν ἰσθμὸν τῆς Παλλήνης ᾤκησαν, τούτων τὸν λεγόμενον πόλεμον, καὶ μάχην πρὸς Ἀμαζόνας Ἀθηναίων, καὶ τὸ Μαραθῶνι πρὸς Μήδους ἔργον, καὶ Γαλατῶν τὴν ἐν Μυσίᾳ φθορὰν ἀνέθηκεν Ἄτταλος, ὅσον τε δύο πηχῶν ἕκαστον. ἕστηκε δὲ καὶ Ὀλυμπιόδωρος, μεγέθει τε ὧν ἔπραξε λαβὼν δόξαν, καὶ οὐχ ἥκιστα τῷ καιρῷ, φρόνημα ἐν ἀνθρώποις παρασχόμενος συνεχῶς ἐπταικόσι καὶ δι' αὐτὸ οὐδὲ ἓν χρηστὸν οὐδὲ ἐς τὰ μέλ-

3 λοντα ἐλπίζουσι. 3. τὸ γὰρ ἀτύχημα τὸ ἐν Χαιρωνείᾳ
ἅπασι τοῖς Ἕλλησιν ἦρξε κακοῦ, καὶ οὐχ ἥκιστα δούλους
ἐποίησε τοὺς ὑπεριδόντας καὶ ὅσοι μετὰ Μακεδόνων
ἐτάχθησαν. τὰς μὲν δὴ πολλὰς Φίλιππος τῶν πόλεων
εἷλεν, Ἀθηναίοις δὲ λόγῳ συνθέμενος ἔργῳ σφᾶς μάλιστα
ἐκάκωσε, νήσους τε ἀφελόμενος καὶ τῆς ἐς τὰ ναυτικὰ
παύσας ἀρχῆς. καὶ χρόνον μέν τινα ἡσύχασαν Ἀθηναῖοι
Φιλίππου βασιλεύοντος καὶ ὕστερον Ἀλεξάνδρου· τε-
λευτήσαντος δὲ Ἀλεξάνδρου Μακεδόνες μὲν βασιλεύειν
εἵλοντο Ἀριδαῖον, Ἀντιπάτρῳ δὲ ἐπετέτραπτο ἡ πᾶσα
ἀρχή, καὶ Ἀθηναίοις οὐκέτι ἀνεκτὰ ἐφαίνετο εἰ τὸν πάντα
χρόνον ἔσται ἐπὶ Μακεδόσι τὸ Ἑλληνικόν, ἀλλ' αὐτοί
τε πολεμεῖν ὥρμηντο καὶ ἄλλους ἐς τὸ ἔργον ἤγειρον.
4 4. Ἐγένοντο δὲ αἱ μετασχοῦσαι πόλεις Πελοποννησίων
μὲν Ἄργος, Ἐπίδαυρος, Σικυών, Τροιζήν, Ἠλεῖοι, Φλιά- 60
σιοι, Μεσσήνη, οἱ δὲ ἔξω τοῦ Κορινθίων ἰσθμοῦ Λοκροί,
Φωκεῖς, Θεσσαλοί, Κάρυστος, Ἀκαρνᾶνες ἐς τὸ Αἰτω-
λικὸν συντελοῦντες. Βοιωτοὶ δὲ Θηβαίων ἠρημωμένην
τὴν γῆν τὴν Θηβαΐδα νεμόμενοι, δέει μὴ Θήβας αὖθις
Ἀθηναῖοί σφισιν ἐποικίζωσιν, οὔτε ἐς τὴν συμμαχίαν
ἐτάσσοντο καὶ ἐς ὅσον ἦκον δυνάμεως τὰ Μακεδόνων
5 ηὖξον. τοὺς δὲ ἐς τὸ συμμαχικὸν ταχθέντας κατὰ πόλεις
τε ἑκάστους ἦγον στρατηγοί, καὶ τοῦ παντὸς ἄρχειν ᾕρητο
Ἀθηναῖος Λεωσθένης, πόλεώς τε ἀξιώματι καὶ αὐτὸς
εἶναι δοκῶν πολέμων ἔμπειρος. ὑπῆρχε δέ οἱ καὶ πρὸς
πάντας εὐεργεσία τοὺς Ἕλληνας· ὁπόσοι γὰρ μισθοῦ
παρὰ Δαρείῳ καὶ σατράπαις ἐστρατεύοντο Ἕλληνες, ἀνοι-
κίσαι σφᾶς ἐς τὴν Περσίδα θελήσαντος Ἀλεξάνδρου Λεω-
σθένης ἔφθη κομίσας ναυσὶν ἐς τὴν Εὐρώπην. καὶ δὴ καὶ
τότε ὧν ἐς αὐτὸν ἤλπισαν ἔργα λαμπρότερα ἐπιδειξά-
μενος, παρέσχεν ἀποθανὼν ἀθυμῆσαι πᾶσι καὶ δι' αὐτὸ
οὐχ ἥκιστα σφαλῆναι· φρουρά τε Μακεδόνων ἐσῆλθεν

*Ἀθηναίοις, οἳ Μουνυχίαν, ὕστερον δὲ καὶ Πειραιᾶ καὶ
τείχη μακρὰ ἔσχον.* 5. *Ἀντιπάτρου δὲ ἀποθανόντος* 6
*Ὀλυμπιὰς διαβᾶσα ἐξ Ἠπείρου χρόνον μέν τινα ἦρξεν
ἀποκτείνασα Ἀριδαῖον, οὐ πολλῷ δὲ ὕστερον ἐκπολιορ-
κηθεῖσα ὑπὸ Κασσάνδρου παρεδόθη τῷ πλήθει. Κάσ-
σανδρος δὲ βασιλεύσας, τὰ δὲ ἐς Ἀθηναίους ἐπέξεισί μοι
μόνα ὁ λόγος, Πάνακτον τεῖχος ἐν τῇ Ἀττικῇ καὶ Σαλα-
μῖνα εἷλε, τύραννόν τε Ἀθηναίοις ἔπραξε γενέσθαι Δη-
μήτριον τὸν Φανοστράτου, τὰ πρὸς πατρὸς δόξαν εἰλη-
φότα ἐπὶ σοφίᾳ. τοῦτον μὲν δὴ τυραννίδος ἔπαυσε Δη-
μήτριος ὁ Ἀντιγόνου, νέος τε ὢν καὶ φιλοτίμως πρὸς τὸ
Ἑλληνικὸν διακείμενος· Κάσσανδρος δέ, δεινὸν γάρ τι* 7
*ὑπῆν οἱ μῖσος ἐς τοὺς Ἀθηναίους, ὁ δὲ αὖθις Λαχάρην
προεστηκότα ἐς ἐκεῖνο τοῦ δήμου, τοῦτον τὸν ἄνδρα
οἰκειωσάμενος τυραννίδα ἔπεισε βουλεῦσαι, τυράννων*
61 *ὧν ἴσμεν τά τε ἐς ἀνθρώπους μάλιστα ἀνήμερον καὶ ἐς
τὸ θεῖον ἀφειδέστατον. Δημητρίῳ δὲ τῷ Ἀντιγόνου
διαφορὰ μὲν ἦν ἐς τὸν δῆμον ἤδη τῶν Ἀθηναίων, καθ-
εῖλε δ' ὅμως καὶ τὴν Λαχάρους τυραννίδα. ἁλισκομένου
δὲ τοῦ τείχους ἐκδιδράσκει Λαχάρης ἐς Βοιωτούς. ἅτε δὲ
ἀσπίδας ἐξ ἀκροπόλεως καθελὼν χρυσᾶς, καὶ αὐτὸ τῆς
Ἀθηνᾶς τὸ ἄγαλμα τὸν περιαιρετὸν ἀποδύσας κόσμον,
ὑπωπτεύετο εὐπορεῖν μεγάλως χρημάτων. Λαχάρην μὲν
οὖν τούτων ἕνεκα κτείνουσιν ἄνδρες Κορωναῖοι· Δημή-
τριος δὲ ὁ Ἀντιγόνου τυράννων ἐλευθερώσας Ἀθηναίους
τό τε παραυτίκα μετὰ τὴν Λαχάρους φυγὴν οὐκ ἀπέδωκέ
σφισι τὸν Πειραιᾶ, καὶ ὕστερον πολέμῳ κρατήσας ἐσή-
γαγεν ἐς αὐτὸ φρουρὰν τὸ ἄστυ, τὸ Μουσεῖον καλού-
μενον τειχίσας.* 6. *ἔστι δὲ ἐντὸς τοῦ περιβόλου τοῦ ἀρ-
χαίου τὸ Μουσεῖον, ἀπαντικρὺ τῆς ἀκροπόλεως λόφος,
ἔνθα Μουσαῖον ᾄδειν καὶ ἀποθανόντα γήρᾳ ταφῆναι*

λέγουσιν· ὕστερον δὲ καὶ μνῆμα αὐτόθι ἀνδρὶ ᾠκοδομήθη Σύρῳ. τότε δὲ Δημήτριος τειχίσας εἶχε.

XXVI. Χρόνῳ δὲ ὕστερον ἄνδρας ἐσῆλθεν οὐ πολλοὺς καὶ μνήμη τε προγόνων καὶ ἐς οἵαν μεταβολὴν τὸ ἀξίωμα ἥκοι τῶν Ἀθηναίων, αὐτίκα τε ὡς εἶχον, αἱροῦνται στρατηγὸν Ὀλυμπιόδωρον. ὁ δὲ σφᾶς ἐπὶ τοὺς Μακεδόνας ἦγε καὶ γέροντας καὶ μειράκια ὁμοίως, προθυμίᾳ πλέον ἢ ῥώμῃ κατορθοῦσθαι τὰ ἐς πόλεμον ἐλπίζων· ἐπεξελθόντας δὲ τοὺς Μακεδόνας μάχῃ τε ἐκράτησε, καὶ
2 φυγόντων ἐς τὸ Μουσεῖον τὸ χωρίον εἷλεν. Ἀθῆναι μὲν οὕτως ἀπὸ Μακεδόνων ἠλευθερώθησαν· 2. Ἀθηναίων δὲ πάντων ἀγωνισαμένων ἀξίως λόγου, Λεώκριτος μάλιστα ὁ Πρωτάρχου λέγεται τόλμῃ χρήσασθαι πρὸς τὸ ἔργον. πρῶτος μὲν γὰρ ἐπὶ τὸ τεῖχος ἀνέβη, πρῶτος δὲ
ἐς τὸ Μουσεῖον ἐσήλατο· καί οἱ πεσόντι ἐν τῇ μάχῃ τι- 6 2
μαὶ παρ' Ἀθηναίων καὶ ἄλλαι γεγόνασι, καὶ τὴν ἀσπίδα ἀνέθεσαν τῷ Διὶ τῷ Ἐλευθερίῳ, τὸ ὄνομα τοῦ Λεωκρί-
3 του καὶ τὸ κατόρθωμα ἐπιγράψαντες. 3. Ὀλυμπιοδώρῳ δὲ τόδε μέν ἐστιν ἔργον μέγιστον, χωρὶς τούτων ὧν ἔπραξε Πειραιᾶ καὶ Μουνυχίαν ἀνασωσάμενος· ποιουμένων δὲ Μακεδόνων καταδρομὴν ἐς Ἐλευσῖνα, Ἐλευσινίους συντάξας ἐνίκα τοὺς Μακεδόνας. πρότερον δὲ ἔτι τούτων, ἐσβαλόντος ἐς τὴν Ἀττικὴν Κασσάνδρου πλεύσας Ὀλυμπιόδωρος ἐς Αἰτωλίαν βοηθεῖν Αἰτωλοὺς ἔπεισε, καὶ τὸ συμμαχικὸν τοῦτο ἐγένετο Ἀθηναίοις αἴτιον μάλιστα διαφυγεῖν τὸν Κασσάνδρου πόλεμον. Ὀλυμπιοδώρῳ δὲ τοῦτο μὲν ἐν Ἀθήναις εἰσὶν ἔν τε ἀκροπόλει καὶ ἐν πρυτανείῳ τιμαί, τοῦτο δὲ ἐν Ἐλευσῖνι γραφή. καὶ Φωκέων οἱ Ἐλάτειαν ἔχοντες χαλκοῦν Ὀλυμπιόδωρον ἐν Δελφοῖς ἀνέθεσαν, ὅτι καὶ τούτοις ἤμυνεν ἀποστᾶσι Κασσάνδρου.

4 4. Τῆς δὲ εἰκόνος πλησίον τῆς Ὀλυμπιοδώρου χαλ-

κοῦν Ἀρτέμιδος ἄγαλμα ἕστηκεν ἐπίκλησιν Λευκοφρυηνῆς, ἀνέθεσαν δὲ οἱ παῖδες οἱ Θεμιστοκλέους· Μάγνητες γάρ, ὧν ἦρχε Θεμιστοκλῆς λαβὼν παρὰ βασιλέως, Λευκοφρυηνὴν Ἄρτεμιν ἄγουσιν ἐν τιμῇ. 5. Δεῖ δέ με ἀφικέσθαι τοῦ λόγου πρόσω, πάντα ὁμοίως ἐπεξιόντα τὰ Ἑλληνικά. Ἔνδοιος ἦν γένος μὲν Ἀθηναῖος, Δαιδάλου δὲ μαθητής, ὃς καὶ φεύγοντι Δαιδάλῳ διὰ τὸν Κάλω θάνατον ἐπηκολούθησεν ἐς Κρήτην. τούτου καθήμενόν ἐστιν Ἀθηνᾶς ἄγαλμα, ἐπίγραμμα ἔχον ὡς Καλλίας μὲν ἀναθείη, ποιήσειε δὲ Ἔνδοιος.

6. Ἔστι δὲ καὶ οἴκημα Ἐρέχθειον καλούμενον· πρὸ 5
δὲ τῆς ἐσόδου Διός ἐστι βωμὸς Ὑπάτου, ἔνθα ἔμψυχον θύουσιν οὐδέν, πέμματα δὲ θέντες οὐδὲν ἔτι οἴνῳ χρήσασθαι νομίζουσιν. ἐσελθοῦσι δέ εἰσι βωμοί, Ποσειδῶνος, ἐφ' οὗ καὶ Ἐρεχθεῖ θύουσιν ἔκ του μαντεύματος, καὶ ἥρωος Βούτου, τρίτος δὲ Ἡφαίστου. γραφαὶ δὲ ἐπὶ τῶν τοίχων τοῦ γένους εἰσὶ τοῦ Βουταδῶν. καί, διπλοῦν γάρ ἐστι τὸ οἴκημα, [καὶ] ὕδωρ ἐστὶν ἔνδον θαλάσσιον ἐν φρέατι. τοῦτο μὲν θαῦμα οὐ μέγα· καὶ γὰρ ὅσοι μεσόγαιαν οἰκοῦσιν, ἄλλοις τε ἔστι καὶ Καρσὶν Ἀφροδισιεῦ-
63 σιν· ἀλλὰ τόδε φρέαρ ἐς συγγραφὴν παρέχεται κυμάτων ἦχον ἐπὶ νότῳ πνεύσαντι. καὶ τριαίνης ἐστὶν ἐν τῇ πέτρᾳ σχῆμα. ταῦτα δὲ λέγεται Ποσειδῶνι μαρτύρια ἐς τὴν ἀμφισβήτησιν τῆς χώρας φανῆναι.

7. Ἱερὰ μὲν τῆς Ἀθηνᾶς ἐστὶν ἥ τε ἄλλη πόλις καὶ ἡ 6
πᾶσα ὁμοίως γῆ· καὶ γὰρ ὅσοις θεοὺς καθέστηκεν ἄλλους ἐν τοῖς δήμοις σέβειν, οὐδέν τι ἧσσον τὴν Ἀθηνᾶν ἄγουσιν ἐν τιμῇ. τὸ δὲ ἁγιώτατον ἐν κοινῷ πολλοῖς πρότερον νομισθὲν ἔτεσιν ἢ συνῆλθον ἀπὸ τῶν δήμων, ἐστὶν Ἀθηνᾶς ἄγαλμα ἐν τῇ νῦν ἀκροπόλει, τότε δὲ ὀνομαζομένῃ πόλει· φήμη δὲ ἐς αὐτὸ ἔχει πεσεῖν ἐκ τοῦ οὐρανοῦ. καὶ τοῦτο μὲν οὐκ ἐπέξειμι, εἴτε οὕτως εἴτε

ἄλλως ἔχει· λύχνον δὲ τῇ θεῷ χρυσοῦν Καλλίμαχος
7 ἐποίησεν. ἐμπλήσαντες δὲ ἐλαίου τὸν λύχνον τὴν αὐτὴν τοῦ μέλλοντος ἔτους ἀναμένουσιν ἡμέραν· ἔλαιον δὲ ἐκεῖνο τὸν μεταξὺ ἐπαρκεῖ χρόνον τῷ λύχνῳ κατὰ τὰ αὐτὰ ἐν ἡμέρᾳ καὶ νυκτὶ φαίνοντι. καί οἱ λίνου Καρπασίου θρυαλλὶς ἔνεστιν, ὃ δὴ πυρὶ λίνων μόνον οὐκ ἔστιν ἁλώσιμον. φοῖνιξ δὲ ὑπὲρ τοῦ λύχνου χαλκοῦς ἀνήκων ἐς τὸν ὄροφον ἀνασπᾷ τὴν ἀτμίδα. ὁ δὲ Καλλίμαχος ὁ τὸν λύχνον ποιήσας, ἀποδέων τῶν πρώτων ἐς αὐτὴν τὴν τέχνην, οὕτω σοφίᾳ πάντων ἐστὶν ἄριστος ὥστε καὶ λίθους πρῶτος ἐτρύπησε καὶ ὄνομα ἔθετο κακιζότεχνον, ἢ θεμένων ἄλλων κατέστησεν ἐφ' αὑτῷ.

XXVII. Κεῖται δὲ ἐν τῷ ναῷ τῆς Πολιάδος Ἑρμῆς ξύλου, Κέκροπος εἶναι λεγόμενον ἀνάθημα, ὑπὸ κλάδων μυρσίνης οὐ σύνοπτον. ἀναθήματα δὲ ὁπόσα ἄξια λόγου, τῶν μὲν ἀρχαίων δίφρος ὀκλαδίας ἐστὶ Δαιδάλου ποίημα,
λάφυρα δὲ ἀπὸ Μήδων Μασιστίου θώραξ, ὃς εἶχεν ἐν 64
Πλαταιαῖς τὴν ἡγεμονίαν τῆς ἵππου, καὶ ἀκινάκης Μαρδονίου λεγόμενος εἶναι. Μασίστιον μὲν δὴ τελευτήσαντα ὑπὸ τῶν Ἀθηναίων οἶδα ἱππέων· Μαρδονίου δὲ μαχεσαμένου Λακεδαιμονίοις ἐναντία καὶ ὑπὸ ἀνδρὸς Σπαρτιάτου πεσόντος, οὐδ' ἂν ὑπεδέξαντο ἀρχήν, οὐδὲ ἴσως Ἀθηναίοις παρῆκαν φέρεσθαι Λακεδαιμόνιοι τὸν ἀκινά-
2 κην. 2. Περὶ δὲ τῆς ἐλαίας οὐδὲν ἔχουσιν ἄλλο εἰπεῖν ἢ τῇ θεῷ μαρτύριον γενέσθαι τοῦτο ἐς τὸν ἀγῶνα τὸν ἐπὶ τῇ χώρᾳ. λέγουσι δὲ καὶ τάδε, κατακαυθῆναι μὲν τὴν ἐλαίαν ἡνίκα ὁ Μῆδος τὴν πόλιν ἐνέπρησεν Ἀθηναίοις, κατακαυθεῖσαν δὲ αὐθημερὸν ὅσον τε ἐπὶ δύο βλαστῆσαι πήχεις. 3. Τῷ ναῷ δὲ τῆς Ἀθηνᾶς Πανδρόσου ναὸς συνεχής ἐστι· καὶ ἔστι Πάνδροσος ἐς τὴν παρακαταθήκην
3 ἀναίτιος τῶν ἀδελφῶν μόνη. 4. Ἃ δέ μοι θαυμάσαι μάλιστα παρέσχεν, ἔστι μὲν οὐκ ἐς ἅπαντας γνώριμα,

γράψω δὲ οἷα συμβαίνει. παρθένοι δύο τοῦ ναοῦ τῆς Πολιάδος οἰκοῦσιν οὐ πόρρω, καλοῦσι δὲ Ἀθηναῖοι σφᾶς ἀρρηφόρους· αὗται χρόνον μέν τινα δίαιταν ἔχουσι παρὰ τῇ θεῷ, παραγενομένης δὲ τῆς ἑορτῆς δρῶσιν ἐν νυκτὶ τοιάδε. ἀναθεῖσαί σφισιν ἐπὶ τὰς κεφαλὰς ἃ ἡ τῆς Ἀθηνᾶς ἱέρεια δίδωσι φέρειν, οὔτε ἡ διδοῦσα ὁποῖόν τι δίδωσιν εἰδυῖα, οὔτε ταῖς φερούσαις ἐπισταμέναις, — ἔστι δὲ περίβολος ἐν τῇ πόλει τῆς καλουμένης ἐν Κήποις Ἀφροδίτης οὐ πόρρω, καὶ δι' αὐτοῦ κάθοδος ὑπόγαιος αὐτομάτη· ταύτῃ κατίασιν αἱ παρθένοι. κάτω μὲν δὴ τὰ φερόμενα λείπουσιν, λαβοῦσαι δὲ ἄλλο τι κομίζουσιν ἐγκεκαλυμμένον. καὶ τὰς μὲν ἀφιᾶσιν ἤδη τὸ ἐντεῦθεν, ἑτέρας δὲ ἐς τὴν ἀκρόπολιν παρθένους ἄγουσιν ἀντ' αὐ-
τῶν. 5. Πρὸς δὲ τῷ ναῷ τῆς Ἀθηνᾶς ἔστι μὲν εὐῆρις 4
65 πρεσβῦτις, ὅσον τε πήχεος μάλιστα, φαμένη διάκονος εἶναι Λυσιμάχη, ἔστι δὲ ἀγάλματα μεγάλα χαλκοῦ, διεστῶτες ἄνδρες ἐς μάχην· καὶ τὸν μὲν Ἐρεχθέα καλοῦσι, τὸν δὲ Εὔμολπον. καίτοι λέληθέ γε οὐδὲ Ἀθηναίων ὅσοι τὰ ἀρχαῖα ἴσασιν, Ἰμμάραδον εἶναι παῖδα Εὐμόλπου
[τοῦτον] τὸν ἀποθανόντα ὑπὸ Ἐρεχθέως. 6. ἐπὶ δὲ τοῦ 5
βάθρου καὶ ἀνδριάντες εἰσὶν, ἐντος ὃς ἐμαντεύετο Τολμίδῃ, καὶ αὐτὸς Τολμίδης, ὃς Ἀθηναίων ναυσὶν ἡγούμενος ἄλλους τε ἐκάκωσε καὶ Πελοποννησίων τὴν χώραν, ὅσοι νέμονται τὴν παραλίαν, καὶ Λακεδαιμονίων ἐπὶ Γυθίῳ τὰ νεώρια ἐνέπρησε, καὶ τῶν περιοίκων Βοιὰς εἷλε καὶ τὴν Κυθηρίων νῆσον, ἐς δὲ τὴν Σικυωνίαν ποιησάμενος ἀπόβασιν, ὥς οἱ δῃοῦντι τὴν γῆν ἐς μάχην κατέστησαν, τρεψάμενος σφᾶς κατεδίωξε πρὸς τὴν πόλιν. ὕστερον δὲ ὡς ἐπανῆλθεν ἐς Ἀθήνας, ἐσήγαγε μὲν ἐς Εὔβοιαν καὶ Νάξον Ἀθηναίων κληρούχους, ἐσέβαλε δὲ ἐς Βοιωτοὺς στρατῷ· πορθήσας δὲ τῆς γῆς τὴν πολλὴν καὶ παραστησάμενος πολιορκίᾳ Χαιρώνειαν, ὡς ἐς τὴν

Ἁλιαρτίαν προῆλθεν, αὐτός τε μαχόμενος ἀπέθανε καὶ
τὸ πᾶν ἤδη στράτευμα ἡττᾶτο. τὰ μὲν ἐς Τολμίδην
6 τοιαῦτα ἐπυνθανόμην ὄντα. 7. Ἔστι δὲ Ἀθηνᾶς ἀγάλ-
ματα ἀρχαῖα· καί σφισιν ἀπετάκη μὲν οὐδέν, μελάντερα
δὲ καὶ πληγὴν ἐνεγκεῖν ἐστὶν ἀσθενέστερα· ἐπέλαβε γὰρ
καὶ ταῦτα ἡ φλόξ, ὅτε ἐσβεβηκότων ἐς τὰς ναῦς Ἀθη-
ναίων βασιλεὺς εἷλεν ἔρημον τῶν ἐν ἡλικίᾳ τὴν πόλιν.
ἔστι δὲ συός τε θήρα, περὶ οὗ σαφὲς οὐδὲν οἶδα εἰ τοῦ
Καλυδωνίου, καὶ Κύκνος Ἡρακλεῖ μαχόμενος. τοῦτον 66
τὸν Κύκνον φασὶν ἄλλους τε φονεῦσαι καὶ Λύκον Θρᾷκα,
προτεθέντων σφίσι μονομαχίας ἄθλων· περὶ δὲ τὸν πο-
ταμὸν τὸν Πηνειὸν ἀπέθανεν ὑφ' Ἡρακλέους.
7 8. Τῶν δὲ ἐν Τροιζῆνι λόγων, οὓς ἐς Θησέα λέγου-
σιν, ἐστὶν ὡς Ἡρακλῆς ἐς Τροιζῆνα ἐλθὼν παρὰ Πιτθέα
κατάθοιτο ἐπὶ τῷ δείπνῳ τοῦ λέοντος τὸ δέρμα, ἐσέλθοιεν
δὲ παρ' αὐτὸν ἄλλοι τε Τροιζηνίων παῖδες καὶ Θησεὺς
ἕβδομον μάλιστα γεγονὼς ἔτος. τοὺς μὲν δὴ λοιποὺς
παῖδας, ὡς τὸ δέρμα εἶδον, φεύγοντάς φασιν οἴχεσθαι,
Θησέα δὲ ὑπεξελθόντα οὐκ ἄγαν σὺν φόβῳ παρὰ τῶν
διακόνων ἁρπάσαι πέλεκυν, καὶ αὐτίκα ἐπιέναι σπουδῇ,
8 λέοντα εἶναι τὸ δέρμα ἡγούμενον. ὅδε μὲν τῶν λόγων
πρῶτος ἐς αὐτόν ἐστι Τροιζηνίοις· ὁ δὲ ἐπὶ τούτῳ, κρη-
πῖδας Αἰγέα ὑπὸ πέτρᾳ καὶ ξίφος θεῖναι γνωρίσματα
εἶναι τῷ παιδί, καὶ τὸν μὲν ἐς Ἀθήνας ἀποπλεῖν, Θησέα
δέ, ὡς ἕκτον καὶ δέκατον ἔτος ἐγεγόνει, τὴν πέτραν
ἀνώσαντα οἴχεσθαι τὴν παρακαταθήκην τὴν Αἰγέως
φέροντα. τούτου δὲ εἰκὼν ἐν ἀκροπόλει πεποίηται τοῦ
9 λόγου, χαλκοῦ πάντα ὁμοίως πλὴν τῆς πέτρας. 9. Ἀνέ-
θεσαν δὲ καὶ ἄλλο Θησέως ἔργον, καὶ ὁ λόγος οὕτως ἐς
αὐτὸ ἔχει. Κρησὶ τήν τε ἄλλην γῆν καὶ τὴν ἐπὶ ποταμῷ
Τεθρίνι ταῦρος ἐλυμαίνετο. πάλαι δὲ ἄρα τὰ θηρία
φοβερώτερα ἦν τοῖς ἀνθρώποις, ὡς ὅ τ' ἐν Νεμέᾳ λέων

καὶ ὁ Παρνάσιος, καὶ δράκοντες τῆς Ἑλλάδος πολλαχοῦ,
καὶ ὗς περί τε Καλυδῶνα καὶ Ἐρύμανθον καὶ τῆς Κο-
ρινθίας ἐν Κρομμυῶνι, ὥστε καὶ ἐλέγετο τὰ μὲν ἀνιέναι
τὴν γῆν, τὰ δὲ ὡς ἱερὰ εἴη θεῶν, τὰ δὲ καὶ ἐς τιμωρίαν
ἀνθρώπων ἀφεῖσθαι. καὶ τοῦτον οἱ Κρῆτες τὸν ταῦρον
ἐς τὴν γῆν πέμψαι σφίσι Ποσειδῶνά φασιν, ὅτι θαλάσσης
ἄρχων Μίνως τῆς Ἑλληνικῆς οὐδενὸς Ποσειδῶνα ἦγεν
ἄλλου θεοῦ μᾶλλον ἐν τιμῇ. κομισθῆναι μὲν δὴ τὸν
ταῦρον τοῦτόν φασιν ἐς Πελοπόννησον ἐκ Κρήτης, καὶ
Ἡρακλεῖ τῶν δώδεκα καλουμένων ἕνα καὶ τοῦτον γενέ-
σθαι τὸν ἆθλον· ὡς δὲ ἐς τὸ πεδίον ἀφείθη τὸ Ἀργείων,
φεύγει διὰ τοῦ Κορινθίου ἰσθμοῦ, φεύγει δὲ ἐς γῆν τὴν
67 Ἀττικὴν καὶ τῆς Ἀττικῆς ἐς δῆμον τὸν Μαραθωνίων,
καὶ ἄλλους τε, ὁπόσοις ἐπέτυχε, καὶ Μίνω παῖδα Ἀν-
δρόγεων ἀπέκτεινε. Μίνως δὲ ναυσὶν ἐπ' Ἀθήνας πλεύ-
σας, οὐ γὰρ ἐπείθετο ἀναιτίους εἶναι σφᾶς τῆς Ἀνδρόγεω
τελευτῆς, ἐς τοσοῦτον ἐκάκωσεν, ἐς ὃ συνεχωρήθη οἱ
παρθένους ἐς Κρήτην ἑπτὰ καὶ παῖδας ἴσους ἄγειν τῷ
λεγομένῳ Μινωταύρῳ τὸν ἐν Κνωσῷ Λαβύρινθον οἰκῆ-
σαι. τὸν δὲ ἐν τῷ Μαραθῶνι ταῦρον ὕστερον Θησεὺς ἐς
τὴν ἀκρόπολιν ἐλάσαι καὶ θῦσαι λέγεται τῇ θεῷ, καὶ τὸ
ἀνάθημά ἐστι τοῦ δήμου τοῦ Μαραθωνίων.

**XXVIII.** Κύλωνα δὲ οὐδὲν ἔχω σαφὲς εἰπεῖν ἐφ' ὅτῳ
χαλκοῦν ἀνέθεσαν τυραννίδα ὅμως βουλεύσαντα. τεκ-
μαίρομαι δὲ τῶνδε ἕνεκα, ὅτι εἶδος κάλλιστος καὶ τὰ ἐς
δόξαν ἐγένετο οὐκ ἀφανής, ἀνελόμενος διαύλου νίκην
Ὀλυμπικήν· καί οἱ θυγατέρα ὑπῆρξε γῆμαι Θεαγένους,
ὃς Μεγάρων ἐτυράννησε. 2. Χωρὶς δὲ ἢ ὅσα κατέλεξα, 2
δύο μὲν Ἀθηναίοις εἰσὶ δεκάται πολεμήσασιν, ἄγαλμα
Ἀθηνᾶς χαλκοῦν ἀπὸ Μήδων τῶν ἐς Μαραθῶνα ἀπο-
βάντων, τέχνη Φειδίου· καί οἱ τὴν ἐπὶ τῆς ἀσπίδος Λα-
πιθῶν πρὸς Κενταύρους (μάχην) καὶ ὅσα ἄλλα ἐστὶν

ἐπειργασμένα λέγουσι τορεῦσαι Μῦν, τῷ δὲ Μυῒ ταῦτά
τε καὶ τὰ λοιπὰ τῶν ἔργων Παρράσιον καταγράψαι τὸν
Εὐήνορος. ταύτης τῆς Ἀθηνᾶς ἡ τοῦ δόρατος αἰχμὴ καὶ
ὁ λόφος τοῦ κράνους ἀπὸ Σουνίου προσπλέουσίν ἐστιν
ἤδη σύνοπτα. καὶ ἅρμα κεῖται χαλκοῦν ἀπὸ Βοιωτῶν
δεκάτη καὶ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ. δύο δὲ ἄλλα ἐστὶν
ἀναθήματα, Περικλῆς ὁ Ξανθίππου, καὶ τῶν ἔργων τῶν
Φειδίου θέας μάλιστα ἄξιον, Ἀθηνᾶς ἄγαλμα ἀπὸ τῶν
3 ἀναθέντων καλουμένης Λημνίας. 3. Τῇ δὲ ἀκροπόλει,
πλὴν ὅσον Κίμων ᾠκοδόμησεν αὐτῆς ὁ Μιλτιάδου, περι-
βαλεῖν τὸ λοιπὸν λέγεται τοῦ τείχους Πελασγοὺς οἰκή-
σαντάς ποτε ὑπὸ τὴν ἀκρόπολιν· φασὶ γὰρ Ἀγρόλαν καὶ
Ὑπέρβιον * * * πυνθανόμενος δὲ οἵτινες ἦσαν, οὐδὲν 68
ἄλλο ἐδυνάμην μαθεῖν ἢ Σικελοὺς τὸ ἐξ ἀρχῆς ὄντας ἐς
Ἀκαρνανίαν μετοικῆσαι.

4 4. Καταβᾶσι δὲ οὐκ ἐς τὴν κάτω πόλιν, ἀλλ' ὅσον
ὑπὸ τὰ προπύλαια, πηγή τε ὕδατός ἐστι καὶ πλησίον
Ἀπόλλωνος ἱερὸν ἐν σπηλαίῳ. Κρεούσῃ δὲ θυγατρὶ
Ἐρεχθέως Ἀπόλλωνα ἐνταῦθα συγγενέσθαι νομίζουσι.
* * * ὡς πεμφθείη Φιλιππίδης ἐς Λακεδαίμονα ἄγγελος
ἀποβεβηκότων Μήδων ἐς τὴν γῆν, ἐπανήκων δὲ Λακε-
δαιμονίους ὑπερβαλέσθαι φαίη τὴν ἔξοδον· εἶναι γὰρ
δὴ νόμον αὐτοῖς μὴ πρότερον μαχουμένους ἐξιέναι πρὶν
ἢ πλήρη τὸν κύκλον τῆς σελήνης γενέσθαι. τὸν δὲ Πᾶνα
ὁ Φιλιππίδης ἔλεγε περὶ τὸ ὄρος ἐντυχόντα οἱ τὸ Παρ-
θένιον φάναι τε ὡς εὔνους Ἀθηναίοις εἴη καὶ ὅτι ἐς
Μαραθῶνα ἥξει συμμαχήσων. οὗτος μὲν οὖν ὁ θεὸς ἐπὶ
5 ταύτῃ τῇ ἀγγελίᾳ τετίμηται. 5. Καθὸ καὶ ὁ Ἄρειος πά-
γος. ἔστι δὲ Ἄρειος πάγος καλούμενος, ὅτι πρῶτος Ἄρης
ἐνταῦθα ἐκρίθη· καί μοι καὶ ταῦτα δεδήλωκεν ὁ λόγος,
ὡς Ἁλιρρόθιον ἀνέλοι καὶ ἐφ' ὅτῳ κτείνειε. κριθῆναι δὲ
καὶ ὕστερον Ὀρέστην λέγουσιν ἐπὶ τῷ φόνῳ τῆς μητρός·

καὶ βωμός ἐστιν Ἀθηνᾶς Ἀρείας, ὃν ἀνέθηκεν ἀποφυ-
γὼν τὴν δίκην. τοὺς δὲ ἀργοὺς λίθους, ἐφ' ὧν ἑστᾶσιν
ὅσοι δίκας ὑπέχουσι καὶ οἱ διώκοντες, τὸν μὲν Ὕβρεως
τὸν δὲ Ἀναιδείας αὐτῶν ὀνομάζουσι.
6. Πλησίον δὲ ἱερὸν θεῶν ἐστὶν ἃς καλοῦσιν Ἀθη- 6
ναῖοι Σεμνάς, Ἡσίοδος δὲ Ἐρινῦς ἐν Θεογονίᾳ. πρῶτος
δέ σφισιν Αἰσχύλος δράκοντας ἐποίησεν ὁμοῦ ταῖς ἐν τῇ
κεφαλῇ θριξὶν εἶναι· τοῖς δὲ ἀγάλμασιν οὔτε τούτοις
ἔπεστιν οὐδὲν φοβερόν, οὔτε ὅσα ἄλλα κεῖται θεῶν τῶν
ὑπογαίων. κεῖται δὲ καὶ Πλούτων καὶ Ἑρμῆς καὶ Γῆς
ἄγαλμα. ἐνταῦθα θύουσι μὲν ὅσοις ἐν Ἀρείῳ πάγῳ τὴν
αἰτίαν ἐξεγένετο ἀπολύσασθαι, θύουσι δὲ καὶ ἄλλως ξέ-
69 νοι τε ὁμοίως καὶ ἀστοί. 7. ἔστι δὲ καὶ ἐντὸς τοῦ περιβό- 7
λου μνῆμα Οἰδίποδος. πολυπραγμονῶν δὲ εὕρισκον τὰ
ὀστᾶ ἐκ Θηβῶν κομισθέντα· τὰ γὰρ ἐς τὸν θάνατον Σο-
φοκλεῖ πεποιημένα τὸν Οἰδίποδος Ὅμηρος οὐκ εἴα μοι
δόξαι πιστά, ὃς ἔφη Μηκιστέα τελευτήσαντος Οἰδίποδος
ἐπιτάφιον ἐλθόντα ἐς Θήβας ἀγωνίσασθαι.
8. Ἔστι δὲ Ἀθηναίοις καὶ ἄλλα δικαστήρια οὐκ ἐς 8
τοσοῦτον δόξης ἥκοντα. τὸ μὲν οὖν καλούμενον Παρά-
βυστον καὶ Τρίγωνον, τὸ μὲν ἐν ἀφανεῖ τῆς πόλεως ὂν
καὶ ἐπ' ἐλαχίστοις συνιόντων ἐς αὐτό, τὸ δὲ ἀπὸ τοῦ σχή-
ματος ἔχει τὰ ὀνόματα· Βατραχιοῦν δὲ καὶ Φοινικιοῦν
ἀπὸ χρωμάτων καὶ ἐς τόδε διαμεμένηκεν ὀνομάζεσθαι.
τὸ δὲ μέγιστον καὶ ἐς ὃ πλεῖστοι συνίασιν, Ἡλιαίαν κα-
λοῦσιν. 9. ὁπόσα δὲ ἐπὶ τοῖς φονεῦσίν ἐστιν, ἄλλα καὶ
ἐπὶ Παλλαδίῳ καλοῦσι, καὶ τοῖς ἀποκτείνασιν ἀκουσίως
κρίσις καθέστηκε. καὶ ὅτι μὲν Δημοφῶν πρῶτος ἐνταῦθα
ὑπέσχε δίκας, ἀμφισβητοῦσιν οὐδένες· ἐφ' ὅτῳ δέ, διά-
φορα ἐς τοῦτο εἴρηται. Διομήδην φασὶν ἁλούσης Ἰλίου 9
ταῖς ναυσὶν ὀπίσω κομίζεσθαι, καὶ ἤδη τε νύκτα ἐπέχειν,
ὡς κατὰ Φάληρον πλέοντες γίνονται, καὶ τοὺς Ἀργείους

ὡς ἐς πολεμίαν ἀποβῆναι τὴν γῆν, ἄλλην που δόξαντας ἐν τῇ νυκτὶ καὶ οὐ τὴν Ἀττικὴν εἶναι. ἐνταῦθα Δημοφῶντα λέγουσιν ἐκβοηθήσαντα, οὐκ ἐπιστάμενον οὐδὲ τοῦτον τοὺς ἀπὸ τῶν νεῶν ὡς εἰσὶν Ἀργεῖοι, καὶ ἄνδρας αὐτῶν ἀποκτεῖναι καὶ τὸ Παλλάδιον ἁρπάσαντα οἴχεσθαι, Ἀθηναῖόν τε ἄνδρα οὐ προϊδόμενον ὑπὸ τοῦ ἵππου τοῦ Δημοφῶντος ἀνατραπῆναι καὶ συμπατηθέντα ἀποθανεῖν. ἐπὶ τούτῳ Δημοφῶντα ὑποσχεῖν δίκας, οἱ
μὲν τοῦ συμπατηθέντος τοῖς προσήκουσιν, οἱ δὲ Ἀρ- 70
10 γείων φασὶ τῷ κοινῷ. 10. Ἐπὶ Δελφινίῳ δὲ κρίσις καθέστηκεν ἐργάσασθαι φόνον σὺν τῷ δικαίῳ φαμένοις, ὁποῖόν τι καὶ Θησεὺς παρεχόμενος ἀπέφυγεν, ὅτε Πάλλαντα ἐπαναστάντα καὶ τοὺς παῖδας ἔκτεινε. πρότερον δὲ πρὶν ἢ Θησεὺς ἀφείθη, καθειστήκει πᾶσι φεύγειν κτείναντα ἢ κατὰ ταὐτὰ θνήσκειν μένοντα. 11. Τὸ δὲ ἐν Πρυτανείῳ καλούμενον, ἔνθα τῷ σιδήρῳ καὶ πᾶσιν ὁμοίως τοῖς ἀψύχοις δικάζουσιν, ἐπὶ τῷδε ἄρξασθαι νομίζω. Ἀθηναίων βασιλεύοντος Ἐρεχθέως, τότε πρῶτον βοῦν ἔκτεινεν ὁ βουφόνος ἐπὶ τοῦ βωμοῦ τοῦ Πολιέως Διός· καὶ ὁ μὲν ἀπολιπὼν ταύτῃ τὸν πέλεκυν ἀπῆλθεν ἐκ τῆς χώρας φεύγων, ὁ δὲ πέλεκυς παραυτίκα ἀφείθη
11 κριθεὶς καὶ ἐς τόδε ἀνὰ πᾶν ἔτος κρίνεται. λέγεται μὲν δὴ καὶ ἄλλα τῶν ἀψύχων αὐτόματα ἐπιθεῖναι σὺν τῷ δικαίῳ τιμωρίαν ἀνθρώποις· ἔργον δὲ κάλλιστον καὶ δόξῃ φανερώτατον ὁ Καμβύσου παρέσχετο ἀκινάκης. 12. Ἔστι δὲ τοῦ Πειραιῶς πρὸς θαλάσσῃ Φρεαττύς· ἐνταῦθα οἱ πεφευγότες, ἢν ἀπελθόντας ἕτερον ἐπιλάβῃ σφᾶς ἔγκλημα, πρὸς ἀκροωμένους ἐκ τῆς γῆς ἀπὸ νεὼς ἀπολογοῦνται. Τεῦκρον πρῶτον λόγος ἔχει Τελαμῶνι οὕτως ἀπολογήσασθαι μηδὲν ἐς τὸν Αἴαντος θάνατον εἰργάσθαι. τάδε μὲν οὖν εἰρήσθω μοι τῶνδε ἕνεκα, γνῶναι ὁπόσοις μέτεστι σπουδῆς τὰ ἐς τὰ δικαστήρια.

XXIX. Τοῦ δὲ Ἀρείου πάγου πλησίον δείκνυται
ναῦς ποιηθεῖσα ἐς τὴν τῶν Παναθηναίων πομπήν. καὶ
ταύτην μὲν ἤδη πού τις ὑπερεβάλετο· τὸ δὲ ἐν Δήλῳ
πλοῖον οὐδένα πω νικήσαντα οἶδα, καθῆκον ἐς ἐννέα
ἐρέτας ἀπὸ τῶν καταστρωμάτων.

2. Ἀθηναίοις δὲ καὶ ἔξω πόλεως ἐν τοῖς δήμοις καὶ 2
κατὰ τὰς ὁδοὺς θεῶν ἐστιν ἱερὰ καὶ ἡρώων καὶ ἀνδρῶν
71 τάφοι. ἐγγυτάτω δὲ Ἀκαδημία, χωρίον ποτὲ ἀνδρὸς
ἰδιώτου, γυμνάσιον δὲ ἐπ' ἐμοῦ. κατιοῦσι δ' ἐς αὐτὴν
περίβολός ἐστιν Ἀρτέμιδος καὶ ξόανα Ἀρίστης καὶ Καλ-
λίστης· ὡς μὲν ἐγὼ δοκῶ καὶ ὁμολογεῖ τὰ ἔπη τὰ Σαπ-
φοῦς, τῆς Ἀρτέμιδός εἰσιν ἐπικλήσεις αὗται, λεγόμενον
δὲ καὶ ἄλλον ἐς αὐτὰς λόγον εἰδὼς ὑπερβήσομαι. καὶ
ναὸς οὐ μέγας ἐστίν, ἐς ὃν τοῦ Διονύσου τοῦ Ἐλευθε-
ρέως τὸ ἄγαλμα ἀνὰ πᾶν ἔτος κομίζουσιν ἐν τεταγμέναις
ἡμέραις. 3. ἱερὰ μέν σφισι ταύτῃ τοσαῦτά ἐστι, τάφοι 3
δὲ Θρασυβούλου μὲν πρῶτον τοῦ Λύκου, ἀνδρὸς τῶν τε
ὕστερον καὶ ὅσοι πρὸ αὐτοῦ γεγόνασιν Ἀθηναίοις λόγι-
μοι τὰ πάντα ἀρίστου. παρέντι δέ μοι τὰ πλείω τοσάδε
ἐς πίστιν ἀρκέσει τοῦ λόγου· τυραννίδα γὰρ ἔπαυσε τῶν
τριάκοντα καλουμένων σὺν ἀνδράσιν ἑξήκοντα τὸ κατ'
ἀρχὰς ὁρμηθεὶς ἐκ Θηβῶν, καὶ Ἀθηναίους στασιάζοντας
διαλλαγῆναι καὶ συνθεμένους ἔπεισε μεῖναι. πρῶτος μέν
ἐστιν οὗτος τάφος, ἐπὶ δὲ αὐτῷ Περικλέους τε καὶ Χα-
βρίου καὶ Φορμίωνος. 4. ἔστι δὲ καὶ πᾶσι μνήματα Ἀθη- 4
ναίοις ὁπόσοις ἀποθανεῖν συνέπεσεν ἔν τε ναυμαχίαις
καὶ ἐν μάχαις πεζαῖς, πλὴν ὅσοι Μαραθῶνι αὐτῶν ἠγω-
νίσαντο· τούτοις γὰρ κατὰ χώραν εἰσὶν οἱ τάφοι δι' ἀν-
δραγαθίαν· οἱ δὲ ἄλλοι κατὰ τὴν ὁδὸν κεῖνται τὴν ἐς
Ἀκαδημίαν, καὶ σφῶν ἑστᾶσιν ἐπὶ τοῖς τάφοις στῆλαι τὰ
ὀνόματα καὶ τὸν δῆμον ἑκάστου λέγουσαι. πρῶτοι δὲ
ἐτάφησαν οὓς ἐν Θρᾴκῃ ποτὲ ἐπικρατοῦντας μέχρι Δρα-

βήσκου τῆς χώρας Ἠδωνοὶ φονεύουσιν ἀνέλπιστοι ἐπι-
θέμενοι· λέγεται δὲ καὶ ὡς κεραυνοὶ πέσοιεν ἐπ' αὐτούς.
5 στρατηγοὶ δὲ ἄλλοι τε ἦσαν καὶ Λέαγρος, ᾧ μάλιστα ἐπε-
τέτραπτο ἡ δύναμις, καὶ Δεκελεὺς Σωφάνης, ὃς τὸν
Ἀργεῖόν ποτε πένταθλον Νεμείων ἀνῃρημένον νίκην
ἀπέκτεινεν Εὐρυβάτην, βοηθοῦντα Αἰγινήταις. στρα-
τὸν δὲ ἔξω τῆς Ἑλλάδος Ἀθηναῖοι τρίτον τοῦτον ἔστει- 72
λαν. Πριάμῳ μὲν γὰρ καὶ Τρωσὶ πάντες Ἕλληνες ἀπὸ
κοινοῦ λόγου κατέστησαν ἐς πόλεμον· Ἀθηναῖοι δὲ ἰδίᾳ
μετ' Ἰολάου τε ἐς Σαρδὼ καὶ δεύτερα ἐς τὴν νῦν Ἰωνίαν
6 ἐστράτευσαν, καὶ τρίτον δὴ τότε ἐς τὴν Θρᾴκην. 5. Ἔστι
δὲ ἔμπροσθεν τοῦ μνήματος στήλη μαχομένους ἔχουσα
ἱππεῖς· Μελάνωπός σφισίν ἐστι καὶ Μακάρτατος ὀνό-
ματα, οὓς κατέλαβεν ἀποθανεῖν ἐναντία Λακεδαιμονίων
καὶ Βοιωτῶν τεταγμένους, ἔνθα τῆς Ἐλεωνίας εἰσὶ χώ-
ρας πρὸς Ταναγραίους ὅροι. καὶ Θεσσαλῶν τάφος ἐστὶν
ἱππέων κατὰ παλαιὰν φιλίαν ἐλθόντων, ὅτε σὺν Ἀρχι-
δάμῳ Πελοποννήσιοι πρῶτον ἐσέβαλον ἐς τὴν Ἀττικὴν
στρατιᾷ· καὶ πλησίον τοξόταις Κρησίν. αὖθις δέ ἐστιν
Ἀθηναίων μνήματα, Κλεισθένους, ᾧ τὰ ἐς τὰς φυλὰς αἳ
νῦν καθεστᾶσιν εὑρέθη, καὶ ἱππεῦσιν ἀποθανοῦσιν,
7 ἡνίκα συνεπελάβοντο οἱ Θεσσαλοὶ τοῦ κινδύνου. ἐν-
ταῦθα καὶ Κλεωναῖοι κεῖνται, μετὰ Ἀργείων ἐς τὴν Ἀτ-
τικὴν ἐλθόντες· ἐφ' ὅτῳ δέ, γράψω τοῦ λόγου μοι κατ-
ελθόντος ἐς τοὺς Ἀργείους. καὶ Ἀθηναίων δ' ἔστι τάφος
οἳ πρὶν ἢ στρατεῦσαι τὸν Μῆδον ἐπολέμησαν πρὸς Αἰγι-
νήτας. 6. ἦν δὲ ἄρα καὶ δήμου δίκαιον βούλευμα, εἰ δὴ
καὶ Ἀθηναῖοι μετέδοσαν δούλοις δημοσίᾳ ταφῆναι καὶ
τὰ ὀνόματα ἐγγραφῆναι στήλῃ· δηλοῖ δὲ ἀγαθοὺς σφᾶς
ἐν τῷ πολέμῳ γενέσθαι περὶ τοὺς δεσπότας. ἔστι δὲ καὶ
ἀνδρῶν μνήματα ἄλλων, διάφορα δέ σφισι τὰ χωρία τῶν
ἀγώνων· 7. καὶ γὰρ τῶν ἐπ' Ὄλυνθον ἐλθόντων οἱ δοκι-

μώτατοι, καὶ Μελήσανδρος ἐς τὴν ἄνω Καρίαν ναυσὶν
ἀναπλεύσας διὰ τοῦ Μαιάνδρου ἐτάφησαν, καὶ οἱ τελευ- 8
τήσαντες πολεμοῦντος Κασσάνδρου καὶ οἱ συμμαχήσαν-
τές ποτε Ἀργείων· πραχθῆναι δὲ οὕτω σφίσι τὴν πρὸς
Ἀργείους λέγουσι συμμαχίαν. Λακεδαιμονίοις τὴν πόλιν
τοῦ θεοῦ σείσαντος οἱ Εἵλωτες ἐς Ἰθώμην ἀπέστησαν·
73 ἀφεστηκότων δὲ οἱ Λακεδαιμόνιοι βοηθοὺς καὶ ἄλλους
καὶ παρὰ Ἀθηναίων μετεπέμποντο· οἱ δέ σφισιν ἐπι-
λέκτους ἄνδρας ἀποστέλλουσι καὶ στρατηγὸν Κίμωνα
τὸν Μιλτιάδου. τούτους ἀποπέμπουσιν οἱ Λακεδαιμό-
νιοι πρὸς ὑποψίαν. Ἀθηναίοις δὲ οὐκ ἀνεκτὰ ἐφαίνετο 9
περιυβρίσθαι, καὶ ὡς ἐκομίζοντο ὀπίσω, συμμαχίαν
ἐποιήσαντο Ἀργείοις Λακεδαιμονίων ἐχθροῖς τὸν ἅπαν-
τα οὖσι χρόνον. ὕστερον δὲ μελλούσης Ἀθηναίων ἐν
Τανάγρᾳ γίνεσθαι πρὸς Βοιωτοὺς καὶ Λακεδαιμονίους
μάχης ἀφίκοντο Ἀθηναίοις Ἀργεῖοι βοηθοῦντες· καὶ
παραυτίκα μὲν ἔχοντας πλέον τοὺς Ἀργείους νὺξ ἐπελ-
θοῦσα ἀφείλετο τὸ σαφὲς τῆς νίκης, ἐς δὲ τὴν ὑστεραίαν
ὑπῆρξε κρατῆσαι Λακεδαιμονίοις, Θεσσαλῶν προδόν-
των Ἀθηναίους. Καταλέξαι δέ μοι καὶ τούσδε ἐπῆλθεν, 10
Ἀπολλόδωρον ξένων ἡγεμόνα, ὃς Ἀθηναῖος μὲν ἦν, ἐκ-
πεμφθεὶς δὲ ὑπὸ Ἀρσίτου σατράπου τῆς ἐφ' Ἑλλησπόν-
τῳ Φρυγίας διεφύλαξε Περινθίοις τὴν πόλιν, ἐσβεβλη-
κότος ἐς τὴν Περινθίαν Φιλίππου στρατῷ. οὗτός τε οὖν
ἐνταῦθα τέθαπται, καὶ Εὔβουλος ὁ Σπινθάρου, καὶ ἄν-
δρες οἷς ἀγαθοῖς οὖσιν οὐκ ἐπηκολούθησε τύχη χρηστή,
τοῖς μὲν ἐπιθεμένοις τυραννοῦντι Λαχάρει, οἱ δὲ τοῦ
Πειραιῶς κατάληψιν ἐβούλευσαν Μακεδόνων φρου-
ρούντων, πρὶν δὲ εἰργάσθαι τὸ ἔργον ὑπὸ τῶν συνει-
δότων μηνυθέντες ἀπώλοντο. 8. κεῖνται δὲ καὶ οἱ περὶ 11
Κόρινθον πεσόντες· ἐδήλωσε δὲ οὐχ ἥκιστα ὁ θεὸς ἐν-
ταῦθα καὶ αὖθις ἐν Λεύκτροις τοὺς ὑπὸ Ἑλλήνων κα-

λουμένους ἀνδρείους τὸ μηδὲν ἄνευ τύχης εἶναι, εἰ δὴ
Λακεδαιμόνιοι Κορινθίων τότε καὶ Ἀθηναίων, ἔτι δὲ καὶ
Ἀργείων καὶ Βοιωτῶν κρατήσαντες, ὕστερον ὑπὸ Βοιω-
τῶν μόνων ἐν Λεύκτροις ἐς τοσοῦτον ἐκακώθησαν. 9. με-
τὰ δὲ τοὺς ἀποθανόντας ἐν Κορίνθῳ, στήλην ἐπὶ τοῖσδε
ἑστάναι τὴν αὐτὴν σημαίνει τὰ ἐλεγεῖα, τοῖς μὲν ἐν Εὐ-
βοίᾳ καὶ Χίῳ τελευτήσασι· τοὺς δὲ ἐπὶ τοῖς ἐσχάτοις τῆς 74
Ἀσιανῆς ἠπείρου διαφθαρῆναι δηλοῖ, τοὺς δὲ ἐν Σικε-
12 λίᾳ. γεγραμμένοι δέ εἰσιν οἵ τε στρατηγοὶ πλὴν Νικίου,
καὶ τῶν στρατιωτῶν ὁμοῦ τοῖς ἀστοῖς Πλαταιεῖς. Νικίας
δὲ ἐπὶ τῷδε παρείθη· γράφω δὲ οὐδὲν διάφορα ἢ Φίλι-
στος, ὃς ἔφη Δημοσθένην μὲν σπονδὰς ποιήσασθαι τοῖς
ἄλλοις πλὴν αὑτοῦ, καὶ ὡς ἡλίσκετο, αὑτὸν ἐπιχειρεῖν
ἀποκτεῖναι, Νικίᾳ δὲ τὴν παράδοσιν ἐθελοντῇ γενέσθαι.
τούτων ἕνεκα οὐκ ἐνεγράφη Νικίας τῇ στήλῃ, καταγνω-
σθεὶς αἰχμάλωτος ἐθελοντὴς εἶναι καὶ οὐκ ἀνὴρ πολέμῳ
13 πρέπων. 10. εἰσὶ δὲ ἐπ' ἄλλῃ στήλῃ καὶ οἱ μαχεσάμενοι
περὶ Θρᾴκην, καὶ ἐν Μεγάροις, καὶ ἡνίκα Ἀρκάδας τοὺς
ἐν Μαντινείᾳ καὶ Ἠλείους ἔπεισεν Ἀλκιβιάδης Λακεδαι-
μονίων ἀποστῆναι, καὶ οἱ πρὶν ἐς Σικελίαν ἀφικέσθαι
Δημοσθένην Συρακουσίων κρατήσαντες. 11. ἐτάφησαν
δὲ καὶ οἱ περὶ τὸν Ἑλλήσποντον ναυμαχήσαντες, καὶ ὅσοι
Μακεδόνων ἐναντία ἠγωνίσαντο ἐν Χαιρωνείᾳ, καὶ οἱ
μετὰ Κλέωνος ἐς Ἀμφίπολιν στρατεύσαντες, οἵ τε ἐν
Δηλίῳ τῷ Ταναγραίων τελευτήσαντες, καὶ ὅσους ἐς Θεσ-
σαλίαν Λεωσθένης ἤγαγε, καὶ οἱ πλεύσαντες ἐς Κύπρον
ὁμοῦ Κίμωνι, τῶν τε σὺν Ὀλυμπιοδώρῳ τὴν φρουρὰν
14 ἐκβαλόντων τριῶν καὶ δέκα ἄνδρες οὐ πλείους. 12. φασὶ
δὲ Ἀθηναῖοι καὶ Ῥωμαίοις ὅμορόν τινα πολεμοῦσι πόλε-
μον στρατιὰν οὐ πολλὴν πέμψαι, καὶ ὕστερον ναυμαχίας
Ῥωμαίων πρὸς Καρχηδονίους γινομένης τριήρεις πέντε
Ἀττικαὶ παρεγένοντο· ἔστιν οὖν καὶ τούτοις ἐνταῦθα

τοῖς ἀνδράσιν ὁ τάφος. 13. Τολμίδου δὲ καὶ τῶν σὺν αὐτῷ δεδήλωται μὲν ἤδη μοι τὰ ἔργα καὶ ὃν τρόπον ἐτελεύτησαν· ἴστω δὲ ὅτῳ φίλον κειμένους σφᾶς κατὰ τὴν ὁδὸν ταύτην. 14. κεῖνται δὲ καὶ οἱ σὺν Κίμωνι τὸ μέγα ἔργον πεζῇ καὶ ναυσὶν αὐθημερὸν κρατήσαντες. τέθα- 15
πται δὲ καὶ Κόνων καὶ Τιμόθεος, δεύτεροι μετὰ Μιλτιάδην καὶ Κίμωνα οὗτοι πατὴρ καὶ παῖς ἔργα ἀποδειξάμενοι λαμπρά. 15. κεῖται δὲ καὶ Ζήνων ἐνταῦθα ὁ Μνασέου καὶ Χρύσιππος ὁ Σολεύς, Νικίας τε ὁ Νικομήδους ζῷα ἄριστος γράψαι τῶν ἐφ' ἑαυτοῦ, καὶ Ἁρμόδιος καὶ
75 Ἀριστογείτων οἱ τὸν Πεισιστράτου παῖδα Ἵππαρχον ἀποκτείναντες, ῥήτορές τε Ἐφιάλτης, ὃς τὰ νόμιμα τὰ ἐν Ἀρείῳ πάγῳ μάλιστα ἐλυμήνατο, καὶ Λυκοῦργος ὁ Λυκόφρονος. 16. Λυκούργῳ δὲ ἐπορίσθη μὲν τάλαντα ἐς 16
τὸ δημόσιον πεντακοσίοις πλείονα καὶ ἑξακισχιλίοις ἢ ὅσα Περικλῆς ὁ Ξανθίππου συνήγαγε, κατεσκεύασε δὲ πομπεῖα τῇ θεῷ καὶ Νίκας χρυσᾶς, καὶ παρθένοις κόσμον ἑκατόν, ἐς δὲ πόλεμον ὅπλα καὶ βέλη καὶ τετρακοσίας ναυμαχοῦσιν εἶναι τριήρεις· οἰκοδομήματα δὲ ἐπετέλεσε μὲν τὸ θέατρον ἑτέρων ὑπαρξαμένων, τὰ δὲ ἐπὶ τῆς αὐτοῦ πολιτείας ἃ ᾠκοδόμησεν, ἐν Πειραιεῖ νεώς εἰσιν οἶκοι καὶ τὸ πρὸς τῷ Λυκείῳ καλουμένῳ γυμνάσιον. ὅσα μὲν οὖν ἀργύρου πεποιημένα ἦν καὶ χρυσοῦ, Λαχάρης καὶ ταῦτα ἐσύλησε τυραννήσας· τὰ δὲ οἰκοδομήματα καὶ ἐς ἡμᾶς ἔτι ἦν.

**XXX.** Πρὸ δὲ τῆς ἐσόδου τῆς ἐς Ἀκαδημίαν ἐστὶ βωμὸς Ἔρωτος ἔχων ἐπίγραμμα ὡς Χάρμος Ἀθηναίων πρῶτος Ἔρωτι ἀναθείη. τὸν δὲ ἐν πόλει βωμὸν καλούμενον Ἀντέρωτος ἀνάθημα εἶναι λέγουσι μετοίκων, ὅτι Μέλης Ἀθηναῖος μέτοικον ἄνδρα Τιμαγόραν ἐρασθέντα ἀτιμάζων ἀφεῖναι κατὰ τῆς πέτρας αὐτὸν ἐκέλευσεν, ἐς τὸ ὑψηλότατον αὐτῆς ἀνελθόντα. Τιμαγόρας δὲ ἄρα καὶ

ψυχῆς εἶχεν ἀφειδῶς καὶ πάντα ὁμοίως κελεύοντι ἤθελε χαρίζεσθαι τῷ μειρακίῳ, καὶ δὴ καὶ φέρων ἑαυτὸν ἀφῆκε· Μέλητα δέ, ὡς ἀποθανόντα εἶδε Τιμαγόραν, ἐς τοσοῦτον μετανοίας ἐλθεῖν ὡς πεσεῖν τε ἀπὸ τῆς πέτρας τῆς αὐτῆς, καὶ οὕτως ἀφεὶς αὑτὸν ἐτελεύτησε. καὶ τὸ ἐντεῦθεν δαίμονα Ἀντέρωτα τὸν ἀλάστορα τὸν Τιμαγόρου
2 κατέστη τοῖς μετοίκοις νομίζειν. 2. Ἐν Ἀκαδημίᾳ δέ ἐστι
Προμηθέως βωμός, καὶ θέουσιν ἀπ' αὐτοῦ πρὸς τὴν πό- 76
λιν ἔχοντες καιομένας λαμπάδας. τὸ δὲ ἀγώνισμα ὁμοῦ τῷ δρόμῳ φυλάξαι τὴν δᾷδα ἔτι καιομένην ἐστίν· ἀποσβεσθείσης δὲ οὐδὲν ἔτι τῆς νίκης τῷ πρώτῳ, δευτέρῳ δὲ ἀντ' αὐτοῦ μέτεστιν. εἰ δὲ μηδὲ τούτῳ καίοιτο, ὁ τρίτος ἐστὶν ὁ κρατῶν. εἰ δὲ καὶ πᾶσιν ἀποσβεσθείη, οὐδείς ἐστιν ὅτῳ καταλείπεται ἡ νίκη. ἔστι δὲ Μουσῶν τε βωμός, καὶ ἕτερος Ἑρμοῦ, καὶ ἔνδον Ἀθηνᾶς, τὸν δὲ Ἡρακλέους ἐποίησαν. καὶ φυτόν ἐστιν ἐλαίας, δεύτερον τοῦτο
3 λεγόμενον φανῆναι. 3. Ἀκαδημίας δὲ οὐ πόρρω Πλάτωνος μνῆμά ἐστιν, ᾧ προεσήμαινεν ὁ θεὸς ἄριστον τὰ ἐς φιλοσοφίαν ἔσεσθαι. προεσήμαινε δὲ οὕτως. Σωκράτης τῇ προτέρᾳ νυκτὶ ᾗ Πλάτων ἔμελλεν ἔσεσθαί οἱ μαθητής, ἐσπτῆναί οἱ κύκνον ἐς τὸν κόλπον εἶδεν ὄνειρον· ἔστι δὲ κύκνῳ τῷ ὄρνιθι μουσικῆς δόξα, ὅτι Λιγύων τῶν Ἠριδανοῦ πέραν [ὑπὲρ] γῆς τῆς Κελτικῆς Κύκνον ἄνδρα μουσικὸν γενέσθαι βασιλέα φασί, τελευτήσαντα δὲ Ἀπόλλωνος γνώμῃ μεταβαλεῖν λέγουσιν αὐτὸν ἐς τὸν ὄρνιθα. ἐγὼ δὲ βασιλεῦσαι μὲν πείθομαι Λίγυσιν ἄνδρα μουσικόν, γενέσθαι δέ μοι ἄπιστον ὄρνιθα ἀπ' ἀνδρός.
4 4. Κατὰ τοῦτο τῆς χώρας φαίνεται πύργος Τίμωνος, ὃς μόνος εἶδε μηδένα τρόπον εὐδαίμονα εἶναι γενέσθαι πλὴν τοὺς ἄλλους φεύγοντα ἀνθρώπους. δείκνυται δὲ καὶ χῶρος καλούμενος Κολωνὸς ἵππιος, ἔνθα τῆς Ἀττικῆς πρῶτον ἐλθεῖν λέγουσιν Οἰδίποδα· διάφορα μὲν καὶ

ταῦτα τῇ Ὁμήρου ποιήσει, λέγουσι δ' οὖν. καὶ βωμὸς Ποσειδῶνος Ἱππίου καὶ Ἀθηνᾶς Ἱππίας, ἡρῷον δὲ Πειρίθου καὶ Θησέως Οἰδίποδός τε καὶ Ἀδράστου. τὸ δὲ ἄλσος τοῦ Ποσειδῶνος καὶ τὸν ναὸν ἐνέπρησεν Ἀντίγονος ἐσβαλών, καὶ ἄλλοτε στρατιᾷ κακώσας Ἀθηναίοις τὴν γῆν.

XXXI. Δῆμοι δὲ οἱ μικροὶ τῆς Ἀττικῆς, ὡς ἔτυχεν ἕκαστος οἰκισθείς, τάδε ἐς μνήμην παρείχοντο, Ἁλιμουσίοις μὲν Θεσμοφόρου Δήμητρος καὶ Κόρης ἐστὶν ἱερόν, ἐν Ζωστῆρι δὲ ἐπὶ θαλάσσης [καὶ] βωμὸς Ἀθηνᾶς καὶ
77 Ἀπόλλωνος καὶ Ἀρτέμιδος καὶ Λητοῦς. τεκεῖν μὲν οὖν Λητὼ τοὺς παῖδας ἐνταῦθα οὔ φασι, λύσασθαι δὲ τὸν ζωστῆρα ὡς τεξομένην, καὶ τῷ χωρίῳ διὰ τοῦτο γενέσθαι τὸ ὄνομα. Προσπαλτίοις δέ ἐστι καὶ τούτοις Κόρης καὶ Δήμητρος ἱερόν, Ἀναγυρασίοις δὲ Μητρὸς θεῶν ἱερόν. Κεφαλῆσι δὲ οἱ Διόσκουροι νομίζονται μάλιστα· Μεγάλους γὰρ σφᾶς οἱ ταύτῃ Θεοὺς ὀνομάζουσιν.
2. Ἐν δὲ Πρασιεῦσιν Ἀπόλλωνός ἐστι ναός· ἐνταῦθα τὰς 2
Ὑπερβορέων ἀπαρχὰς ἰέναι λέγεται, παραδιδόναι δὲ αὐτὰς Ὑπερβορέους μὲν Ἀριμασποῖς, Ἀριμασποὺς δ' Ἰσσηδόσι, παρὰ δὲ τούτων Σκύθας ἐς Σινώπην κομίζειν, ἐντεῦθεν δὲ φέρεσθαι διὰ Ἑλλήνων ἐς Πρασιάς, Ἀθηναίους δὲ εἶναι τοὺς ἐς Δῆλον ἄγοντας· τὰς δὲ ἀπαρχὰς κεκρύφθαι μὲν ἐν καλάμῃ πυρῶν, γινώσκεσθαι δὲ ὑπ' οὐδένων. ἔστι δὲ μνῆμα ἐπὶ Πρασιαῖς Ἐρυσίχθονος, ὡς ἐκομίζετο ὀπίσω μετὰ τὴν θεωρίαν ἐκ Δήλου, γενομένης οἱ κατὰ τὸν πλοῦν τῆς τελευτῆς. Κραναὸν δὲ τὸν βα- 3
σιλεύσαντα Ἀθηναίων ὅτι μὲν ἐξέβαλεν Ἀμφικτύων κηδεστὴν ὄντα, ἔτι πρότερον εἴρηταί μοι· φυγόντα δὲ αὐτὸν σὺν τοῖς στασιώταις ἐς τὸν δῆμον τὸν Λαμπτρέα ἀποθανεῖν τε αὐτοῦ καὶ ταφῆναί φασι· καὶ ἔστι καὶ ἐς ἐμὲ [καὶ] ἐν τοῖς Λαμπτρεῦσι Κραναοῦ μνῆμα. Ἴωνος

δὲ τοῦ Ξούθου, καὶ γὰρ οὗτος ᾤκησε παρὰ Ἀθηναίοις
καὶ Ἀθηναίων ἐπὶ τοῦ πολέμου τοῦ πρὸς Ἐλευσινίους
ἐπολεμάρχησε, τάφος ἐν Ποταμοῖς ἐστὶ τῆς χώρας.
4 ταῦτα μὲν δὴ οὕτω λέγεται, Φλυεῦσι δέ εἰσι καὶ Μυρ-
ρινουσίοις, τοῖς μὲν Ἀπόλλωνος Διονυσοδότου καὶ Ἀρ-
τέμιδος Σελασφόρου βωμοὶ Διονύσου τε Ἀνθίου καὶ
Νυμφῶν Ἰσμηνίδων καὶ Γῆς, ἣν Μεγάλην Θεὸν ὀνομά-
ζουσι· ναὸς δὲ ἕτερος ἔχει βωμοὺς Δήμητρος Ἀνησιδώ-
ρας καὶ Διὸς Κτησίου καὶ Τιθρωνῆς Ἀθηνᾶς καὶ Κόρης
Πρωτογόνης καὶ Σεμνῶν ὀνομαζομένων θεῶν· 3. τὸ δὲ
ἐν Μυρρινοῦντι ξόανόν ἐστι Κολαινίδος. Ἀθμονεῖς δὲ
5 τιμῶσιν Ἀμαρυσίαν Ἄρτεμιν. πυνθανόμενος δὲ σαφὲς
οὐδὲν ἐς αὐτὰς ἐπισταμένους τοὺς ἐξηγητὰς εὗρον, αὐ-
τὸς δὲ συμβάλλομαι τῇδε. ἔστιν Ἀμάρυνθος ἐν Εὐβοίᾳ· 78
καὶ γὰρ οἱ ταύτῃ τιμῶσιν Ἀμαρυσίαν. ἑορτὴν δὲ καὶ
Ἀθηναῖοι τῆς Ἀμαρυσίας ἄγουσιν οὐδέν τι Εὐβοέων
ἀφανέστερον. ταύτῃ μὲν γενέσθαι τὸ ὄνομα ἐπὶ τούτῳ
παρὰ Ἀθμονεῦσιν ἡγοῦμαι, τὴν δὲ ἐν Μυρρινοῦντι Κο-
λαινίδα ἀπὸ Κολαινοῦ καλεῖσθαι. γέγραπται δ' ἤδη μοι
τῶν ἐν τοῖς δήμοις φάναι πολλοὺς ὡς καὶ πρὸ τῆς ἀρχῆς
ἐβασιλεύοντο τῆς Κέκροπος. ἔστι δὲ ὁ Κολαινὸς ἀνδρὸς
ὄνομα πρότερον ἢ Κέκροψ ἐβασίλευσεν, ὡς οἱ Μυρρι-
6 νούσιοι λέγουσιν, ἄρξαντος. ἔστι δὲ Ἀχαρναὶ δῆμος·
οὗτοι θεῶν Ἀπόλλωνα τιμῶσιν Ἀγυιέα καὶ Ἡρακλέα.
καὶ Ἀθηνᾶς βωμός ἐστιν Ὑγιείας· τὴν δ' Ἱππίαν Ἀθη-
νᾶν ὀνομάζουσι καὶ Διόνυσον Μελπόμενον, καὶ Κισσὸν
τὸν αὐτὸν θεόν, τὸν κισσὸν τὸ φυτὸν ἐνταῦθα πρῶτον
φανῆναι λέγοντες.

**XXXII.** Ὄρη δὲ Ἀθηναίοις ἐστὶ Πεντελικόν, ἔνθα
λιθοτομίαι, καὶ Πάρνης παρεχομένη θήραν συῶν ἀγρίων
καὶ ἄρκτων, καὶ Ὑμηττός, ὃς φύει νομὰς μελίσσαις ἐπι-
τηδειοτάτας πλὴν τῆς Ἀλαζώνων. Ἀλαζῶσι γὰρ συνή-

θεις ὁμοῦ τοῖς ἄλλοις ἐς νομὰς ἰοῦσιν εἰσὶν ἄφετοι καὶ μέλισσαι, οὐδὲ σφᾶς ἐς σίμβλους καθείρξαντες ἔχουσιν· αἱ δὲ ἐργάζονταί τε ὡς ἔτυχον τῆς χώρας, καὶ συμφυὲς τὸ ἔργον αὐταῖς ἐστίν, ἰδίᾳ δὲ οὔτε κηρὸν οὔτε μέλι ἀπ' αὐτοῦ ποιήσεις. τοῦτο μὲν τοιοῦτόν ἐστιν, 2. Ἀθηναίοις 2
δὲ τὰ ὄρη καὶ θεῶν ἀγάλματα ἔχει. Πεντέλησι μὲν Ἀθηνᾶς, ἐν Ὑμηττῷ δὲ ἄγαλμά ἐστιν Ὑμηττίου Διός· βωμοὶ δὲ καὶ Ὀμβρίου Διὸς καὶ Ἀπόλλωνός εἰσι Προοψίου. καὶ ἐν Πάρνηθι Παρνήθιος Ζεὺς χαλκοῦς ἐστί, καὶ βωμὸς Σημαλέου Διός. ἔστι δὲ ἐν τῇ Πάρνηθι καὶ ἄλλος βωμός, θύουσι δὲ ἐπ' αὐτοῦ τοτὲ μὲν Ὄμβριον τοτὲ δὲ Ἀπήμιον καλοῦντες Δία. καὶ Ἀγχεσμὸς ὄρος ἐστὶν οὐ μέγα, καὶ
79 Διὸς ἄγαλμα Ἀγχεσμίου.

3. Πρὶν δὲ ἢ τῶν νήσων ἐς ἀφήγησιν τραπέσθαι, τὰ 3
ἐς τοὺς δήμους ἔχοντα αὖθις ἐπέξειμι. δῆμός ἐστι Μαραθών, ἴσον τῆς πόλεως τῶν Ἀθηναίων ἀπέχων καὶ Καρύστου τῆς ἐν Εὐβοίᾳ. ταύτῃ τῆς Ἀττικῆς ἔσχον οἱ βάρβαροι, καὶ μάχῃ τε ἐκρατήθησαν καί τινας, ὡς ἀνήγοντο, ἀπώλεσαν τῶν νεῶν. τάφος δὲ ἐν τῷ πεδίῳ Ἀθηναίων ἐστίν, ἐπὶ δὲ αὐτῷ στῆλαι τὰ ὀνόματα τῶν ἀποθανόντων κατὰ φυλὰς ἑκάστων ἔχουσαι· καὶ ἕτερος Πλαταιεῦσι Βοιωτῶν καὶ δούλοις· ἐμαχέσαντο γὰρ καὶ δοῦλοι τότε πρῶτον. καὶ ἀνδρός ἐστιν ἰδίᾳ μνῆμα Μιλτιά- 4
δου τοῦ Κίμωνος, συμβάσης ὕστερόν οἱ τῆς τελευτῆς Πάρου τε ἁμαρτόντι καὶ δι' αὐτὸ ἐς κρίσιν Ἀθηναίοις καταστάντι. ἐνταῦθα ἀνὰ πᾶσαν νύκτα καὶ ἵππων χρεμετιζόντων καὶ ἀνδρῶν μαχομένων ἔστιν αἰσθέσθαι· καταστῆναι δὲ ἐς ἐναργῆ θέαν ἐπίτηδες μὲν οὐκ ἔστιν ὅτῳ συνήνεγκεν, ἀνηκόῳ δὲ ὄντι καὶ ἄλλως συμβὰν οὐκ ἔστιν ἐκ τῶν δαιμόνων ὀργή. 4. Σέβονται δὲ οἱ Μαραθώνιοι τούτους τε οἳ παρὰ τὴν μάχην ἀπέθανον, ἥρωας ὀνομάζοντες, καὶ Μαραθῶνα, ἀφ' οὗ τῷ δήμῳ τὸ ὄνομά

ἐστι, καὶ Ἡρακλέα, φάμενοι πρώτοις Ἑλλήνων σφίσιν
5 Ἡρακλέα θεὸν νομισθῆναι. συνέβη δέ, ὡς λέγουσιν, ἄνδρα ἐν τῇ μάχῃ παρεῖναι τὸ εἶδος καὶ τὴν σκευὴν ἄγροικον· οὗτος τῶν βαρβάρων πολλοὺς καταφονεύσας ἀρότρῳ μετὰ τὸ ἔργον ἦν ἀφανής· ἐρομένοις δὲ Ἀθηναίοις ἄλλο μὲν ὁ θεὸς ἐς αὐτὸ ἔχρησεν οὐδέν, τιμᾶν δὲ Ἐχετλαῖον ἐκέλευσεν ἥρωα. πεποίηται δὲ καὶ τρόπαιον λίθου λευκοῦ. τοὺς δὲ Μήδους Ἀθηναῖοι μὲν θάψαι λέγουσιν, ὡς πάντως ὅσιον ἀνθρώπου νεκρὸν γῇ κρύψαι, τάφον δὲ οὐδένα εὑρεῖν ἠδυνάμην· οὔτε γὰρ χῶμα οὔτε ἄλλο σημεῖον ἦν ἰδεῖν, ἐς ὄρυγμα δὲ φέροντες σφᾶς ὡς
6 τύχοιεν ἐσέβαλον. 5. Ἔστι δὲ ἐν τῷ Μαραθῶνι πηγὴ καλουμένη Μακαρία, καὶ τοιάδε ἐς αὐτὴν λέγουσιν. Ἡρακλῆς ὡς ἐκ Τίρυνθος ἔφευγεν Εὐρυσθέα, παρὰ Κήϋκα φίλον ὄντα μετοικίζεται βασιλεύοντα Τραχῖνος. ἐπεὶ δὲ ἀπελθόντος ἐξ ἀνθρώπων Ἡρακλέους ἐξῄτει τοὺς παῖ- 80
δας Εὐρυσθεύς, ἐς Ἀθήνας πέμπει σφᾶς ὁ Τραχίνιος, ἀσθένειάν τε λέγων τὴν αὑτοῦ καὶ Θησέα οὐκ ἀδύνατον εἶναι τιμωρεῖν. ἀφικόμενοι δὲ οἱ παῖδες ἱκέται, πρῶτον τότε Πελοποννησίοις ποιοῦσι πόλεμον πρὸς Ἀθηναίους, Θησέως σφᾶς οὐκ ἐκδόντος αἰτοῦντι Εὐρυσθεῖ. λέγουσι δὲ Ἀθηναίοις γενέσθαι χρησμὸν τῶν παίδων ἀποθανεῖν χρῆναι τῶν Ἡρακλέους τινὰ ἐθελοντήν, ἐπεὶ ἄλλως γε οὐκ εἶναι νίκην σφίσιν. ἐνταῦθα Μακαρία Δηϊανείρας καὶ Ἡρακλέους θυγάτηρ ἀποσφάξασα ἑαυτήν ἔδωκεν Ἀθηναίοις τε κρατῆσαι τῷ πολέμῳ καὶ τῇ πηγῇ τὸ ὄνομα
7 ἀφ' αὑτῆς. 6. Ἔστι δὲ ἐν τῷ Μαραθῶνι λίμνη τὰ πολλὰ ἑλώδης· ἐς ταύτην ἀπειρίᾳ τῶν ὁδῶν φεύγοντες ἐσπίπτουσιν οἱ βάρβαροι, καί σφισι τὸν φόνον τὸν πολὺν ἐπὶ τούτῳ συμβῆναι λέγουσιν. ὑπὲρ δὲ τὴν λίμνην φάτναι εἰσὶ λίθου τῶν ἵππων τῶν Ἀρταφέρνους, καὶ σημεῖα ἐν πέτραις σκηνῆς. ῥεῖ δὲ καὶ ποταμὸς ἐκ τῆς λίμνης, τὰ μὲν

πρὸς αὐτῇ τῇ λίμνῃ βοσκήμασιν ὕδωρ ἐπιτήδειον παρεχόμενος, κατὰ δὲ τὴν ἐκβολὴν τὴν ἐς τὸ πέλαγος ἁλμυρὸς ἤδη γίνεται καὶ ἰχθύων τῶν θαλασσίων πλήρης· ὀλίγον δὲ ἀπωτέρω τοῦ πεδίου Πανός ἐστιν ὄρος καὶ σπήλαιον θέας ἄξιον· ἔσοδος μὲν ἐς αὐτὸ στενή, παρελθοῦσι δέ εἰσιν οἶκοι καὶ λουτρὰ καὶ [τὸ] καλούμενον Πανὸς αἰπόλιον, πέτραι τὰ πολλὰ αἰξὶν εἰκασμέναι.

XXXIII. *Μαραθῶνος δὲ ἀπέχει τῇ μὲν Βραυρών, ἔνθα Ἰφιγένειαν τὴν Ἀγαμέμνονος ἐκ Ταύρων φεύγουσαν, τὸ ἄγαλμα ἀγομένην τὸ Ἀρτέμιδος ἀποβῆναι λέγουσι, καταλιποῦσαν δὲ τὸ ἄγαλμα ταύτῃ καὶ ἐς Ἀθήνας καὶ ὕστερον ἐς Ἄργος ἀφικέσθαι. ξόανον μὲν δὴ καὶ αὐτόθι ἐστὶν Ἀρτέμιδος ἀρχαῖον· τὸ δὲ ἐκ τῶν βαρβάρων οἵτινες κατὰ γνώμην ἔχουσι τὴν ἐμήν, ἐν ἑτέρῳ λόγῳ δηλώσω. 2. Μαραθῶνος δὲ σταδίους μάλιστα ἑξήκοντα* 2
*ἀπέχει Ῥαμνοῦς τὴν παρὰ θάλασσαν ἰοῦσιν ἐς Ὠρωπόν.*
81 *καὶ αἱ μὲν οἰκήσεις ἐπὶ θαλάσσῃ τοῖς ἀνθρώποις εἰσί, μικρὸν δὲ ἀπὸ θαλάσσης ἄνω Νεμέσεώς ἐστιν ἱερόν, ἣ θεῶν μάλιστα ἀνθρώποις ὑβρισταῖς ἐστιν ἀπαραίτητος. δοκεῖ δὲ καὶ τοῖς ἀποβᾶσιν ἐς Μαραθῶνα τῶν βαρβάρων ἀπαντῆσαι μήνιμα ἐκ τῆς θεοῦ ταύτης· καταφρονήσαντες γάρ σφισιν ἐμποδὼν εἶναι τὰς Ἀθήνας ἑλεῖν, λίθον Πάριον ὡς ἐπ' ἐξειργασμένοις ἦγον ἐς τροπαίου ποίησιν. 3. τοῦ-* 3
*τον Φειδίας τὸν λίθον εἰργάσατο ἄγαλμα μὲν εἶναι Νεμέσεως, τῇ κεφαλῇ δὲ ἔπεστι τῆς θεοῦ στέφανος ἐλάφους ἔχων καὶ Νίκης ἀγάλματα οὐ μεγάλα· ταῖς δὲ χερσὶν ἔχει, τῇ μὲν κλάδον μηλέας, τῇ δεξιᾷ δὲ φιάλην· Αἰθίοπες δὲ ἐπὶ τῇ φιάλῃ πεποίηνται. συμβαλέσθαι δὲ τὸ ἐπὶ τοὺς Αἰθίοπας οὔτε αὐτὸς εἶχον οὔτε ἀπεδεχόμην τῶν συνιέναι πειθομένων, οἳ πεποιῆσθαι σφᾶς ἐπὶ τῇ φιάλῃ φασὶ διὰ ποταμὸν Ὠκεανόν· οἰκεῖν γὰρ Αἰθίοπας ἐπ' αὐτῷ, Νεμέσει δὲ εἶναι πατέρα Ὠκεανόν. 4. Ὠκεανῷ γὰρ οὐ* 4

ποταμῷ, θαλάσσῃ δὲ ἐσχάτῃ τῆς ὑπὸ ἀνθρώπων πλεο-
μένης, προσοικοῦσιν Ἴβηρες καὶ Κελτοί, καὶ νῆσον Ὠκεα-
νὸς ἔχει τὴν Βρεττανῶν. Αἰθιόπων δὲ τῶν ὑπὲρ Συήνης
ἐπὶ θάλασσαν ἔσχατοι τὴν Ἐρυθρὰν κατοικοῦσιν Ἰχθυο-
φάγοι, καὶ ὁ κόλπος ὃν περιοικοῦσιν Ἰχθυοφάγων ὀνο-
μάζεται. οἱ δὲ δικαιότατοι Μερόην πόλιν καὶ πεδίον Αἰ-
θιοπικὸν καλούμενον οἰκοῦσιν· οὗτοι καὶ τὴν ἡλίου
τράπεζάν εἰσιν οἱ δεικνύντες, οὐδέ σφισιν ἔστιν οὔτε
5 θάλασσα οὔτε ποταμὸς ἄλλος γε ἢ Νεῖλος. εἰσὶ δὲ καὶ ἄλ-
λοι πρόσοικοι Μαύροις Αἰθίοπες ἄχρι Νασαμώνων παρ-
ήκοντες. Νασαμῶνες γάρ, οὓς Ἄτλαντας Ἡρόδοτος, οἱ
δὲ μέτρα φάμενοι γῆς εἰδέναι, Λιξίτας καλοῦσι, Λιβύων
οἱ ἔσχατοι πρὸς Ἄτλαντι οἰκοῦσι, σπείροντες μὲν οὐδέν,
ἀπὸ δὲ ἀμπέλων ζῶντες ἀγρίων. ποταμὸς δὲ οὐδὲ τούτοις
τοῖς Αἰθίοψιν οὐδὲ τοῖς Νασαμῶσίν ἐστιν οὐδείς· τὸ γὰρ
πρὸς τῷ Ἄτλαντι ὕδωρ, τρισὶ παρεχόμενον ἀρχὰς ῥεύ- 82
μασιν, οὐδὲν τῶν ῥευμάτων ποιεῖ ποταμόν, ἀλλὰ πᾶν
ὁμοίως αὐτίκα ἔχει συλλαβοῦσα ἡ ψάμμος. οὕτως Αἰ-
6 θίοπες ποταμῷ γε οὐδενὶ προσοικοῦσιν ἢ Ὠκεανῷ. τὸ
δὲ ὕδωρ τὸ ἐκ τοῦ Ἄτλαντος θολερόν τέ ἐστι, καὶ πρὸς
τῇ πηγῇ κροκόδειλοι διπήχεων ἦσαν οὐκ ἐλάσσους,
προσιόντων δὲ τῶν ἀνθρώπων κατεδύοντο ἐς τὴν πη-
γήν. παρίστατο δὲ οὐκ ὀλίγοις τὸ ὕδωρ τοῦτο ἀναφαι-
νόμενον αὖθις ἐκ τῆς ψάμμου ποιεῖν τὸν Νεῖλον Αἰγυ-
πτίοις. 5. Ὁ δὲ Ἄτλας ὑψηλὸν μέν ἐστιν οὕτως ὥστε καὶ
λέγεται ταῖς κορυφαῖς ψαύειν τοῦ οὐρανοῦ, ἄβατον δὲ
ὑπὸ ὕδατος καὶ δένδρων, ἃ διὰ παντὸς πέφυκε. τὰ μὲν
δὴ πρὸς τοὺς Νασαμῶνας αὐτοῦ γινώσκεται, τὰ δὲ ἐς τὸ
πέλαγος οὐδένα πω παραπλεύσαντα ἴσμεν. τάδε μὲν ἐς
7 τοσοῦτον εἰρήσθω. 6. Πτερὰ δ' ἔχον οὔτε τοῦτο τὸ
ἄγαλμα Νεμέσεως οὔτε ἄλλο πεποίηται τῶν ἀρχαίων,
ἐπεὶ μηδὲ Σμυρναίοις τὰ ἁγιώτατα ξόανα ἔχει πτερά·

*οἱ δὲ ὕστερον, ἐπιφαίνεσθαι γὰρ τὴν θεὸν μάλιστα ἐπὶ τῷ ἐρᾶν ἐθέλουσιν, ἐπὶ τούτῳ Νεμέσει πτερὰ ὥσπερ Ἔρωτι ποιοῦσι. 7. νῦν δὲ ἤδη δίειμι ὁπόσα ἐπὶ τῷ βάθρῳ τοῦ ἀγάλματός ἐστιν εἰργασμένα, τοσόνδε ἐς τὸ σαφὲς προδηλώσας. Ἑλένῃ Νέμεσιν μητέρα εἶναι λέγουσι, Λήδαν δὲ μαστὸν ἐπισχεῖν αὐτῇ καὶ θρέψαι· πατέρα δὲ καὶ οὗτοι καὶ πάντες κατὰ ταὐτὰ Ἕλληνες Δία καὶ οὐ Τυνδάρεων εἶναι νομίζουσι. ταῦτα ἀκηκοὼς Φειδίας* 8
*πεποίηκεν Ἑλένην ὑπὸ Λήδας ἀγομένην παρὰ τὴν Νέ-*
83 *μεσιν, πεποίηκε δὲ Τυνδάρεών τε καὶ τοὺς παῖδας καὶ ἄνδρα σὺν ἵππῳ παρεστηκότα, Ἱππέα ὄνομα· ἔστι δὲ Ἀγαμέμνων καὶ Μενέλαος καὶ Πύρρος ὁ Ἀχιλλέως, πρῶτος οὗτος Ἑρμιόνην τὴν Ἑλένης γυναῖκα λαβών. Ὀρέστης δὲ διὰ τὸ ἐς τὴν μητέρα τόλμημα παρείθη, παραμεινάσης τε ἐς ἅπαν Ἑρμιόνης αὐτῷ καὶ τεκούσης παῖδα. ἑξῆς δὲ ἐπὶ τῷ βάθρῳ καὶ Ἔποχος καλούμενος καὶ νεανίας ἐστὶν ἕτερος· ἐς τοῦτο ἄλλο μὲν ἤκουσα οὐδέν, ἀδελφοὺς δὲ εἶναι σφᾶς Οἰνόης, ἀφ' ἧς ἐστὶ τὸ ὄνομα τῷ δήμῳ.*

XXXIV. *Τὴν δὲ γῆν τὴν Ὠρωπίαν μεταξὺ τῆς Ἀττικῆς καὶ Ταναγρικῆς, Βοιωτίαν τὸ ἐξ ἀρχῆς οὖσαν, ἔχουσιν ἐφ' ἡμῶν Ἀθηναῖοι, πολεμήσαντες μὲν τὸν πάντα ὑπὲρ αὐτῆς χρόνον, κτησάμενοι δὲ οὐ πρότερον βεβαίως πρὶν ἢ Φίλιππος Θήβας ἑλὼν ἔδωκέ σφισιν. ἡ μὲν οὖν πόλις ἐστὶν ἐπὶ θαλάσσης μέγα οὐδὲν ἐς συγγραφὴν παρεχομένη· ἀπέχει δὲ δώδεκα τῆς πόλεως σταδίους μάλιστα ἱερὸν τοῦ Ἀμφιαράου. 2. Λέγεται δὲ Ἀμφιαράῳ φεύ-* 2
*γοντι ἐκ Θηβῶν διαστῆναι τὴν γῆν, καὶ ὡς αὐτὸν ὁμοῦ καὶ τὸ ἅρμα ὑπεδέξατο· πλὴν οὐ ταύτῃ συμβῆναί φασιν, ἀλλά ἐστιν ἐκ Θηβῶν ἰοῦσιν ἐς Χαλκίδα Ἅρμα καλούμενον. Θεὸν δὲ Ἀμφιάραον πρώτοις Ὠρωπίοις κατέστη νομίζειν, ὕστερον δὲ καὶ οἱ πάντες Ἕλληνες ἥγηνται.*

καταλέξαι δὲ καὶ ἄλλους ἔχω γενομένους τότε ἀνθρώ-
πους, οἳ θεῶν παρ' Ἕλλησι τιμὰς ἔχουσι, τοῖς δὲ καὶ
ἀνάκεινται πόλεις, Ἐλεοῦς ἐν Χερρονήσῳ Πρωτεσιλάῳ,
Λεβάδεια Βοιωτῶν Τροφωνίῳ· καὶ Ὠρωπίοις ναός τέ
3 ἐστιν Ἀμφιαράου καὶ ἄγαλμα λευκοῦ λίθου. παρέχεται
δὲ ὁ βωμὸς μέρη· τὸ μὲν Ἡρακλέους καὶ Διὸς καὶ Ἀπόλ-
λωνός ἐστι Παιῶνος, τὸ δὲ ἥρωσι καὶ ἡρώων ἀνεῖται γυ-
ναιξί. τρίτον δὲ Ἑστίας καὶ Ἑρμοῦ καὶ Ἀμφιαράου καὶ
τῶν παίδων Ἀμφιλόχου· Ἀλκμαίων δὲ διὰ τὸ ἐς Ἐρι-
φύλην ἔργον οὔτε ἐν Ἀμφιαράου τινά, οὐ μὴν οὐδὲ πα- 8
ρὰ τῷ Ἀμφιλόχῳ τιμὴν ἔχει. τετάρτη δέ ἐστι τοῦ βωμοῦ
μοῖρα Ἀφροδίτης καὶ Πανακείας, ἔτι δὲ Ἰασοῦς καὶ
Ὑγιείας καὶ Ἀθηνᾶς Παιωνίας. πέμπτη δὲ πεποίηται
νύμφαις καὶ Πανὶ καὶ ποταμοῖς Ἀχελῴῳ καὶ Κηφισῷ. τῷ
δὲ Ἀμφιλόχῳ καὶ παρ' Ἀθηναίοις ἐστὶν ἐν τῇ πόλει βω-
μός, καὶ Κιλικίας ἐν Μαλλῷ μαντεῖον ἀψευδέστατον τῶν
4 ἐπ' ἐμοῦ. 3. Ἔστι δὲ Ὠρωπίοις πηγὴ πλησίον τοῦ ναοῦ,
ἣν Ἀμφιαράου καλοῦσιν, οὔτε θύοντες οὐδὲν ἐς αὐτὴν
οὔτ' ἐπὶ καθαρσίοις ἢ χέρνιβι χρῆσθαι νομίζοντες. νό-
σου δὲ ἀκεσθείσης ἀνδρὶ μαντεύματος γενομένου καθ-
έστηκεν ἄργυρον ἀφεῖναι καὶ χρυσὸν ἐπίσημον ἐς τὴν
πηγήν· ταύτῃ γὰρ ἀνελθεῖν τὸν Ἀμφιάραον λέγουσιν
ἤδη θεόν. Ἰοφῶν δὲ Κνώσιος τῶν ἐξηγητῶν χρησμοὺς
ἐν ἑξαμέτρῳ παρείχετο, Ἀμφιάραον χρῆσαι φάμενος τοῖς
ἐς Θήβας σταλεῖσιν Ἀργείων. Ταῦτα τὰ ἔπη τὸ ἐς τοὺς
πολλοὺς ἐπαγωγὸν ἀκρατῶς εἶχε· χωρὶς δὲ πλὴν ὅσους
ἐξ Ἀπόλλωνος μανῆναι λέγουσι τὸ ἀρχαῖον, μάντεών γ'
οὐδεὶς χρησμολόγος ἦν, ἀγαθοὶ δὲ ὀνείρατα ἐξηγήσασθαι
καὶ διαγνῶναι πτήσεις ὀρνίθων καὶ σπλάγχνα ἱερείων.
5 δοκῶ δὲ Ἀμφιάραον ὀνειράτων διακρίσει μάλιστα προσ-
κεῖσθαι· δῆλον δέ, ἡνίκα ἐνομίσθη θεὸς δι' ὀνειράτων
μαντικὴν καταστησάμενος. καὶ πρῶτον μὲν καθήρασθαι

νομίζουσιν ὅστις ἦλθεν Ἀμφιαράῳ χρησόμενος· ἔστι δὲ καθάρσιον τῷ θεῷ θύειν· θύουσι δὲ καὶ αὐτῷ καὶ πᾶσιν ὅσοις ἐστὶν ἐπὶ τὸ * * τὰ ὀνόματα. προεξειργασμένων δὲ τούτων, κριὸν θύσαντες καὶ τὸ δέρμα ὑποστρωσάμενοι καθεύδουσιν ἀναμένοντες δήλωσιν ὀνείρατος.

85 XXXV. Νῆσοι δὲ Ἀθηναίοις οὐ πόρρω τῆς χώρας εἰσίν, ἡ μὲν Πατρόκλου καλουμένη, τὰ δὲ ἐς αὐτὴν ἤδη μοι δεδήλωται, ἄλλη δὲ ὑπὲρ Σουνίου, τὴν Ἀττικὴν ἐν ἀριστερᾷ πλέουσιν· ἐς ταύτην ἀποβῆναι λέγουσιν Ἑλένην μετὰ τὴν ἅλωσιν τὴν Ἰλίου, καὶ διὰ τοῦτο ὄνομά ἐστιν Ἑλένη τῇ νήσῳ. 2. Σαλαμὶς δὲ κατὰ Ἐλευσῖνα κει- 2
μένη παρήκει καὶ ἐς τὴν Μεγαρικήν. πρῶτον δὲ τῇ νήσῳ * * θέσθαι τοῦτο ἀπὸ τῆς μητρὸς Σαλαμῖνος τῆς Ἀσωποῦ, καὶ ὕστερον Αἰγινήτας τοὺς σὺν Τελαμῶνι ἐποικῆσαι· Φίλαιον δὲ τὸν Εὐρυσάκους τοῦ Αἴαντος παραδοῦναι λέγουσιν Ἀθηναίοις τὴν νῆσον, γενόμενον ὑπ' αὐτῶν Ἀθηναῖον. Σαλαμινίους δὲ Ἀθηναῖοι τούτων ὕστερον πολλοῖς ἔτεσιν ἀναστάτους ἐποίησαν, καταγνόντες ἐθελοκακῆσαι σφᾶς ἐν τῷ πολέμῳ τῷ πρὸς Κάσσανδρον καὶ τὴν πόλιν γνώμῃ τὸ πλέον Μακεδόσιν ἐνδοῦναι· καὶ Ἀσκητάδου τε κατέγνωσαν θάνατον, ὃς τότε ᾕρητο ἐς τὴν Σαλαμῖνα στρατηγός, καὶ ἐς τὸν πάντα ἐπώμοσαν χρόνον Σαλαμινίοις ἀπομνημονεύσειν προδοσίαν. ἔστι 3
δὲ ἀγορᾶς τε ἔτι ἐρείπια καὶ ναὸς Αἴαντος· ἄγαλμα δὲ ἐξ ἐβένου ξύλου. διαμένουσι δὲ καὶ ἐς τόδε τῷ Αἴαντι παρὰ Ἀθηναίοις τιμαί, αὐτῷ τε καὶ Εὐρυσάκει· καὶ γὰρ Εὐρυσάκους βωμός ἐστιν ἐν Ἀθήναις. δείκνυται δὲ λίθος ἐν Σαλαμῖνι οὐ πόρρω τοῦ λιμένος· ἐπὶ τούτου καθήμενον Τελαμῶνα ὁρᾶν λέγουσιν ἐς τὴν ναῦν ἀποπλεόντων οἱ τῶν παίδων ἐς Αὐλίδα ἐπὶ τὸν κοινὸν τῶν Ἑλλήνων στόλον. 3. Λέγουσι δὲ οἱ περὶ τὴν Σαλαμῖνα οἰκοῦντες 4
86 ἀποθανόντος Αἴαντος τὸ ἄνθος σφίσιν ἐν τῇ γῇ τότε

φανῆναι πρῶτον· λευκόν ἐστιν, ὑπέρυθρον, κρίνου καὶ
αὐτὸ ἔλασσον καὶ τὰ φύλλα· γράμματα δὲ ἔπεστιν οἷα
τοῖς ὑακίνθοις καὶ τούτῳ. λόγον δὲ τῶν μὲν Αἰολέων τῶν
ὕστερον οἰκησάντων Ἴλιον ἐς τὴν κρίσιν τὴν ἐπὶ τοῖς
ὅπλοις ἤκουσα, οἳ τῆς ναυαγίας Ὀδυσσεῖ συμβάσης ἐξε-
νεχθῆναι κατὰ τὸν τάφον τὸν Αἴαντος τὰ ὅπλα λέγουσι·
5 τὸ δὲ ἐς τὸ μέγεθος αὐτοῦ Μυσὸς ἔλεγεν ἀνήρ. τοῦ γὰρ
τάφου τὰ πρὸς τὸν αἰγιαλὸν ἔφασκεν ἐπικλύσαι τὴν θά-
λασσαν καὶ τὴν ἔσοδον ἐς τὸ μνῆμα οὐ χαλεπὴν ποιῆσαι,
καί με τοῦ νεκροῦ τὸ μέγεθος τεκμαίρεσθαι τῇδε ἐκέ-
λευε· πεντάθλου γὰρ παιδὸς εἶναί οἱ κατὰ δίσκον μάλι-
στα τὰ ἐπὶ τοῖς γόνασιν ὀστᾶ, καλουμένας δὲ ὑπὸ τῶν
ἰατρῶν μύλας. ἐγὼ δέ, ὁπόσοι μὲν οἰκοῦσιν ἔσχατοι Κελ-
τῶν ἔχοντες ὅμορον τῇ διὰ κρυμὸν ἐρήμῳ, οὓς Καβαρεῖς
ὀνομάζουσι, τούτων μὲν οὐκ ἐθαύμασα τὸ μῆκος, οἳ νε-
κρῶν οὐδέν τι διαφόρως ἔχουσιν Αἰγυπτίων· 4. ὁπόσα
6 δὲ ἄξια ἐφαίνετο εἶναί μοι θέας, διηγήσομαι. Μάγνησι
τοῖς ἐπὶ Ληθαίῳ Πρωτοφάνης τῶν ἀστῶν ἀνείλετο ἐν
Ὀλυμπίᾳ νίκας ἡμέρᾳ μιᾷ παγκρατίου καὶ πάλης· τού-
του λῃσταὶ κερδανεῖν πού τι δοκοῦντες ἐσῆλθον ἐς τὸν
τάφον, ἐπὶ δὲ τοῖς λῃσταῖς ἐσῄεσαν ἤδη θεασόμενοι τὸν 87
νεκρὸν τὰς πλευρὰς οὐκ ἔχοντα διεστώσας, ἀλλά οἱ συμ-
φυὲς ἦν ὅσον ἀπ' ὤμων ἐς τὰς ἐλαχίστας πλευράς, κα-
λουμένας δὲ ὑπὸ τῶν ἰατρῶν νόθας. 5. Ἔστι δὲ Μιλη-
σίοις πρὸ τῆς πόλεως Λάδη νῆσος, ἀπερρώγασι δὲ ἀπ'
αὐτῆς νησῖδες· Ἀστερίου τὴν ἑτέραν ὀνομάζουσι, καὶ
τὸν Ἀστέριον ἐν αὐτῇ ταφῆναι λέγουσιν, εἶναι δὲ Ἀστέ-
ριον μὲν Ἄνακτος, Ἄνακτα δὲ Γῆς παῖδα· ἔχει δ' οὖν
7 ὁ νεκρὸς οὐδέν τι μεῖον πηχῶν δέκα. 6. Τὸ δ' ἐμοὶ θαῦμα
παρασχόν, Λυδίας τῆς ἄνω πόλις ἐστὶν οὐ μεγάλη Τημέ-
νου θύραι· ἐνταῦθα περιρραγέντος λόφου διὰ χειμῶνα
ὀστᾶ ἐφάνη τὸ σχῆμα παρέχοντα ἐς πίστιν ὡς ἔστιν ἀν-

θρώπου, ἐπεὶ διὰ μέγεθος οὐκ ἔστιν ὅπως ἂν ἔδοξεν. αὐτίκα δὲ λόγος ἦλθεν ἐς τοὺς πολλοὺς Γηρυόνου τοῦ Χρυσάορος εἶναι μὲν τὸν νεκρόν, εἶναι δὲ καὶ τὸν θρόνον· καὶ γὰρ θρόνος ἀνδρός ἐστιν ἐνειργασμένος ὄρους λιθώδει προβολῇ. καὶ χείμαρρόν τε ποταμὸν Ὠκεανὸν ἐκάλουν, καὶ βοῶν ἤδη κέρασιν ἔφασάν τινας ἐντυχεῖν ἀροῦντας, διότι ἔχει λόγος βοῦς ἀρίστας θρέψαι τὸν Γηρυόνην. ἐπεὶ δέ σφισιν ἐναντιούμενος ἀπέφαινον ἐν 8
Γαδείροις εἶναι Γηρυόνην, οὗ μνῆμα μὲν οὐδέν, δένδρον δὲ παρεχόμενον διαφόρους μορφάς, ἐνταῦθα οἱ τῶν Λυδῶν ἐξηγηταὶ τὸν ὄντα ἐδείκνυον λόγον, ὡς εἴη μὲν ὁ νεκρὸς Ὕλλου, παῖς δὲ Ὕλλος εἴη Γῆς, ἀπὸ τούτου δὲ ὁ ποταμὸς ὠνομάσθη. Ἡρακλέα δὲ διὰ τὴν παρ' Ὀμφάλῃ ποτὲ ἔφασαν δίαιταν Ὕλλον ἀπὸ τοῦ ποταμοῦ καλέσαι τὸν παῖδα.

XXXVI. Ἐν Σαλαμῖνι δέ, ἐπάνειμι γὰρ ἐς τὸν προκείμενον λόγον, τοῦτο μὲν Ἀρτέμιδός ἐστιν ἱερόν, τοῦτο δὲ τρόπαιον ἕστηκεν ἀπὸ τῆς νίκης ἣν Θεμιστοκλῆς ὁ Νεοκλέους αἴτιος ἐγένετο γενέσθαι τοῖς Ἕλλησι. καὶ
88 Κυχρέως ἐστὶν ἱερόν. ναυμαχούντων δὲ Ἀθηναίων πρὸς Μήδους δράκοντα ἐν ταῖς ναυσὶ λέγεται φανῆναι· τοῦτον ὁ θεὸς ἔχρησεν Ἀθηναίοις Κυχρέα εἶναι τὸν ἥρωα.
2. Νῆσος δὲ πρὸ Σαλαμῖνός ἐστι καλουμένη Ψυττάλεια. 2
ἐς ταύτην τῶν βαρβάρων ὅσον τετρακοσίους ἀποβῆναι λέγουσιν· ἡττωμένου δὲ τοῦ Ξέρξου ναυτικοῦ καὶ τούτους ἀπολέσθαι φασὶν ἐπιδιαβάντων ἐς τὴν Ψυττάλειαν τῶν Ἑλλήνων. ἄγαλμα δὲ ἐν τῇ νήσῳ σὺν τέχνῃ μέν ἐστιν οὐδέν, Πανὸς δὲ ὡς ἕκαστον ἔτυχε ξόανα πεποιημένα.

3. Ἰοῦσι δὲ ἐπ' Ἐλευσῖνα ἐξ Ἀθηνῶν, ἣν Ἀθηναῖοι 3
καλοῦσιν ὁδὸν ἱεράν, Ἀνθεμοκρίτου πεποίηται μνῆμα. ἐς τοῦτον Μεγαρεῦσίν ἐστιν ἀνοσιώτατον ἔργον, οἳ κήρυκα ἐλθόντα, ὡς μὴ τοῦ λοιποῦ τὴν χώραν ἐπεργά-

ζοιντο, κτείνουσιν Ἀνθεμόκριτον. καί σφισι ταῦτα δράσασι παραμένει καὶ ἐς τόδε μήνιμα ἐκ τοῖν θεοῖν, οἷς οὐδὲ Ἀδριανὸς ὁ βασιλεὺς ὥστε καὶ ἐπαυξηθῆναι μόνοις
4 ἐπήρκεσεν Ἑλλήνων. μετὰ δὲ τοῦ Ἀνθεμοκρίτου τὴν στήλην Μολοττοῦ τε τάφος ἐστὶν ἀξιωθέντος Ἀθηναίων καὶ τούτου στρατηγεῖν, ὅτε Πλουτάρχῳ βοηθοῦντες διέβησαν ἐς Εὔβοιαν, καὶ χωρίον Σκῖρον ἐπὶ τοιῷδε καλούμενον. Ἐλευσινίοις πολεμοῦσι πρὸς Ἐρεχθέα ἀνὴρ μάντις ἦλθεν ἐκ Δωδώνης ὄνομα Σκῖρος, ὃς καὶ τῆς Σκιράδος ἱδρύσατο Ἀθηνᾶς ἐπὶ Φαλήρῳ τὸ ἀρχαῖον ἱερόν· πεσόντα δὲ αὐτὸν ἐν τῇ μάχῃ θάπτουσιν Ἐλευσίνιοι πλησίον ποταμοῦ χειμάρρου, καὶ τῷ τε χωρίῳ τὸ
5 ὄνομα ἀπὸ τοῦ ἥρωός ἐστι καὶ τῷ ποταμῷ. 4. Πλησίον δὲ πεποίηται Κηφισοδώρου μνῆμα δήμου προστάντος καὶ Φιλίππῳ τῷ Δημητρίου Μακεδόνων βασιλεύοντι ἐς τὰ μάλιστα ἐναντιωθέντος. συμμάχους δὲ ἐπήγετο Κηφισόδωρος Ἀθηναίοις γενέσθαι βασιλεῖς μὲν Ἄτταλον τὸν Μυσὸν καὶ Πτολεμαῖον τὸν Αἰγύπτιον, ἔθνη δὲ αὐτόνομα Αἰτωλοὺς καὶ νησιωτῶν Ῥοδίους καὶ Κρῆτας.
6 ὡς δὲ καὶ ἐξ Αἰγύπτου καὶ Μυσίας καὶ παρὰ τῶν Κρητῶν τὰ πολλὰ ὑστέριζον αἱ βοήθειαι, Ῥόδιοι δὲ μόναις ναυσὶν ἰσχύοντες πρὸς ὁπλίτας τοὺς Μακεδόνας οὐ μεγάλα ὠφέλουν, ἐνταῦθα Κηφισόδωρος ἐς Ἰταλίαν σὺν ἄλλοις Ἀθηναίων πλεύσας ἱκέτευεν ἀμῦναι Ῥωμαίους· οἱ δέ 89
σφισι δύναμιν καὶ στρατηγὸν πέμπουσιν, οἳ τὰ Φιλίππου καὶ Μακεδόνων ἐς τοσοῦτον καθεῖλον ὡς ὕστερον Περσέα τὸν Φιλίππου τήν τε ἀρχὴν ἀποβαλεῖν καὶ αὐτὸν αἰχμάλωτον ἐς Ἰταλίαν ἀχθῆναι. Φίλιππος δὲ ἦν οὗτος ὁ Δημητρίου· πρῶτος γὰρ ταύτης τῆς οἰκίας ἔσχε Δημήτριος τὴν Μακεδόνων ἀρχήν, ὁ ἀποκτείνας Ἀλέξανδρον τὸν Κασσάνδρου παῖδα, ὡς τὰ πρότερον ἔχει μοι τοῦ λόγου.

**XXXVII.** Μετὰ δὲ τοῦ Κηφισοδώρου τὸ μνῆμα τέ-

θαπται μὲν Ἡλιόδωρος Ἅλις· τούτου γραφὴν ἰδεῖν ἔστι
καὶ ἐν τῷ ναῷ τῷ μεγάλῳ τῆς Ἀθηνᾶς· τέθαπται δὲ Θε-
μιστοκλῆς Πολιάρχου, τρίτος ἀπόγονος Θεμιστοκλέους
τοῦ Ξέρξῃ καὶ Μήδοις ἐναντία ναυμαχήσαντος. τοὺς δὲ
κατωτέρω τοῦ γένους πλὴν Ἀκεστίου παρήσω τοὺς ἄλ-
λους· Ἀκεστίῳ δὲ τῇ Ξενοκλέους τοῦ Σοφοκλέους τοῦ
Λέοντος τούτους τε ἐς τὸν τέταρτον πρόγονον Λέοντα
δᾳδούχους πάντας ὑπῆρξε γενέσθαι, καὶ παρὰ τὸν βίον
τὸν αὑτῆς πρῶτον μὲν τὸν ἀδελφὸν Σοφοκλέα εἶδε δᾳ-
δουχοῦντα, ἐπὶ δὲ τούτῳ τὸν ἄνδρα Θεμιστοκλέα, τε-
λευτήσαντος δὲ καὶ τούτου Θεόφραστον τὸν παῖδα. ταύ-
τῃ μὲν τύχην τοιαύτην συμβῆναι λέγουσι.

Προελθοῦσι δὲ ὀλίγον Λακίου τέμενός ἐστιν ἥρωος, 2
καὶ δῆμος ὃν Λακιάδας ὀνομάζουσιν ἀπὸ τούτου. καὶ
Νικοκλέους Ταραντίνου ἐστὶ μνῆμα, ὃς ἐπὶ μέγιστον
δόξης κιθαρῳδῶν ἁπάντων ἦλθεν. ἔστι δὲ καὶ Ζεφύρου
τε βωμὸς καὶ Δήμητρος ἱερὸν καὶ τῆς παιδός· σὺν δέ
σφισιν Ἀθηνᾶ καὶ Ποσειδῶν ἔχουσι τιμάς. 2. Ἐν τούτῳ
τῷ χωρίῳ Φύταλόν φασιν οἴκῳ Δήμητρα δέξασθαι, καὶ
τὴν θεὸν ἀντὶ τούτων δοῦναί οἱ τὸ φυτὸν τῆς συκῆς.
μαρτυρεῖ δέ μοι τῷ λόγῳ τὸ ἐπίγραμμα τὸ ἐπὶ τῷ Φυ-
τάλου τάφῳ·

ἐνθάδ' ἄναξ ἥρως Φύταλός ποτε δέξατο σεμνὴν
Δήμητραν, ὅτε πρῶτον ὀπώρας καρπὸν ἔφηνεν,
ἣν ἱερὰν συκῆν θνητῶν γένος ἐξονομάζει·
ἐξ οὗ δὴ τιμὰς Φυτάλου γένος ἔσχεν ἀγήρως.

90 Πρὶν δὲ ἢ διαβῆναι τὸν Κηφισόν, Θεοδώρου μνῆμά 3
ἐστι τραγῳδίαν ὑποκριναμένου τῶν καθ' αὑτὸν ἄριστα.
ἀγάλματα δὲ ἐπὶ τῷ ποταμῷ, Μνησιμάχης, τὸ δὲ ἕτερον
ἀνάθημα κειρομένου οἱ τὴν κόμην τοῦ παιδὸς ἐπὶ τῷ
Κηφισῷ. καθεστάναι δὲ ἐκ παλαιοῦ καὶ τοῖς πᾶσι τοῦτο
Ἕλλησι τῇ Ὁμήρου τις ἂν τεκμαίροιτο ποιήσει, ὃς τὸν

Πηλέα εὔξασθαί φησι τῷ Σπερχειῷ κερεῖν ἀνασωθέντος ἐκ Τροίας Ἀχιλλέως τὴν κόμην.

4 3. Διαβᾶσι δὲ τὸν Κηφισὸν βωμός ἐστιν ἀρχαῖος Μειλιχίου Διός· ἐπὶ τούτῳ Θησεὺς ὑπὸ τῶν ἀπογόνων τῶν Φυτάλου καθαρσίων ἔτυχε, λῃστὰς καὶ ἄλλους ἀποκτείνας καὶ Σίνιν τὰ πρὸς Πιτθέως συγγενῆ. τάφος δὲ ἔστι μὲν αὐτόθι Θεοδέκτου τοῦ Φασηλίτου, ἔστι δὲ Μνησιθέου· τοῦτον λέγουσιν ἰατρόν τε ἀγαθὸν γενέσθαι καὶ ἀναθεῖναι ἀγάλματα, ἐν οἷς καὶ ὁ Ἴακχος πεποίηται. ᾠκοδόμηται δὲ κατὰ τὴν ὁδὸν ναὸς οὐ μέγας, καλούμενος Κυαμίτου· σαφὲς δὲ οὐδὲν ἔχω λέγειν, εἴτε πρῶτος κυάμους ἔσπειρεν οὗτος, εἴτε τινὰ ἐπεφήμισαν ἥρωα, ὅτι τῶν κυάμων ἀνενεγκεῖν οὐκ ἔστι σφίσιν ἐς Δήμητρα τὴν εὕρεσιν. ὅστις δὲ ἤδη τελετὴν Ἐλευσῖνι εἶδεν ἢ τὰ
5 καλούμενα Ὀρφικὰ ἐπελέξατο, οἶδεν ὃ λέγω. 4. μνημάτων δὲ ἃ μάλιστα ἐς μέγεθος καὶ κόσμον ἥκει, τὸ μὲν ἀνδρός ἐστι Ῥοδίου μετοικήσαντος ἐς Ἀθήνας, τὸ δὲ Ἅρπαλος Μακεδὼν ἐποίησεν, ὃς Ἀλέξανδρον ἀποδρὰς ἐκ τῆς Ἀσίας διέβη ναυσὶν ἐς τὴν Εὐρώπην, ἀφικόμενος δὲ παρ' Ἀθηναίους ὑπ' αὐτῶν συνελήφθη, διαφθείρας δὲ χρήμασιν ἄλλους τε καὶ τοὺς Ἀλεξάνδρου φίλους ἀπέδρα, πρότερον δὲ ἔτι Πυθιονίκην ἔγημε, γένος μὲν οὐκ οἶδα ὁπόθεν, ἑταιροῦσαν δὲ ἔν τε Ἀθήναις καὶ ἐν Κορίνθῳ. ταύτης ἐς τοσοῦτον ἔρωτος προῆλθεν ὡς καὶ μνῆμα ἀποθανούσης ποιῆσαι πάντων, ὁπόσα Ἕλλησίν ἐστιν ἀρχαῖα, θέας μάλιστα ἄξιον. 91

6 Ἔστι δὲ ἱερὸν ἐν ᾧ κεῖται Δήμητρος καὶ τῆς παιδὸς ἀγάλματα καὶ Ἀθηνᾶς τε καὶ Ἀπόλλωνος· Ἀπόλλωνι δὲ ἐποιήθη μόνῳ τὸ ἐξ ἀρχῆς. Κέφαλον γὰρ τὸν Δηΐονος συνεξελθόντα λέγουσιν Ἀμφιτρύωνι ἐπὶ Τηλεβόας τὴν νῆσον οἰκῆσαι πρῶτον, ἣ νῦν ἀπ' ἐκείνου Κεφαλληνία καλεῖται· μετοικεῖν δὲ αὐτὸν τέως ἐν Θήβαις φεύγοντα

ἐξ Ἀθηνῶν διὰ τὸν Πρόκριδος τῆς γυναικὸς φόνον.
δεκάτῃ δὲ ὕστερον γενεᾷ Χαλκῖνος καὶ Δαῖτος ἀπόγονοι
Κεφάλου πλεύσαντες ἐς Δελφοὺς ᾔτουν τὸν θεὸν κάθ-
οδον ἐς Ἀθήνας· ὁ δέ σφισι κελεύει θῦσαι πρῶτον 7
Ἀπόλλωνι ἐνταῦθα τῆς Ἀττικῆς, ἔνθα ἂν ἴδωσιν ἐπὶ
τῆς γῆς τριήρη θέουσαν. γενομένοις δὲ αὐτοῖς κατὰ τὸ
Ποικίλον καλούμενον ὄρος δράκων ἐφάνη σπουδῇ κατὰ
τὸν φωλεὸν ἰών· καὶ Ἀπόλλωνί τε θύουσιν ἐν τῷ χωρίῳ
τούτῳ, καὶ ὕστερον σφᾶς ἐλθόντας ἐς τὴν πόλιν ἀστοὺς
ἐποιήσαντο Ἀθηναῖοι.

Μετὰ δὲ τοῦτο Ἀφροδίτης ναός ἐστι, καὶ πρὸ αὐτοῦ
τεῖχος ἀργῶν λίθων θέας ἄξιον.

XXXVIII. Οἱ δὲ Ῥειτοὶ καλούμενοι ῥεῦμα μόνον
παρέχονται ποταμῶν, ἐπεὶ τό γε ὕδωρ θάλασσά ἐστί
σφισι. πείθοιτο δὲ ἄν τις καὶ ὡς ἀπὸ τοῦ Χαλκιδέων
Εὐρίπου ῥέουσιν ὑπὸ τῆς γῆς ἐς θάλασσαν κοιλοτέραν
ἐμπίπτοντες. λέγονται δὲ οἱ Ῥειτοὶ Κόρης ἱεροὶ καὶ Δή-
μητρος εἶναι, καὶ τοὺς ἰχθῦς ἐξ αὐτῶν τοῖς ἱερεῦσιν ἔστιν
αἱρεῖν μόνοις. οὗτοι τὸ ἀρχαῖον, ὡς ἐγὼ πυνθάνομαι,
πρὸς Ἀθηναίους τοὺς ἄλλους ὅροι τῆς γῆς Ἐλευσινίοις
ἦσαν, 2. καὶ διαβᾶσι τοὺς Ῥειτοὺς πρῶτος ᾤκει Κρόκων,
ἔνθα καὶ νῦν ἔτι βασίλεια καλεῖται Κρόκωνος. τοῦτον 2
Ἀθηναῖοι τὸν Κρόκωνα Κελεοῦ θυγατρὶ συνοικῆσαι
92 Σαισάρᾳ λέγουσι· λέγουσι δὲ οὐ πάντες, ἀλλ' ὅσοι τοῦ
δήμου τοῦ Σκαμβωνιδῶν εἰσίν. ἐγὼ δὲ Κρόκωνος μὲν
ἀνευρεῖν τάφον οὐχ οἷός τε ἐγενόμην, τὸ δὲ Εὐμόλπου
μνῆμα κατὰ ταὐτὰ Ἐλευσινίοις ἀπέφαινον καὶ Ἀθηναῖοι.
3. τοῦτον τὸν Εὔμολπον ἀφικέσθαι λέγουσιν ἐκ Θρᾴκης
Ποσειδῶνος παῖδα ὄντα καὶ Χιόνης· τὴν δὲ Χιόνην Βο-
ρέου θυγατέρα τοῦ ἀνέμου καὶ Ὠρειθυίας φασὶν εἶναι.
Ὁμήρῳ δὲ ἐς μὲν τὸ γένος ἐστὶν οὐδὲν αὐτοῦ πεποιη-
μένον, ἐπονομάζει δὲ ἀγήνορα ἐν τοῖς ἔπεσι τὸν Εὔμολ-

3 πον. γενομένης δὲ Ἐλευσινίοις μάχης πρὸς Ἀθηναίους ἀπέθανε μὲν Ἐρεχθεὺς Ἀθηναίων βασιλεύς, ἀπέθανε δὲ Ἰμμάραδος Εὐμόλπου· καταλύονται δὲ ἐπὶ τοῖσδε τὸν πόλεμον, ὡς Ἐλευσινίους ἐς τὰ ἄλλα Ἀθηναίων κατηκόους ὄντας ἰδίᾳ τελεῖν τὴν τελετήν. τὰ δὲ ἱερὰ τοῖν θεοῖν Εὔμολπος καὶ αἱ θυγατέρες δρῶσιν αἱ Κελεοῦ· καλοῦσι δὲ σφᾶς Πάμφως τε κατὰ ταὐτὰ καὶ Ὅμηρος Διογένειαν καὶ Παμμερόπην καὶ τρίτην Σαισάραν. τελευτήσαντος δὲ Εὐμόλπου Κῆρυξ νεώτερος λείπεται τῶν παίδων, ὃν αὐτοὶ Κήρυκες θυγατρὸς Κέκροπος Ἀγλαύρου καὶ Ἑρμοῦ παῖδα εἶναι λέγουσιν, ἀλλ' οὐκ Εὐμόλπου.

4 4. Ἔστι δὲ Ἱπποθόωντος ἡρῷον, ἀφ' οὗ τὴν φυλὴν ὀνομάζουσι, καὶ πλησίον Ζάρηκος. τοῦτον μαθεῖν παρὰ Ἀπόλλωνι μουσικήν φασιν. ἐγὼ δὲ ξένον μὲν ἀφικόμενον ἐς τὴν γῆν Λακεδαιμόνιόν τε εἶναι δοκῶ, καὶ Ζάρακα ἐν τῇ Λακωνικῇ πόλιν ἀπὸ τούτου πρὸς θαλάσσῃ καλεῖσθαι. εἰ δέ τις Ζάρηξ ἐπιχώριος Ἀθηναίοις ἥρως, οὐδὲν ἐς αὐ-
5 τὸν ἔχω λέγειν. 5. Ῥεῖ δὲ Κηφισὸς πρὸς Ἐλευσῖνι βιαιότερον παρεχόμενος τοῦ προτέρου ῥεῦμα· καὶ παρ' αὐτῷ καλοῦσιν Ἐρινεόν, λέγοντες τὸν Πλούτωνα, ὅτε ἥρπασε τὴν Κόρην, καταβῆναι ταύτῃ. πρὸς τούτῳ τῷ Κηφισῷ λῃστὴν Πολυπήμονα ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν,
6 Θησεὺς ἀπέκτεινεν. 6. Ἐλευσινίοις δὲ ἔστι μὲν Τριπτολέμου ναός, ἔστι δὲ Προπυλαίας Ἀρτέμιδος καὶ Ποσει- 93
δῶνος Πατρός, φρέαρ τε καλούμενον Καλλίχορον, ἔνθα πρῶτον Ἐλευσινίων αἱ γυναῖκες χορὸν ἔστησαν καὶ ᾖσαν ἐς τὴν θεόν. τὸ δὲ πεδίον τὸ Ῥάριον σπαρῆναι πρῶτον λέγουσι καὶ πρῶτον αὐξῆσαι καρπούς, καὶ διὰ τοῦτο οὐλαῖς ἐξ αὐτοῦ χρῆσθαί σφισι καὶ ποιεῖσθαι πέμματα ἐς τὰς θυσίας καθέστηκεν. ἐνταῦθα ἅλως καλουμένη
7 Τριπτολέμου καὶ βωμὸς δείκνυται. τὰ δὲ ἐντὸς τοῦ τείχους τοῦ ἱεροῦ τό τε ὄνειρον ἀπεῖπε γράφειν, καὶ τοῖς

οὐ τελεσθεῖσιν, ὁπόσων θέας εἴργονται, δῆλα δήπου
μηδὲ πυθέσθαι μετεῖναί σφισιν. 7. Ἐλευσῖνα δὲ ἥρωα,
ἀφ' οὗ τὴν πόλιν ὀνομάζουσιν, οἱ μὲν Ἑρμοῦ παῖδα εἶναι
καὶ Δαείρας Ὠκεανοῦ θυγατρὸς λέγουσι, τοῖς δέ ἐστι
πεποιημένα Ὤγυγον εἶναι πατέρα Ἐλευσῖνι. οἱ γὰρ ἀρ-
χαῖοι τῶν λόγων ἅτε οὐ προσόντων σφίσι γενεῶν, ἄλλα
τε πλάσασθαι δεδώκασι καὶ μάλιστα ἐς τὰ γένη τῶν
ἡρώων.

8. Ἐκ δὲ Ἐλευσῖνος τραπομένοις ἐπὶ Βοιωτῶν ἐστὶν 8
ὅμορος Ἀθηναίοις ἡ Πλαταιίς. πρότερον μὲν γὰρ Ἐλευ-
θερεῦσιν ὅροι πρὸς τὴν Ἀττικὴν ἦσαν· προσχωρησάν-
των δὲ Ἀθηναίοις τούτων, οὕτως ἤδη Βοιωτίας ὁ Κι-
θαιρών ἐστιν ὅρος. προσεχώρησαν δὲ Ἐλευθερεῖς οὐ
πολέμῳ βιασθέντες, ἀλλὰ πολιτείας τε ἐπιθυμήσαντες
παρὰ Ἀθηναίων καὶ κατ' ἔχθος τὸ Θηβαίων. ἐν τούτῳ
τῷ πεδίῳ ναός ἐστι Διονύσου, καὶ τὸ ξόανον ἐντεῦθεν
Ἀθηναίοις ἐκομίσθη τὸ ἀρχαῖον· τὸ δὲ ἐν Ἐλευθεραῖς
ἐφ' ἡμῶν ἐς μίμησιν ἐκείνου πεποίηται. 9. ἀπωτέρω δὲ 9
ὀλίγον σπήλαιόν ἐστιν οὐ μέγα, καὶ παρ' αὐτὸ ὕδατος
πηγὴ ψυχροῦ. λέγεται δὲ ἐς μὲν τὸ σπήλαιον ὡς Ἀντιόπη
τεκοῦσα κατάθοιτο ἐς αὐτὸ τοὺς παῖδας, περὶ δὲ τῆς
πηγῆς τὸν ποιμένα εὑρόντα τοὺς παῖδας ἐνταῦθα σφᾶς
λοῦσαι πρῶτον, ἀπολύσαντα τῶν σπαργάνων. Ἐλευ-
θερῶν δὲ ἦν μὲν ἔτι τοῦ τείχους, ἦν δὲ καὶ οἰκιῶν
ἐρείπια· δήλη δὲ τούτοις ἐστὶ πόλις ὀλίγον ὑπὲρ τοῦ
πεδίου πρὸς τῷ Κιθαιρῶνι οἰκισθεῖσα.

94 XXXIX. Ἑτέρα δὲ ὁδὸς ἐξ Ἐλευσῖνος πρὸς Μέγαρα
ἄγει· ταύτην ἐρχομένοις τὴν ὁδὸν φρέαρ ἐστὶν Ἄνθιον
καλούμενον. ἐποίησε δὲ Πάμφως ἐπὶ τούτῳ τῷ φρέατι
καθῆσθαι Δήμητρα μετὰ τὴν ἁρπαγὴν τῆς παιδός, γραῒ
εἰκασμένην· ἐντεῦθεν δὲ αὐτὴν ἅτε γυναῖκα γραῖαν ὑπὸ
τῶν θυγατέρων τῶν Κελεοῦ κομισθῆναι παρὰ τὴν

μητέρα, καί οἱ τὴν Μετάνειραν οὕτω πιστεῦσαι τοῦ
2 παιδὸς τὴν ἀνατροφήν. 2. ὀλίγῳ δὲ ἀπωτέρω τοῦ φρέα-
τος ἱερὸν Μετανείρας ἐστί, καὶ μετ' αὐτὸ τάφοι τῶν ἐς
Θήβας. Κρέων γάρ, ὃς ἐδυνάστευε τότε ἐν Θήβαις Λαο-
δάμαντα ἐπιτροπεύων τὸν Ἐτεοκλέους, οὐ παρῆκε τοῖς
προσήκουσιν ἀνελομένοις θάψαι· ἱκετεύσαντος δὲ Ἀδρά-
στου Θησέα καὶ μάχης Ἀθηναίων γενομένης πρὸς Βοιω-
τούς, Θησεὺς ὡς ἐκράτησε τῇ μάχῃ, κομίσας ἐς τὴν
Ἐλευσινίαν τοὺς νεκροὺς ἐνταῦθα ἔθαψε. Θηβαῖοι δὲ
τὴν ἀναίρεσιν τῶν νεκρῶν λέγουσιν ἐθελονταὶ δοῦναι,
3 καὶ συνάψαι μάχην οὔ φασι. 3. μετὰ δὲ τῶν Ἀργείων
τοὺς τάφους ἐστὶν Ἀλόπης μνῆμα, ἣν τεκοῦσαν Ἱππο-
θόωντα ἐκ Ποσειδῶνος ἀποθανεῖν ἐνταῦθά φασιν ὑπὸ
τοῦ πατρὸς Κερκυόνος. εἶναι δὲ ὁ Κερκυὼν λέγεται καὶ
τὰ ἄλλα ἄδικος ἐς τοὺς ξένους καὶ παλαίειν οὐ βουλο-
μένοις· καὶ ὁ τόπος οὗτος παλαίστρα καὶ ἐς ἐμὲ ἐκαλεῖτο
Κερκυόνος, ὀλίγον τοῦ τάφου τῆς Ἀλόπης ἀπέχων. λέ-
γεται δὲ ὁ Κερκυὼν τοὺς καταστάντας ἐς πάλην δια-
φθεῖραι πλὴν Θησέως. Θησεὺς δὲ κατεπάλαισεν αὐτὸν
σοφίᾳ τὸ πλέον· παλαιστικὴν γὰρ τέχνην εὗρε Θησεὺς
πρῶτος, καὶ πάλης κατέστη ὕστερον ἀπ' ἐκείνου διδασκα-
λία· πρότερον δὲ ἐχρῶντο μεγέθει μόνον καὶ ῥώμῃ πρὸς
τὰς πάλας.

Τοσαῦτα κατὰ γνώμην τὴν ἐμὴν Ἀθηναίοις γνωρι-
μώτατα ἦν ἔν τε λόγοις καὶ θεωρήμασιν. ἀπέκρινε δὲ
ἀπὸ τῶν πολλῶν ἐξ ἀρχῆς ὁ λόγος μοι τὰ ἐς συγγραφὴν
4 ἀνήκοντα. 4. Ἐλευσῖνι δὲ ἤδη πλησιόχωρος καλουμένη
Μεγαρίς· τῆς Ἀθηναίων ἦν καὶ αὕτη τὸ ἀρχαῖον, Πύλα
τοῦ βασιλέως καταλιπόντος Πανδίονι. μαρτύρια δέ μοι 95
τάφος τε Πανδίονος ἐν τῇ γῇ, καὶ Νῖσος Αἰγεῖ μὲν πρεσ-
βυτάτῳ τοῦ παντὸς γένους παραχωρήσας Ἀθηναίων
ἄρχειν, αὐτὸς δὲ Μεγάρων καὶ τῆς ἄχρι Κορίνθου βασι-

λεύειν ἀξιωθείς· Νίσαιά τε ἔτι καὶ νῦν Μεγαρεῦσιν ἐπίνειον ἀπ' αὐτοῦ καλεῖται. Κόδρου δὲ ὕστερον βασιλεύοντος στρατεύουσιν ἐπ' Ἀθήνας Πελοποννήσιοι· καὶ ὡς οὐδὲν ἀποδειξάμενοι λαμπρὸν ἐκομίζοντο ὀπίσω, Μέγαρα Ἀθηναίων ἑλόντες Κορινθίων καὶ τῶν ἄλλων
συμμάχων τοῖς ἐθέλουσιν ἔδωκαν οἰκῆσαι. Μεγαρεῖς μὲν 5
οὕτως ἔθη καὶ φωνὴν μεταβαλόντες Δωριεῖς γεγόνασι, κληθῆναι δὲ οὕτω τὴν πόλιν φασὶν ἐπὶ Καρὸς τοῦ Φορωνέως ἐν τῇ γῇ ταύτῃ βασιλεύοντος· τότε πρῶτον λέγουσιν ἱερὰ γενέσθαι Δήμητρος αὐτοῖς, καὶ τοὺς ἀνθρώπους ὀνομάσαι Μέγαρα. οὕτω μὲν αὐτοὶ περὶ σφῶν Μεγαρεῖς λέγουσι· 5. Βοιωτοὶ δὲ ἐν Ὀγχηστῷ Μεγαρέα τὸν Ποσειδῶνος οἰκοῦντα ἀφικέσθαι στρατιᾷ Βοιωτῶν φασὶ Νίσῳ τὸν πρὸς Μίνω πόλεμον συνδιοίσοντα, πεσόντα δὲ αὐτὸν ἐν τῇ μάχῃ ταφῆναί τε αὐτοῦ καὶ τῇ πόλει Μέγαρα ὄνομα ἀπὸ τούτου γενέσθαι, πρότερον Νίσᾳ
καλουμένῃ. δωδεκάτῃ δὲ ὕστερον μετὰ Κᾶρα τὸν Φο- 6
ρωνέως γενεᾷ λέγουσιν οἱ Μεγαρεῖς Λέλεγα ἀφικόμενον ἐξ Αἰγύπτου βασιλεῦσαι, καὶ τοὺς ἀνθρώπους κληθῆναι Λέλεγας ἐπὶ τῆς ἀρχῆς αὐτοῦ· Κλήσωνος δὲ τοῦ Λέλεγος γενέσθαι Πύλαν, τοῦ Πύλα δὲ Σκίρωνα *** συνοικῆσαι Πανδίονος θυγατρί, καὶ ὕστερον Νίσῳ τῷ Πανδίονος ἐς ἀμφισβήτησιν ἐλθεῖν περὶ τῆς ἀρχῆς Σκίρωνα, καί σφισιν Αἰακὸν δικάσαι, βασιλείαν μὲν διδόντα Νίσῳ καὶ τοῖς ἀπογόνοις, Σκίρωνι δὲ ἡγεμονίαν εἶναι πολέμου.
96 Μεγαρέα δὲ τὸν Ποσειδῶνος θυγατρὶ Νίσου συνοικήσαντα Ἰφινόῃ διαδέξασθαι τὴν τοῦ Νίσου φασὶν ἀρχήν. τὸν δὲ Κρητικὸν πόλεμον καὶ τὴν ἐπὶ Νίσου βασιλεύοντος ἅλωσιν τῆς πόλεως οὐκ ἐθέλουσιν εἰδέναι.

**XL.** Ἔστι δὲ ἐν τῇ πόλει κρήνη, καί σφισιν ᾠκοδόμησε Θεαγένης, οὗ καὶ πρότερον τούτων ἐπεμνήσθην, θυγατέρα αὐτὸν συνοικίσαι Κύλωνι Ἀθηναίῳ. οὗτος ὁ

Θεαγένης τυραννήσας ᾠκοδόμησε τὴν κρήνην μεγέθους
ἕνεκα καὶ κόσμου καὶ ἐς τὸ πλῆθος τῶν κιόνων θέας
ἀξίαν· καὶ ὕδωρ ἐς αὐτὴν ῥεῖ καλούμενον Σιθνίδων
νυμφῶν. τὰς δὲ Σιθνίδας νύμφας λέγουσι Μεγαρεῖς
εἶναι μὲν σφισιν ἐπιχωρίας, μιᾷ δὲ αὐτῶν [θυγατρὶ]
συγγενέσθαι Δία, Μέγαρόν τε παῖδα ὄντα Διὸς καὶ ταύ-
της δὴ τῆς νύμφης ἐκφυγεῖν τὴν ἐπὶ Δευκαλίωνός ποτε
ἐπομβρίαν, ἐκφυγεῖν δὲ πρὸς τὰ ἄκρα τῆς Γερανίας, οὐκ
ἔχοντός πω τοῦ ὄρους τὸ ὄνομα τοῦτο, ἀλλά, νήχεσθαι
γὰρ πετομένων γεράνων πρὸς τὴν βοὴν τῶν ὀρνίθων
2 αὐτόν, διὰ τοῦτο Γερανίαν τὸ ὄρος ὀνομασθῆναι. 2. Τῆς
δὲ κρήνης οὐ πόρρω ταύτης ἀρχαῖόν ἐστιν ἱερόν, εἰκόνες
δὲ ἐφ' ἡμῶν ἑστᾶσιν ἐν αὐτῷ βασιλέων Ῥωμαίων, καὶ
ἄγαλμά τε κεῖται χαλκοῦν Ἀρτέμιδος ἐπίκλησιν Σωτεί-
ρας. φασὶ δὲ ἄνδρας τοῦ Μαρδονίου στρατοῦ καταδρα-
μόντας τὴν Μεγαρίδα ἀποχωρεῖν ἐς Θήβας ὀπίσω παρὰ
Μαρδόνιον ἐθέλειν, γνώμῃ δὲ Ἀρτέμιδος νύκτα τε ὁδοι-
ποροῦσιν ἐπιγενέσθαι, καὶ τῆς ὁδοῦ σφᾶς ἁμαρτόντας ἐς
τὴν ὀρεινὴν τραπέσθαι τῆς χώρας· πειρωμένους δὲ εἰ
στράτευμα ἐγγὺς εἴη πολέμιον ἀφιέναι τῶν βελῶν, καὶ
τὴν πλησίον πέτραν στένειν βαλλομένην, τοὺς δὲ αὖθις
3 τοξεύειν προθυμίᾳ πλέονι. τέλος δὲ αὐτοῖς ἀναλωθῆναι
τοὺς οἰστοὺς ἐς ἄνδρας πολεμίους τοξεύειν νομίζουσιν·
ἡμέρα τε ὑπεφαίνετο καὶ οἱ Μεγαρεῖς ἐπῄεσαν, μαχό-
μενοι δὲ ὁπλῖται πρὸς ἀνόπλους καὶ οὐδὲ βελῶν εὐπο-
ροῦντας ἔτι φονεύουσιν αὐτῶν τοὺς πολλούς· καὶ ἐπὶ
τῷδε Σωτείρας ἄγαλμα ἐποιήσαντο Ἀρτέμιδος. ἐνταῦθα
καὶ τῶν δώδεκα ὀνομαζομένων θεῶν ἐστὶν ἀγάλματα,
ἔργα εἶναι λεγόμενα Πραξιτέλους· τὴν δὲ Ἄρτεμιν αὐ- 97
4 τὴν Στρογγυλίων ἐποίησε. 3. Μετὰ ταῦτα ἐς τὸ τοῦ
Διὸς τέμενος ἐσελθοῦσι καλούμενον Ὀλυμπιεῖον ναός
ἐστι θέας ἄξιος· τὸ δὲ ἄγαλμα οὐκ ἐξειργάσθη τοῦ Διὸς

ἐπιλαβόντος τοῦ Πελοποννησίων πολέμου πρὸς Ἀθηναίους, ἐν ᾧ καὶ ναυσὶν ἀνὰ πᾶν ἔτος καὶ στρατῷ φθείροντες Μεγαρεῦσιν Ἀθηναῖοι τὴν χώραν τά τε κοινὰ ἐκάκωσαν καὶ ἰδίᾳ τοὺς οἴκους ἤγαγον ἐς τὸ ἔσχατον ἀσθενείας. τῷ δὲ ἀγάλματι τοῦ Διὸς πρόσωπον ἐλέφαντος καὶ χρυσοῦ, τὰ δὲ λοιπὰ πηλοῦ τέ ἐστι καὶ γύψου· ποιῆσαι δὲ αὐτὸ Θεόκοσμον λέγουσιν ἐπιχώριον, συνεργάσασθαι δέ οἱ Φειδίαν. ὑπὲρ δὲ τῆς κεφαλῆς τοῦ Διός εἰσιν Ὧραι καὶ Μοῖραι· δῆλα δὲ πᾶσι τὴν Πεπρωμένην μόνῳ οἱ πείθεσθαι, καὶ τὰς ὥρας τὸν θεὸν τοῦτον νέμειν ἐς τὸ δέον. ὄπισθε δὲ τοῦ ναοῦ κεῖται ξύλα ἡμίεργα· ταῦτα ἔμελλεν ὁ Θεόκοσμος ἐλέφαντι καὶ χρυσῷ κοσμήσας τὸ ἄγαλμα ἐκτελέσειν τοῦ Διός. 4. ἐν δὲ αὐτῷ 5
τῷ ναῷ τριήρους ἀνάκειται χαλκοῦν ἔμβολον· ταύτην τὴν ναῦν λαβεῖν φασὶ περὶ Σαλαμῖνα ναυμαχήσαντες πρὸς Ἀθηναίους. ὁμολογοῦσι δὲ καὶ Ἀθηναῖοι χρόνον τινὰ Μεγαρεῦσιν ἀποστῆναι τῆς νήσου, Σόλωνα δὲ ὕστερόν φασιν ἐλεγεῖα ποιήσαντα προτρέψαι σφᾶς, καταστῆναι δὲ ἐπὶ τούτοις ἐς ἀμφισβήτησιν Ἀθηναῖοι, κρατήσαντες δὲ πολέμῳ Σαλαμῖνα αὖθις ἔχειν. Μεγαρεῖς δὲ παρὰ σφῶν λέγουσιν ἄνδρας φυγάδας, οὓς Δορυκλείους ὀνομάζουσιν, ἀφικομένους παρὰ τοὺς ἐν Σαλαμῖνι κληρούχους προδοῦναι Σαλαμῖνα Ἀθηναίοις. 5. Με- 6
τὰ δὲ τοῦ Διὸς τὸ τέμενος ἐς τὴν ἀκρόπολιν ἀνελθοῦσι καλουμένην ἀπὸ Καρὸς τοῦ Φορωνέως καὶ ἐς ἡμᾶς ἔτι Καρίαν ἔστι μὲν Διονύσου ναὸς Νυκτελίου, πεποίηται δὲ Ἀφροδίτης Ἐπιστροφίας ἱερόν, καὶ Νυκτὸς καλούμενόν ἐστι μαντεῖον καὶ Διὸς Κονίου ναὸς οὐκ ἔχων ὄροφον. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἄγαλμα Βρύαξις καὶ αὐτὸ καὶ τὴν Ὑγίειαν ἐποίησεν. ἐνταῦθα καὶ τῆς Δήμητρος τὸ καλούμενον Μέγαρον· ποιῆσαι δὲ αὐτὸ βασιλεύοντα Κᾶρα ἔλεγον.

XLI. Ἐκ δὲ τῆς ἀκροπόλεως κατιοῦσιν, ᾗ πρὸς ἄρ- 98
κτον τέτραπται τὸ χωρίον, μνῆμά ἐστιν Ἀλκμήνης πλησίον τοῦ Ὀλυμπιείου. βαδίζουσαν γὰρ ἐς Θήβας ἐξ Ἄργους τελευτῆσαι καθ᾽ ὁδὸν λέγουσιν αὐτὴν ἐν τοῖς Μεγάροις, καὶ τοὺς Ἡρακλείδας ἐς ἀμφισβήτησιν ἐλθεῖν, τοὺς μὲν ἐς Ἄργος ἐθέλοντας ὀπίσω κομίσαι τὸν νεκρὸν τῆς Ἀλκμήνης, τοὺς δ᾽ αὐτῶν ἐς Θήβας· καὶ γὰρ τοῖς Ἡρακλέους παισὶ τοῖς ἐκ Μεγάρας τάφον εἶναι καὶ Ἀμφιτρύωνος ἐν Θήβαις. ὁ δὲ ἐν Δελφοῖς θεὸς ἔχρησε θάψαι Ἀλκμήνην ἐν τοῖς Μεγάροις ἄμεινον εἶναί σφισιν.
2 2. Ἐντεῦθεν ὁ τῶν ἐπιχωρίων ἡμῖν ἐξηγητὴς ἡγεῖτο ἐς χωρίον Ῥοῦν, ὡς ἔφασκεν, ὀνομαζόμενον· ταύτῃ γὰρ ὕδωρ ποτὲ ἐκ τῶν ὀρῶν τῶν ὑπὲρ τὴν πόλιν ῥυῆναι, Θεαγένης δέ, ὃς τότε ἐτυράννει, τὸ ὕδωρ ἑτέρωσε τρέψας βωμὸν ἐνταῦθα Ἀχελῴῳ ἐποίησε. 3. καὶ Ὕλλου πλησίον τοῦ Ἡρακλέους μνῆμά ἐστιν, ἀνδρὶ Ἀρκάδι Ἐχέμῳ τῷ Ἀερόπου μονομαχήσαντος. καὶ ὅστις μὲν Ἔχεμος ὢν ἀπέκτεινεν Ὕλλον, ἑτέρωθι τοῦ λόγου δηλώσω, τέθαπται δὲ καὶ Ὕλλος ἐν τοῖς Μεγάροις. αὕτη καλοῖτο ἂν ὀρθῶς στρατεία τῶν Ἡρακλειδῶν ἐς Πελο-
3 πόννησον ἐπὶ Ὀρέστου βασιλεύοντος. 4. Οὐ πόρρω δὲ τοῦ Ὕλλου μνήματος Ἴσιδος ναὸς καὶ παρ᾽ αὐτὸν Ἀπόλλωνός ἐστι καὶ Ἀρτέμιδος. Ἀλκάθουν δέ φασι ποιῆσαι, ἀποκτείναντα λέοντα τὸν καλούμενον Κιθαιρώνιον. ὑπὸ τούτου τοῦ λέοντος διαφθαρῆναι καὶ ἄλλους καὶ Μεγαρέως φασὶ τοῦ σφετέρου βασιλέως παῖδα Εὔιππον· τὸν δὲ πρεσβύτερον τῶν παίδων αὐτῷ Τίμαλκον ἔτι πρότερον ἀποθανεῖν ὑπὸ Θησέως, στρατεύοντα ἐς Ἄφιδναν σὺν τοῖς Διοσκούροις· Μεγαρέα δὲ γάμον τε ὑποσχέσθαι θυγατρὸς καὶ ὡς διάδοχον ἕξει τῆς ἀρχῆς, ὅστις τὸν Κιθαιρώνιον λέοντα ἀποκτείναι· διὰ ταῦτα Ἀλκάθουν τὸν Πέλοπος ἐπιχειρήσαντα τῷ θηρίῳ κρατῆσαί τε καί,

ὡς ἐβασίλευσε, τὸ ἱερὸν ποιῆσαι τοῦτο, Ἀγροτέραν Ἄρ-
99 τεμιν καὶ Ἀπόλλωνα Ἀγραῖον ἐπονομάσαντα. 5. ταῦτα 4
μὲν [οὖν] οὕτω γενέσθαι λέγουσιν. ἐγὼ δὲ γράφειν μὲν
ἐθέλω Μεγαρεῦσιν ὁμολογοῦντα, οὐκ ἔχω δὲ ὅπως εὕ-
ρωμαι πάντα σφίσιν, ἀλλὰ ἀποθανεῖν μὲν λέοντα ἐν τῷ
Κιθαιρῶνι ὑπὸ Ἀλκάθου πείθομαι, Μεγαρέως δὲ Τί-
μαλκον παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διο-
σκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι
νομίζοιτο ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾆσμα
ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως
ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν
ἀπεῖναι; Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε, 5
καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον,
ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμ-
πράξοντα. ὅστις δὲ ἐγενεαλόγησε, δῆλον ὡς πολλὴν τοῖς
Μεγαρεῦσι σύνοιδεν εὐήθειαν, εἴ γε Θησεὺς ἦν ἀπό-
γονος Πέλοπος. ἀλλὰ γὰρ τὸν ὄντα λόγον οἱ Μεγαρεῖς
εἰδότες ἐπικρύπτουσιν, οὐ βουλόμενοι δοκεῖν ἁλῶναί
σφισιν ἐπὶ τῆς ἀρχῆς τῆς Νίσου τὴν πόλιν, διαδέξασθαι
δὲ τὴν βασιλείαν γαμβρὸν Νίσου τε Μεγαρέα καὶ αὖθις
Ἀλκάθουν Μεγαρέως. φαίνεται δὲ τελευτήσαντος Νίσου 6
καὶ τῶν πραγμάτων Μεγαρεῦσιν ἐφθαρμένων, ὑπὸ τοῦ-
τον Ἀλκάθους ἀφικόμενος τὸν καιρὸν ἐξ Ἤλιδος. μαρ-
τύριον δέ μοι· τὸ γὰρ τεῖχος ᾠκοδόμησεν ἐξ ἀρχῆς ἅτε
τοῦ περιβόλου τοῦ ἀρχαίου καθαιρεθέντος ὑπὸ τῶν
Κρητῶν. Ἀλκάθου μὲν καὶ τοῦ λέοντος, εἴτε ἐν τῷ Κι-
θαιρῶνι αὐτὸν εἴτε καὶ ἑτέρωθι ἀποκτείνας ναὸν Ἀγρο-
τέρας Ἀρτέμιδος καὶ Ἀπόλλωνος ἐποίησεν Ἀγραίου, ἐς
τοσόνδε ἔστω μνήμη.

6. Ἐκ τούτου δὲ τοῦ ἱεροῦ κατιοῦσι Πανδίονός ἐστιν
ἡρῷον. καὶ ὅτι μὲν ἐτάφη Πανδίων ἐν Αἰθυίας Ἀθηνᾶς
100 καλουμένῳ σκοπέλῳ, δεδήλωκεν ὁ λόγος ἤδη μοι· τιμὰς

7 δὲ καὶ ἐν τῇ πόλει παρὰ Μεγαρέων ἔχει. 7. Πλησίον δέ
ἐστι τοῦ Πανδίονος ἡρῴου μνῆμα Ἱππολύτης. γράψω δὲ
καὶ τὰ ἐς αὐτὴν ὁποῖα Μεγαρεῖς λέγουσιν, ὅτε Ἀμαζόνες
ἐπ᾽ Ἀθηναίους στρατεύσασαι δι᾽ Ἀντιόπην ἐκρατήθησαν
ὑπὸ Θησέως, τὰς μὲν πολλὰς [συνέβη] μαχομένας αὐτῶν
ἀποθανεῖν, Ἱππολύτην δὲ ἀδελφὴν οὖσαν Ἀντιόπης καὶ
τότε ἡγουμένην τῶν γυναικῶν ἀποφυγεῖν σὺν ὀλίγαις
ἐς Μέγαρα, ἅτε δὲ κακῶς οὕτω πράξασαν τῷ στρατῷ τοῖς
τε παροῦσιν ἀθύμως ἔχουσαν καὶ περὶ τῆς οἴκαδε ἐς τὴν
Θεμίσκυραν σωτηρίας μᾶλλον ἔτι ἀποροῦσαν ὑπὸ λύπης
τελευτῆσαι, καὶ θάψαι αὐτῇ ἀποθανοῦσαν· καί οἱ τοῦ
8 μνήματος σχῆμά ἐστιν Ἀμαζονικῇ ἀσπίδι ἐμφερές. 8. Τού-
του δέ ἐστιν οὐ πόρρω τάφος Τηρέως τοῦ Πρόκνην γή-
μαντος τὴν Πανδίονος. ἐβασίλευσε δὲ ὁ Τηρεύς, ὡς μὲν
λέγουσιν οἱ Μεγαρεῖς, περὶ τὰς Παγὰς τὰς καλουμένας
τῆς Μεγαρίδος, ὡς δὲ ἐγώ τε δοκῶ καὶ τεκμήρια ἐς τόδε
λείπεται, Δαυλίδος ἦρχε τῆς ὑπὲρ Χαιρωνείας· πάλαι
γὰρ τῆς νῦν καλουμένης Ἑλλάδος βάρβαροι τὰ πολλὰ
ᾤκησαν. ἐπεὶ δὲ ἦν καὶ Τηρεῖ τὰ ἐς Φιλομήλαν ἐξειργα-
σμένα καὶ τὰ περὶ τὸν Ἴτυν ὑπὸ τῶν γυναικῶν, ἑλεῖν
9 σφᾶς ὁ Τηρεὺς οὐκ ἐδύνατο. καὶ ὁ μὲν ἐτελεύτησεν ἐν
τοῖς Μεγάροις αὐτοχειρίᾳ, καί οἱ τάφον αὐτίκα ἔχωσαν
καὶ θύουσιν ἀνὰ πᾶν ἔτος, ψηφῖσιν ἐν τῇ θυσίᾳ ἀντὶ
οὐλῶν χρώμενοι· καὶ τὸν ἔποπα τὸν ὄρνιθα ἐνταῦθα
φανῆναι πρῶτον λέγουσιν. αἱ δὲ γυναῖκες ἐς μὲν Ἀθήνας
ἀφίκοντο, θρηνοῦσαι δὲ οἷα ἔπαθον καὶ οἷα ἀντέδρασαν
ὑπὸ δακρύων διαφθείρονται· καί σφισι τὴν ἐς ἀηδόνα
καὶ χελιδόνα μεταβολὴν ἐπεφήμισαν ὅτι οἶμαι καὶ αὗται
αἱ ὄρνιθες ἐλεεινὸν καὶ θρήνῳ ὅμοιον ᾄδουσιν.

XLII. Ἔστι δὲ καὶ ἄλλη Μεγαρεῦσιν ἀκρόπολις ἀπὸ
Ἀλκάθου τὸ ὄνομα ἔχουσα. ἐς αὐτὴν γὰρ τὴν ἀκρόπολιν
ἀνιοῦσίν ἐστιν ἐν δεξιᾷ Μεγαρέως μνῆμα, ὃς κατὰ τὴν

ἐπιστρατείαν τῶν Κρητῶν ξύμμαχός σφισιν ἦλθεν ἐξ
Ὀγχηστοῦ. δείκνυται δὲ καὶ ἑστία θεῶν Προδομέων
101 καλουμένων· θῦσαι δέ σφισιν Ἀλκάθουν λέγουσι πρῶ-
τον, ὅτε τῆς οἰκοδομίας τοῦ τείχους ἔμελλεν ἄρχεσθαι.
τῆς δὲ ἑστίας ἐγγὺς ταύτης ἐστὶ λίθος, ἐφ' οὗ καταθεῖναι 2
λέγουσιν Ἀπόλλωνα τὴν κιθάραν, Ἀλκάθῳ τὸ τεῖχος
συνεργαζόμενον. δηλοῖ τέ μοι καὶ τόδε ὡς συνετέλουν
ἐς Ἀθηναίους Μεγαρεῖς· φαίνεται γὰρ τὴν θυγατέρα
Ἀλκάθους Περίβοιαν ἅμα Θησεῖ πέμψαι κατὰ τὸν δασμὸν
ἐς Κρήτην. τότε δὲ αὐτῷ τειχίζοντι, ὥς φασιν οἱ Μεγα-
ρεῖς, συνεργάζεταί τε Ἀπόλλων καὶ τὴν κιθάραν κατέ-
θηκεν ἐπὶ τὸν λίθον· ἢν δὲ τύχῃ βαλών τις ψηφῖδι, κατὰ
ταὐτὰ οὗτός τε ἤχησε καὶ κιθάρα κρουσθεῖσα. ἐμοὶ δὲ 3
παρέσχε μὲν καὶ τοῦτο θαυμάσαι, παρέσχε δὲ πολλῷ μά-
λιστα Αἰγυπτίων ὁ κολοσσός· ἐν Θήβαις ταῖς Αἰγυπτίαις
διαβᾶσι τὸν Νεῖλον πρὸς τὰς Σύριγγας καλουμένας ἐστὶ
καθήμενον ἄγαλμα ἠχοῦν, Μέμνονα ὀνομάζουσιν οἱ
πολλοί· τοῦτον γάρ φασιν ἐξ Αἰθιοπίας ὁρμηθῆναι ἐς
Αἴγυπτον καὶ τὴν ἄχρι Σούσων. ἀλλὰ γὰρ οὐ Μέμνονα
οἱ Θηβαῖοι λέγουσι, Φαμένωφα δὲ εἶναι τῶν ἐγχωρίων,
οὗ τοῦτο τὸ ἄγαλμα ἦν· ἤκουσα δὲ ἤδη καὶ Σέσωστριν φα-
μένων εἶναι· τοῦτο τὸ ἄγαλμα ὁ Καμβύσης διέκοψε· καὶ
νῦν ὁπόσον ἐκ κεφαλῆς ἐς μέσον σῶμά ἐστιν ἀπερριμ-
μένον, τὸ δὲ λοιπὸν κάθηταί τε καὶ ἀνὰ πᾶσαν ἡμέραν
ἀνίσχοντος ἡλίου βοᾷ, καὶ τὸν ἦχον μάλιστ' ἂν εἰκάσειέ
τις κιθάρας ἢ λύρας ῥαγείσης χορδῆς.

3. Μεγαρεῦσι δὲ ἔστι μὲν βουλευτήριον, Τιμάλκου 4
δὲ ἦν ποτέ, ὡς λέγουσι, τάφος, ὃν πρότερον ὀλίγου τού-
των οὐκ ἔφην ὑπὸ Θησέως ἀποθανεῖν. 4. ᾠκοδόμηται
δὲ ἐπὶ τῇ κορυφῇ τῆς ἀκροπόλεως ναὸς Ἀθηνᾶς, ἄγαλμα
δέ ἐστιν ἐπίχρυσον πλὴν χειρῶν καὶ ἄκρων ποδῶν· ταῦ-
τα δὲ καὶ τὸ πρόσωπόν ἐστιν ἐλέφαντος. καὶ ἕτερον ἐν-

*ταῦθα ἱερὸν Ἀθηνᾶς πεποίηται καλουμένης Νίκης, καὶ ἄλλο Αἰαντίδος. τὰ δὲ ἐς αὐτὸ Μεγαρέων μὲν παρεῖται* 102
*τοῖς ἐξηγηταῖς, ἐγὼ δὲ ὁποῖα νομίζω γενέσθαι γράφω. Τελαμὼν ὁ Αἰακοῦ θυγατρὶ Ἀλκάθου Περιβοίᾳ συνῴκησεν· Αἴαντα οὖν τὴν ἀρχὴν τὴν Ἀλκάθου διαδεξάμενον ποιῆσαι τὸ ἄγαλμα ἡγοῦμαι τῆς Ἀθηνᾶς.*

5 5. *Τοῦ δὲ Ἀπόλλωνος πλίνθου μὲν ἦν ὁ ἀρχαῖος ναός· ὕστερον δὲ βασιλεὺς ᾠκοδόμησεν Ἀδριανὸς λίθου λευκοῦ. ὁ μὲν δὴ Πύθιος καλούμενος καὶ ὁ Δεκατηφόρος τοῖς Αἰγυπτίοις μάλιστα ἐοίκασι ξοάνοις, ὃν δὲ Ἀρχηγέτην ἐπονομάζουσιν, Αἰγινητικοῖς ἔργοις ἐστὶν ὅμοιος· ἐβένου δὲ πάντα ὁμοίως πεποίηται.* 6. *ἤκουσα δὲ ἀνδρὸς Κυπρίου διακρῖναι πόας ἐς ἀνθρώπων ἴασιν εἰδότος, ὃς τὴν ἔβενον φύλλα οὐκ ἔφη φύειν, οὐδὲ εἶναι καρπὸν οὐδένα ἀπ᾽ αὐτῆς, οὐδὲ ὁρᾶσθαι τὸ παράπαν αὐτὴν ὑπὸ ἡλίου, ῥίζας δὲ ὑπογαίους εἶναι, ταύτας δὲ ὀρύσσειν τοὺς Αἰθίοπας, καὶ ἄνδρας εἶναί σφισιν οἳ τὴν ἔβενον ἴσασιν*
6 *εὑρίσκειν.* 7. *Ἔστι δὲ καὶ Δήμητρος ἱερὸν Θεσμοφόρου. κατιοῦσι δὲ ἐντεῦθεν Καλλιπόλιδος μνῆμά ἐστιν Ἀλκάθου παιδός. ἐγένετο δὲ καὶ ἄλλος Ἀλκάθῳ πρεσβύτερος υἱὸς Ἰσχέπολις, ὃν ἀπέστειλεν ὁ πατὴρ Μελεάγρῳ τὸ ἐν Αἰτωλίᾳ θηρίον συνεξαιρήσοντα. ἀποθανόντος δὲ ἐνταῦθα πρῶτος τεθνεῶτα ἐπύθετο ὁ Καλλίπολις· ἀναδραμὼν δὲ ἐς τὴν ἀκρόπολιν, τηνικαῦτα δὲ ὁ πατὴρ οἱ τῷ Ἀπόλλωνι ἐνέκαιεν, ἀπορρίπτει τὰ ξύλα ἀπὸ τοῦ βωμοῦ. Ἀλκάθους δὲ ἀνήκοος ὢν ἔτι τῆς Ἰσχεπόλιδος τελευτῆς κατεδίκαζεν οὐ ποιεῖν ὅσια τὸν Καλλίπολιν, καὶ εὐθέως, ὡς εἶχεν ὀργῆς, ἀπέκτεινε παίσας ἐς τὴν κεφαλὴν τῶν ἀπορριφέντων ἀπὸ τοῦ βωμοῦ ξύλῳ.*

7 8. *Κατὰ δὲ τὴν ἐς τὸ πρυτανεῖον ὁδὸν Ἰνοῦς ἐστὶν ἡρῷον, περὶ δὲ αὐτὸ θριγκὸς λίθων· πεφύκασι δὲ ἐπ᾽ αὐτῷ καὶ ἐλαῖαι. μόνοι δέ εἰσιν Ἑλλήνων Μεγαρεῖς οἱ*

λέγοντες τὸν νεκρὸν τῆς Ἰνοῦς ἐς τὰ παραθαλάσσιά σφισιν ἐκπεσεῖν τῆς χώρας, Κλησὼ δὲ καὶ Ταυρόπολιν εὑρεῖν τε καὶ θάψαι· θυγατέρας δὲ αὐτὰς εἶναι Κλήσωνος τοῦ Λέλεγος. καὶ Λευκοθέαν τε ὀνομασθῆναι παρὰ σφίσι πρώτοις φασὶν αὐτήν, καὶ θυσίαν [ἄγειν] ἀνὰ πᾶν ἔτος.* *

103 XLIII. Λέγουσι δὲ εἶναι καὶ Ἰφιγενείας ἡρῷον· ἀποθανεῖν γὰρ καὶ ταύτην ἐν Μεγάροις. ἐγὼ δὲ ἤκουσα μὲν καὶ ἄλλον ἐς Ἰφιγένειαν λόγον ὑπὸ Ἀρκάδων λεγόμενον, οἶδα δὲ Ἡσίοδον ποιήσαντα ἐν καταλόγῳ γυναικῶν Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι. τούτοις δὲ Ἡρόδοτος ὁμολογοῦντα ἔγραψε, Ταύρους τοὺς πρὸς τῇ Σκυθικῇ θύειν παρθένῳ τοὺς ναυαγούς, φάναι δὲ αὐτοὺς τὴν παρθένον Ἰφιγένειαν εἶναι τὴν Ἀγαμέμνονος. ἔχει δὲ παρὰ Μεγαρεῦσι καὶ Ἄδραστος τιμάς· φασὶ δὲ ἀποθανεῖν παρὰ σφίσι καὶ τοῦτον, ὅτε ἑλὼν Θήβας ἀπῆγεν ὀπίσω τὸν στρατόν, αἴτια δέ οἱ τοῦ θανάτου γῆρας καὶ τὴν Αἰγιαλέως γενέσθαι τελευτήν. καὶ Ἀρτέμιδος ἱερὸν ὁ Ἀγαμέμνων ἐποίησεν, ἡνίκα ἦλθε Κάλχαντα οἰκοῦντα ἐν Μεγάροις ἐς Ἴλιον ἕπεσθαι πείσων. 2. Ἐν δὲ τῷ Πρυτανείῳ τεθάφθαι μὲν Εὔιππον 2
Μεγαρέως παῖδα, τεθάφθαι δὲ τὸν Ἀλκάθου λέγουσιν Ἰσχέπολιν. ἔστι δὲ τοῦ Πρυτανείου πέτρα πλησίον, Ἀνακλήθραν τὴν πέτραν ὀνομάζουσιν, ὡς Δημήτηρ, εἴ τῳ πιστά, ὅτε τὴν παῖδα ἐπλανᾶτο ζητοῦσα, καὶ ἐνταῦθα ἀνεκάλεσεν αὐτήν. ἐοικότα δὲ τῷ λόγῳ δρῶσιν ἐς ἡμᾶς ἔτι αἱ Μεγαρέων γυναῖκες. Εἰσὶ δὲ τάφοι Μεγαρεῦσιν 3
ἐν τῇ πόλει· καὶ τὸν μὲν τοῖς ἀποθανοῦσιν ἐποίησαν κατὰ τὴν ἐπιστρατείαν τοῦ Μήδου, τὸ δὲ Αἰσύμνιον καλούμενον μνῆμα ἦν καὶ τοῦτο ἡρώων. 3. Ὑπερίονος δὲ τοῦ Ἀγαμέμνονος, οὗτος γὰρ Μεγαρέων ἐβασίλευσεν ὕστατος, τούτου τοῦ ἀνδρὸς ἀποθανόντος ὑπὸ Σαν-

δίονος διὰ πλεονεξίαν καὶ ὕβριν, βασιλεύεσθαι μὲν οὐκ-
έτι ὑπὸ ἑνὸς ἐδόκει σφίσιν, εἶναι δὲ ἄρχοντας αἱρετοὺς
καὶ ἀνὰ μέρος ἀκούειν ἀλλήλων. ἐνταῦθα Αἴσυμνος οὐ-
δενὸς τὰ ἐς δόξαν Μεγαρέων δεύτερος παρὰ τὸν θεὸν
ἦλθεν ἐς Δελφούς, ἐλθὼν δὲ ἠρώτα τρόπον ὅντινα εὐ-
δαιμονήσουσι· καί οἱ καὶ ἄλλα ὁ θεὸς ἔχρησε, καὶ Με-
γαρέας εὖ πράξειν ἢν μετὰ τῶν πλειόνων βουλεύσωνται.
τοῦτο τὸ ἔπος ἐς τοὺς τεθνεῶτας ἔχειν νομίζοντες βου-
λευτήριον ἐνταῦθα ᾠκοδόμησαν, ἵνα σφίσιν ὁ τάφος
4 τῶν ἡρώων ἐντὸς τοῦ βουλευτηρίου γένηται. 4. Ἐν-
τεῦθεν πρὸς τὸ Ἀλκάθου βαδίζουσιν ἡρῷον, ᾧ Μεγαρεῖς
ἐς γραμμάτων φυλακὴν ἐχρῶντο ἐπ' ἐμοῦ, μνῆμα ἔλεγον
τὸ μὲν Πυργοῦς εἶναι γυναικὸς Ἀλκάθου πρὶν ἢ τὴν Με-
γαρέως αὐτὸν λαβεῖν Εὐαίχμην, τὸ δὲ Ἰφινόης Ἀλκάθου
θυγατρός· ἀποθανεῖν δὲ αὐτήν φασιν ἔτι παρθένον.
καθέστηκε δὲ ταῖς κόραις χοὰς πρὸς τὸ τῆς Ἰφινόης μνῆ-
μα προσφέρειν πρὸ γάμου καὶ ἀπάρχεσθαι τῶν τριχῶν,
καθὰ καὶ τῇ Ἑκαέργῃ καὶ Ὦπιδι αἱ θυγατέρες ποτὲ ἀπε-
5 κείροντο αἱ Δηλίων. 5. Παρὰ δὲ τὴν ἔσοδον τὴν ἐς τὸ
Διονύσιον τάφος ἐστὶν Ἀστυκρατείας καὶ Μαντοῦς· θυ-
γατέρες δὲ ἦσαν Πολυείδου τοῦ Κοιράνου τοῦ Ἄβαντος
τοῦ Μελάμποδος ἐς Μέγαρα ἐλθόντος Ἀλκάθουν ἐπὶ τῷ
φόνῳ τῷ Καλλιπόλιδος καθῆραι τοῦ παιδός. ᾠκοδόμησε
δὴ καὶ τῷ Διονύσῳ τὸ ἱερὸν Πολύειδος, καὶ ξόανον ἀνέ-
θηκεν ἀποκεκρυμμένον ἐφ' ἡμῶν πλὴν τοῦ προσώπου·
τοῦτο δέ ἐστι τὸ φανερόν. Σάτυρος δὲ παρέστηκεν αὐτῷ
Πραξιτέλους ἔργον, Παρίου λίθου. τοῦτον μὲν δὴ Πα-
τρῷον καλοῦσιν· ἕτερον δὲ Διόνυσον Δασύλλιον ἐπονο-
μάζοντες Εὐχήνορα τὸν Κοιράνου τοῦ Πολυείδου τὸ
6 ἄγαλμα ἀναθεῖναι λέγουσι. 6. Μετὰ δὲ τοῦ Διονύσου
τὸ ἱερόν ἐστιν Ἀφροδίτης ναός, ἄγαλμα δὲ ἐλέφαντος
Ἀφροδίτης πεποιημένον, Πρᾶξις ἐπίκλησιν. τοῦτό ἐστιν

ἀρχαιότατον ἐν τῷ ναῷ. Πειθὼ δὲ καὶ ἑτέρα θεός, ἣν Παρήγορον ὀνομάζουσιν, ἔργα Πραξιτέλους· Σκόπα δὲ Ἔρως καὶ Ἵμερος καὶ Πόθος, εἰ δὴ διάφορά ἐστι κατὰ ταὐτὰ τοῖς ὀνόμασι καὶ τὰ ἔργα σφίσι. πλησίον δὲ τοῦ τῆς Ἀφροδίτης ναοῦ Τύχης ἐστὶν ἱερόν· Πραξιτέλους καὶ αὕτη τέχνη. καὶ ἐν τῷ ναῷ τῷ πλησίον Μούσας καὶ χαλκοῦν Δία ἐποίησε Λύσιππος.

7. Ἔστι δὲ Μεγαρεῦσι καὶ Κοροίβου τάφος· τὰ δὲ 7
ἐς αὐτὸν ἔπη κοινὰ ὅμως ὄντα τοῖς Ἀργείων ἐνταῦθα δηλώσω. ἐπὶ Κροτώπου λέγουσιν ἐν Ἄργει βασιλεύοντος Ψαμάθην τὴν Κροτώπου τεκεῖν παῖδα ἐξ Ἀπόλλωνος, ἐχομένην δὲ ἰσχυρῶς τοῦ πατρὸς δείματι τὸν παῖδα ἐκθεῖναι. καὶ τὸν μὲν διαφθείρουσιν ἐπιτυχόντες ἐκ τῆς ποίμνης κύνες τῆς Κροτώπου, Ἀπόλλων δὲ Ἀργείοις ἐς τὴν πόλιν πέμπει Ποινήν. ταύτην τοὺς παῖδας ἀπὸ τῶν μητέρων φασὶν ἁρπάζειν, ἐς ὃ Κόροιβος ἐς χάριν Ἀργείοις φονεύει τὴν Ποινήν. φονεύσας δέ, οὐ γὰρ ἀνίει σφᾶς δευτέρα ἐπιπεσοῦσα νόσος λοιμώδης, Κόροιβος ἑκὼν ἦλθεν ἐς Δελφοὺς ὑφέξων δίκας τῷ θεῷ τοῦ φόνου τῆς Ποινῆς. ἐς μὲν δὴ τὸ Ἄργος ἀναστρέφειν οὐκ εἴα 8
Κόροιβον ἡ Πυθία, τρίποδα δὲ ἀράμενον φέρειν ἐκέλευεν ἐκ τοῦ ἱεροῦ, καὶ ἔνθα ἂν ἐκπέσῃ οἱ φέροντι ὁ τρίπους, ἐνταῦθα Ἀπόλλωνος οἰκοδομῆσαι ναὸν καὶ αὐτὸν οἰκῆσαι. καὶ ὁ τρίπους κατὰ τὸ ὄρος τὴν Γερανίαν ἀπολισθὼν ἔλαθεν αὐτοῦ ἐκπεσών· καὶ Τριποδίσκους κώμην ἐνταῦθα οἰκίσαι. Κοροίβῳ δέ ἐστι τάφος ἐν τῇ Μεγαρέων
106 ἀγορᾷ· γέγραπται δὲ ἐλεγεῖα τὰ ἐς Ψαμάθην καὶ τὰ ἐς αὐτὸν ἔχοντα Κόροιβον, καὶ δὴ καὶ ἐπίθημά ἐστι τῷ τάφῳ Κόροιβος φονεύων τὴν Ποινήν. ταῦτα ἀγάλματα παλαιότατα ὁπόσα λίθου πεποιημένα ἐστὶν Ἕλλησιν ἰδὼν οἶδα.

**XLIV.** Κοροίβου δὲ τέθαπται πλησίον Ὄρσιππος,

ὃς περιεζωσμένων ἐν τοῖς ἀγῶσι κατὰ δή τι παλαιὸν ἔθος τῶν ἀθλητῶν ἐν Ὀλυμπίᾳ ἐνίκα στάδιον δραμὼν γυμνός. φασὶ δὲ καὶ στρατηγοῦντα ὕστερον τὸν Ὄρσιππον ἀποτεμέσθαι χώραν τῶν προσοίκων. δοκῶ δέ οἱ καὶ ἐν Ὀλυμπίᾳ τὸ περίζωμα ἑκόντι περιρρυῆναι, γνόντι ὡς ἀνδρὸς
2 περιεζωσμένου δραμεῖν ῥᾷων ἐστὶν ἀνὴρ γυμνός. 2. Ἐκ δὲ τῆς ἀγορᾶς κατιοῦσι τῆς ὁδοῦ τῆς Εὐθείας καλουμένης Ἀπόλλωνος ἱερόν ἐστιν ἐν δεξιᾷ Προστατηρίου· τοῦτο ὀλίγον ἐκτραπέντα ἔστιν ἐκ τῆς ὁδοῦ ἀνευρεῖν. Ἀπόλλων δὲ ἐν αὐτῷ κεῖται θέας ἄξιος καὶ Ἄρτεμις καὶ Λητώ, καὶ ἄλλα ἀγάλματά ἐστι, Πραξιτέλους ποιήσαντος Λητὼ καὶ οἱ παῖδες. 3. Ἔστι δὲ ἐν τῷ γυμνασίῳ τῷ ἀρχαίῳ πλησίον πυλῶν καλουμένων Νυμφάδων λίθος παρεχόμενος πυραμίδος σχῆμα οὐ μεγάλης· τοῦτον Ἀπόλλωνα ὀνομάζουσι Καρινόν, καὶ Εἰλειθυιῶν ἐστὶν ἐνταῦθα ἱερόν. τοσαῦτά σφισιν ἐς ἐπίδειξιν παρείχετο
3 ἡ πόλις. 4. Ἐς δὲ τὸ ἐπίνειον, καλούμενον καὶ ἐς ἡμᾶς ἔτι Νίσαιαν, ἐς τοῦτο κατελθοῦσιν ἱερὸν Δήμητρός ἐστι Μαλοφόρου. λέγεται δὲ καὶ ἄλλα ἐς τὴν ἐπίκλησιν, καὶ τοὺς πρώτους πρόβατα ἐν τῇ γῇ θρέψαντας Δήμητρα ὀνομάσαι Μαλοφόρον, καταρρυῆναι δὲ τῷ ἱερῷ τὸν ὄροφον τεκμαίροιτο ἄν τις ὑπὸ τοῦ χρόνου. 5. καὶ ἀκρόπολίς ἐστιν ἐνταῦθα ὀνομαζομένη καὶ αὐτὴ Νίσαια. καταβᾶσι δὲ ἐκ τῆς ἀκροπόλεως μνῆμά ἐστι πρὸς θαλάσσῃ Λέλεγος, ὃν ἀφικόμενον βασιλεῦσαι λέγουσιν ἐξ Αἰγύπτου, παῖδα δὲ εἶναι Ποσειδῶνος καὶ Λιβύης τῆς Ἐπάφου. παρήκει δὲ παρὰ τὴν Νίσαιαν νῆσος οὐ μεγάλη Μινώα. ἐνταῦθα ἐν τῷ πολέμῳ τῷ πρὸς Νῖσον παρώρμει
4 τὸ ναυτικὸν τῶν Κρητῶν. 6. Ἡ δὲ ὀρεινὴ τῆς Μεγαρίδος τῆς Βοιωτῶν ἐστὶν ὅμορος, ἐν ᾗ Μεγαρεῦσι Παγαὶ πό- 107
λις, ἑτέρα δὲ Αἰγόσθενα ᾤκισται. ἰοῦσι δὲ ἐς τὰς Παγὰς ἐκτραπομένοις ὀλίγον τῆς λεωφόρου πέτρα δείκνυται

διὰ πάσης ἔχουσα ἐμπεπηγότας οἰστούς, ἐς ἣν οἱ Μῆδοί ποτε ἐτόξευον ἐν τῇ νυκτί. 7. Ἐν δὲ ταῖς Παγαῖς θέας ὑπελείπετο ἄξιον Ἀρτέμιδος Σωτείρας ἐπίκλησιν χαλκοῦν ἄγαλμα, μεγέθει τῷ παρὰ Μεγαρεῦσιν ἴσον καὶ σχῆμα οὐδὲν διαφόρως ἔχον. καὶ Αἰγιαλέως ἐνταῦθά ἐστιν ἡρῷον τοῦ Ἀδράστου· τοῦτον γάρ, ὅτε Ἀργεῖοι τὸ δεύτερον ἐς Θήβας ἐστράτευσαν, ὑπὸ τὴν πρώτην μάχην πρὸς Γλισᾶντι ἀποθανόντα οἱ προσήκοντες ἐς Παγὰς τῆς Μεγαρίδος κομίσαντες θάπτουσι, καὶ Αἰγιάλειον ἔτι καλεῖται τὸ ἡρῷον. 8. Ἐν Αἰγοσθένοις δὲ Με- 5
λάμποδος τοῦ Ἀμυθάονός ἐστιν ἱερόν, καὶ ἀνὴρ οὐ μέγας ἐπειργασμένος ἐν στήλῃ· καὶ θύουσι τῷ Μελάμποδι καὶ ἀνὰ πᾶν ἔτος ἑορτὴν ἄγουσι. μαντεύεσθαι δὲ οὔτε δι' ὀνειράτων αὐτὸν οὔτε ἄλλως λέγουσι. καὶ τόδε δὲ ἄλλο ἤκουσα ἐν Ἐρενείᾳ τῇ Μεγαρέων κώμῃ, Αὐτονόην τὴν Κάδμου τῷ τε Ἀκταίωνος θανάτῳ, συμβάντι ὡς λέγεται, καὶ τῇ πάσῃ τοῦ οἴκου τοῦ πατρῴου τύχῃ περισσότερον ἀλγοῦσαν ἐνταῦθα ἐκ Θηβῶν μετοικῆσαι· καὶ Αὐτονόης μνῆμά ἐστιν ἐν τῇ κώμῃ ταύτῃ.

9. Ἰοῦσι δὲ ἐκ Μεγάρων ἐς Κόρινθον ἄλλοι τέ εἰσι 6
τάφοι καὶ αὐλητοῦ Σαμίου Τηλεφάνους· ποιῆσαι δὲ τὸν τάφον Κλεοπάτραν τὴν Φιλίππου τοῦ Ἀμύντου λέγουσι. καὶ Καρὸς τοῦ Φορωνέως μνῆμά ἐστι, τὸ μὲν ἐξ ἀρχῆς χῶμα γῆς, ὕστερον δὲ τοῦ θεοῦ χρήσαντος ἐκοσμήθη λίθῳ κογχίτῃ. μόνοις δὲ Ἑλλήνων Μεγαρεῦσιν ὁ κογχίτης οὗτός ἐστι, καί σφισι καὶ ἐν τῇ πόλει πεποίηται πολλὰ ἐξ αὐτοῦ. ἔστι δὲ ἄγαν λευκὸς καὶ ἄλλου λίθου μαλακώτερος· κόγχοι δὲ αἱ θαλάσσιαι διὰ παντὸς ἔνεισίν οἱ. αὐτὸς μὲν τοιοῦτός ἐστιν ὁ λίθος· 10. τὴν δὲ ὀνομαζομένην ἀπὸ Σκίρωνος καὶ ἐς τόδε, Σκίρων, ἡνίκα Μεγαρεῦσιν ἐπολεμάρχει, πρῶτος, ὡς λέγουσιν, ἐποίησεν ἀνδράσιν ὁδεύειν εὐζώνοις. Ἀδριανὸς δὲ [ὁ] βασιλεὺς

*καὶ οὕτως, ὡς καὶ ἣν ἅρματα ἐναντία ἐλαύνηται, κατ-* 108
*έστησεν εὐρυχωρῆ τε καὶ ἐπιτηδείαν εἶναι.*
7 11. *Λόγοι δέ εἰσιν ἐς τὰς πέτρας αἳ κατὰ τὸ στενὸν*
*τῆς ὁδοῦ μάλιστα ἀνέχουσιν, ἐς μὲν τὴν Μολουρίδα ὡς*
*ἀπὸ ταύτης αὑτὴν ἐς θάλασσαν Ἰνὼ ῥίψαι, Μελικέρτην*
*ἔχουσα τῶν παίδων τὸν νεώτερον· τὸν γὰρ δὴ πρεσβύ-*
*τερον αὐτῶν Λέαρχον ἀπέκτεινεν ὁ πατήρ. λέγεται μὲν*
*δὴ καὶ μανέντα δρᾶσαι ταῦτα Ἀθάμαντα, λέγεται δὲ καὶ*
*ὡς ἐς τὴν Ἰνὼ καὶ τοὺς ἐξ αὐτῆς παῖδας χρήσαιτο ἀκρα-*
*τεῖ τῷ θυμῷ, τὸν συμβάντα Ὀρχομενίοις λιμὸν καὶ τὸν*
*δοκοῦντα Φρίξου θάνατον αἰσθόμενος οὗ τὸ θεῖον αἴτιον*
*οὐ γενέσθαι, βουλεῦσαι δὲ ἐπὶ τούτοις πᾶσιν Ἰνὼ μη-*
8 *τρυιὰν οὖσαν. τότε δὲ φεύγουσα ἐς θάλασσαν αὑτὴν καὶ*
*τὸν παῖδα ἀπὸ τῆς πέτρας τῆς Μολουρίδος ἀφίησιν. ἐξ-*
*ενεχθέντος δὲ ἐς τὸν Κορινθίων ἰσθμὸν ὑπὸ δελφῖνος,*
*ὡς λέγεται, τοῦ παιδός, τιμαὶ καὶ ἄλλαι τῷ Μελικέρτῃ*
*δέδονται μετονομασθέντι Παλαίμονι, καὶ τῶν Ἰσθμίων*
*ἐπ' αὐτῷ τὸν ἀγῶνα ἄγουσι.* 12. *τὴν μὲν δὴ Μολουρίδα*
*πέτραν Λευκοθέας καὶ Παλαίμονος ἱερὰν ἥγηντο· τὰς δὲ*
*μετὰ ταύτην νομίζουσιν ἐναγεῖς, ὅτι παροικῶν σφίσιν ὁ*
*Σκίρων, ὁπόσοις τῶν ξένων ἐπετύγχανεν, ἠφίει σφᾶς ἐς*
*τὴν θάλασσαν. χελώνη δὲ ὑπενήχετο ταῖς πέτραις τοὺς*
*ἐσβληθέντας ἁρπάζειν· εἰσὶ δὲ αἱ θαλάσσιαι, πλὴν μεγέ-*
*θους καὶ ποδῶν, ὅμοιαι ταῖς χερσαίαις, πόδας δὲ ἐοικό-*
*τας ἔχουσι ταῖς φώκαις. τούτων περιῆλθεν ἡ δίκη Σκί-*
*ρωνα ἀφεθέντα ἐς θάλασσαν τὴν αὐτὴν ὑπὸ Θησέως.*
9 13. *ἐπὶ δὲ τοῦ ὄρους τῇ ἄκρᾳ Διός ἐστιν Ἀφεσίου καλου-*
*μένου ναός· φασὶ δὲ ἐπὶ τοῦ συμβάντος ποτὲ τοῖς Ἕλλη-*
*σιν αὐχμοῦ θύσαντος Αἰακοῦ κατὰ δή τι λόγιον τῷ*
*Πανελληνίῳ Διὶ ἐν Αἰγίνῃ * * * κομίσαντα δὲ ἀφεῖναι,*
*καὶ διὰ τοῦτο Ἀφέσιον καλεῖσθαι τὸν Δία. ἐνταῦθα καὶ*
*Ἀφροδίτης ἄγαλμα καὶ Ἀπόλλωνός ἐστι καὶ Πανός.* 109

14. Προελθοῦσι δὲ ἐς τὸ πρόσω μνῆμά ἐστιν Εὐρυσθέως· 10
φεύγοντα δὲ ἐκ τῆς Ἀττικῆς μετὰ τὴν πρὸς Ἡρακλείδας μάχην ἐνταῦθα ἀποθανεῖν αὐτὸν ὑπὸ Ἰολάου λέγουσιν. ἐκ ταύτης τῆς ὁδοῦ καταβᾶσιν Ἀπόλλωνος ἱερόν ἐστι Λατῴου, καὶ μετ' αὐτὸ Μεγαρεῦσιν ὅροι πρὸς τὴν Κορινθίαν, ἔνθα Ὕλλον τὸν Ἡρακλέους μονομαχῆσαι πρὸς τὸν Ἀρκάδα Ἔχεμον λέγουσιν.

---

## *ΚΟΡΙΝΘΙΑΚΑ.*

110 I. Ἡ δὲ Κορινθία χώρα, μοῖρα οὖσα τῆς Ἀργείας, ἀπὸ Κορίνθου τὸ ὄνομα ἔσχηκε. Διὸς δὲ εἶναι Κόρινθον οὐδένα οἶδα εἰπόντα πω σπουδῇ πλὴν Κορινθίων τῶν πολλῶν, ἐπεὶ Εὔμηλός γε ὁ Ἀμφιλύτου τῶν Βακχιδῶν καλουμένων, ὃς καὶ [τὰ] ἔπη λέγεται ποιῆσαι, φησὶν ἐν τῇ Κορινθίᾳ συγγραφῇ, εἰ δὴ Εὐμήλου [γε] ἡ συγγραφή, Ἐφύραν Ὠκεανοῦ θυγατέρα οἰκῆσαι πρῶτον ἐν τῇ γῇ ταύτῃ, Μαραθῶνα δὲ ὕστερον τὸν Ἐπωπέως τοῦ Ἀλωέως τοῦ Ἡλίου, φεύγοντα ἀνομίαν καὶ ὕβριν τοῦ πατρός, ἐς τὰ παραθαλάσσια μετοικῆσαι τῆς Ἀττικῆς, ἀποθανόντος δὲ Ἐπωπέως ἀφικόμενον ἐς Πελοπόννησον καὶ τὴν ἀρχὴν διανείμαντα τοῖς παισὶν αὐτὸν ἐς τὴν Ἀττικὴν αὖθις ἀναχωρῆσαι, καὶ ἀπὸ μὲν Σικυῶνος τὴν Ἀσωπίαν, ἀπὸ δὲ Κορίνθου τὴν Ἐφυραίαν μετονομασθῆναι.

111 2. Κόρινθον δὲ οἰκοῦσι Κορινθίων μὲν οὐδεὶς ἔτι 2
τῶν ἀρχαίων, ἔποικοι δὲ ἀποσταλέντες ὑπὸ Ῥωμαίων. αἴτιον δὲ τὸ συνέδριον τὸ Ἀχαιῶν· συντελοῦντες γὰρ ἐς αὐτὸ καὶ οἱ Κορίνθιοι μετέσχον τοῦ πολέμου τοῦ πρὸς Ῥωμαίους, ὃν Κριτόλαος στρατηγεῖν Ἀχαιῶν ἀποδεχθεὶς παρεσκεύασε γενέσθαι, τούς τε Ἀχαιοὺς ἀναπείσας ἀπο-

στῆναι καὶ τῶν ἔξω Πελοποννήσου τοὺς πολλούς. Ῥωμαῖοι δὲ ὡς ἐκράτησαν τῷ πολέμῳ, παρείλοντο μὲν καὶ τῶν ἄλλων Ἑλλήνων τὰ ὅπλα καὶ τείχη περιεῖλον, ὅσαι τετειχισμέναι πόλεις ἦσαν· Κόρινθον δὲ ἀνάστατον Μομμίου ποιήσαντος, τοῦ τότε ἡγουμένου τῶν ἐπὶ στρατοπέδου Ῥωμαίων, ὕστερον λέγουσιν ἀνοικίσαι Καίσαρα, ὃς πολιτείαν ἐν Ῥώμῃ πρῶτος τὴν ἐφ' ἡμῶν κατεστήσατο· ἀνοικίσαι δὲ καὶ Καρχηδόνα ἐπὶ τῆς ἀρχῆς τῆς αὑτοῦ.

3 3. Τῆς δὲ Κορινθίας ἐστὶ γῆς καὶ ὁ καλούμενος Κρομυὼν ἀπὸ τοῦ Κρόμου τοῦ Ποσειδῶνος. ἐνταῦθα τραφῆναί φασι καὶ τῶν λεγομένων Θησέως κατὰ τὸ ἔπην *** ταύτην ἐστὶν ἔργον. προϊοῦσι δὲ ἡ πίτυς ἄχρι γε ἐμοῦ πεφύκει παρὰ τὸν αἰγιαλόν, καὶ Μελικέρτου βωμὸς ἦν. ἐς τοῦτον τὸν τόπον ἐκκομισθῆναι τὸν παῖδα ὑπὸ δελφῖνος λέγουσι· κειμένῳ δὲ ἐπιτυχόντα Σίσυφον θάψαι τε ἐν τῷ Ἰσθμῷ καὶ τὸν ἀγῶνα ἐπ' αὐτῷ ποιῆσαι τῶν
4 Ἰσθμίων. 4. Ἔστι δὲ ἐπὶ τοῦ Ἰσθμοῦ τῆς ἀρχῆς, ἔνθα ὁ ληστὴς Σίνις λαμβανόμενος πιτύων ἦγεν ἐς τὸ κάτω σφᾶς· ὁπόσων δὲ μάχῃ κρατήσειεν, ἀπ' αὐτῶν δήσας ἀφῆκεν ἂν τὰ δένδρα ἄνω φέρεσθαι· ἐνταῦθα ἑκατέρα τῶν πιτύων τὸν δεθέντα ἐπ' αὐτῇ εἷλκε, καὶ τοῦ δεσμοῦ μηδετέρωσε εἴκοντος ἀλλ' ἀμφοτέρωθεν ἐπ' ἴσης βιαζομένου διεσπᾶτο ὁ δεδεμένος. τοιούτῳ διεφθάρη τρόπῳ
καὶ αὐτὸς ὑπὸ Θησέως ὁ Σίνις· ἐκάθηρε γὰρ Θησεὺς τῶν 112
κακούργων τὴν ὁδὸν τὴν ἐς Ἀθήνας ἐκ Τροιζῆνος, οὕς τε πρότερον κατηρίθμησα ἀνελών, καὶ ἐν Ἐπιδαύρῳ τῇ ἱερᾷ Περιφήτην Ἡφαίστου νομιζόμενον, κορύνῃ χαλκῇ
5 χρώμενον ἐς τὰς μάχας. 5. Καθήκει δὲ ὁ τῶν Κορινθίων ἰσθμὸς τῇ μὲν ἐς τὴν ἐπὶ Κεγχρέαις, τῇ δὲ ἐς τὴν ἐπὶ Λεχαίῳ θάλασσαν· τοῦτο γὰρ ἤπειρον ποιεῖ τὴν ἐντὸς χώραν. ὃς δὲ ἐπεχείρησε Πελοπόννησον ἐργάσασθαι νῆσον,

προαπέλιπε διορύσσων Ἰσθμόν· καὶ ὅθεν μὲν διορύσ-
σειν ἤρξαντο δῆλόν ἐστιν, ἐς δὲ τὸ πετρῶδες οὐ προεχώ-
ρησαν ἀρχήν· μένει δέ, ὡς πεφύκει, καὶ νῦν ἤπειρος ὤν.
Ἀλεξάνδρῳ τε τῷ Φιλίππου διασκάψαι Μίμαντα ἐθελή-
σαντι μόνον τοῦτο οὐ προεχώρησε τὸ ἔργον· Κνιδίους
δὲ ἡ Πυθία τὸν ἰσθμὸν ὀρύσσοντας ἔπαυσεν. οὕτω χαλε-
πὸν ἀνθρώπῳ τὰ θεῖα βιάσασθαι. 6. Τὸ δὲ οὐ Κοριν- 6
θίοις μόνον περὶ τῆς χώρας ἐστὶν εἰρημένον, ἀλλὰ ἐμοὶ
δοκεῖν Ἀθηναῖοι πρῶτοι περὶ τῆς Ἀττικῆς ἐσεμνολόγη-
σαν· λέγουσι δὲ καὶ οἱ Κορίνθιοι Ποσειδῶνα ἐλθεῖν
Ἡλίῳ περὶ τῆς γῆς ἐς ἀμφισβήτησιν, Βριάρεων δὲ διαλ-
λακτὴν γενέσθαι σφίσιν, Ἰσθμὸν μὲν καὶ ὅσα ταύτῃ δι-
κάσαντα εἶναι Ποσειδῶνος, τὴν δὲ ἄκραν Ἡλίῳ δόντα
τὴν ὑπὲρ τῆς πόλεως. ἀπὸ μὲν τούτου λέγουσιν εἶναι τὸν
Ἰσθμὸν Ποσειδῶνος.

7. Θέας δὲ αὐτόθι ἄξια ἔστι μὲν θέατρον, ἔστι δὲ 7
στάδιον λίθου λευκοῦ. ἐλθόντι δὲ ἐς τοῦ θεοῦ τὸ ἱερὸν
τοῦτο μὲν ἀθλητῶν νικησάντων τὰ Ἴσθμια ἑστήκασιν
εἰκόνες, τοῦτο δὲ πιτύων δένδρα ἐστὶ πεφυτευμένα ἐπὶ
στοίχου, τὰ πολλὰ ἐς εὐθὺ αὐτῶν ἀνήκοντα. τῷ ναῷ δὲ
ὄντι μέγεθος οὐ μείζονι ἐφεστήκασι Τρίτωνες χαλκοῖ.
καὶ ἀγάλματά ἐστιν ἐν τῷ προνάῳ, δύο μὲν Ποσειδῶνος,
τρίτον δὲ Ἀμφιτρίτης, καὶ Θάλασσα, καὶ αὕτη χαλκῆ.
113 τὰ δὲ ἔνδον ἐφ' ἡμῶν ἀνέθηκεν Ἡρώδης Ἀθηναῖος, ἵπ-
πους τέσσαρας ἐπιχρύσους πλὴν τῶν ὁπλῶν· ὁπλαὶ δέ
σφισίν εἰσιν ἐλέφαντος. καὶ Τρίτωνες δύο παρὰ τοὺς ἵπ- 8
πους εἰσὶ χρυσοῖ, τὰ μετ' ἰξὺν ἐλέφαντος καὶ οὗτοι· τῷ
δὲ ἅρματι Ἀμφιτρίτη καὶ Ποσειδῶν ἐφεστήκασι, καὶ παῖς
ὀρθός ἐστιν ἐπὶ δελφῖνος ὁ Παλαίμων· ἐλέφαντος δὲ καὶ
χρυσοῦ καὶ οὗτοι πεποίηνται. τῷ βάθρῳ δέ, ἐφ' οὗ τὸ
ἅρμα, μέση μὲν ἐπείργασται Θάλασσα ἀνέχουσα Ἀφρο-
δίτην παῖδα, ἑκατέρωθεν δέ εἰσιν αἱ Νηρηίδες καλούμε-

ναι. ταύταις καὶ ἑτέρωθι τῆς Ἑλλάδος βωμοὺς οἶδα ὄντας, τοὺς δὲ καὶ τεμένη σφίσιν ἀναθέντας ποιμαίνισιν, ἔνθα καὶ Ἀχιλλεῖ τιμαί· Δωτοῦς δὲ ἐν Γαβάλοις ἱερόν ἐστιν ἅγιον, ἔνθα πέπλος ἔτι ἐλείπετο, ὃν Ἕλληνες Ἐρι-
9 φύλην λέγουσιν ἐπὶ τῷ παιδὶ λαβεῖν Ἀλκμαίωνι. 8. τοῦ Ποσειδῶνος δέ εἰσιν ἐπειργασμένοι τῷ βάθρῳ καὶ οἱ Τυνδάρεω παῖδες, ὅτι δὴ σωτῆρες καὶ οὗτοι νεῶν καὶ ἀνθρώπων εἰσὶ ναυτιλλομένων. τὰ δὲ ἄλλα ἀνάκειται Γαλήνης ἄγαλμα καὶ Θαλάσσης, καὶ ἵππος εἰκασμένος κήτει τὰ μετὰ τὸ στέρνον, Ἰνώ τε καὶ Βελλεροφόντης καὶ ὁ ἵππος ὁ Πήγασος.

II. Τοῦ περιβόλου δέ ἐστιν ἐντὸς Παλαίμονος ἐν ἀριστερᾷ ναός, ἀγάλματα δὲ ἐν αὐτῷ Ποσειδῶν καὶ Λευκοθέα καὶ αὐτὸς ὁ Παλαίμων. ἔστι δὲ καὶ ἄλλο Ἄδυτον καλούμενον, κάθοδος δὲ ἐς αὐτὸ ὑπόγεως, ἔνθα δὴ τὸν 114
Παλαίμονα κεκρύφθαι φασίν· ὃς δ' ἂν ἐνταῦθα ἢ Κορινθίων ἢ ξένος ἐπίορκα ὀμόσῃ, οὐδεμία ἐστίν οἱ μηχανὴ διαφυγεῖν τοῦ ὅρκου. 2. καὶ δὴ ἱερόν ἐστιν ἀρχαῖον, Κυκλώπων καλούμενος βωμός, καὶ θύουσιν ἐπ' αὐτῷ Κύ-
2 κλωψι. Τάφους δὲ Σισύφου καὶ Νηλέως, καὶ γὰρ Νηλέα ἀφικόμενον ἐς Κόρινθον νόσῳ τελευτῆσαί φασι καὶ περὶ τὸν Ἰσθμὸν ταφῆναι, οὐκ ἂν οὐδὲ ζητοίη τις ἐπιλεξάμενος τὰ Εὐμήλου· Νηλέως μὲν γὰρ οὐδὲ Νέστορι ἐπιδειχθῆναι τὸ μνῆμα ὑπὸ Σισύφου φησί· χρῆναι γὰρ ἄγνωστον τοῖς πᾶσιν ὁμοίως εἶναι· Σίσυφον δὲ ταφῆναι μὲν ἐν τῷ Ἰσθμῷ, τὸν δέ οἱ τάφον καὶ τῶν ἐφ' αὑτοῦ Κορινθίων ὀλίγους εἶναι τοὺς εἰδότας. Ὁ δὲ Ἰσθμικὸς ἀγὼν οὐδὲ ἀναστάντων ὑπὸ Μομμίου Κορινθίων ἐξέλιπεν, ἀλλ' ὅσον μὲν χρόνον ἠρήμωτο ἡ πόλις, Σικυωνίοις ἄγειν ἐπετέτραπτο τὰ Ἴσθμια, οἰκισθείσης δὲ αὖθις ἐς τοὺς νῦν οἰκήτορας περιῆλθεν ἡ τιμή.

3 3. Κορινθίοις δὲ τοῖς ἐπινείοις τὰ ὀνόματα Λέχης

καὶ Κεγχρίας ἔδοσαν, Ποσειδῶνος εἶναι καὶ Πειρήνης τῆς Ἀχελῴου λεγόμενοι· πεποίηται δὲ ἐν Ἠοίαις μεγάλαις Οἰβάλου θυγατέρα εἶναι Πειρήνην. ἔστι δὲ ἐν Λεχαίῳ μὲν Ποσειδῶνος ἱερὸν καὶ ἄγαλμα χαλκοῦν, τὴν δὲ ἐς Κεγχρέας ἰόντων ἐξ Ἰσθμοῦ ναὸς Ἀρτέμιδος καὶ ξόανον ἀρχαῖον. ἐν δὲ Κεγχρέαις Ἀφροδίτης τέ ἐστι ναὸς καὶ ἄγαλμα λίθου, μετὰ δὲ αὐτὸν ἐπὶ τῷ ἐρύματι τῷ διὰ τῆς θαλάσσης Ποσειδῶνος χαλκοῦν. κατὰ δὲ τὸ ἕτερον πέρας τοῦ λιμένος Ἀσκληπιοῦ καὶ Ἴσιδος ἱερά. Κεγχρεῶν δὲ ἀπαντικρὺ τὸ Ἑλένης ἐστὶ λουτρόν· ὕδωρ ἐς θάλασσαν
115 ἐκ πέτρας ῥεῖ πολὺ καὶ ἁλμυρόν, ὕδατι ὅμοιον ἀρχομένῳ θερμαίνεσθαι.

4. Ἀνιοῦσι δὲ ἐς Κόρινθον καὶ ἄλλα ἐστὶ κατὰ τὴν 4
ὁδὸν μνήματα, καὶ πρὸς τῇ πύλῃ Διογένης τέθαπται ὁ Σινωπεύς, ὃν κύνα ἐπίκλησιν καλοῦσιν Ἕλληνες. πρὸ δὲ τῆς πόλεως κυπαρίσσων ἐστὶν ἄλσος ὀνομαζόμενον Κράνειον. ἐνταῦθα Βελλεροφόντου τέ ἐστι τέμενος καὶ Ἀφροδίτης ναὸς Μελαινίδος, καὶ τάφος Λαΐδος, ᾧ δὴ λέαινα ἐπίθημά ἐστι κριὸν ἔχουσα ἐν τοῖς προτέροις ποσίν. ἔστι δὲ καὶ ἄλλο ἐν Θεσσαλίᾳ Λαΐδος φάμενον μνῆμα 5
εἶναι· παρεγένετο γὰρ καὶ ἐς Θεσσαλίαν ἐρασθεῖσα Ἱπποστράτου. τὸ δὲ ἐξ ἀρχῆς ἐξ Ὑκάρων αὐτὴν τῶν ἐν Σικελίᾳ λέγεται παῖδα οὖσαν ὑπὸ Νικίου καὶ Ἀθηναίων ἁλῶναι, πραθεῖσαν δὲ ἐς Κόρινθον ὑπερβαλέσθαι κάλλει τὰς τότε ἑταίρας, θαυμασθῆναί τε οὕτω παρὰ Κορινθίοις ὡς ἀμφισβητεῖν σφᾶς καὶ νῦν ἔτι Λαΐδος.

5. Λόγου δὲ ἄξια ἐν τῇ πόλει τὰ μὲν λειπόμενα ἔτι 6
τῶν ἀρχαίων ἐστίν, τὰ δὲ πολλὰ αὐτῶν ἐπὶ τῆς ἀκμῆς ἐποιήθη τῆς ὕστερον. ἔστιν οὖν ἐπὶ τῆς ἀγορᾶς, ἐνταῦθα γὰρ πλεῖστά ἐστι τῶν ἱερῶν, Ἄρτεμίς τε ἐπίκλησιν Ἐφεσία, καὶ Διονύσου ξόανα ἐπίχρυσα πλὴν τῶν προσώπων·
116 τὰ δὲ πρόσωπα ἀλοιφῇ σφίσιν ἐρυθρᾷ κεκόσμηται· Λύ-

7 σιον δέ, τὸν δὲ Βάκχειον ὀνομάζουσι. 6. τὰ δὲ λεγόμενα ἐς τὰ ξόανα καὶ ἐγὼ γράφω. Πενθέα ὑβρίζοντα ἐς Διόνυσον καὶ ἄλλα τολμᾶν λέγουσι καὶ τέλος ἐς τὸν Κιθαιρῶνα ἐλθεῖν ἐπὶ κατασκοπῇ τῶν γυναικῶν, ἀναβάντα δὲ ἐς δένδρον θεάσασθαι τὰ ποιούμενα· τὰς δέ, ὡς ἐφώρασαν, καθελκύσαι τε αὐτίκα Πενθέα καὶ ζῶντος ἀποσπᾶν ἄλλο ἄλλην τοῦ σώματος. ὕστερον δέ, ὡς Κορίνθιοι λέγουσιν, ἡ Πυθία χρᾷ σφίσιν ἀνευρόντας τὸ δένδρον ἐκεῖνο ἴσα τῷ θεῷ σέβειν· καὶ ἀπ' αὐτοῦ διὰ τόδε τὰς
8 εἰκόνας πεποίηνται ταύτας. 7. Ἔστι δὲ καὶ Τύχης ναός· ἄγαλμα ὀρθὸν Παρίου λίθου. παρὰ δὲ αὐτὸν θεοῖς πᾶσίν ἐστιν ἱερόν. πλησίον δὲ ᾠκοδόμηται κρήνη, καὶ Ποσειδῶν ἐπ' αὐτῇ χαλκοῦς καὶ δελφὶς ὑπὸ τοῖς ποσίν ἐστι τοῦ Ποσειδῶνος ἀφιεὶς ὕδωρ. καὶ Ἀπόλλων ἐπίκλησιν Κλάριος χαλκοῦς ἐστί, καὶ ἄγαλμα Ἀφροδίτης Ἑρμογένους Κυθηρίου ποιήσαντος. Ἑρμοῦ τέ ἐστιν ἀγάλματα χαλκοῦ μὲν καὶ ὀρθὰ ἀμφότερα, τῷ δὲ ἑτέρῳ καὶ ναὸς πεποίηται. τὰ δὲ τοῦ Διός, καὶ ταῦτα ὄντα ἐν ὑπαίθρῳ, τὸ μὲν ἐπίκλησιν οὐκ εἶχε, τὸν δὲ αὐτῶν Χθόνιον καὶ τὸν τρίτον καλοῦσιν Ὕψιστον.

III. Ἐν μέσῳ δὲ τῆς ἀγορᾶς ἐστὶν Ἀθηνᾶ χαλκῆ· τῷ βάθρῳ δὲ αὐτῆς ἐστὶ Μουσῶν ἀγάλματα ἐπειργασμένα. ὑπὲρ δὲ τὴν ἀγοράν ἐστιν Ὀκταβίας ναὸς ἀδελφῆς Αὐγούστου βασιλεύσαντος Ῥωμαίων μετὰ Καίσαρα τὸν οἰκιστὴν Κορίνθου τῆς νῦν.

2 2. Ἐκ δὲ τῆς ἀγορᾶς ἐξιόντων τὴν ἐπὶ Λεχαίου προπύλαιά ἐστι καὶ ἐπ' αὐτῶν ἅρματα ἐπίχρυσα, τὸ μὲν Φαέθοντα Ἡλίου παῖδα, τὸ δὲ Ἥλιον αὐτὸν φέρον. ὀλίγον
δὲ ἀπωτέρω τῶν προπυλαίων ἐσιοῦσιν ἐν δεξιᾷ ἐστὶν 117
Ἡρακλῆς χαλκοῦς. 3. μετὰ δὲ αὐτὸν ἔσοδός ἐστι τῆς Πειρήνης ἐς τὸ ὕδωρ. ἐπὶ δὲ αὐτῇ λέγουσιν ὡς ἡ Πειρήνη γένοιτο ὑπὸ δακρύων ἐξ ἀνθρώπου πηγή, τὸν παῖδα

ὀδυρομένη Κεγχρίαν ὑπὸ Ἀρτέμιδος ἀκούσης ἀποθα-
νόντα. κεκόσμηται δὲ ἡ πηγὴ λίθῳ λευκῷ, καὶ πεποιη- 3
μένα ἐστὶν οἰκήματα σπηλαίοις κατὰ ταὐτά, ἐξ ὧν τὸ
ὕδωρ ἐς κρήνην ὕπαιθρον ῥεῖ, πιεῖν τε ἡδύ, καὶ τὸν Κο-
ρίνθιον χαλκὸν διάπυρον καὶ θερμὸν ὄντα ὑπὸ ὕδατος
τούτου βάπτεσθαι λέγουσιν, ἐπεὶ χαλκός γε οὐκ ἔστι Κο-
ρινθίοις. ἔτι γε δὴ καὶ Ἀπόλλωνος ἄγαλμα πρὸς τῇ Πει-
ρήνῃ καὶ περίβολός ἐστιν. ἐν δὲ αὐτῷ γραφὴ τὸ Ὀδυσ-
σέως ἐς τοὺς μνηστῆρας ἔχουσα τόλμημα.

4. Αὖθις δ' ἰοῦσιν ἐπὶ Λεχαίου τὴν εὐθεῖαν χαλκοῦς 4
καθήμενός ἐστιν Ἑρμῆς, παρέστηκε δέ οἱ κριός, ὅτι Ἑρ-
μῆς μάλιστα δοκεῖ θεῶν ἐφορᾶν καὶ αὔξειν ποίμνας,
καθὰ δὴ καὶ Ὅμηρος ἐν Ἰλιάδι ἐποίησεν,

υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσε.

τὸν δὲ ἐν τελετῇ Μητρὸς ἐπὶ Ἑρμῇ λεγόμενον καὶ τῷ
κριῷ λόγον ἐπιστάμενος οὐ λέγω. μετὰ δὲ τὸ ἄγαλμα τοῦ
Ἑρμοῦ Ποσειδῶν καὶ Λευκοθέα καὶ ἐπὶ δελφῖνός ἐστιν ὁ
Παλαίμων. 5. Λουτρὰ δὲ ἔστι μὲν πολλαχοῦ Κορινθίοις 5
καὶ ἄλλα, τὰ μὲν ἀπὸ τοῦ κοινοῦ, τὸ δὲ βασιλέως Ἀδρια-
νοῦ κατασκευάσαντος· τὸ δὲ ὀνομαστότατον αὐτῶν πλη-
σίον τοῦ Ποσειδῶνος. τοῦτο δὲ Εὐρυκλῆς ἐποίησεν ἀνὴρ
Σπαρτιάτης, λίθοις κοσμήσας καὶ ἄλλοις καὶ ὃν ἐν Κρο-
κεαῖς χώρας τῆς Λακωνικῆς ὀρύσσουσιν. ἐν ἀριστερᾷ δὲ
τῆς ἐσόδου Ποσειδῶν καὶ μετ' αὐτὸν Ἄρτεμις θηρεύουσα
118 ἕστηκε. Κρῆναι δὲ πολλαὶ μὲν ἀνὰ τὴν πόλιν πεποίηνται
πᾶσαν, ἅτε ἀφθόνου ῥέοντός σφισιν ὕδατος, καὶ ὃ δὴ
βασιλεὺς Ἀδριανὸς ἐσήγαγεν ἐκ Στυμφήλου· θέας δὲ
μάλιστα ἀξία ἡ παρὰ τὸ ἄγαλμα τὸ τῆς Ἀρτέμιδος, καὶ ὁ
Βελλεροφόντης ἔπεστι, καὶ τὸ ὕδωρ οἱ δι' ὁπλῆς ἵππου
ῥεῖ τοῦ Πηγάσου.

Ἑτέραν δὲ ἐκ τῆς ἀγορᾶς τὴν ἐπὶ Σικυῶνα ἐρχομέ- 6

νοις ἔστιν ἰδεῖν ἐν δεξιᾷ τῆς ὁδοῦ ναὸς καὶ ἄγαλμα χαλκοῦν Ἀπόλλωνος, καὶ ὀλίγον ἀπωτέρω κρήνη καλουμένη Γλαύκης· ἐς γὰρ ταύτην ἔρριψεν αὑτήν, ὡς λέγουσι, τῶν Μηδείας ἔσεσθαι φαρμάκων τὸ ὕδωρ νομίζουσα ἴαμα. 6. Ὑπὲρ ταύτην πεποίηται τὴν κρήνην καὶ τὸ καλούμενον Ὠιδεῖον. παρὰ δὲ αὐτὸ μνῆμά ἐστι τοῖς Μηδείας παισίν· [ὧν] ὀνόματα μέν σφισι Μέρμερος καὶ Φέρης, καταλιθωθῆναι δὲ ὑπὸ Κορινθίων λέγονται τῶν
7 δώρων ἕνεκα ὧν τῇ Γλαύκῃ κομίσαι φασὶν αὐτούς· ἅτε δὲ τοῦ θανάτου βιαίου καὶ οὐ σὺν τῷ δικαίῳ γενομένου, τὰ τέκνα Κορινθίων τὰ νήπια ὑπ᾽ αὐτῶν ἐφθείρετο, πρὶν ἢ χρήσαντος τοῦ θεοῦ θυσίαι τε αὐτοῖς ἐπέτειοι κατέστησαν καὶ Δεῖμα ἐπεστάθη. τοῦτο μὲν δὴ καὶ ἐς ἡμᾶς ἔτι λείπεται, γυναικὸς ἐς τὸ φοβερώτερον εἰκὼν πεποιημένη· Κορίνθου δὲ ἀναστάτου γενομένης ὑπὸ Ῥωμαίων καὶ Κορινθίων τῶν ἀρχαίων ἀπολομένων, οὐκέτι ἐκεῖναι καθεστήκασιν αὐτοῖς αἱ θυσίαι παρὰ τῶν ἐποίκων, οὐδὲ ἀποκείρονταί σφισιν οἱ παῖδες, οὐδὲ μέ-
8 λαιναν φοροῦσιν ἐσθῆτα. 7. Μήδεια δὲ τότε μὲν ἐλθοῦσα ἐς Ἀθήνας συνῴκησεν Αἰγεῖ, χρόνῳ δὲ ὕστερον φωραθεῖσα ἐπιβουλεύειν Θησεῖ καὶ ἐξ Ἀθηνῶν ἔφυγε, παραγενομένη δὲ ἐς τὴν λεγομένην τότε Ἀρίαν τοῖς ἀνθρώποις ἔδωκε τὸ ὄνομα καλεῖσθαι Μήδους ἀπ᾽ αὐτῆς. τὸν δὲ παῖδα, ὃν ἐπήγετο φεύγουσα ἐς τοὺς Ἀρίους, γενέσθαι λέγουσιν ἐξ Αἰγέως, ὄνομα δέ οἱ Μῆδον εἶναι. Ἑλλάνικος δὲ αὐτὸν Πολύξενον καλεῖ, καὶ πατρὸς Ἰάσονός
9 φησιν εἶναι. ἔπη δὲ ἔστιν ἐν Ἕλλησι Ναυπάκτια ὀνομαζόμενα· πεποίηται δὲ ἐν αὐτοῖς Ἰάσονα ἐξ Ἰωλκοῦ μετὰ τὸν Πελίου θάνατον ἐς Κόρκυραν μετοικῆσαι, καί οἱ Μέρμερον μὲν τὸν πρεσβύτερον τῶν παίδων ὑπὸ λεαίνης διαφθαρῆναι θηρεύοντα ἐν τῇ πέραν ἠπείρῳ· Φέ- 119
ρητι δὲ οὐδέν ἐστιν ἐς μνήμην προσκείμενον. Κιναίθων

δὲ ὁ Λακεδαιμόνιος, ἐγενεαλόγησε γὰρ καὶ οὗτος ἔπεσι,
Μήδειον καὶ θυγατέρα Ἐριῶπιν Ἰάσονι εἶπεν ἐκ Μη-
δείας γενέσθαι· πέρα δὲ ἐς τοὺς παῖδας οὐδὲ τούτῳ πε-
ποιημένα ἐστίν. 8. Εὔμηλος δὲ Ἥλιον ἔφη δοῦναι τὴν 10
χώραν Ἀλωεῖ μὲν τὴν Ἀσωπίαν, Αἰήτῃ δὲ τὴν Ἐφυ-
ραίαν· καὶ Αἰήτην ἀπιόντα ἐς Κόλχους παρακαταθέσθαι
Βούνῳ τὴν γῆν, Βοῦνον δὲ Ἑρμοῦ καὶ Ἀλκιδαμείας εἶ-
ναι, καὶ ἐπεὶ Βοῦνος ἐτελεύτησεν, οὕτως Ἐπωπέα τὸν
Ἀλωέως καὶ τὴν Ἐφυραίων σχεῖν ἀρχήν· Κορίνθου δὲ
ὕστερον τοῦ Μαραθῶνος οὐδένα ὑπολιπομένου παῖδα,
τοὺς Κορινθίους Μήδειαν μεταπεμψαμένους ἐξ Ἰωλκοῦ
παραδοῦναί οἱ τὴν ἀρχήν· βασιλεύειν μὲν δὴ δι' αὐτὴν 11
Ἰάσονα ἐν Κορίνθῳ, Μηδείᾳ δὲ παῖδας μὲν γίνεσθαι, τὸ
δὲ ἀεὶ τικτόμενον κατακρύπτειν αὐτὸ ἐς τὸ ἱερὸν φέρου-
σαν τῆς Ἥρας, κατακρύπτειν δὲ ἀθανάτους ἔσεσθαι νο-
μίζουσαν· τέλος δὲ αὐτήν τε μαθεῖν ὡς ἡμαρτήκοι τῆς
ἐλπίδος, καὶ ἅμα ὑπὸ τοῦ Ἰάσονος φωραθεῖσαν, οὐ γὰρ
αὐτὸν ἔχειν δεομένῃ συγγνώμην, ἀποπλέοντα δὲ ἐς Ἰωλ-
κὸν οἴχεσθαι, τούτων δὲ ἕνεκα ἀπελθεῖν καὶ Μήδειαν
παραδοῦσαν Σισύφῳ τὴν ἀρχήν. τάδε μὲν οὕτως ἔχοντα
ἐπελεξάμην.

IV. Τοῦ μνήματος δέ ἐστιν οὐ πόρρω Χαλινίτιδος
Ἀθηνᾶς ἱερόν· Ἀθηνᾶν γὰρ θεῶν μάλιστα συγκατεργά-
σασθαι τά τε ἄλλα Βελλεροφόντῃ φασί, καὶ ὡς τὸν Πή-
γασόν οἱ παραδοίη χειρωσαμένη τε καὶ ἐνθεῖσα αὐτὴ τῷ
ἵππῳ χαλινόν. τὸ δὲ ἄγαλμά οἱ τοῦτο ξόανόν ἐστι, πρόσ-
ωπον δὲ καὶ χεῖρες καὶ ἄκροι πόδες εἰσὶ λευκοῦ λίθου.
2. Βελλεροφόντην δὲ οὐκ αὐτοκράτορα ὄντα βασιλεύειν, 2
εἶναι δὲ ἐπὶ Προίτῳ καὶ Ἀργείοις ἐγώ τε πείθομαι καὶ
ὅστις τὰ Ὁμήρου μὴ πάρεργον ἐπελέξατο. φαίνονται δὲ
καὶ Βελλεροφόντου μετοικήσαντος ἐς Λυκίαν οὐδὲν ἧσ-
σον οἱ Κορίνθιοι τῶν ἐν Ἄργει δυναστῶν ἢ Μυκήναις

*ὑπακούοντες· ἰδίᾳ τε οὐδένα παρέσχοντο ἄρχοντα τῆς* 120
*ἐπὶ Τροίαν στρατιᾶς, συντεταγμένοι δὲ Μυκηναίοις καὶ ὅσων ἄλλων Ἀγαμέμνων ἡγεῖτο μετέσχον τοῦ στόλου.*
3 3. *Σισύφῳ δὲ οὔτι Γλαῦκος μόνον ὁ Βελλεροφόντου πατήρ, ἀλλὰ καὶ ἕτερος υἱὸς ἐγένετο Ὀρνυτίων, ἐπὶ δὲ αὐτῷ Θέρσανδρός τε καὶ Ἅλμος. Ὀρνυτίωνος δὲ ἦν Φῶκος, Ποσειδῶνος δὲ ἐπίκλησιν. καὶ ὁ μὲν ἀπῴκησεν ἐς Τιθορέαν τῆς νῦν καλουμένης Φωκίδος, Θόας δὲ Ὀρνυτίωνος υἱὸς νεώτερος κατέμεινεν ἐν τῇ Κορίνθῳ. Θόαντος δὲ Δαμοφῶν, Δαμοφῶντος δὲ ἦν Προπόδας, Προπόδα δὲ Δωρίδας καὶ Ὑανθίδας. τούτων βασιλευόντων Δωριεῖς στρατεύουσιν ἐπὶ Κόρινθον· ἡγεῖτο δὲ Ἀλήτης Ἱππότου τοῦ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους. Δωρίδας μὲν οὖν καὶ Ὑανθίδας παραδόντες τὴν βασιλείαν Ἀλήτῃ καταμένουσιν αὐτοῦ, τῶν δὲ Κορινθίων ὁ δῆμος ἐξέπε-*
4 *σεν ὑπὸ Δωριέων κρατηθεὶς μάχῃ. Ἀλήτης δὲ αὐτός τε καὶ οἱ ἀπόγονοι βασιλεύουσιν ἐς μὲν Βάκχιν τὸν Προύμνιδος ἐπὶ γενεὰς πέντε,* 4. *ἀπὸ τούτου δὲ οἱ Βακχίδαι καλούμενοι πέντε ἄλλας γενεὰς ἐς Τελέστην τὸν Ἀριστοδήμου. καὶ Τελέστην μὲν κατὰ ἔχθος Ἀριεὺς καὶ Περάντας κτείνουσι, βασιλεὺς δὲ οὐδεὶς ἔτι ἐγένετο, πρυτάνεις δὲ ἐκ Βακχιδῶν ἐνιαυτὸν ἄρχοντες, ἐς ὃ Κύψελος τυραννήσας ὁ Ἠετίωνος ἐξέβαλε τοὺς Βακχίδας· ἀπόγονος δὲ ἦν ὁ Κύψελος Μέλανος τοῦ Ἀντάσου. Μέλανα δὲ ἐκ Γονούσσης τῆς ὑπὲρ Σικυῶνος στρατεύοντα σὺν Δωριεῦσιν ἐπὶ Κόρινθον Ἀλήτης τὸ μὲν παραυτίκα, ἀπειπόντος τοῦ θεοῦ, παρ' ἄλλους τῶν Ἑλλήνων ἐκέλευσεν ἀποχωρεῖν, ὕστερον δὲ ἁμαρτὼν τοῦ χρησμοῦ δέχεται σύνοικον. τοιαῦτα μὲν ἐς τοὺς Κορινθίων βασιλέας συμ-* 121
*βάντα εὕρισκον.*

5 5. *Τὸ δὲ ἱερὸν τῆς Ἀθηνᾶς τῆς Χαλινίτιδος πρὸς τῷ θεάτρῳ σφίσιν ἐστίν, καὶ πλησίον ξόανον γυμνὸν Ἡρα-*

κλέους· Δαιδάλου δὲ αὐτό φασιν εἶναι τέχνην. Δαίδα-
λος δὲ ὁπόσα εἰργάσατο, ἀτοπώτερα μέν ἐστιν ἔτι τὴν
ὄψιν, ἐπιπρέπει δὲ ὅμως τι καὶ ἔνθεον τούτοις. ὑπὲρ δὲ
τὸ θέατρόν ἐστιν ἱερὸν Διὸς Καπετωλίου φωνῇ τῇ Ῥω-
μαίων· κατὰ Ἑλλάδα δὲ γλῶσσαν Κορυφαῖος ὀνομάζοιτ'
ἄν. 6. τοῦ θεάτρου δέ ἐστι τοῦδε οὐ πόρρω γυμνάσιον
τὸ ἀρχαῖον καὶ πηγὴ καλουμένη Λέρνα· κίονες δὲ ἑστή-
κασι περὶ αὐτήν, καὶ καθέδραι πεποίηνται τοὺς ἐσελ-
θόντας ἀναψύχειν ὥρᾳ θέρους. πρὸς τούτῳ τῷ γυμνα-
σίῳ ναοὶ θεῶν εἰσίν, ὁ μὲν Διός, ὁ δὲ Ἀσκληπιοῦ. τὰ δὲ
ἀγάλματα, Ἀσκληπιὸς μὲν καὶ Ὑγίεια λευκοῦ λίθου, τὸ
δὲ τοῦ Διὸς χαλκοῦν ἐστίν. 7. Ἀνιοῦσι δὲ ἐς τὸν Ἀκρο- 6
κόρινθον, ἡ δέ ἐστιν ὄρους ὑπὲρ τὴν πόλιν κορυφή,
Βριάρεω μὲν Ἡλίῳ δόντος αὐτήν, ὅτε ἐδίκαζεν, Ἡλίου
δέ, ὡς οἱ Κορίνθιοί φασιν, Ἀφροδίτῃ παρέντος, ἐς δὴ
τὸν Ἀκροκόρινθον τοῦτον ἀνιοῦσίν ἐστιν Ἴσιδος τεμένη,
ὧν τὴν μὲν Πελαγίαν τὴν δὲ Αἰγυπτίαν αὐτῶν ἐπονομά-
ζουσιν, καὶ δύο Σαράπιδος, ἐν Κανώβῳ καλουμένου τὸ
ἕτερον. μετὰ δὲ αὐτὰ Ἡλίῳ πεποίηνται βωμοί, καὶ
Ἀνάγκης καὶ Βίας ἐστὶν ἱερόν· ἐσιέναι δὲ ἐς αὐτὸ οὐ
νομίζουσιν. ὑπὲρ τοῦτο Μητρὸς θεῶν ναός ἐστι [καὶ 7
στήλη] καὶ θρόνος· λίθων καὶ αὐτὴ καὶ ὁ θρόνος. ὁ δὲ
τῶν Μοιρῶν καὶ ὁ Δήμητρος καὶ Κόρης οὐ φανερὰ
ἔχουσι τὰ ἀγάλματα. ταύτῃ καὶ τὸ τῆς Βουναίας ἐστὶν
Ἥρας ἱερόν, ἱδρυσαμένου Βούνου τοῦ Ἑρμοῦ· καὶ δι'
αὐτὸ ἡ θεὸς καλεῖται Βουναία.

V. Ἀνελθοῦσι δὲ ἐς τὸν Ἀκροκόρινθον ναός ἐστιν
Ἀφροδίτης· ἀγάλματα δὲ αὐτή τε ὡπλισμένη καὶ Ἥλιος
καὶ Ἔρως ἔχων τόξον. τὴν δὲ πηγήν, ἥ ἐστιν ὄπισθεν
τοῦ ναοῦ, δῶρον μὲν Ἀσωποῦ λέγουσιν εἶναι, δοθῆναι
δὲ Σισύφῳ· τοῦτον γὰρ εἰδότα ὡς εἴη Ζεὺς ἡρπακὼς
Αἴγιναν θυγατέρα Ἀσωποῦ, μὴ πρότερον φάναι ζη-

τοῦντι μηνύσειν πρὶν ἤ οἱ καὶ ἐν Ἀκροκορίνθῳ γένοιτο 122
ὕδωρ. δόντος δὲ Ἀσωποῦ μηνύει τε οὕτως, καὶ ἀντὶ τοῦ
μηνύματος δίκην, ὅτῳ πιστά, ἐν Ἅιδου δίδωσιν. ἤκουσα
δὲ ἤδη τὴν Πειρήνην φαμένων εἶναι ταύτην, καὶ τὸ ὕδωρ
2 αὐτόθεν ὑπορρεῖν τὸ ἐν τῇ πόλει. 2. Ὁ δὲ Ἀσωπὸς οὗ-
τος ἄρχεται μὲν ἐκ τῆς Φλιασίας, ῥέων δὲ διὰ τῆς Σικυω-
νίας ἐκδίδωσιν ἐς τὴν ταύτῃ θάλασσαν. θυγατέρας δὲ
αὐτοῦ γενέσθαι Φλιάσιοί φασι Κόρκυραν καὶ Αἴγιναν
καὶ Θήβην· ἀπὸ μὲν δὴ Κορκύρας καὶ Αἰγίνης τὰς νή-
σους Σχερίαν καὶ Οἰνώνην καλουμένας μετονομασθῆ-
ναι, ἀπὸ δὲ Θήβης τὴν ὑπὸ τῇ Καδμείᾳ κληθῆναι. Θη-
βαῖοι δὲ οὐχ ὁμολογοῦσι, φάμενοι τοῦ Βοιωτίου τὴν
3 Θήβην Ἀσωποῦ καὶ οὐ τοῦ παρὰ Φλιασίοις εἶναι. τὰ δὲ
ἄλλα ἐς τὸν ποταμὸν Φλιάσιοι καὶ Σικυώνιοι λέγουσι,
τὸ ὕδωρ ἔπηλυ καὶ οὐκ ἐγχώριον εἶναί οἱ· Μαίανδρον
γὰρ κατιόντα ἐκ Κελαινῶν διὰ Φρυγίας καὶ Καρίας καὶ
ἐκδιδόντα ἐς τὴν πρὸς Μιλήτῳ θάλασσαν ἐς Πελοπόννη-
σον ἔρχεσθαι καὶ ποιεῖν τὸν Ἀσωπόν. οἶδα δὲ καὶ Δη-
λίων τοιοῦτο ἀκούσας ἕτερον, ὕδωρ ὃ καλοῦσιν Ἰνωπὸν
εἶναί σφισιν ἐκ τοῦ Νείλου. καὶ δὴ καὶ αὐτὸν ἔχει τὸν
Νεῖλον λόγος Εὐφράτην ὄντα ἐς ἕλος ἀφανίζεσθαι καὶ
αὖθις ἀνιόντα ὑπὲρ Αἰθιοπίας Νεῖλον γίνεσθαι. Ἀσω-
4 ποῦ μὲν πέρι τοιαῦτα ἤκουσα. 3. Ἐκ δὲ τοῦ Ἀκροκορίν-
θου τραπεῖσι τὴν ὀρεινὴν πύλη τέ ἐστιν ἡ Τενεατικὴ καὶ
Εἰληθυίας ἱερόν· ἑξήκοντα δὲ ἀπέχει μάλιστα στάδια ἡ
καλουμένη Τενέα. οἱ δὲ ἄνθρωποί φασιν οἱ ταύτῃ Τρῶες
εἶναι, αἰχμάλωτοι δὲ ὑπὸ Ἑλλήνων ἐκ Τενέδου γενόμε-
νοι ἐνταῦθα Ἀγαμέμνονος δόντος οἰκῆσαι· καὶ διὰ τοῦτο
θεῶν μάλιστα Ἀπόλλωνα τιμῶσιν.
5 4. Ἐκ Κορίνθου δὲ οὐκ ἐς μεσόγαιαν ἀλλὰ τὴν ἐπὶ
Σικυῶνα ἰοῦσι ναὸς ἐμπεπρησμένος ἐστὶν οὐ πόρρω τῆς
πόλεως, ἐν ἀριστερᾷ δὲ τῆς ὁδοῦ. γεγόνασι μὲν δὴ καὶ 123

ἄλλοι πόλεμοι περὶ τὴν Κορινθίαν, καὶ πῦρ ἐπέλαβεν, ὡς τὸ εἰκός, καὶ οἰκίας καὶ ἱερὰ τὰ ἔξω τείχους· αλλὰ τοῦτόν γε τὸν ναὸν Ἀπόλλωνος εἶναι λέγουσι, καὶ ὅτι Πύρρος κατακαύσειεν ὁ Ἀχιλλέως αὐτόν. χρόνῳ δὲ ὕστερον ἤκουσα καὶ ἄλλο τοιόνδε, ὡς οἱ Κορίνθιοι Διὶ ποιήσαιντο Ὀλυμπίῳ τὸν ναόν, καὶ ὡς ἐξαίφνης πῦρ ποθὲν ἐμπεσὸν διαφθείρειεν αὐτόν. 5. Σικυώνιοι δέ, οὗτοι γὰρ 6
ταύτῃ Κορινθίοις εἰσὶν ὅμοροι, περὶ τῆς χώρας τῆς σφετέρας λέγουσιν ὡς Αἰγιαλεὺς αὐτόχθων πρῶτος ἐν αὐτῇ γένοιτο, καὶ Πελοποννήσου δὲ ὅσον ἔτι καλεῖται καὶ νῦν Αἰγιαλός, ἀπ' ἐκείνου βασιλεύοντος ὀνομασθῆναι, καὶ Αἰγιάλειαν αὐτὸν οἰκίσαι πρῶτον ἐν τῷ πεδίῳ πόλιν· οὗ δέ ἐστι νῦν σφίσι τὸ ἱερὸν τῆς Ἀθηνᾶς, ἀκρόπολιν τοῦτο εἶναι. Αἰγιαλέως δὲ Εὔρωπα γενέσθαι φασίν, Εὔρωπος δὲ Τελχῖνα, Τελχῖνος δὲ Ἆπιν. οὗτος ὁ Ἆπις ἐς 7
τοσόνδε ηὐξήθη δυνάμεως πρὶν ἢ Πέλοπα ἐς Ὀλυμπίαν ἀφικέσθαι, ὡς τὴν ἐντὸς Ἰσθμοῦ χώραν Ἀπίαν ἀπ' ἐκείνου καλεῖσθαι. Ἄπιδος δὲ ἦν Θελξίων, Θελξίονος δὲ Αἴγυρος, τοῦ δὲ Θουρίμαχος, Θουριμάχου δὲ Λεύκιππος· Λευκίππῳ δὲ ἄρρενες παῖδες οὐκ ἐγένοντο, θυγάτηρ δὲ Καλχινία. ταύτῃ τῇ Καλχινίᾳ Ποσειδῶνα συγγενέσθαι φασί, καὶ τὸν τεχθέντα ὑπ' αὐτῆς ἔθρεψεν ὁ Λεύκιππος, καὶ τελευτῶν παρέδωκέν οἱ τὴν ἀρχήν· ὄνομα δὲ ἦν Πέρατος τῷ παιδί. τὰ δὲ ἐς Πλημναῖον τὸν Περάτου μά- 8
λιστα ἐφαίνετό μοι θαύματος ἄξια· τὰ γάρ οἱ τικτόμενα ὑπὸ τῆς γυναικὸς αὐτίκα ὁπότε πρῶτον κλαύσειεν ἠφίει τὴν ψυχήν, ἐς ὃ Δημήτηρ ἔλεον ἴσχει Πλημναίου, παραγενομένη δὲ ἐς τὴν Αἰγιάλειαν ὡς δὴ γυνὴ ξένη Πλημναίῳ παῖδα ἀνέθρεψεν Ὀρθόπολιν. Ὀρθοπόλιδι δὲ θυγάτηρ γίνεται Χρυσόρθη· ταύτην τεκεῖν νομίζουσιν ἐξ Ἀπόλλωνος, καὶ ὁ παῖς ὠνομάσθη

Κόρωνος. Κορώνου δὲ γίνονται Κόραξ καὶ νεώτερος
Λαμέδων.

VI. Κόρακος δὲ ἀποθανόντος ἄπαιδος, ὑπὸ τοῦτον 12
τὸν καιρὸν Ἐπωπεὺς ἀφικόμενος ἐκ Θεσσαλίας ἔσχε τὴν
ἀρχήν. ἐπὶ τούτου βασιλεύοντος στρατόν σφισι πολέμιον
λέγουσιν ἐς τὴν χώραν τότε ἐλθεῖν πρῶτον, τὰ πρὸ τοῦ
πάντα τὸν χρόνον διατελέσασιν ἐν εἰρήνῃ. 2. αἰτία δὲ
ἥδε. Ἀντιόπης ἐν Ἕλλησι τῆς Νυκτέως ὄνομα ἦν ἐπὶ
κάλλει, καί οἱ καὶ φήμη προσῆν Ἀσωποῦ θυγατέρα, ὃς
τὴν Θηβαΐδα καὶ Πλαταιίδα ὁρίζει, καὶ οὐ Νυκτέως εἶ-
2 ναι. ταύτην οὐκ οἶδα εἴτε γυναῖκα αἰτήσας εἴτε θρασύ-
τερα ἐξ ἀρχῆς βουλευσάμενος Ἐπωπεὺς ἁρπάζει. ὡς δὲ
οἱ Θηβαῖοι σὺν ὅπλοις ἦλθον, ἐνταῦθα τιτρώσκεται μὲν
Νυκτεύς, ἐτρώθη δὲ κρατῶν τῇ μάχῃ καὶ Ἐπωπεύς.
Νυκτέα μὲν δὴ κάμνοντα ὀπίσω κομίζουσιν ἐς Θήβας, καὶ
ὡς ἔμελλε τελευτᾶν, Λύκον ἀδελφὸν ὄντα παραδίδωσι
Θηβαίων ἐν τῷ παρόντι ἄρχειν· Λάβδακον γὰρ τὸν Πο-
λυδώρου τοῦ Κάδμου παῖδα ἔτι αὐτός τε ἐπετρόπευεν ὁ
Νυκτεύς, καὶ τότε ἀπέλιπεν ἐπιτροπεύειν ἐκείνῳ. τοῦ-
τον οὖν τὸν Λύκον ἱκέτευσε στρατῷ μείζονι ἐπὶ τὴν Αἰ-
γιάλειαν ἐλάσαντα τιμωρήσασθαι μὲν Ἐπωπέα, κακοῦν
3 δέ, εἰ λάβοι, καὶ αὐτὴν Ἀντιόπην. Ἐπωπεὺς δὲ τὸ μὲν
παραυτίκα ἐπινίκια ἔθυε καὶ Ἀθηνᾶς ᾠκοδόμει ναόν,
ἐπ' ἐξειργασμένῳ δὲ εὔξατο ἐνδείξασθαι τὴν θεὸν εἴ οἱ
τετελεσμένος ἐστὶν ὁ ναὸς κατὰ γνώμην· μετὰ δὲ τὴν
εὐχὴν ἔλαιον λέγουσι ῥυῆναι πρὸ τοῦ ναοῦ. Ὕστερον δὲ
καὶ Ἐπωπέα κατέλαβεν ἀποθανεῖν ὑπὸ τοῦ τραύματος
ἀμεληθέντος κατ' ἀρχάς, ὡς μηδὲν ἔτι Λύκῳ δεῆσαι πο-
λέμου· Λαμέδων γὰρ ὁ Κορώνου βασιλεύσας μετὰ Ἐπω-
πέα ἐξέδωκεν Ἀντιόπην. ἡ δὲ ὡς ἐς Θήβας ἤγετο τὴν ἐπ'
4 Ἐλευθερῶν, ἐνταῦθα καθ' ὁδὸν τίκτει. καὶ ἐπὶ τούτῳ
πεποίηκεν Ἄσιος ὁ Ἀμφιπτολέμου

*Ἀντιόπη δ' ἔτεκε Ζῆθον καὶ Ἀμφίονα δῖον,*
*Ἀσωποῦ κούρη ποταμοῦ βαθυδινήεντος,*
*Ζηνί τε κυσαμένη καὶ Ἐπωπέϊ ποιμένι λαῶν.*

*Ὅμηρος δὲ σφᾶς ἀνήγαγεν ἐπὶ τὸ σεμνότερον τοῦ γένους, καὶ Θήβας φησὶν οἰκίσαι πρώτους, ἀποκρίνων τὴν κάτω πόλιν, ἐμοὶ δοκεῖν, ἀπὸ τῆς Καδμείας. Λαμέδων* 5
*δὲ βασιλεύσας ἔγημεν ἐξ Ἀθηνῶν γυναῖκα Φηνὼ Κλυτίου· καὶ ὕστερον γενομένου οἱ πολέμου πρὸς Ἄρχανδρον καὶ Ἀρχιτέλην τοὺς Ἀχαιοῦ συμμαχήσοντα ἐπηγάγετο Σικυῶνα ἐκ τῆς Ἀττικῆς, καὶ θυγατέρα τε συνῴκισεν αὐτῷ Ζευξίππην, καὶ ἀπὸ τούτου βασιλεύσαντος ἡ γῆ Σικυωνία καὶ Σικυὼν ἀντὶ Αἰγιαλείας ἡ πόλις ὠνομάσθη.* 3. *Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν. ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος, ἐπεὶ Ἡσίοδός γε καὶ Ἴβυκος, ὁ μὲν ἐποίησεν ὡς Ἐρεχθέως εἴη Σικυών, Ἴβυκος δὲ εἶναι Πέλοπός φησιν αὐτόν. Σικυῶνος δὲ γίνεται Χθονοφύλη,* 6
*Χθονοφύλης δὲ καὶ Ἑρμοῦ Πόλυβον γενέσθαι λέγουσιν· ὕστερον δὲ αὐτὴν Φλίας ὁ Διονύσου γαμεῖ, καί οἱ παῖς Ἀνδροδάμας γίνεται. Πόλυβος δὲ Ταλαῷ τῷ Βίαντος βασιλεύοντι Ἀργείων Λυσιάνασσαν τὴν θυγατέρα ἔδωκε· καὶ ὅτε Ἄδραστος ἔφευγεν ἐξ Ἄργους, παρὰ Πόλυβον ἦλθεν ἐς Σικυῶνα καὶ ὕστερον ἀποθανόντος Πολύβου τὴν ἐν Σικυῶνι ἀρχὴν ἔσχεν. Ἀδράστου δὲ ἐς Ἄργος κατελθόντος Ἰανίσκος ἀπόγονος Κλυτίου τοῦ Λαμέδοντι κηδεύσαντος ἐλθὼν ἐκ τῆς Ἀττικῆς ἐβασίλευσεν, ἀποθανόντος δὲ Ἰανίσκου Φαῖστος τῶν Ἡρακλέους λεγόμενος παίδων καὶ οὗτος εἶναι. Φαίστου δὲ* 7
*κατὰ μαντείαν μετοικήσαντος ἐς Κρήτην βασιλεῦσαι λέγεται Ζεύξιππος Ἀπόλλωνος υἱὸς καὶ νύμφης Συλλίδος.* 4. *Μετὰ δὲ Ζεύξιππον τελευτήσαντα Ἀγαμέμνων στρατὸν ἤγαγεν ἐπὶ Σικυῶνα καὶ τὸν βασιλέα Ἱππόλυτον*

Ῥοπάλου παῖδα τοῦ Φαίστου· δείσας δὲ τὸν στρατὸν ἐπιόντα Ἱππόλυτος συνεχώρησεν Ἀγαμέμνονος κατήκοος καὶ Μυκηναίων εἶναι. Ἱππολύτου δὲ ἦν τούτου Λακε- 126
στάδης. Φάλκης δὲ ὁ Τημένου καταλαβὼν νύκτωρ Σικυῶνα σὺν Δωριεῦσι κακὸν μὲν ἅτε Ἡρακλείδην καὶ αὐτὸν ἐποίησεν οὐδέν, κοινωνὸν δὲ ἔσχε τῆς ἀρχῆς.

VII. Καὶ Δωριεῖς μὲν Σικυώνιοι γεγόνασιν ἀπὸ τούτου καὶ μοῖρα τῆς Ἀργείας· τὴν δὲ τοῦ Αἰγιαλέως ἐν τῷ πεδίῳ πόλιν Δημήτριος καθελὼν ὁ Ἀντιγόνου τῇ πάλαι ποτὲ ἀκροπόλει προσῴκισε τὴν νῦν πόλιν. ἐχόντων δὲ ἀσθενῶς ἤδη τῶν Σικυωνίων, αἰτίαν δὲ οὐκ ὀρθῶς ποιοῖ τις ἂν ζητῶν, ἀποχρῷτο δὲ τῷ Ὁμήρῳ λελεγμένῳ περὶ Διός,

ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα,

διακειμένοις οὖν ἀδυνάτως ἐπιγενόμενος σεισμὸς ὀλίγου τὴν πόλιν ἐποίησεν ἀνδρῶν ἔρημον, πολλὰ δὲ σφᾶς καὶ τῶν ἐς ἐπίδειξιν ἀφείλετο. ἐκάκωσε δὲ καὶ περὶ Καρίαν καὶ Λυκίαν τὰς πόλεις, καὶ Ῥοδίοις ἐσείσθη μάλιστα ἡ νῆσος, ὥστε καὶ τὸ λόγιον τετελέσθαι Σιβύλλῃ τὸ ἐς τὴν Ῥόδον ἔδοξεν.

2 2. Ἐκ δὲ τῆς Κορινθίας ἐλθοῦσιν ἐς τὴν Σικυωνίαν Λύκου Μεσσηνίου μνῆμά ἐστιν, ὅστις δὴ οὗτος ὁ Λύκος· οὐ γάρ τινα Λύκον εὑρίσκω Μεσσήνιον ἀσκήσαντα πένταθλον οὐδὲ Ὀλυμπικὴν ἀνῃρημένον νίκην. τοῦτο μὲν δὴ χῶμά ἐστι γῆς, 3. αὐτοὶ δὲ Σικυώνιοι τὰ πολλὰ ἐοικότι τρόπῳ θάπτουσι. τὸ μὲν σῶμα γῇ κρύπτουσι, λίθου δὲ ἐποικοδομήσαντες κρηπῖδα κίονας ἐφιστᾶσι, καὶ ἐπ' αὐτοῖς ἐπίθημα ποιοῦσι κατὰ τοὺς ἀετοὺς μάλιστα τοὺς ἐν τοῖς ναοῖς· ἐπίγραμμα δὲ ἄλλο μὲν ἐπιγράφουσιν οὐδέν, 127
τὸ δὲ ὄνομα ἐφ' αὑτοῦ καὶ οὐ πατρόθεν ὑπειπόντες κε-
3 λεύουσι τὸν νεκρὸν χαίρειν. 4. Μετὰ δὲ τὸ μνῆμα τοῦ Λύκου διαβεβηκόσιν ἤδη τὸν Ἀσωπόν ἐστιν ἐν δεξιᾷ τὸ

Ὀλύμπιον, ὀλίγον δὲ ἔμπροσθεν ἐν ἀριστερᾷ τῆς ὁδοῦ τάφος Εὐπόλιδι Ἀθηναίῳ ποιήσαντι κωμῳδίαν. προελθοῦσι δὲ καὶ ἐπιστρέψασιν ὡς ἐπὶ τὴν πόλιν Ξενοδίκης μνῆμά ἐστιν ἀποθανούσης ἐν ὠδῖσι· πεποίηται δὲ οὐ κατὰ τὸν ἐπιχώριον τρόπον, ἀλλ' ὡς ἂν τῇ γραφῇ μάλιστα ἁρμόζοι· γραφὴ δέ, εἴπερ ἄλλη τις, καὶ αὕτη ἐστὶ θέας ἀξία. προελθοῦσι δὲ ἐντεῦθεν τάφος Σικυωνίοις 4
ἐστίν, ὅσοι περὶ Πελλήνην καὶ Δύμην τὴν Ἀχαιῶν καὶ ἐν Μεγάλῃ πόλει καὶ περὶ Σελλασίαν ἐτελεύτησαν· τὰ δὲ ἐς αὐτοὺς σαφέστερον ἐν τοῖς ἐφεξῆς δηλώσω. πρὸς δὲ τῇ πύλῃ πηγή ἐστί σφισιν ἐν σπηλαίῳ, ἧς τὸ ὕδωρ οὐκ ἄνεισιν ἐκ γῆς, ἐπιρρεῖ δὲ ἐκ τοῦ ὀρόφου τοῦ σπηλαίου· καὶ καλεῖται δι' αὐτὸ Στάζουσα ἡ πηγή.

5. Ἐν δὲ τῇ νῦν ἀκροπόλει Τύχης ἱερόν ἐστιν 5
Ἀκραίας, μετὰ δὲ αὐτὸ Διοσκούρων· ξόανα δὲ οὗτοί τε καὶ τὸ ἄγαλμα τῆς Τύχης ἐστί. τοῦ θεάτρου δὲ ὑπὸ τὴν ἀκρόπολιν ᾠκοδομημένου τὸν ἐν τῇ σκηνῇ πεποιημένον ἄνδρα ἀσπίδα ἔχοντα Ἄρατόν φασιν εἶναι τὸν Κλεινίου. 6. μετὰ δὲ τὸ θέατρον Διονύσου ναός ἐστι· χρυσοῦ μὲν καὶ ἐλέφαντος ὁ θεός, παρὰ δὲ αὐτὸν Βάκχαι λίθου λευκοῦ. ταύτας τὰς γυναῖκας ἱερὰς εἶναι καὶ Διονύσῳ μαίνεσθαι λέγουσιν. ἄλλα δὲ ἀγάλματα ἐν ἀπορρήτῳ Σικυωνίοις ἐστί· ταῦτα μιᾷ καθ' ἕκαστον ἔτος νυκτὶ ἐς τὸ Διονύσιον ἐκ τοῦ καλουμένου Κοσμητηρίου κομίζουσι, κομίζουσι δὲ μετὰ δᾴδων τε ἡμμένων καὶ ὕμνων ἐπιχωρίων. ἡγεῖται μὲν οὖν ὃν Βάκχειον ὀνομάζουσιν, Ἀν- 6
δροδάμας σφίσιν ὁ Φλίαντος τοῦτον ἱδρύσατο, ἕπεται δὲ ὁ καλούμενος Λύσιος, ὃν Θηβαῖος Φάνης εἰπούσης τῆς Πυθίας ἐκόμισεν ἐκ Θηβῶν. ἐς δὲ Σικυῶνα ἦλθεν ὁ Φάνης, ὅτε Ἀριστόμαχος ὁ Κλεοδαίου τῆς γενομένης μαν-
128 τείας ἁμαρτὼν δι' αὐτὸ καὶ καθόδου τῆς ἐς Πελοπόννησον ἥμαρτεν. ἐκ δὲ τοῦ Διονυσίου βαδίζουσιν ἐς τὴν

ἀγοράν ἐστι ναὸς Ἀρτέμιδος ἐν δεξιᾷ Λιμναίας. καὶ ὅτι
μὲν κατερρύηκεν ὁ ὄροφος, δῆλά ἐστιν ἰδόντι· περὶ δὲ
τοῦ ἀγάλματος οὔτε ὡς κομισθέντος ἑτέρωσε, οὔτε ὅν-
τινα αὐτοῦ διεφθάρη τρόπον, εἰπεῖν ἔχουσιν.
7 7. Ἐς δὲ τὴν ἀγορὰν ἐσελθοῦσι Πειθοῦς ἐστὶν ἱερόν,
οὐδὲ τοῦτο ἄγαλμα ἔχον. Πειθὼ δὲ ἐπὶ λόγῳ τοιῷδε αὐ-
τοῖς κατέστη σέβεσθαι. Ἀπόλλων καὶ Ἄρτεμις ἀποκτεί-
ναντες Πύθωνα παρεγένοντο ἐς τὴν Αἰγιάλειαν καθαρ-
σίων ἕνεκα. γενομένου δέ σφισι δείματος ἔνθα καὶ νῦν
Φόβον ὀνομάζουσι τὸ χωρίον, οἱ μὲν ἐς Κρήτην παρὰ
Καρμάνορα ἀπετράποντο, τοὺς δὲ ἀνθρώπους τοὺς ἐν
τῇ Αἰγιαλείᾳ νόσος ἐπέλαβε· καὶ σφᾶς ἐκέλευον οἱ μάν-
8 τεις Ἀπόλλωνα ἱλάσασθαι καὶ Ἄρτεμιν. οἱ δὲ παῖδας
ἑπτὰ καὶ ἴσας παρθένους ἐπὶ τὸν Σύθαν ποταμὸν ἀπο-
στέλλουσιν ἱκετεύοντας· ὑπὸ τούτων δὲ πεισθέντας τοὺς
θεούς φασιν ἐς τὴν τότε ἀκρόπολιν ἐλθεῖν, καὶ ὁ τόπος
ἔνθα πρῶτον ἀφίκοντο Πειθοῦς ἐστὶν ἱερόν. τούτοις δὲ
ἐοικότα καὶ νῦν ἔτι ποιεῖται· καὶ γὰρ ἐπὶ τὸν Σύθαν
ἴασιν οἱ παῖδες τῇ ἑορτῇ τοῦ Ἀπόλλωνος, καὶ ἀγαγόντες
δὴ τοὺς θεοὺς ἐς τὸ τῆς Πειθοῦς ἱερὸν αὖθις ἀπάγειν ἐς
τὸν ναόν φασι τοῦ Ἀπόλλωνος. ὁ δὲ ναὸς ἔστι μὲν ἐν τῇ
νῦν ἀγορᾷ, τὸ δὲ ἐξ ἀρχῆς λέγουσιν αὐτὸν ὑπὸ Προίτου
ποιηθῆναι· τὰς γάρ οἱ θυγατέρας ἐνταῦθα τῆς μανίας
9 παύσασθαι. 8. λέγουσι δὲ καὶ τάδε, ὡς Μελέαγρος ἐς
τοῦτον τὸν ναὸν ἀνέθηκε τὴν λόγχην ᾗ τὸν ὗν κατειργά-
σατο. καὶ αὐλοὺς ἀνατεθῆναί φασιν ἐνταῦθα τοὺς Μαρ-
σύου· γενομένης γὰρ τῷ Σιληνῷ τῆς συμφορᾶς τὸν πο-
ταμὸν τὸν Μαρσύαν κατενεγκεῖν αὐτοὺς ἐς τὸν Μαίαν-
δρον, ἀναφανέντας δὲ ἐν τῷ Ἀσωπῷ καὶ κατὰ τὴν Σι-
κυωνίαν ἐκπεσόντας ὑπὸ ποιμένος τοῦ εὑρόντος δοθῆναι
τῷ Ἀπόλλωνι. τούτων τῶν ἀναθημάτων οὐδὲν ἔτι ἐλεί-

πετο· συγκατεκαύθη γὰρ ἐμπιπραμένῳ τῷ ναῷ. τὸν δὲ ἐπ' ἐμοῦ ναὸν καὶ τὸ ἄγαλμα Πυθοκλῆς ἀνέθηκεν.

129 VIII. Τῷ δὲ τῆς Πειθοῦς ἱερῷ τὸ ἐγγὺς τέμενος ἀνειμένον βασιλεῦσι Ῥωμαίων οἰκία ποτὲ ἦν Κλέωνος τυράννου· Κλεισθένης μὲν γὰρ ὁ Ἀριστωνύμου τοῦ Μύρωνος ἐχόντων ἔτι τὴν κάτω πόλιν Σικυωνίων ἐτυράννησε, Κλέων δὲ ἐν τῇ νῦν πόλει. 2. πρὸ ταύτης τῆς οἰκίας ἡρῷόν ἐστιν Ἀράτου μέγιστα Ἑλλήνων ἐργασαμένου τῶν ἐφ' αὐτοῦ· ἔχει δὲ ὧδε τὰ ἐς αὐτόν. μετὰ Κλέωνα 2
μοναρχήσαντα ἐνέπεσε τῶν ἐν τέλει πολλοῖς ἐπιθυμία τυραννίδος οὕτω δή τι ἀκάθεκτος, ὡς καὶ ἄνδρας δύο Εὐθύδημον καὶ Τιμοκλείδαν ὁμοῦ τυραννῆσαι. τούτους μὲν οὖν ἐξέβαλεν ὁ δῆμος, Κλεινίαν τὸν πατέρα Ἀράτου προστησάμενος· ἔτεσι δὲ ὕστερον οὐ πολλοῖς ἐτυράννησεν Ἀβαντίδας. Κλεινίᾳ μὲν οὖν συνεβεβήκει πρότερον ἔτι ἡ τελευτή· Ἄρατον δὲ Ἀβαντίδας φυγάδα ἐποίησεν, ἢ καὶ αὐτὸς ἀπεχώρησεν Ἄρατος ἐθελοντής. Ἀβαντίδαν μὲν οὖν κτείνουσιν ἄνδρες τῶν ἐπιχωρίων, τύραννος δὲ αὐτίκα ἐγεγόνει ὁ Ἀβαντίδου πατὴρ Πασέας· Νικοκλῆς 3
δὲ ἐκεῖνον ἀνελὼν ἐτυράννησεν αὐτός. ἐπὶ τοῦτον τὸν Νικοκλέα Ἄρατος ἀφικόμενος Σικυωνίων φυγάσι καὶ Ἀργείοις μισθωτοῖς τοὺς μὲν ἔλαθεν ἅτε ἐν σκότῳ, νύκτωρ γὰρ δὴ τὴν ἐπιχείρησιν ἐποιεῖτο, τοὺς δὲ καὶ βιασάμενος τῶν φυλασσόντων ἐγένετο ἐντὸς τείχους· καί, ὑπέφαινε γὰρ ἕως ἤδη, προσλαβὼν τὸν δῆμον ἐπὶ τὴν οἰκίαν σπουδῇ τὴν τυραννικὴν τρέπεται. καὶ ταύτην μὲν εἷλεν οὐ χαλεπῶς, ὁ δὲ Νικοκλῆς αὐτὸς ἔλαθεν ἀποδράς. Σικυωνίοις δὲ ἀπέδωκεν Ἄρατος ἐξ ἴσου πολιτεύεσθαι διαλλάξας τοῖς φεύγουσιν, οἰκίας μὲν φυγάσι καὶ ὅσα τῶν κτημάτων ἄλλα ἐπέπρατο ἀποδούς, τιμὴν δὲ τοῖς πριαμένοις διέλυσεν αὐτός. καί, ἦν γὰρ δέος τοῖς πᾶσιν 4
Ἕλλησι Μακεδόνων καὶ Ἀντιγόνου Φίλιππον ἐπιτροπεύ-

οντος τὸν Δημητρίου, τοῦδε ἕνεκα τοὺς Σικυωνίους ἐς
τὸ Ἀχαιῶν συνέδριον ἐσήγαγε Δωριεῖς ὄντας. αὐτίκα δὲ 1
στρατηγὸς ὑπὸ τῶν Ἀχαιῶν ᾕρητο, καὶ σφᾶς ἐπὶ Λο-
κροὺς τοὺς Ἀμφισσέας ἀγαγὼν καὶ ἐς τὴν Αἰτωλῶν πο-
λεμίων ὄντων τὴν γῆν ἐπόρθησε. 4. Κόρινθον δὲ ἔχον-
τος Ἀντιγόνου καὶ φρουρᾶς Μακεδόνων ἐνούσης, τοὺς
Μακεδόνας τῷ αἰφνιδίῳ τῆς ἐπιθέσεως κατέπληξε, καὶ
ἄλλους τε κρατήσας μάχῃ διέφθειρε καὶ Περσαῖον ἐπὶ τῇ
φρουρᾷ τεταγμένον, ὃς παρὰ Ζήνωνα τὸν Μνασέου κατὰ
5 μάθησιν σοφίας ἐφοίτησεν. ἐλευθερώσαντος δὲ Ἀράτου
Κόρινθον προσεχώρησαν μὲν ἐς τὸ συνέδριον Ἐπιδαύ-
ριοι καὶ Τροιζήνιοι οἱ τὴν Ἀργολίδα Ἀκτὴν οἰκοῦντες
καὶ τῶν ἐκτὸς Ἰσθμοῦ Μεγαρεῖς, συμμαχίαν δὲ πρὸς
Ἀχαιοὺς Πτολεμαῖος ἐποιήσατο. Λακεδαιμόνιοι δὲ καὶ
Ἆγις ὁ Εὐδαμίδου βασιλεὺς ἔφθησαν μὲν Πελλήνην
ἑλόντες ἐξ ἐπιδρομῆς, ἥκοντι δὲ Ἀράτῳ καὶ τῇ στρατιᾷ
συμβαλόντες ἐκρατήθησαν καὶ τὴν Πελλήνην ἐκλιπόντες
6 ἀναχωροῦσιν οἴκαδε ὑπόσπονδοι. 5. Ἄρατος δέ, ὥς οἱ
τὰ ἐν Πελοποννήσῳ προεκεχωρήκει, δεινὸν ἡγεῖτο Πει-
ραιᾶ καὶ Μουνυχίαν, ἔτι δὲ Σαλαμῖνα καὶ Σούνιον ἐχό-
μενα ὑπὸ Μακεδόνων περιοφθῆναι, καί, οὐ γὰρ ἤλπιζε
δύνασθαι πρὸς βίαν αὐτὰ ἐξελεῖν, Διογένην πείθει τῶν
ἐν τοῖς φρουρίοις ἄρχοντα ἀφεῖναι τὰ χωρία ἐπὶ ταλάν-
τοις πεντήκοντα καὶ ἑκατόν, καὶ τῶν χρημάτων συν-
ετέλεσεν αὐτὸς Ἀθηναίοις ἕκτον μέρος. ἔπεισε δὲ καὶ
Ἀριστόμαχον τυραννοῦντα ἐν Ἄργει δημοκρατίαν ἀπο-
δόντα Ἀργείοις ἐς τὸ Ἀχαϊκὸν συντελεῖν, Μαντίνειάν τε
Λακεδαιμονίων ἐχόντων εἷλεν. ἀλλὰ γὰρ οὐ πάντα ἀν-
θρώπῳ τελεῖται κατὰ γνώμην, εἰ δὴ καὶ Ἄρατον κατ-
έλαβεν ἀνάγκη γενέσθαι Μακεδόνων καὶ Ἀντιγόνου
σύμμαχον. ἐγένετο δὲ οὕτως.

IX. Κλεομένης ὁ Λεωνίδου τοῦ Κλεωνύμου, παρα- 131

λαβὼν τὴν βασιλείαν ἐν Σπάρτῃ, Παυσανίαν ἐμιμεῖτο τυραννίδος τε ἐπιθυμῶν καὶ νόμοις τοῖς καθεστηκόσιν οὐκ ἀρεσκόμενος. ἅτε δὲ ὄντι αὐτῷ Παυσανίου θερμοτέρῳ καὶ οὐ φιλοψύχῳ ταχὺ τὰ πάντα ὑπὸ φρονήματος καὶ τόλμης κατείργαστο, καὶ βασιλέα τε οἰκίας τῆς ἑτέρας Εὐρυδαμίδαν παῖδα ἔτι ἀνελὼν φαρμάκῳ, διὰ τῶν ἐφορευόντων ἐς Ἐπικλείδαν τὸν ἀδελφὸν μετέστησε τὴν ἀρχήν, καὶ τὸ κράτος τῆς γερουσίας καταλύσας Πατρονόμους τῷ λόγῳ κατέστησεν ἀντ' αὐτῶν. ἐπιθυμῶν δὲ πραγμάτων μειζόνων καὶ ἀρχῆς τῶν Ἑλλήνων, ἐπέθετο Ἀχαιοῖς πρώτοις, συμμάχους ἐλπίζων ἕξειν, ἢν κρατήσῃ, καὶ μάλιστα ἐμποδὼν οὐκ ἐθέλων εἶναί οἱ τοῖς δρωμένοις. συμβαλὼν δὲ περὶ Δύμην τὴν ὑπὲρ Πατρῶν, Ἀρά- 2
του καὶ τότε ἡγουμένου τῶν Ἀχαιῶν, νικᾷ τῇ μάχῃ. 2. τοῦτο Ἄρατον ἠνάγκασεν ὑπέρ τε Ἀχαιῶν καὶ αὐτῆς Σικυῶνος δείσαντα Ἀντίγονον ἐπάγεσθαι. Κλεομένους δὲ παραβάντος ἣν πρὸς Ἀντίγονον συνέθετο εἰρήνην, καὶ παράσπονδα ἐκ τοῦ φανεροῦ καὶ ἄλλα δράσαντος καὶ Μεγαλοπολίτας ποιήσαντος ἀναστάτους, οὕτω διαβάντος ἐς Πελοπόννησον Ἀντιγόνου συμβάλλουσιν Ἀχαιοὶ Κλεομένει περὶ Σελλασίαν. νικησάντων δὲ τῶν Ἀχαιῶν Σελλασία τε ἠνδραποδίσθη καὶ αὐτὴ Λακεδαίμων ἑάλω. Λακεδαιμονίοις μὲν οὖν ἀπέδωκεν Ἀντίγο-
132 νος καὶ Ἀχαιοὶ πολιτείαν τὴν πάτριον· τῶν δὲ Λεωνίδου 3
παίδων Ἐπικλείδας μὲν ἀπέθανεν ἐν τῇ μάχῃ, Κλεομένην δὲ φεύγοντα ἐς Αἴγυπτον καὶ τιμῆς παρὰ Πτολεμαίῳ (τὰ) πρῶτα ἔχοντα συνέβη δεθῆναι καταγνωσθέντα Αἰγυπτίων ἄνδρας ἐπὶ τὸν βασιλέα συνιστάναι. καὶ ἀπέδρα μὲν ἐκ τοῦ δεσμωτηρίου, καὶ τοῖς Ἀλεξανδρεῦσιν ἀρχὴν θορύβου παρέσχε· τέλος δέ, ὡς ἡλίσκετο, ἀπέσφαξεν αὑτόν. Λακεδαιμόνιοι δὲ ἄσμενοι Κλεομένους ἀπαλλαγέντες βασιλεύεσθαι μὲν οὐκέτι ἠξίωσαν, τὰ δὲ λοιπὰ

καὶ ἐς τόδε διαμένει σφίσιν ἐκείνης τῆς πολιτείας. Ἀρά-
τῳ δὲ Ἀντίγονος, ἅτε ἀνδρὶ εὐεργέτῃ καὶ συγκατειργα-
4 σμένῳ λαμπρὰ οὕτω, διέμεινεν εὔνους. 4. Φίλιππος
δὲ ὡς παρέλαβε τὴν ἀρχήν, οὐ γὰρ αὐτὸν Ἄρατος θυμῷ
πολλὰ ἐς τοὺς ἀρχομένους χρώμενον ἐπῄνει, τὰ δὲ καὶ
ὡρμημένον ἐπεῖχε μὴ ποιεῖν, τούτων ἕνεκεν ἀπέκτεινεν
Ἄρατον, οὐδὲν προϊδομένῳ δούς οἱ φάρμακον. καὶ τὸν
μὲν ἐξ Αἰγίου, ταύτῃ γὰρ τὸ χρεὼν ἐπέλαβεν αὐτόν, ἐς
Σικυῶνα κομίσαντες θάπτουσι, καὶ τὸ ἡρῷον Ἀράτειον
ἔτι ὀνομάζεται· Φιλίππῳ δὲ καὶ ἐς Εὐρυκλείδην καὶ Μί-
κωνα Ἀθηναίους ὅμοια εἰργάσθη· καὶ γὰρ τούσδε ὄντας
ῥήτορας καὶ οὐκ ἀπιθάνους τῷ δήμῳ φαρμάκοις ἔκτεινεν.
5 5. ἔμελλε δὲ ἄρα καὶ αὐτῷ Φιλίππῳ τὸ ἀνδροφόνον φάρ-
μακον ἔσεσθαι συμφορά· τὸν γάρ οἱ παῖδα Δημήτριον ὁ
νεώτερος τῶν Φιλίππου παίδων Περσεὺς φαρμάκῳ διέ-
φθειρε, καὶ δι' αὐτὸ καὶ τῷ πατρὶ ἀθυμήσαντι παρέσχεν
αἰτίαν ἀποθανεῖν. παρεδήλωσα δὲ τάδε ἀπιδὼν ἐς τὸ
Ἡσιόδου σὺν θεῷ πεποιημένον, τὸν ἐπ' ἄλλον βουλεύ-
οντα ἄδικα ἐς αὐτὸν πρῶτον τρέπειν.

6 6. Μετὰ δὲ τὸ Ἀράτου ἡρῷον ἔστι μὲν Ποσειδῶνι
Ἰσθμίῳ βωμός, ἔστι δὲ Ζεὺς Μειλίχιος καὶ Ἄρτεμις ὀνο-
μαζομένη Πατρῴα, σὺν τέχνῃ πεποιημένα οὐδεμιᾷ·
πυραμίδι δὲ ὁ Μειλίχιος, ἡ δὲ κίονί ἐστιν εἰκασμένη. ἐν- 133
ταῦθα καὶ βουλευτήριόν σφισι πεποίηται, καὶ στοὰ κα-
λουμένη Κλεισθένειος ἀπὸ τοῦ οἰκοδομήσαντος· ᾠκοδό-
μησε δὲ ἀπὸ λαφύρων ὁ Κλεισθένης αὐτὴν τὸν πρὸς
Κίρραν πόλεμον συμπολεμήσας Ἀμφικτυόσι. τῆς δὲ
ἀγορᾶς ἐστιν ἐν τῷ ὑπαίθρῳ Ζεὺς χαλκοῦς, τέχνη Λυ-
7 σίππου, παρὰ δὲ αὐτὸν Ἄρτεμις ἐπίχρυσος. 7. πλησίον
δὲ Ἀπόλλωνός ἐστιν ἱερὸν Λυκίου, κατερρυηκός τε ἤδη
καὶ ἥκιστα θέας ἄξιον. φοιτώντων γὰρ λύκων σφίσιν
ἐπὶ τὰς ποίμνας ὡς μηδένα εἶναι καρπὸν ἔτι ἀπ' αὐτῶν,

ὁ θεὸς τόπον τινὰ εἰπὼν ἔνθα ἔκειτο αὖον ξύλον, τούτου φλοιὸν ἔχρησε τοῦ ξύλου καὶ κρέας ὁμοῦ προθεῖναι τοῖς θηρίοις. καὶ τοὺς μὲν αὐτίκα, ὡς ἐγεύσαντο, διέφθειρεν ὁ φλοιός· τὸ ξύλον δὲ ἐκεῖνο ἔκειτο μὲν ἐν τῷ ἱερῷ τοῦ Λυκίου, ὅ τι δὲ ἦν δένδρον, οὐδὲ οἱ τῶν Σικυωνίων ἐξηγηταὶ συνίεσαν. τούτου δέ εἰσιν εἰκόνες 8
ἐφεξῆς χαλκαῖ· τὰς Προίτου θυγατέρας λέγουσιν εἶναι σφᾶς, τὸ δὲ ἐπίγραμμα ἐς γυναῖκας ἄλλας εἶχεν. ἐνταῦθα Ἡρακλῆς χαλκοῦς ἐστί· Λύσιππος ἐποίησεν αὐτὸν Σικυώνιος. καὶ πλησίον Ἑρμῆς ἕστηκεν Ἀγοραῖος.

X. Ἐν δὲ τῷ γυμνασίῳ τῆς ἀγορᾶς ὄντι οὐ μακρὰν Ἡρακλῆς ἀνάκειται λίθου, Σκόπα ποίημα. ἔστι δὲ καὶ ἑτέρωθι ἱερὸν Ἡρακλέους· τὸν μὲν πάντα ἐνταῦθα περίβολον Παιδιζὴν ὀνομάζουσιν, ἐν μέσῳ δέ ἐστι τῷ περιβόλῳ τὸ ἱερόν, ἐν δὲ αὐτῷ ξόανον ἀρχαῖον, τέχνη Φλιασίου Λαφάους. ἐπὶ δὲ τῇ θυσίᾳ τοιάδε δρᾶν νομίζουσι. Φαῖστον ἐν Σικυωνίᾳ λέγουσιν ἐλθόντα καταλαβεῖν Ἡρακλεῖ σφᾶς ὡς ἥρωϊ ἐναγίζοντας· οὔκουν ἠξίου δρᾶν οὐδὲν ὁ Φαῖστος τῶν αὐτῶν, ἀλλ' ὡς θεῷ θύειν. καὶ νῦν ἔτι ἄρνα οἱ Σικυώνιοι σφάξαντες καὶ τοὺς μηροὺς ἐπὶ τοῦ βωμοῦ καύσαντες τὰ μὲν ἐσθίουσιν ὡς ἀπὸ ἱερείου, τὰ δὲ ὡς ἥρωϊ τῶν κρεῶν ἐναγίζουσι. τῆς ἑορτῆς δὲ ἣν
134 ἄγουσι τῷ Ἡρακλεῖ, τὴν προτέραν τῶν ἡμερῶν Ὀνόματα ὀνομάζοντες, Ἡράκλειαν δὲ καλοῦσι τὴν ὑστέραν.

2. Ἐντεῦθέν ἐστιν ὁδὸς ἐς ἱερὸν Ἀσκληπιοῦ. παρ- 2
ελθοῦσι δὲ ἐς τὸν περίβολον ἐν ἀριστερᾷ διπλοῦν ἐστὶν οἴκημα· κεῖται δὲ Ὕπνος ἐν τῷ προτέρῳ, καί οἱ πλὴν τῆς κεφαλῆς ἄλλο οὐδὲν ἔτι λείπεται. τὸ ἐνδοτέρω δὲ Ἀπόλλωνι ἀνεῖται Καρνείῳ, καὶ ἐς αὐτὸ οὐκ ἔστι πλὴν τοῖς ἱερεῦσιν ἔσοδος. κεῖται δὲ ἐν τῇ στοᾷ κήτους ὀστοῦν θαλασσίου μεγέθει μέγα, καὶ μετ' αὐτὸ ἄγαλμα Ὀνείρου, καὶ Ὕπνος κατακοιμίζων λέοντα, Ἐπιδώτης δὲ ἐπίκλησιν.

ἐς δὲ τὸ Ἀσκληπιεῖον ἐσιοῦσι καθ' ἑκάτερον τῆς ἐσόδου τῇ μὲν Πανὸς καθήμενον ἄγαλμά ἐστι, τῇ δὲ Ἄρτεμις
3 ἕστηκεν. 3. ἐσελθοῦσι δὲ ὁ θεός ἐστιν οὐκ ἔχων γένεια, χρυσοῦ καὶ ἐλέφαντος, Καλάμιδος δὲ ἔργον· ἔχει δὲ καὶ σκῆπτρον, καὶ ἐπὶ τῆς ἑτέρας χειρὸς πίτυος καρπὸν τῆς ἡμέρου. φασὶ δέ σφισιν ἐξ Ἐπιδαύρου κομισθῆναι τὸν θεὸν ἐπὶ ζεύγους ἡμιόνων, δράκοντι εἰκασμένον, τὴν δὲ ἀγαγοῦσαν Νικαγόραν εἶναι Σικυωνίαν, Ἀγασικλέους μητέρα, γυναῖκα δὲ Ἐχετίμου. ἐνταῦθα ἀγάλματά ἐστιν οὐ μεγάλα ἀπηρτημένα τοῦ ὀρόφου. τὴν δὲ ἐπὶ τῷ δράκοντι Ἀριστοδάμαν Ἀράτου μητέρα εἶναι λέγουσι, καὶ Ἄρατον Ἀσκληπιοῦ παῖδα εἶναι νομίζουσιν. οὗτος μὲν δὴ παρείχετο ὁ περίβολος τοσάδε ἐς μνήμην.

4 4. * * δὲ αὐτοῦ ἄλλος ἐστὶν Ἀφροδίτης ἱερός· ἐν δὲ αὐτῷ πρῶτον ἄγαλμά ἐστιν Ἀντιόπης· εἶναι γάρ οἱ τοὺς παῖδας Σικυωνίους, καὶ δι' ἐκείνους ἐθέλουσι καὶ αὐτὴν Ἀντιόπην προσήκειν σφίσι. μετὰ τοῦτο ἤδη τὸ τῆς Ἀφροδίτης ἐστὶν ἱερόν. ἐσίασι μὲν δὴ ἐς αὐτὸ γυνή τε νεωκόρος, ᾗ μηκέτι θέμις παρ' ἄνδρα φοιτῆσαι, καὶ παρθένος ἱερωσύνην ἐπέτειον ἔχουσα· λουτροφόρον τὴν παρθένον ὀνομάζουσι· τοῖς δὲ ἄλλοις κατὰ ταὐτὰ καὶ ὁρᾶν ἀπὸ τῆς ἐσόδου τὴν θεὸν καὶ αὐτόθεν προσεύχε-
5 σθαι. τὸ μὲν δὴ ἄγαλμα καθήμενον Κάναχος Σικυώνιος ἐποίησεν, ὃς καὶ τὸν ἐν Διδύμοις τοῖς Μιλησίων καὶ Θηβαίοις τὸν Ἰσμήνιον εἰργάσατο Ἀπόλλωνα· πεποίηται δὲ ἔκ τε χρυσοῦ καὶ ἐλέφαντος, φέρουσα ἐπὶ τῇ κεφαλῇ πόλον, τῶν χειρῶν δὲ ἔχει τῇ μὲν μήκωνα τῇ δὲ ἑτέρᾳ μῆλον. τῶν δὲ ἱερείων τοὺς μηροὺς θύουσι πλὴν ὑῶν, 135
τἆλλα δὲ ἀρκεύθου ξύλοις καθαγίζουσι, καιομένοις δὲ ὁμοῦ τοῖς μηροῖς φύλλον τοῦ παιδέρωτος συγκαθαγί-
6 ζουσιν. 5. ἔνεστι δὲ ὁ παιδέρως ἐν ὑπαίθρῳ τοῦ περιβόλου πόα, φύεται δὲ ἀλλαχόθι οὐδαμοῦ γῆς, οὔτε ἄλλης

οὔτε τῆς Σικυωνίας. τὰ δέ οἱ φύλλα ἐλάσσονα ἢ φηγοῦ,
μείζονα δέ ἐστιν ἢ πρίνου, σχῆμα δέ σφισιν οἷον τοῖς τῆς
δρυός, καὶ τὸ μὲν ὑπομελαίνει, τὸ δὲ ἕτερον λευκόν ἐστι·
φύλλοις ἂν λεύκης μάλιστα εἰκάζοις τὴν χροιάν.

6. Ἀπὸ τούτων δὲ ἀνιοῦσιν ἐς τὸ γυμνάσιόν ἐστιν 7
ἐν δεξιᾷ Φεραίας ἱερὸν Ἀρτέμιδος· κομισθῆναι δὲ τὸ
ξόανον λέγουσιν ἐκ Φερῶν. τὸ δέ σφισι γυμνάσιον τοῦτο
Κλεινίας ᾠκοδόμησε, καὶ παιδεύουσιν ἐνταῦθα ἔτι τοὺς
ἐφήβους. κεῖται δὲ λίθου λευκοῦ καὶ Ἄρτεμις, τὰ ἐς ἰξὺν
μόνον εἰργασμένη, καὶ Ἡρακλῆς τὰ κάτω τοῖς Ἑρμαῖς
τοῖς τετραγώνοις εἰκασμένος.

XI. Ἐντεῦθεν δὲ ἀποτραπεῖσιν ἐπὶ πύλην καλου-
μένην Ἱεράν, οὐ πόρρω τῆς πύλης ναός ἐστιν Ἀθηνᾶς,
ὃν Ἐπωπεύς ποτε ἀνέθηκε μεγέθει καὶ κόσμῳ τοὺς τότε
ὑπερβεβλημένον. ἔδει δὲ ἄρα χρόνῳ καὶ τοῦδε ἀφανι-
σθῆναι τὴν μνήμην· κεραυνοῖς θεὸς αὐτὸν * * * βωμὸς
δὲ ἐκεῖνος, οὐ γάρ τι ἐς αὐτὸν κατέσκηψε, μένει καὶ ἐς
τόδε οἷον Ἐπωπεὺς ἐποίησε. 2. πρὸ τοῦ βωμοῦ δὲ αὐτῷ
μνῆμα Ἐπωπεῖ κέχωσται, καὶ τοῦ τάφου πλησίον εἰσὶν
Ἀποτρόπαιοι θεοί· παρὰ τούτοις δρῶσιν ὅσα Ἕλληνες ἐς
ἀποτροπὴν κακῶν νομίζουσιν. Ἐπωπέα δὲ καὶ Ἀρτέμιδι
καὶ Ἀπόλλωνι τὸ πλησίον ἱερὸν ποιῆσαι λέγουσι, τὸ δὲ
μετ' αὐτὸ Ἥρας Ἄδραστον· ἀγάλματα δὲ ὑπελείπετο οὐ-
δετέρῳ. βωμοὺς δὲ ὄπισθεν τοῦ Ἡραίου, τὸν μὲν Πανὶ
ᾠκοδόμησεν, Ἡλίῳ δὲ λίθου λευκοῦ. Καταβαίνουσι 2
δὲ ὡς ἐπὶ τὸ πεδίον ἱερόν ἐστιν ἐνταῦθα Δήμητρος·
ἱδρῦσαι δέ φασιν αὐτὸ Πλημναῖον, ἀποδιδόντα χάριν
τῇ θεῷ τοῦ παιδὸς τῆς τροφῆς. τοῦ δὲ ἱεροῦ τῆς Ἥρας,
ἣν ἱδρύσατο Ἄδραστος, ὀλίγον ἀπωτέρω Καρνείου ναός
136 ἐστιν Ἀπόλλωνος· κίονες δὲ ἑστήκασιν ἐν αὐτῷ μόνοι,
τοίχους δὲ οὐκέτι οὐδὲ ὄροφον οὔτε ἐνταῦθα εὑρήσεις
οὔτε ἐν τῷ τῆς Προδρομίας Ἥρας. τοῦτον γὰρ δὴ Φάλ-

κης ἱδρύσατο ὁ Τημένου, τῆς ὁδοῦ οἱ τῆς ἐς Σικυῶνα
3 Ἥραν φάμενος ὁδηγὸν γενέσθαι. 3. Ἐκ Σικυῶνος δὲ
τὴν κατ' εὐθὺ ἐς Φλιοῦντα ἐρχομένοις, καὶ ἐν ἀριστερᾷ
τῆς ὁδοῦ δέκα μάλιστα ἐκτραπεῖσι στάδια, Πυραία καλού-
μενόν ἐστιν ἄλσος, ἱερὸν δὲ ἐν αὐτῷ Προστασίας Δή-
μητρος καὶ Κόρης. ἐνταῦθα ἐφ' αὑτῶν οἱ ἄνδρες ἑορτὴν
ἄγουσι, τὸν δὲ Νυμφῶνα καλούμενον ταῖς γυναιξὶν ἑορ-
τάζειν παρείκασι· καὶ ἀγάλματα Διονύσου καὶ Δήμητρος
καὶ Κόρης τὰ πρόσωπα φαίνοντα ἐν τῷ Νυμφῶνί ἐστιν.
ἡ δὲ ἐς Τιτάνην ὁδὸς σταδίων μέν ἐστιν ἑξήκοντα, καὶ
4 ζεύγεσιν ἄβατος διὰ στενότητα· 4. σταδίους δὲ προελ-
θοῦσιν, ἐμοὶ δοκεῖν, εἴκοσι καὶ ἐν ἀριστερᾷ διαβᾶσι τὸν
Ἀσωπόν ἐστιν ἄλσος πρίνων καὶ ναὸς θεῶν ἃς Ἀθηναῖοι
Σεμνάς, Σικυώνιοι δὲ Εὐμενίδας ὀνομάζουσι· κατὰ δὲ
ἔτος ἕκαστον ἑορτὴν ἡμέρᾳ μιᾷ σφίσιν ἄγουσι θύοντες
πρόβατα ἐγκύμονα, μελικράτῳ δὲ σπονδῇ καὶ ἄνθεσιν
ἀντὶ στεφάνων χρῆσθαι νομίζουσιν. ἐοικότα δὲ καὶ ἐπὶ
τῷ βωμῷ τῶν Μοιρῶν δρῶσιν· ὁ δέ σφισιν ἐν ὑπαίθρῳ
5 τοῦ ἄλσους ἐστίν. 5. ἀναστρέψασι δὲ ἐς τὴν ὁδόν, δια-
βᾶσί τε αὖθις τὸν Ἀσωπὸν καὶ ἐς κορυφὴν ὄρους ἥξασιν,
ἐνταῦθα λέγουσιν οἱ ἐπιχώριοι Τιτᾶνα οἰκῆσαι πρῶτον·
εἶναι δὲ αὐτὸν ἀδελφὸν Ἡλίου, καὶ ἀπὸ τούτου κληθῆναι
Τιτάνην τὸ χωρίον. δοκεῖν δέ μοι δεινὸς ἐγένετο ὁ Τιτὰν
τὰς ὥρας τοῦ ἔτους φυλάξαι καὶ ὁπότε ἥλιος σπέρματα
καὶ δένδρων αὔξει καὶ πεπαίνει καρπούς, καὶ ἐπὶ τῷδε
ἀδελφὸς ἐνομίσθη τοῦ Ἡλίου. 6. ὕστερον δὲ Ἀλεξάνωρ
ὁ Μαχάονος τοῦ Ἀσκληπιοῦ παραγενόμενος ἐς Σικυω-
6 νίαν ἐν Τιτάνῃ τὸ Ἀσκληπιεῖον ἐποίησε. περιοικοῦσι μὲν
δὴ καὶ ἄλλοι, καὶ τὸ πολὺ οἱ ἱκέται τοῦ θεοῦ, καὶ κυπα-
ρίσσων ἐστὶν ἐντὸς τοῦ περιβόλου δένδρα ἀρχαῖα· τὸ δὲ
ἄγαλμα οὔτε ὁποίου ξύλου γέγονεν ἢ μετάλλου μαθεῖν
ἔστιν, οὔτε τὸν ποιήσαντα ἴσασι, πλὴν εἰ μή τις ἄρα ἐς 137

αὐτὸν τὸν Ἀλεξάνορα ἀναφέροι. φαίνεται δὲ τοῦ ἀγάλματος πρόσωπον μόνον καὶ ἄκραι χεῖρες καὶ πόδες· χιτὼν γάρ οἱ λευκὸς ἐρεοῦς καὶ ἱμάτιον ἐπιβέβληται. καὶ Ὑγιείας δ' ἔστι κατὰ ταὐτὸν ἄγαλμα· οὐκ ἂν οὐδὲ τοῦτο ἴδοις ῥᾳδίως, οὕτω περιέχουσιν αὐτὸ κόμαι τε γυναικῶν, αἳ κείρονται τῇ θεῷ, καὶ ἐσθῆτος Βαβυλωνίας τελαμῶνες. ᾧ δ' ἂν ἐνταῦθα τούτων ἱλάσασθαι θελήσῃ τις, ἀποδέδεικταί οἱ τὸ αὐτὸ σέβεσθαι τοῦτο ὃ δὴ καὶ Ὑγίειαν καλοῦσι. 7. Τῷ δὲ Ἀλεξάνορι καὶ Εὐαμερίωνι, καὶ γὰρ 7
τούτοις ἀγάλματά ἐστι, τῷ μὲν ὡς ἥρωϊ μετὰ ἥλιον δύναντα ἐναγίζουσιν, Εὐαμερίωνι δὲ ὡς θεῷ θύουσιν. εἰ δὲ ὀρθῶς εἰκάζω, τὸν Εὐαμερίωνα τοῦτον Περγαμηνοὶ Τελεσφόρον ἐκ μαντεύματος, Ἐπιδαύριοι δὲ Ἄκεσιν ὀνομάζουσι. τῆς δὲ Κορωνίδος, ἔστι μὲν καὶ ταύτης ξόανον, καθίδρυται δὲ οὐδαμοῦ τοῦ ναοῦ· θυομένων δὲ τῷ θεῷ ταύρου καὶ ἀρνὸς καὶ ὑὸς ἐς Ἀθηνᾶς ἱερὸν τὴν Κορωνίδα μετενεγκόντες ἐνταῦθα τιμῶσιν. ὁπόσα δὲ τῶν θυομένων καθαγίζουσιν, οὐδὲ ἀποχρᾷ σφίσιν ἐκτέμνειν τοὺς μηρούς, χαμαὶ δὲ καίουσι πλὴν τοὺς ὄρνιθας, τούτους δὲ ἐπὶ τοῦ βωμοῦ. 8. Τὰ δὲ ἐν τοῖς 8
ἀετοῖς, Ἡρακλῆς καὶ Νῖκαι πρὸς τοῖς πέρασίν εἰσιν. ἀνάκειται δὲ ἀγάλματα ἐν τῇ στοᾷ, Διονύσου καὶ Ἑκάτης, Ἀφροδίτη τε καὶ Μήτηρ θεῶν καὶ Τύχη· ταῦτα μὲν ξόανα, λίθου δὲ Ἀσκληπιὸς ἐπίκλησιν Γορτύνιος. παρὰ δὲ τοὺς δράκοντας ἐσιέναι τοὺς ἱεροὺς οὐκ ἐθέλουσιν ὑπὸ δείματος· καταθέντες δέ σφισι πρὸ τῆς ἐσόδου τροφὴν οὐκέτι πολυπραγμονοῦσι. κεῖται δὲ χαλκοῦς ἀνὴρ ἐντὸς τοῦ περιβόλου Γρανιανὸς Σικυώνιος, ὃς νίκας ἀνείλετο Ὀλυμπίασι δύο μὲν πεντάθλου, καὶ σταδίου τὴν τρίτην, διαύλου δὲ ἀμφότερα, καὶ γυμνὸς καὶ μετὰ
138 τῆς ἀσπίδος.

XII. Ἐν δὲ Τιτάνῃ καὶ Ἀθηνᾶς ἱερόν ἐστιν, ἐς ὃ τὴν

Κορωνίδα ἀνάγουσιν· ἐν δὲ αὐτῷ ξόανον Ἀθηνᾶς ἐστιν ἀρχαῖον· κεραυνωθῆναι δὲ καὶ τοῦτο ἐλέγετο. ἐκ τούτου τοῦ λόφου καταβᾶσιν, ᾠκοδόμηται γὰρ ἐπὶ λόφῳ το ἱερόν, βωμός ἐστιν ἀνέμων, ἐφ' οὗ τοῖς ἀνέμοις ὁ ἱερεὺς μιᾷ νυκτὶ ἀνὰ πᾶν ἔτος θύει. δρᾷ δὲ καὶ ἄλλα ἀπόρρητα ἐς βόθρους τέσσαρας, ἡμερούμενος τῶν πνευμάτων τὸ ἄγριον, καὶ δὴ καὶ Μηδείας, ὡς λέγουσιν, ἐπῳδὰς ἐπᾴδει.

2 Ἐκ δὲ Τιτάνης ἐς Σικυῶνα ἀφικομένοις καὶ καταβαίνουσιν ἐς θάλασσαν ἐν ἀριστερᾷ τῆς ὁδοῦ ναὸς Ἥρας, οὐκ ἔχων ἔτι οὔτε ἄγαλμα οὔτε ὄροφον· τὸν δὲ ἀναθέντα Προῖτον εἶναι τὸν Ἄβαντός φασι. 2. καταβᾶσι δὲ ἐς τὸν Σικυωνίων καλούμενον λιμένα καὶ τραπεῖσιν ἐπ' Ἀριστοναύτας, τὸ ἐπίνειον τὸ Πελληνέων, ἔστιν ὀλίγον ὑπὲρ τὴν ὁδὸν ἐν ἀριστερᾷ Ποσειδῶνος ἱερόν· προελθοῦσι δὲ κατὰ τὴν λεωφόρον Ἑλισσών τε καλούμενος ποταμὸς καὶ μετ' αὐτὸν Σύθας ἐστίν, ἐκδιδόντες ἐς θάλασσαν.

3 3. Ἡ δὲ Φλιασία τῆς Σικυωνίων ἐστὶν ὅμορος, καὶ Τιτάνης μὲν τεσσαράκοντα σταδίους ἀπέχει μάλιστα ἡ πόλις, ἐκ Σικυῶνος δὲ ἐς αὐτὴν ὁδός ἐστιν εὐθεῖα. καὶ ὅτι μὲν Ἀρκάσι Φλιάσιοι προσήκουσιν οὐδέν, δηλοῖ τὰ ἐς τὸν Ἀρκάδων κατάλογον τῆς Ὁμήρου ποιήσεως, ὅτι οὐκ εἰσὶν Ἀρκάσι καὶ οὗτοι συγκατειλεγμένοι· ὡς δὲ Ἀργεῖοί τε ἦσαν ἐξ ἀρχῆς καὶ ὕστερον Δωριεῖς γεγόνασιν Ἡρακλειδῶν κατελθόντων ἐς Πελοπόννησον, φανεῖται προϊόντι ὁμοῦ τῷ λόγῳ. διάφορα δὲ ἐς τοὺς Φλιασίους τὰ πολλὰ εἰδὼς εἰρημένα, τοῖς μάλιστα αὐτῶν ὡμολο-
4 γημένοις χρήσομαι. 4. Ἐν τῇ γῇ ταύτῃ γενέσθαι πρῶτον Ἄραντά φασιν ἄνδρα αὐτόχθονα· καὶ πόλιν τε ᾤκισε περὶ τὸν βουνὸν τοῦτον, ὃς Ἀραντῖνος ἔτι καλεῖται καὶ ἐς ἡμᾶς, οὐ πολὺ ἑτέρου λόφου διεστηκώς, ἐφ' οὗ Φλιασίοις ἥ τε ἀκρόπολις καὶ τῆς Ἥβης ἐστὶ τὸ ἱερόν.

ἐνταῦθά τε δὴ πόλιν ᾤκισε, καὶ ἀπ' αὐτοῦ τὸ ἀρχαῖον
ἡ γῆ καὶ ἡ πόλις Ἀραντία ἐκλήθησαν. 5. τούτῳ βασι-
λεύοντι Ἀσωπὸς Κηλούσης εἶναι λεγόμενος καὶ Ποσει-
139 δῶνος ἐξεῦρε τοῦ ποταμοῦ τὸ ὕδωρ, ὅντινα οἱ νῦν ἀπὸ
τοῦ εὑρόντος καλοῦσιν Ἀσωπόν. τὸ δὲ μνῆμα τοῦ Ἄραν-
τός ἐστιν ἐν χωρίῳ Κελεαῖς, ἔνθα δὴ καὶ Δυσαύλην ἄν-
δρα Ἐλευσίνιον τεθάφθαι λέγουσιν. Ἄραντος δὲ υἱὸς 5
Ἄορις καὶ θυγάτηρ ἐγένετο Ἀραιθυρέα. τούτους φασὶ
Φλιάσιοι θηρᾶσαί τε ἐμπείρους γενέσθαι καὶ τὰ ἐς πόλε-
μον ἀνδρείους. προαποθανούσης δὲ Ἀραιθυρέας, Ἄορις
ἐς μνήμην τῆς ἀδελφῆς μετωνόμασεν Ἀραιθυρέαν τὴν
χώραν· καὶ ἐπὶ τῷδε Ὅμηρος τοὺς Ἀγαμέμνονος ὑπη-
κόους καταλέγων τὸ ἔπος ἐποίησεν

Ὀρνειάς τ' ἐνέμοντο Ἀραιθυρέην τ' ἐρατεινήν.

τάφους δὲ τῶν Ἄραντος παίδων οὐχ ἑτέρωθι ἡγοῦμαι
τῆς χώρας, ἐπὶ τῷ λόφῳ δὲ εἶναι τῷ Ἀραντίνῳ· καί σφι-
σιν ἐπίθημα στῆλαι περιφερεῖς εἰσί, καὶ πρὸ τῆς τελετῆς
ἣν τῇ Δήμητρι ἄγουσιν Ἄραντα καὶ τοὺς παῖδας καλοῦ-
σιν ἐπὶ τὰς σπονδάς, ἐς ταῦτα βλέποντες τὰ μνήματα.
6. Φλίαντα δέ, ὃς τρίτον τοῦτο ἐποίησεν ὄνομα ἀφ' αὐ- 6
τοῦ τῇ γῇ, Κείσου μὲν παῖδα εἶναι τοῦ Τημένου κατὰ δὴ
τὸν Ἀργείων λόγον οὐδὲ ἀρχὴν ἔγωγε προσίεμαι, Διο-
νύσου δὲ οἶδα καλούμενον καὶ τῶν πλευσάντων ἐπὶ τῆς
Ἀργοῦς καὶ τοῦτον γενέσθαι λεγόμενον. ὁμολογεῖ δέ μοι
καὶ τοῦ Ῥοδίου ποιητοῦ τὰ ἔπη·

Φλίας αὖτ' ἐπὶ τοῖσιν Ἀραιθυρέηθεν ἵκανεν,
ἔνθ' ἀφνειὸς ἔναιε Διωνύσοιο ἕκητι
πατρὸς ἑοῦ, πηγῇσιν ἐφέστιος Ἀσωποῖο.

τοῦ δὲ Φλίαντος Ἀραιθυρέαν εἶναι μητέρα, ἀλλ' οὐ
Χθονοφύλην, Χθονοφύλην δέ οἱ συνοικῆσαι, καὶ Ἀν-
140 δροδάμαν γενέσθαι Φλίαντι ἐξ αὐτῆς.

XIII. Ἡρακλειδῶν δὲ κατελθόντων Πελοπόννησος

ἐταράχθη πᾶσα πλὴν Ἀρκάδων, ὡς πολλὰς μὲν τῶν πό-
λεων συνοίκους ἐκ τοῦ Δωρικοῦ προσλαβεῖν, πλείονας δὲ
ἔτι γενέσθαι τὰς μεταβολὰς τοῖς οἰκήτορσι. τὰ δὲ κατὰ
Φλιοῦντα οὕτως ἔχει. Ῥηγνίδας ἐπ' αὐτὴν ὁ Φάλκου τοῦ
Τημένου Δωριεὺς ἔκ τε Ἄργους στρατεύει καὶ ἐκ τῆς Σι-
κυωνίας. τῶν δὲ Φλιασίων τοῖς μὲν ἃ προεκαλεῖτο Ῥηγνί-
δας ἐφαίνετο ἀρεστά, μένοντας ἐπὶ τοῖς αὑτῶν βασιλέα
Ῥηγνίδαν καὶ τοὺς σὺν ἐκείνῳ Δωριεῖς ἐπὶ ἀναδασμῷ γῆς
2 δέχεσθαι· Ἵππασος δὲ καὶ οἱ σὺν αὐτῷ διεκελεύοντο ἀμύ-
νεσθαι μηδὲ πολλῶν καὶ ἀγαθῶν ἀμαχεὶ τοῖς Δωριεῦσιν
ἀφίστασθαι. προσεμένου δὲ τοῦ δήμου τὴν ἐναντίαν ταύτῃ
γνώμην, οὕτως Ἵππασος σὺν τοῖς ἐθέλουσιν ἐς Σάμον
φεύγει. 2. Ἱππάσου δὲ τούτου τέταρτος ἦν ἀπόγονος
Πυθαγόρας ὁ λεγόμενος γενέσθαι σοφός· Μνησάρχου
γὰρ Πυθαγόρας ἦν τοῦ Εὔφρονος τοῦ Ἱππάσου. ταῦτα
μὲν Φλιάσιοι λέγουσι περὶ αὑτῶν, ὁμολογοῦσι δέ σφισι
τὰ πολλὰ καὶ Σικυώνιοι.

3 3. Προσέσται δὲ ἤδη καὶ τῶν ἐς ἐπίδειξιν ἡκόντων
τὰ ἀξιολογώτατα. ἔστι γὰρ ἐν τῇ Φλιασίων ἀκροπόλει
κυπαρίσσων ἄλσος καὶ ἱερὸν ἁγιώτατον ἐκ παλαιοῦ· τὴν
δὲ θεὸν ἧς ἐστι τὸ ἱερὸν οἱ μὲν ἀρχαιότατοι Φλιασίων
Γανυμήδαν, οἱ δὲ ὕστερον Ἥβην ὀνομάζουσιν· ἧς καὶ
Ὅμηρος μνήμην ἐποιήσατο ἐν τῇ Μενελάου πρὸς Ἀλέ-
ξανδρον μονομαχίᾳ, φάμενος οἰνοχόον τῶν θεῶν εἶναι,
καὶ αὖθις ἐν Ὀδυσσέως ἐς Ἅιδου καθόδῳ γυναῖκα Ἡρα-
κλέους εἶπεν εἶναι. Ὠλῆνι δὲ ἐν Ἥρας ἐστὶν ὕμνῳ πε-
ποιημένα τραφῆναι τὴν Ἥραν ὑπὸ Ὡρῶν, εἶναι δέ οἱ
4 παῖδας Ἄρην τε καὶ Ἥβην. παρὰ δὲ Φλιασίοις τῇ θεῷ 141
ταύτῃ καὶ ἄλλαι τιμαὶ καὶ μέγιστον τὸ ἐς τοὺς οἰκέτας
ἐστί· δεδώκασι γὰρ δὴ ἄδειαν ἐνταῦθα ἱκετεύουσι, λυ-
θέντες δὲ οἱ δεσμῶται τὰς πέδας πρὸς τὰ ἐν τῷ ἄλσει
δένδρα ἀνατιθέασιν. ἄγεται δὲ καὶ ἑορτή σφισιν ἐπέτειος,

ἣν καλοῦσι Κισσοτόμους. ἄγαλμα δὲ οὔτε ἐν ἀπορρήτῳ
φυλάσσουσιν οὐδέν, οὔτε ἐστὶν ἐν φανερῷ δεικνύμενον·
ἐφ' ὅτῳ δὲ οὕτω νομίζουσιν, ἱερός ἐστιν αὐτοῖς λόγος,
ἐπεὶ τῆς γε Ἥρας ἐστὶν ἐξιόντων ἐν ἀριστερᾷ ναὸς ἄγαλμα
ἔχων Παρίου λίθου. ἐν δὲ τῇ ἀκροπόλει καὶ ἄλλος περί- 5
βολός ἐστιν ἱερὸς Δήμητρος, ἐν δὲ αὐτῷ ναός τε καὶ
ἄγαλμα Δήμητρος καὶ τῆς παιδὸς, τὸ δὲ τῆς Ἀρτέμιδος,
ἔστι γὰρ καὶ Ἀρτέμιδος ἐνταῦθα χαλκοῦν ἄγαλμα, ὅ
ἐφαίνετο ἀρχαῖον εἶναί μοι. κατιόντων δὲ ἐκ τῆς ἀκρο-
πόλεώς ἐστιν Ἀσκληπιοῦ ναὸς ἐν δεξιᾷ, καὶ ἄγαλμα οὐκ
ἔχον πω γένεια. ὑπὸ τοῦτον τὸν ναὸν θέατρον πεποίη-
ται. τούτου δὲ οὐ πόρρω Δήμητρός ἐστιν ἱερὸν καὶ
καθήμενα ἀγάλματα ἀρχαῖα.

4. Ἀνάκειται δὲ ἐπὶ τῆς ἀγορᾶς αἲξ χαλκῆ, τὰ πολλὰ 6
ἐπίχρυσος· παρὰ δὲ Φλιασίοις τιμὰς ἐπὶ τῷδε εἴληφε. τὸ
ἄστρον ἣν ὀνομάζουσιν αἶγα, ἀνατέλλουσα τὰς ἀμπέλους
λυμαίνεται συνεχῶς. ἵνα δὲ ἄχαρι μηδὲν ἀπ' αὐτῆς γέ-
νηται, οἱ δὲ τὴν ἐπὶ τῆς ἀγορᾶς χαλκῆν αἶγα ἄλλοις τε
τιμῶσι καὶ χρυσῷ τὸ ἄγαλμα ἐπικοσμοῦντες. 5. ἐνταῦθά
ἐστι καὶ Ἀριστίου μνῆμα τοῦ Πρατίνου. τούτῳ τῷ Ἀρι-
στίᾳ σάτυροι καὶ Πρατίνᾳ τῷ πατρί εἰσι πεποιημένοι πλὴν
τῶν Αἰχύλου δοκιμώτατα. 6. Ὄπισθεν δὲ τῆς ἀγορᾶς 7
ἐστὶν οἶκος ὀνομαζόμενος ὑπὸ Φλιασίων μαντικός. ἐς
τοῦτον Ἀμφιάραος ἐλθὼν καὶ τὴν νύκτα ἐγκατακοιμη-
θεὶς μαντεύεσθαι τότε πρῶτον, ὡς οἱ Φλιάσιοί φασιν,
ἤρξατο· τέως δὲ ἦν Ἀμφιάραος τῷ ἐκείνων λόγῳ ἰδιώτης
τε καὶ οὐ μάντις. καὶ τὸ οἴκημα ἀπὸ τούτου συγκέκλει-
σται τὸν πάντα ἤδη χρόνον. 7. οὐ πόρρω δέ ἐστιν ὁ κα-
λούμενος Ὀμφαλός, Πελοποννήσου δὲ πάσης μέσον, εἰ
δὴ τὰ ὄντα εἰρήκασιν. ἀπὸ δὲ τοῦ Ὀμφαλοῦ προελθοῦσι
Διονύσου σφίσιν ἱερόν ἐστιν ἀρχαῖον, ἔστι δὲ καὶ Ἀπόλ-
142 λωνος, καὶ ἄλλο Ἴσιδος. τὸ μὲν δὴ ἄγαλμα τοῦ Διονύσου

δῆλον πᾶσιν, ὡσαύτως δὲ καὶ τὸ τοῦ Ἀπόλλωνος· τὸ δὲ
8 τῆς Ἴσιδος τοῖς ἱερεῦσι θεάσασθαι μόνον ἔστι. 8. Λέγεται δὲ καὶ ὅδε ὑπὸ Φλιασίων λόγος, Ἡρακλέα, ὅτ' ἐκ Λιβύης ἀνεσώθη κομίζων τὰ μῆλα τὰ Ἑσπερίδων καλούμενα, ἐς Φλιοῦντα ἐλθεῖν κατὰ δή τι ἴδιον, διαιτωμένου δὲ ἐνταῦθα Οἰνέα ἐξ Αἰτωλίας ἀφικέσθαι παρ' αὐτόν· ἐγεγόνει δὲ τῷ Ἡρακλεῖ πρότερον ἔτι κηδεστής. τότε δὲ ἀφιγμένος εἱστία τὸν Ἡρακλέα, ἢ αὐτὸς εἱστιᾶτο ὑπὸ ἐκείνου. Κύαθον δ' οὖν παῖδα οἰνοχόον Οἰνέως οὐκ ἀρεσθεὶς τῷ δοθέντι πώματι παίει τῶν δακτύλων ἑνὶ ἐς τὴν κεφαλήν· ἀποθανόντος δὲ αὐτίκα ὑπὸ τῆς πληγῆς Φλιασίοις ἐστὶν οἴκημα ἐς μνήμην. τοῦτο ᾠκοδόμηται μὲν παρὰ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, ἀγάλματα δὲ λίθου πεποιημένα ἔχει, κύλικα ὀρέγοντα Ἡρακλεῖ τὸν Κύαθον.

XIV. Τῆς δὲ πόλεως αἱ Κελεαὶ πέντε που σταδίους μάλιστα ἀπέχουσι, καὶ τῇ Δήμητρι ἐνταῦθα δι' ἐνιαυτοῦ τετάρτου τὴν τελετὴν καὶ οὐ κατὰ ἔτος ἄγουσιν. ἱεροφάντης δὲ οὐκ ἐς τὸν βίον πάντα ἀποδέδεικται, κατὰ δὲ ἑκάστην τελετὴν ἄλλοτέ ἐστιν ἄλλος σφίσιν αἱρετός, λαμβάνων, ἢν ἐθέλῃ, καὶ γυναῖκα. καὶ ταῦτα μὲν διάφορα τῶν Ἐλευσῖνι νομίζουσι, τὰ δὲ ἐς αὐτὴν τὴν τελετὴν ἐκείνων ἐστὶ μίμησις· ὁμολογοῦσι δὲ καὶ αὐτοὶ μιμεῖσθαι
2 Φλιάσιοι τὰ ἐν Ἐλευσῖνι δρώμενα. 2. Δυσαύλην δέ φασιν ἀδελφὸν Κελεοῦ παραγενόμενόν σφισιν ἐς τὴν χώραν καταστήσασθαι τὴν τελετήν, ἐκβληθῆναι δὲ αὐτὸν ἐξ Ἐλευσῖνος ὑπὸ Ἴωνος, ὅτε Ἴων Ἀθηναίοις ὁ Ξούθου πολέμαρχος τοῦ πρὸς Ἐλευσινίους ᾑρέθη πολέμου. τοῦτο μὲν δὴ Φλιασίοις οὐκ ἔστιν ὅπως ὁμολογήσω, κρατηθέντα μάχῃ τινὰ Ἐλευσινίων φυγάδα ἀπελαθέντα οἴχεσθαι, τοῦ πολέμου τε ἐπὶ συνθήκαις καταλυθέντος πρὶν ἢ διαπολεμηθῆναι, καὶ ἐν Ἐλευσῖνι αὐτοῦ καταμείναντος
3 Εὐμόλπου. δύναιτο δ' ἂν κατὰ ἄλλην τινὰ ἐνταῦθα ὁ 143

Δυσαύλης ἀφικέσθαι πρόφασιν, καὶ οὐχ ὡς οἱ Φλιάσιοί
φασιν. οὐ μὴν οὐδὲ Κελεῷ προσήκων, ἐμοὶ δοκεῖν, οὐδὲ
ἄλλως ἦν ἐν τοῖς ἐπιφανέσιν Ἐλευσινίων· οὐ γὰρ ἄν
ποτε Ὅμηρος παρῆκεν αὐτὸν ἐν τοῖς ἔπεσιν. ἔστι γὰρ καὶ
Ὁμήρῳ πεποιημένα ἐς Δήμητρα· ἐν δὲ αὐτοῖς καταλέγων
τοὺς διδαχθέντας ὑπὸ τῆς θεοῦ τὴν τελετὴν Δυσαύλην
οὐδένα οἶδεν Ἐλευσίνιον. ἔχει δὲ οὕτω τὰ ἔπη·

δεῖξεν Τριπτολέμῳ τε Διοκλεῖ τε πληξίππῳ
Εὐμόλπου τε βίῃ Κελεῷ θ' ἡγήτορι λαῶν
δρησμοσύνην ἱερῶν καὶ ἐπέφραδεν ὄργια πᾶσιν.

οὗτος δ' οὖν, ὡς οἱ Φλιάσιοί φασιν, ὁ Δυσαύλης κατ- 4
εστήσατο ἐνταῦθα τὴν τελετήν, καὶ οὗτος ἦν ὁ τῷ χωρίῳ
τὸ ὄνομα παραθέμενος Κελεάς. Δυσαύλου τέ ἐστιν ἐν-
ταῦθα, ὡς εἴρηταί μοι, μνῆμα. πρότερον δὲ ἄρα ἐπε-
ποίητο Ἀράντειος τάφος· ὕστερον γὰρ κατὰ τὸν Φλιασίων
λόγον καὶ οὐκ ἐπὶ τῆς Ἄραντος βασιλείας ἀφίκετο ὁ Δυ-
σαύλης. 3. Φλιάσιοι γὰρ Προμηθεῖ γενέσθαι τῷ Ἰαπετοῦ
κατὰ τὸν αὐτὸν χρόνον φασὶν Ἄραντα, καὶ τρισὶν ἀν-
θρώπων γενεαῖς Πελασγοῦ τε εἶναι πρεσβύτερον τοῦ
Ἀρκάδος καὶ τῶν λεγομένων Ἀθήνησιν αὐτοχθόνων.
τοῦ δὲ Ἀνακτόρου καλουμένου πρὸς τῷ ὀρόφῳ Πέλοπος
λέγουσιν ἅρμα ἀνακεῖσθαι. Φλιασίοις μὲν δὴ τοσαῦτα
λόγου μάλιστα ἦν ἄξια.

XV. Ἐκ Κορίνθου δὲ ἐς Ἄργος ἐρχομένῳ Κλεωναὶ
πόλις ἐστὶν οὐ μεγάλη. παῖδα δὲ εἶναι Πέλοπος Κλεώνην
λέγουσιν, οἱ δὲ τῷ παρὰ Σικυῶνα ῥέοντι Ἀσωπῷ θυγα-
τέρα ἐπὶ ταῖς ἄλλαις Κλεώνην γενέσθαι· τὸ δ' οὖν ὄνομα
ἀπὸ τοῦ ἑτέρου τούτων ἐτέθη τῇ πόλει. ἐνταῦθά ἐστιν
ἱερὸν Ἀθηνᾶς, τὸ δὲ ἄγαλμα Σκύλλιδος τέχνη καὶ Δι-
ποίνου· μαθητὰς δὲ εἶναι Δαιδάλου σφᾶς, οἱ δὲ καὶ
γυναῖκα ἐκ Γόρτυνος ἐθέλουσι λαβεῖν Δαίδαλον, καὶ
144 τὸν Δίποινον καὶ Σκύλλιν ἐκ τῆς γυναικός οἱ ταύτης

γενέσθαι. ἐν Κλεωναῖς δὲ τοῦτό τ' ἔστι τὸ ἱερὸν καὶ μνῆμα Εὐρύτου καὶ Κτεάτου· θεωροὺς γὰρ ἐξ Ἤλιδος ἐς τὸν ἀγῶνα ἰόντας τῶν Ἰσθμίων αὐτοὺς ἐνταῦθα Ἡρακλῆς κατετόξευσεν, ἔγκλημα ποιούμενος ὅτι οἱ πρὸς Αὐγείαν πολεμοῦντι ἀντετάχθησαν.

Ἐκ Κλεωνῶν δέ εἰσιν ἐς Ἄργος ὁδοὶ δύο, ἡ μὲν ἀνδράσιν εὐζώνοις, καὶ ἔστιν ἐπίτομος, ἡ δὲ ἐπὶ τοῦ καλουμένου Τρητοῦ, στενὴ μὲν καὶ αὐτὴ περιεχόντων ὀρῶν, ὀχήματι δέ ἐστιν ὅμως ἐπιτηδειοτέρα. 2. Ἐν τούτοις τοῖς ὄρεσι τὸ σπήλαιον ἔτι δείκνυται τοῦ λέοντος, καὶ ἡ Νεμέα τὸ χωρίον ἀπέχει σταδίους πέντε που καὶ δέκα. ἐν δὲ αὐτῇ Νεμείου τε Διὸς ναός ἐστι θέας ἄξιος, πλὴν ὅσον κατερρυήκει τε ὁ ὄροφος καὶ ἄγαλμα οὐδὲν ἔτι ἐλείπετο· κυπαρίσσων τε ἄλσος ἐστὶ περὶ τὸν ναόν, καὶ τὸν Ὀφέλτην ἐνταῦθα ὑπὸ τῆς τροφοῦ τεθέντα ἐς τὴν πόαν δια-
3 φθαρῆναι λέγουσιν ὑπὸ τοῦ δράκοντος. θύουσι δὲ Ἀργεῖοι τῷ Διὶ καὶ ἐν τῇ Νεμέᾳ, καὶ Νεμείου Διὸς ἱερέα αἱροῦνται, καὶ δὴ καὶ δρόμου προτιθέασιν ἀγῶνα ἀνδράσιν ὡπλισμένοις Νεμείων πανηγύρει τῶν χειμερινῶν. 3. ἐνταῦθα ἔστι μὲν Ὀφέλτου τάφος, περὶ δὲ αὐτὸν θριγκὸς λίθων, καὶ ἐντὸς τοῦ περιβόλου βωμοί· ἔστι δὲ χῶμα γῆς Λυκούργου μνῆμα τοῦ Ὀφέλτου πατρός. τὴν δὲ πηγὴν Ἀδράστειαν ὀνομάζουσιν, εἴτε ἐπ' ἄλλῃ τινὶ αἰτίᾳ εἴτε καὶ ἀνευρόντος αὐτὴν Ἀδράστου. τὸ δὲ ὄνομα λέγουσι τῇ χώρᾳ Νεμέαν δοῦναι θυγατέρα Ἀσωποῦ καὶ ταύτην. καὶ ὄρος Ἀπέσας ἐστὶν ὑπὲρ τὴν Νεμέαν, ἔνθα
4 Περσέα πρῶτον Διὶ θῦσαι λέγουσιν Ἀπεσαντίῳ. 4. Ἀνελθοῦσι δὲ ἐς τὸν Τρητὸν καὶ αὖθις τὴν ἐς Ἄργος ἰοῦσίν ἐστι Μυκηνῶν ἐρείπια ἐν ἀριστερᾷ. καὶ ὅτι μὲν Περσεὺς ἐγένετο Μυκηνῶν οἰκιστής, ἴσασιν Ἕλληνες, ἐγὼ δὲ αἰτίαν τε γράψω τοῦ οἰκισμοῦ, καὶ δι' ἥντινα πρόφασιν Ἀργεῖοι Μυκηναίους ὕστερον ἀνέστησαν. ἐν γὰρ τῇ νῦν

Ἀργολίδι ὀνομαζομένῃ τὰ μὲν ἔτι παλαιότερα οὐ μνημονεύουσιν, Ἴναχον δὲ βασιλεύοντα τόν τε ποταμὸν ἀφ' αὑτοῦ λέγουσιν ὀνομάσαι καὶ θῦσαι τῇ Ἥρᾳ. λέγεται δὲ 5
καὶ ὅδε λόγος· Φορωνέα ἐν τῇ γῇ ταύτῃ γενέσθαι πρῶ-
145 τον, Ἴναχον δὲ οὐκ ἄνδρα ἀλλὰ τὸν ποταμὸν πατέρα εἶναι Φορωνεῖ· τοῦτον δὲ Ποσειδῶνι καὶ Ἥρᾳ δικάσαι περὶ τῆς χώρας, σὺν δὲ αὐτῷ Κηφισόν τε καὶ Ἀστερίωνα καὶ τὸν Ἴναχον ποταμόν· κρινάντων δὲ Ἥρας εἶναι τὴν γῆν, οὕτω σφίσιν ἀφανίσαι τὸ ὕδωρ Ποσειδῶνα. καὶ διὰ τοῦτο οὔτε Ἴναχος ὕδωρ οὔτε ἄλλος παρέχεται τῶν εἰρημένων ποταμῶν ὅτι μὴ ὕσαντος τοῦ θεοῦ· θέρους δὲ αὖα σφίσιν ἐστὶ τὰ ῥεύματα, πλὴν τῶν ἐν Λέρνῃ. Φορωνεὺς δὲ ὁ Ἰνάχου τοὺς ἀνθρώπους συνήγαγε πρῶτον ἐς κοινόν, σποράδας τέως καὶ ἐφ' ἑαυτῶν ἑκάστοτε οἰκοῦντας· καὶ τὸ χωρίον ἐς ὃ πρῶτον ἠθροίσθησαν ἄστυ ὠνομάσθη Φορωνικόν.

XVI. Ἄργος δὲ Φορωνέως θυγατριδοῦς, βασιλεύσας μετὰ Φορωνέα, ὠνόμασεν ἀφ' αὑτοῦ τὴν χώραν. Ἄργου δὲ Πείρασος γίνεται καὶ Φόρβας, Φόρβαντος δὲ Τριόπας, Τριόπα δὲ Ἴασος καὶ Ἀγήνωρ. Ἰὼ μὲν οὖν Ἰάσου θυγάτηρ, εἴτε ὡς Ἡρόδοτος ἔγραψεν εἴτε καθ' ὃ λέγουσιν Ἕλληνες, ἐς Αἴγυπτον ἀφικνεῖται· Κρότωπος δὲ ὁ Ἀγήνορος ἔσχε μετὰ Ἴασον τὴν ἀρχήν. Κροτώπου δὲ Σθενέλας γίνεται. Δαναὸς δ' ἀπ' Αἰγύπτου πλεύσας ἐπὶ Γελάνορα τὸν Σθενέλα τοὺς ἀπογόνους τοὺς Ἀγήνορος βασιλείας ἔπαυσεν. τὰ δὲ ἀπὸ τούτου καὶ οἱ πάντες ὁμοίως ἴσασι, θυγατέρων τῶν Δαναοῦ τὸ ἐς τοὺς ἀνεψιοὺς τόλμημα καὶ ὡς ἀποθανόντος Δαναοῦ τὴν ἀρχὴν Λυγκεὺς ἔσχεν. 2. οἱ δὲ Ἄβαντος τοῦ Λυγκέως παῖδες 2
τὴν βασιλείαν ἐνείμαντο, καὶ Ἀκρίσιος μὲν αὐτοῦ κατέμεινεν ἐν τῷ Ἄργει, Προῖτος δὲ τὸ Ἡραῖον καὶ Μιδείαν καὶ Τίρυνθα ἔσχε καὶ ὅσα πρὸς θαλάσσῃ τῆς Ἀργείας·

σημεῖά τε τῆς ἐν Τίρυνθι οἰκήσεως Προίτου καὶ ἐς τόδε λείπεται. χρόνῳ δὲ ὕστερον Ἀκρίσιος Περσέα αὐτόν τε περιεῖναι πυνθανόμενος καὶ ἔργα ἀποδείκνυσθαι, ἐς Λάρισαν ἀπεχώρησε τὴν ἐπὶ τῷ Πηνειῷ. Περσεὺς δέ, ἰδεῖν γὰρ πάντως ἤθελε τὸν γονέα τῆς μητρὸς καὶ λόγοις τε χρηστοῖς καὶ ἔργοις δεξιώσασθαι, ἔρχεται παρ᾽ αὐτὸν ἐς
τὴν Λάρισαν· καὶ ὁ μὲν οἷα ἡλικίᾳ τε ἀκμάζων καὶ τοῦ 146
3 δίσκου χαίρων τῷ εὑρήματι ἐπεδείκνυτο ἐς ἅπαντας, Ἀκρίσιος δὲ λανθάνει κατὰ δαίμονα ὑποπεσὼν τοῦ δίσκου τῇ ὁρμῇ. καὶ Ἀκρισίῳ μὲν ἡ πρόρρησις τοῦ θεοῦ τέλος ἔσχεν, οὐδὲ ἀπέτρεψέν οἱ τὸ χρεὼν τὰ ἐς τὴν παῖδα καὶ τὸν θυγατριδοῦν παρευρήματα· 3. Περσεὺς δὲ ὡς ἀνέστρεψεν ἐς Ἄργος, ᾐσχύνετο γὰρ τοῦ φόνου τῇ φήμῃ, Μεγαπένθην τὸν Προίτου πείθει οἱ τὴν ἀρχὴν ἀντιδοῦναι, παραλαβὼν δὲ αὐτὸς τὴν ἐκείνου Μυκήνας κτίζει. τοῦ ξίφους γὰρ ἐνταῦθα ἐξέπεσεν ὁ μύκης αὐτῷ, καὶ τὸ σημεῖον ἐς οἰκισμὸν ἐνόμιζε συμβῆναι πόλεως. ἤκουσα δὲ καὶ ὡς διψῶντι ἐπῆλθεν ἀνελέσθαι οἱ μύκητα ἐκ τῆς γῆς, ῥυέντος δὲ ὕδατος πιὼν καὶ ἡσθεὶς Μυκήνας ἔθετο
4 τὸ ὄνομα τῷ χωρίῳ. Ὅμηρος δὲ ἐν Ὀδυσσείᾳ γυναικὸς Μυκήνης ἐν ἔπει τῷδε ἐμνήσθη

Τυρώ τ᾽ Ἀλκμήνη τε ἐϋστέφανός τε Μυκήνη.

ταύτην εἶναι θυγατέρα Ἰνάχου γυναῖκα δὲ Ἀρέστορος τὰ ἔπη λέγει ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῇ πόλει φασίν. ὃν δὲ προσποιοῦσιν Ἀκουσιλάου λόγον, Μυκηνέα υἱὸν εἶναι Σπάρτωνος, Σπάρτωνα δὲ Φορωνέως, οὐκ ἂν ἔγωγε ἀποδεξαίμην, διότι μηδὲ αὐτοὶ Λακεδαιμόνιοι. Λακεδαιμονίοις γὰρ Σπάρτης μὲν γυναικὸς εἰκών ἐστιν ἐν Ἀμύκλαις, Σπάρτωνα δὲ Φορωνέως παῖδα θαυμάζοιεν ἂν καὶ ἀρχὴν ἀκούσαντες.

5 4. Μυκήνας δὲ Ἀργεῖοι καθεῖλον ὑπὸ ζηλοτυπίας.

ἡσυχαζόντων γὰρ τῶν Ἀργείων κατὰ τὴν ἐπιστρατείαν
τοῦ Μήδου, Μυκηναῖοι πέμπουσιν ἐς Θερμοπύλας ὀγ-
δοήκοντα ἄνδρας, οἳ Λακεδαιμονίοις μετέσχον τοῦ ἔργου.
τοῦτο ἤνεγκέ σφισιν ὄλεθρον τὸ φιλοτίμημα παροξῦναν
Ἀργείους. λείπεται δὲ ὅμως ἔτι καὶ ἄλλα τοῦ περιβόλου
καὶ ἡ πύλη· λέοντες δὲ ἐφεστήκασιν αὐτῇ· Κυκλώπων
147 δὲ καὶ ταῦτα ἔργα εἶναι λέγουσιν, οἳ Προίτῳ τὸ τεῖχος
ἐποίησαν τὸ ἐν Τίρυνθι. 5. Μυκηνῶν δὲ ἐν τοῖς ἐρει- 6
πίοις κρήνη τέ ἐστι καλουμένη Περσεία, καὶ Ἀτρέως καὶ
τῶν παίδων ὑπόγαια οἰκοδομήματα, ἔνθα οἱ θησαυροί
σφισι τῶν χρημάτων ἦσαν. τάφος δὲ ἔστι μὲν Ἀτρέως,
εἰσὶ δὲ καὶ ὅσους σὺν Ἀγαμέμνονι ἐπανήκοντας ἐξ Ἰλίου
δειπνίσας κατεφόνευσεν Αἴγισθος. τοῦ μὲν δὴ Κασσάν-
δρας μνήματος ἀμφισβητοῦσι Λακεδαιμονίων οἱ περὶ
Ἀμύκλας οἰκοῦντες· ἕτερον δὲ ἐστιν Ἀγαμέμνονος, τὸ
δὲ Εὐρυμέδοντος τοῦ ἡνιόχου, καὶ Τελεδάμου τὸ αὐτὸ
καὶ Πέλοπος, τούτους γὰρ τεκεῖν διδύμους Κασσάνδραν 7
φασί, νηπίους δὲ ἔτι ὄντας ἐπικατέσφαξε τοῖς γονεῦσιν
Αἴγισθος, * * *· Πυλάδῃ γὰρ συνῴκησεν Ὀρέστου δόν-
τος. Ἑλλάνικος δὲ καὶ τάδε ἔγραψε, Μέδοντα καὶ Στρό-
φιον γενέσθαι Πυλάδῃ παῖδας ἐξ Ἠλέκτρας. Κλυταιμνή-
στρα δὲ ἐτάφη καὶ Αἴγισθος ὀλίγον ἀπωτέρω τοῦ τείχους,
ἐντὸς δὲ ἀπηξιώθησαν, ἔνθα Ἀγαμέμνων τε αὐτὸς ἔκειτο
καὶ οἱ σὺν ἐκείνῳ φονευθέντες.

XVII. Μυκηνῶν δὲ ἐν ἀριστερᾷ πέντε ἀπέχει καὶ δέκα στάδια τὸ Ἡραῖον. ῥεῖ δὲ κατὰ τὴν ὁδὸν ὕδωρ Ἐλευθέριον καλούμενον· χρῶνται δὲ αὐτῷ πρὸς καθάρσια αἱ περὶ τὸ ἱερὸν καὶ τῶν θυσιῶν ἐς τὰς ἀπορρήτους. 2. αὐτὸ δὲ τὸ ἱερόν ἐστιν ἐν χθαμαλωτέρῳ τῆς Εὐβοίας. τὸ γὰρ δὴ ὄρος τοῦτο ὀνομάζουσιν Εὔβοιαν, λέγοντες Ἀστερίωνι γενέσθαι τῷ ποταμῷ θυγατέρας Εὔβοιαν καὶ Πρόσυμναν καὶ Ἀκραίαν, εἶναι δὲ σφᾶς τροφοὺς τῆς Ἥρας·

2 καὶ ἀπὸ μὲν Ἀκραίας τὸ ὄρος καλοῦσι τὸ ἀπαντικρὺ τοῦ
Ἡραίου, ἀπὸ δὲ Εὐβοίας ὅσον περὶ τὸ ἱερόν, Πρόσυμναν
δὲ τὴν ὑπὸ τὸ Ἡραῖον χώραν. ὁ δὲ Ἀστερίων οὗτος ῥέων
ὑπὲρ τὸ Ἡραῖον ἐς φάραγγα ἐσπίπτων ἀφανίζεται. φύεται
δὲ αὐτοῦ πόα πρὸς ταῖς ὄχθαις· Ἀστερίωνα ὀνομάζουσι
καὶ τὴν πόαν· ταύτην τῇ Ἥρᾳ καὶ αὐτὴν φέρουσι καὶ ἀπὸ
3 τῶν φύλλων αὐτῇ στεφάνους πλέκουσιν. 3. Ἀρχιτέκτονα
μὲν δὴ γενέσθαι τοῦ ναοῦ λέγουσιν Εὐπόλεμον Ἀργεῖον·
ὁπόσα δὲ ὑπὲρ τοὺς κίονάς ἐστιν εἰργασμένα, τὰ μὲν ἐς 148
τὴν Διὸς γένεσιν καὶ θεῶν καὶ Γιγάντων μάχην ἔχει, τὰ
δὲ ἐς τὸν πρὸς Τροίαν πόλεμον καὶ Ἰλίου τὴν ἅλωσιν.
ἀνδριάντες τε ἑστήκασι πρὸ τῆς ἐσόδου, καὶ γυναικῶν αἳ
γεγόνασιν ἱέρειαι τῆς Ἥρας, καὶ ἡρώων ἄλλων τε καὶ
Ὀρέστου· τὸν γὰρ ἐπίγραμμα ἔχοντα ὡς εἴη βασιλεὺς
Αὔγουστος, Ὀρέστην εἶναι λέγουσιν. ἐν δὲ τῷ προνάῳ
τῇ μὲν Χάριτες ἀγάλματά ἐστιν ἀρχαῖα, ἐν δεξιᾷ δὲ κλίνη
τῆς Ἥρας, καὶ ἀνάθημα ἀσπὶς ἣν Μενέλαός ποτε ἀφεί-
4 λετο Εὔφορβον ἐν Ἰλίῳ. 4. Τὸ δὲ ἄγαλμα τῆς Ἥρας ἐπὶ
θρόνου κάθηται μεγέθει μέγα, χρυσοῦ μὲν καὶ ἐλέφαν-
τος, Πολυκλείτου δὲ ἔργον· ἔπεστι δέ οἱ στέφανος Χά-
ριτας ἔχων καὶ Ὥρας ἐπειργασμένας, καὶ τῶν χειρῶν τῇ
μὲν καρπὸν φέρει ῥοιᾶς, τῇ δὲ σκῆπτρον. τὰ μὲν οὖν ἐς
τὴν ῥοιάν, ἀπορρητότερος γάρ ἐστιν ὁ λόγος, ἀφείσθω
μοι· κόκκυγα δὲ ἐπὶ τῷ σκήπτρῳ καθῆσθαί φασι, λέ-
γοντες τὸν Δία, ὅτε ἤρα παρθένου τῆς Ἥρας, ἐς τοῦτον
τὸν ὄρνιθα ἀλλαγῆναι, τὴν δὲ ἅτε παίγνιον θηρᾶσαι.
τοῦτον τὸν λόγον καὶ ὅσα ἐοικότα εἴρηται περὶ θεῶν,
οὐκ ἀποδεχόμενος γράφω, γράφω δὲ οὐδὲν ἧσσον.
5 5. Λέγεται δὲ παρεστηκέναι τῇ Ἥρᾳ τέχνη Ναυκύδους
ἄγαλμα Ἥβης, ἐλέφαντος καὶ τοῦτο καὶ χρυσοῦ. παρὰ
δὲ αὐτήν ἐστιν ἐπὶ κίονος ἄγαλμα Ἥρας ἀρχαῖον. το δὲ
ἀρχαιότατον πεποίηται μὲν ἐξ ἀχράδος, ἀνετέθη δὲ ἐς

Τίρυνθα ὑπὸ Πειράσου τοῦ Ἄργου, Τίρυνθα δὲ ἀνε-
λόντες Ἀργεῖοι κομίζουσιν ἐς τὸ Ἡραῖον· ὃ δὴ καὶ αὐτὸς
εἶδον, καθήμενον ἄγαλμα οὐ μέγα. 6. Ἀναθήματα δὲ 6
τὰ ἄξια λόγου, βωμὸς ἔχων ἐπειργασμένον τὸν λεγόμενον
Ἥβης καὶ Ἡρακλέους γάμον· οὗτος μὲν ἀργύρου, χρυ-
σοῦ δὲ καὶ λίθων λαμπόντων Ἀδριανὸς βασιλεὺς ταὼν
ἀνέθηκεν· ἀνέθηκε δέ, ὅτι τὴν ὄρνιθα ἱερὰν τῆς Ἥρας
νομίζουσι. κεῖται δὲ καὶ στέφανος χρυσοῦς καὶ πέπλος
πορφύρας, Νέρωνος ταῦτα ἀναθήματα. 7. Ἔστι δὲ ὑπὲρ 7
τὸν ναὸν τοῦτον τοῦ προτέρου ναοῦ θεμέλιά τε καὶ εἰ δή
τι ἄλλο ὑπελίπετο ἡ φλόξ. κατεκαύθη δὲ τὴν ἱέρειαν τῆς
149 Ἥρας Χρυσηΐδα ὕπνου καταλαβόντος, ὅτε ὁ λύχνος
πρῶτον στεφανωμάτων ἥπτετο. καὶ Χρυσηῒς μὲν ἀπελ-
θοῦσα ἐς Τεγέαν τὴν Ἀθηνᾶν τὴν Ἀλέαν ἱκέτευεν· Ἀρ-
γεῖοι δὲ καίπερ κακοῦ τηλικούτου παρόντος σφίσι τὴν
εἰκόνα οὐ καθεῖλον τῆς Χρυσηΐδος, ἀνάκειται δὲ καὶ ἐς
τόδε τοῦ ναοῦ τοῦ κατακαυθέντος ἔμπροσθεν.

XVIII. Ἐκ Μυκηνῶν δὲ ἐς Ἄργος ἐρχομένοις ἐν ἀρι-
στερᾷ Περσέως παρὰ τὴν ὁδόν ἐστιν ἡρῷον. ἔχει μὲν δὴ
καὶ ἐνταῦθα τιμὰς παρὰ τῶν προσχώρων, μεγίστας δὲ
ἔν τε Σερίφῳ, καὶ παρ' Ἀθηναίοις Περσέως τέμενος καὶ
Δίκτυος καὶ Κλυμένης βωμὸς σωτήρων καλουμένων
Περσέως. 2. Ἐν δὲ τῇ Ἀργείᾳ προελθοῦσιν ὀλίγον ἀπὸ
τοῦ ἡρῴου τούτου Θυέστου τάφος ἐστὶν ἐν δεξιᾷ· λίθου
δὲ ἔπεστιν αὐτῷ κριός, ὅτι τὴν ἄρνα ὁ Θυέστης ἔσχε τὴν
χρυσῆν, μοιχεύσας τοῦ ἀδελφοῦ τὴν γυναῖκα. Ἀτρέα δὲ
οὐκ ἐπέσχεν ὁ λογισμὸς μετρῆσαι τὴν ἴσην, ἀλλὰ τῶν
Θυέστου παίδων σφαγὰς καὶ τὰ ᾀδόμενα δεῖπνα ἐξειρ-
γάσατο. ὕστερον δὲ οὐκ ἔχω σαφὲς εἰπεῖν πότερον ἀδι- 8
κίας ἦρξεν Αἴγισθος ἢ προϋπῆρξεν Ἀγαμέμνονι φόνος
Ταντάλου τοῦ Θυέστου· συνοικεῖν δέ φασιν αὐτὸν Κλυ-
ταιμνήστρᾳ παρθένῳ παρὰ Τυνδάρεω λαβόντα. ἐγὼ

δὲ καταγνῶναι μὲν οὐκ ἐθέλω φύσει σφᾶς γενέσθαι κακούς· εἰ δὲ ἐπὶ τοσοῦτο αὐτοῖς τὸ μίασμα τὸ Πέλοπος καὶ ὁ Μυρτίλου προστρόπαιος ἠκολούθησε, τούτοις ἦν ἄρα ὁμολογοῦντα, ἡνίκα ἡ Πυθία Γλαύκῳ τῷ Ἐπικύδους Σπαρτιάτῃ, βουλεύσαντι ἐπίορκα ὀμόσαι, καὶ τοῦδε εἶπεν ἐς τοὺς ἀπογόνους κατιέναι τὴν δίκην.

3 3. Ἀπὸ δὲ τῶν Κριῶν, οὕτω γὰρ τοῦ Θυέστου τὸ 150
μνῆμα ὀνομάζουσι, προελθοῦσιν ὀλίγον ἐστὶν ἐν ἀριστερᾷ χωρίον Μυσία καὶ Δήμητρος Μυσίας ἱερόν, ἀπὸ ἀνδρὸς Μυσίου τὸ ὄνομα, γενομένου καὶ τούτου, καθάπερ λέγουσιν Ἀργεῖοι, ξένου τῇ Δήμητρι. τούτῳ μὲν οὖν οὐκ ἔπεστιν ὄροφος· ἐν δὲ αὐτῷ ναός ἐστιν ἄλλος ὀπτῆς πλίνθου, ξόανα δὲ Κόρης καὶ Πλούτωνος καὶ Δήμητρός ἐστι. προελθοῦσι δὲ ποταμός ἐστιν Ἴναχος, καὶ διαβᾶσιν Ἡλίου βωμός. ἐντεῦθεν δὲ ἐπὶ πύλην ἥξεις καλουμένην ἀπὸ τοῦ πλησίον ἱεροῦ· τὸ δὲ ἱερόν ἐστιν Εἰλειθυίας.

4 4. Μόνους δὲ Ἑλλήνων οἶδα Ἀργείους ἐς τρεῖς βασιλείας νεμηθέντας. ἐπὶ γὰρ τῆς ἀρχῆς τῆς Ἀναξαγόρου τοῦ Ἄργου τοῦ Μεγαπένθους μανία ταῖς γυναιξὶν ἐνέπεσεν, ἐκφοιτῶσαι δὲ ἐκ τῶν οἰκιῶν ἐπλανῶντο ἀνὰ τὴν χώραν, ἐς ὃ Μελάμπους ὁ Ἀμυθάονος ἔπαυσε σφᾶς τῆς νόσου, ἐφ' ᾧ τε αὐτὸς καὶ ὁ ἀδελφὸς Βίας Ἀναξαγόρᾳ τὸ ἴσον ἕξουσιν. ἀπὸ μὲν δὴ Βίαντος βασιλεύουσι πέντε ἄνδρες ἐπὶ γενεὰς τέσσαρας ἐς Κυάνιππον τὸν Αἰγιαλέως, ὄντες Νηλεῖδαι τὰ πρὸς μητρός, ἀπὸ δὲ Μελάμποδος γενεαί τε ἓξ καὶ ἄνδρες ἴσοι μέχρις Ἀμφιλόχου τοῦ Ἀμφια-
5 ράου· τὸ δὲ ἐγχώριον γένος οἱ Ἀναξαγορίδαι βασιλεύουσι πλέον. Ἶφις μὲν γὰρ ὁ Ἀλέκτορος τοῦ Ἀναξαγόρου Σθενέλῳ τῷ Καπανέως ἀδελφοῦ παιδὶ ἀπέλιπε τὴν ἀρχήν· Ἀμφιλόχου δὲ μετὰ ἅλωσιν Ἰλίου μετοικήσαντος ἐς τοὺς νῦν Ἀμφιλόχους, Κυανίππου δ' ἄπαιδος

τελευτήσαντος, οὕτω Κυλαράβης ὁ Σθενέλου μόνος τὴν
βασιλείαν ἔσχεν. 5. οὐ μέντοι παῖδας κατέλιπεν οὐδ' οὗ-
τος, ἀλλὰ Ὀρέστης ὁ Ἀγαμέμνονος τὸ Ἄργος κατέσχε
παροικῶν τε ἐγγὺς αὐτῷ καὶ ἄνευ τῆς πατρῴας ἀρχῆς
151 προσπεποιημένος μὲν Ἀρκάδων τοὺς πολλούς, παρειλη-
φὼς δὲ καὶ τὴν ἐν Σπάρτῃ βασιλείαν, συμμαχικοῦ δὲ ἐκ
Φωκέων ἀεί ποτε ἐπ' ὠφελείᾳ ἑτοίμου παρόντος. Λα- 6
κεδαιμονίων δὲ ἐβασίλευσεν Ὀρέστης Λακεδαιμονίων
ἐφέντων αὐτῷ· τοὺς γὰρ Τυνδάρεω θυγατριδοῦς τὴν
ἀρχὴν ἔχειν ἠξίουν πρὸ Νικοστράτου καὶ Μεγαπένθους
Μενελάῳ γεγενημένων ἐκ δούλης. Ὀρέστου δὲ ἀποθα-
νόντος ἔσχε Τισαμενὸς τὴν ἀρχὴν Ἑρμιόνης τῆς Μενε-
λάου καὶ Ὀρέστου παῖς. τὸν δὲ Ὀρέστου νόθον Πενθί-
λον Κιναίθων ἔγραψεν ἐν τοῖς ἔπεσιν Ἠριγόνην τὴν Αἰ-
γίσθου τεκεῖν. 6. ἐπὶ δὲ τοῦ Τισαμενοῦ τούτου κατίασιν
ἐς Πελοπόννησον Ἡρακλεῖδαι, Τήμενος μὲν καὶ Κρε- 7
σφόντης Ἀριστομάχου, τοῦ τρίτου δὲ Ἀριστοδήμου προ-
τεθνεῶτος εἵποντο οἱ παῖδες. Ἄργους μὲν δὴ καὶ τῆς ἐν
Ἄργει βασιλείας ὀρθότατα, ἐμοὶ δοκεῖν, ἠμφισβήτουν,
ὅτι ἦν Πελοπίδης ὁ Τισαμενός, οἱ δὲ Ἡρακλεῖδαι τὸ ἀνέ-
καθέν εἰσι Περσεῖδαι. Τυνδάρεων δὲ αὐτὸν ἐκπεσόντα
ἀπέφαινον ὑπὸ Ἱπποκόωντος· Ἡρακλέα δὲ ἔφασαν ἀπο-
κτείναντα Ἱπποκόωντα καὶ τοὺς παῖδας παρακαταθέσθαι
Τυνδάρεῳ τὴν χώραν. τοιαῦτα δὲ καὶ περὶ τῆς Μεσση-
νίας ἕτερα ἔλεγον, παρακαταθήκην Νέστορι δοθῆναι καὶ
ταύτην ὑπὸ Ἡρακλέους ἑλόντος Πύλον. 7. Ἐκβάλλουσιν 8
οὖν ἐκ μὲν Λακεδαίμονος καὶ Ἄργους Τισαμενόν, ἐκ δὲ
τῆς Μεσσηνίας τοὺς Νέστορος ἀπογόνους, Ἀλκμαίωνα
Σίλλου τοῦ Θρασυμήδους καὶ Πεισίστρατον τὸν Πεισι-
στράτου καὶ τοὺς Παίονος τοῦ Ἀντιλόχου παῖδας, σὺν δὲ
αὐτοῖς Μέλανθον τὸν Ἀνδροπόμπου τοῦ Βώρου τοῦ
Πενθίλου τοῦ Περικλυμένου. Τισαμενὸς μὲν οὖν ἦλθε

9 σὺν τῇ στρατιᾷ καὶ οἱ παῖδες ἐς τὴν νῦν Ἀχαΐαν· οἱ δὲ
Νηλεῖδαι πλὴν Πεισιστράτου, τοῦτον γὰρ οὐκ οἶδα παρ' 152
οὕστινας ἀπεχώρησεν, ἐς Ἀθήνας ἀφίκοντο οἱ λοιποί,
καὶ τὸ Παιονιδῶν γένος καὶ Ἀλκμαιωνιδῶν ἀπὸ τούτων
ὠνομάσθησαν. Μέλανθος δὲ καὶ τὴν βασιλείαν ἔσχεν,
ἀφελόμενος Θυμοίτην τὸν Ὀξύντου· Θυμοίτης γὰρ Θη-
σειδῶν ἔσχατος ἐβασίλευσεν Ἀθηναίων.

XIX. Τὰ μὲν οὖν Κρεσφόντου καὶ τῶν Ἀριστοδή-
μου παίδων οὐκ ἤπειγεν ὁ λόγος με ἐνταῦθα δηλῶσαι·
Τήμενος δὲ ἐκ μὲν τοῦ φανεροῦ Δηϊφόντῃ τῷ Ἀντιμά-
χου τοῦ Θρασυάνορος τοῦ Κτησίππου τοῦ Ἡρακλέους
στρατηγῷ πρὸς τὰς μάχας ἐχρήσατο ἀντὶ τῶν υἱῶν καὶ
σύμβουλον ἐς πάντα εἶχεν, ἅτε αὐτόν τε ἐκεῖνον πεποιη-
μένος πρότερον ἔτι γαμβρὸν καὶ τῶν παίδων ἀρεσκόμε-
νος τῇ Ὑρνηθοῖ μάλιστα, ὑπωπτεύετο δὲ ἤδη καὶ τὴν
βασιλείαν ἐς ἐκείνην καὶ Δηϊφόντην τρέπειν. ἐπεβου-
λεύθη δὲ τούτων ἕνεκα ὑπὸ τῶν υἱῶν· ἐκείνων δὲ αὐτῷ
2 Κεῖσος πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν. 2. Ἀργεῖοι δέ,
ἅτε ἰσηγορίαν καὶ τὸ αὐτόνομον ἀγαπῶντες ἐκ παλαιο-
τάτου, τὰ τῆς ἐξουσίας τῶν βασιλέων ἐς ἐλάχιστον προή-
γαγον, ὡς Μήδωνι τῷ Κείσου καὶ τοῖς ἀπογόνοις τὸ
ὄνομα λειφθῆναι τῆς βασιλείας μόνον. Μέλταν δὲ τὸν
Λακήδου δέκατον ἀπόγονον Μήδωνος τὸ παράπαν ἔπαυ-
σεν ἀρχῆς καταγνοὺς ὁ δῆμος.

3 3. Ἀργείοις δὲ τῶν ἐν τῇ πόλει τὸ ἐπιφανέστατόν
ἐστιν Ἀπόλλωνος ἱερὸν Λυκίου. τὸ μὲν οὖν ἄγαλμα τὸ
ἐφ' ἡμῶν Ἀττάλου ποίημα ἦν Ἀθηναίου, τὸ δὲ ἐξ ἀρχῆς
Δαναοῦ καὶ ὁ ναὸς καὶ τὸ ξόανον ἀνάθημα ἦν· ξόανα
γὰρ δὴ τότε εἶναι πείθομαι πάντα, καὶ μάλιστα τὰ Αἰ-
γύπτια. Δαναὸς δὲ ἱδρύσατο Λύκιον Ἀπόλλωνα ἐπ' αἰ-
τίᾳ τοιαύτῃ. παραγενόμενος ἐς τὸ Ἄργος ἠμφισβήτει
πρὸς Γελάνορα τὸν Σθενέλα περὶ τῆς ἀρχῆς. ῥηθέντων

δὲ ἐπὶ τοῦ δήμου παρ' ἀμφοτέρων πολλῶν τε καὶ ἐπαγωγῶν, καὶ οὐχ ἧσσον δίκαια λέγειν τοῦ Γελάνορος δόξαν-
153 τος, ὁ μὲν δῆμος ὑπερέθετο, φασίν, ἐς τὴν ἐπιοῦσαν
κρίνειν· ἀρχομένης δὲ ἡμέρας ἐς βοῶν ἀγέλην νεμομένην 4
πρὸ τοῦ τείχους ἐσπίπτει λύκος, προσπεσὼν δὲ ἐμάχετο πρὸς ταῦρον ἡγεμόνα τῶν βοῶν. παρίσταται δὴ τοῖς Ἀργείοις τῷ μὲν Γελάνορα, Δαναὸν δὲ εἰκάσαι τῷ λύκῳ, ὅτι οὔτε τὸ θηρίον τοῦτό ἐστιν ἀνθρώποις σύντροφον οὔτε Δαναός σφισιν ἐς ἐκεῖνο τοῦ χρόνου. ἐπεὶ δὲ τὸν ταῦρον κατειργάσατο ὁ λύκος, διὰ τοῦτο ὁ Δαναὸς ἔσχε τὴν ἀρχήν. οὕτω δὴ νομίζων Ἀπόλλωνα ἐπὶ τὴν ἀγέλην ἐπαγαγεῖν τῶν βοῶν τὸν λύκον, ἱδρύσατο Ἀπόλλωνος ἱερὸν
Λυκίου. 4. Ἐνταῦθα ἀνάκειται μὲν θρόνος Δαναοῦ, κεῖ- 5
ται δὲ εἰκὼν Βίτωνος, ἀνὴρ ἐπὶ τῶν ὤμων φέρων ταῦρον· ὡς δὲ Λυκέας ἐποίησεν, ἐς Νεμέαν Ἀργείων ἀγόντων θυσίαν τῷ Διὶ ὁ Βίτων ὑπὸ ῥώμης τε καὶ ἰσχύος ταῦρον ἀράμενος ἤνεγκεν. 5. Ἑξῆς δὲ τῆς εἰκόνος ταύτης πῦρ καίουσιν, ὀνομάζοντες Φορωνέως εἶναι· οὐ γάρ τι ὁμολογοῦσι δοῦναι πῦρ Προμηθέα ἀνθρώποις, ἀλλὰ ἐς Φορωνέα τοῦ πυρὸς μετάγειν ἐθέλουσι τὴν εὕρεσιν.
6. Τὰ δὲ ξόανα Ἀφροδίτης καὶ Ἑρμοῦ, τὸ μὲν Ἐπειοῦ 6
λέγουσιν ἔργον εἶναι, τὸ δὲ Ὑπερμνήστρας ἀνάθημα. ταύτην γὰρ τῶν θυγατέρων μόνην τὸ πρόσταγμα ὑπεριδοῦσαν ὑπήγαγεν ὁ Δαναὸς ἐς δικαστήριον, τοῦ τε Λυγκέως οὐκ ἀκίνδυνον αὐτῷ τὴν σωτηρίαν ἡγούμενος, καὶ ὅτι τοῦ τολμήματος οὐ μετασχοῦσα ταῖς ἀδελφαῖς καὶ τῷ βουλεύσαντι τὸ ὄνειδος ηὔξησε. κριθεῖσα δὲ ἐν τοῖς Ἀργείοις ἀποφεύγει τε καὶ Ἀφροδίτην ἐπὶ τῷδε ἀνέθηκε
Νικηφόρον. τοῦ ναοῦ δέ ἐστιν ἐντὸς Λάδας ποδῶν ὠκύ- 7
τητι ὑπερβαλλόμενος τοὺς ἐφ' αὑτοῦ, καὶ Ἑρμῆς ἐς λύρας ποίησιν χελώνην ἠρκώς. ἔστι δὲ ἔμπροσθεν τοῦ ναοῦ
154 βόθρος, πεποιημένα ἐν τύπῳ ταύρου μάχην ἔχων καὶ

λύκου, σὺν δὲ αὐτοῖς παρθένον ἀφιεῖσαν πέτραν ἐπὶ τὸν ταῦρον. Ἄρτεμιν δὲ εἶναι νομίζουσι τὴν παρθένον. Δαναὸς δὲ ταῦτά τε ἀνέθηκε καὶ πλησίον κίονας ἐκ ** Διὸς καὶ Ἀρτέμιδος ξόανον.

8 7. Τάφοι δέ εἰσιν, ὁ μὲν Λίνου τοῦ Ἀπόλλωνος καὶ Ψαμάθης τῆς Κροτώπου, τὸν δὲ λέγουσιν εἶναι Λίνου τοῦ ποιήσαντος τὰ ἔπη. τὰ μὲν οὖν ἐς τοῦτον οἰκειότερα ὄντα ἑτέρῳ λόγῳ παρίημι τῷδε, τὰ δὲ ἐς τὸν Ψαμάθης ἡ Μεγαρική μοι συγγραφὴ προεδήλωσεν. ἐπὶ τούτοις ἐστὶν Ἀπόλλων Ἀγυιεὺς καὶ βωμὸς Ὑετίου Διός, ἔνθα οἱ συσπεύδοντες Πολυνείκει τὴν ἐς Θήβας κάθοδον ἀποθανεῖσθαι συνώμοσαν, ἢν μὴ τὰς Θήβας γένηταί σφισιν ἑλεῖν. ἐς δὲ τοῦ Προμηθέως τὸ μνῆμα ἧσσόν μοι δοκοῦσιν Ὀπουντίων εἰκότα λέγειν, λέγουσι δὲ ὅμως.

XX. Παρέντι δὲ Κρεύγα τε εἰκόνα, ἀνδρὸς πύκτου, καὶ τρόπαιον ἐπὶ Κορινθίοις ἀνασταθέν, ἄγαλμά ἐστι καθήμενον Διὸς Μειλιχίου, λίθου λευκοῦ, Πολυκλείτου δὲ ἔργον. ποιηθῆναι δὲ ἐπυνθανόμην αὐτὸ ἐπ᾽ αἰτίᾳ τοιαύτῃ. Λακεδαιμονίοις πολεμεῖν πρὸς Ἀργείους ἀρξαμένοις οὐδεμία ἦν ἔτι ἀπαλλαγή, πρὶν ἢ Φίλιππος σφᾶς ἠνάγκασεν ὁ Ἀμύντου μένειν ἐπὶ τοῖς καθεστηκόσιν ἐξ ἀρχῆς ὅροις τῆς χώρας. τὸν δὲ ἔμπροσθεν χρόνον οἱ Λακεδαιμόνιοι μηδὲν ἔξω Πελοποννήσου περιεργαζόμενοι τῆς Ἀργείας ἀεί τι ἀπετέμνοντο, ἢ οἱ Ἀργεῖοι τετραμμένων πρὸς πόλεμον ἐκείνων ὑπερόριον ἐν τῷ τοιούτῳ καὶ 155

2 αὐτοί σφισιν ἐνέκειντο. προηγμένου δὲ ἀμφοτέροις ἐς ἄκρον τοῦ μίσους ἔδοξεν Ἀργείοις λογάδας τρέφειν χιλίους· ἡγεμὼν δὲ ἐτέτακτο ἐπ᾽ αὐτοῖς Βρύας Ἀργεῖος, ὃς ἄλλα τε ἐς ἄνδρας ὕβρισε τοῦ δήμου, καὶ παρθένον κομιζομένην παρὰ τὸν νυμφίον ᾔσχυνεν ἀφελόμενος τοὺς ἄγοντας. ἐπιλαβούσης δὲ τῆς νυκτὸς τυφλοῖ τὸν Βρύαντα ἡ παῖς φυλάξασα ὑπνωμένον· φωραθεῖσα δὲ

ὡς ἐπέσχεν ἡμέρα, κατέφυγεν ἱκέτις ἐς τὸν δῆμον. οὐ
προεμένων δὲ αὐτὴν τιμωρήσασθαι τοῖς χιλίοις, καὶ ἀπὸ
τούτου προαχθέντων ἐς μάχην ἀμφοτέρων, κρατοῦσιν
οἱ τοῦ δήμου, κρατήσαντες δὲ οὐδένα ὑπὸ τοῦ θυμοῦ
τῶν ἐναντίων ἔλιπον. ὕστερον δὲ ἄλλα τε ἐπηγάγοντο
καθάρσια ὡς ἐπὶ αἵματι ἐμφυλίῳ, καὶ ἄγαλμα ἀνέθηκαν
Μειλιχίου Διός. 2. Πλησίον δέ εἰσιν ἐπειργασμένοι λίθῳ 3
Κλέοβις καὶ Βίτων, αὐτοί τε ἕλκοντες τὴν ἅμαξαν, καὶ
ἐπ' αὐτῇ ἄγοντες τὴν μητέρα ἐς τὸ Ἡραῖον. 3. τούτων δὲ
ἀπαντικρὺ Νεμείου Διός ἐστιν ἱερόν, ἄγαλμα ὀρθὸν
χαλκοῦν, τέχνη Λυσίππου. μετὰ δὲ αὐτὸ προελθοῦσιν
ἐν δεξιᾷ Φορωνέως τάφος ἐστίν· ἐναγίζουσι δὲ καὶ ἐς
ἡμᾶς ἔτι τῷ Φορωνεῖ. πέραν δὲ τοῦ Νεμείου Διὸς Τύχης
ἐστὶν ἐκ παλαιοτάτου ναός, εἰ δὴ Παλαμήδης κύβους εὑ-
ρὼν ἀνέθηκεν ἐς τοῦτον τὸν ναόν. τὸ δὲ μνῆμα τὸ πλη- 4
σίον Χορείας μαινάδος ὀνομάζουσι, Διονύσῳ λέγοντες
καὶ ἄλλας γυναῖκας καὶ ταύτην ἐς Ἄργος συστρατεύσα-
σθαι, Περσέα δέ, ὡς ἐκράτει τῆς μάχης, φονεῦσαι τῶν
γυναικῶν τὰς πολλάς· τὰς μὲν οὖν λοιπὰς θάπτουσιν ἐν
κοινῷ, ταύτῃ δέ, ἀξιώματι γὰρ δὴ προεῖχεν, ἰδίᾳ τὸ μνῆμα
ἐποίησαν. 4. ἀπωτέρω δὲ ὀλίγον Ὡρῶν ἱερόν ἐστιν. ἐπ- 5
ανιόντι δὲ ἐκεῖθεν ἀνδριάντες ἑστήκασι Πολυνείκους τοῦ
Οἰδίποδος καὶ ὅσοι σὺν ἐκείνῳ τῶν ἐν τέλει πρὸς τὸ τεῖ-
χος μαχόμενοι τὸ Θηβαίων ἐτελεύτησαν. τούτους τοὺς
156 ἄνδρας ἐς μόνων ἑπτὰ ἀριθμὸν κατήγαγεν Αἰσχύλος
πλειόνων ἔκ τε Ἄργους ἡγεμόνων καὶ Μεσσήνης καί
τινων καὶ Ἀρκάδων στρατευσαμένων. τούτων δὲ τῶν
ἑπτά, ἐπηκολουθήκασι γὰρ καὶ Ἀργεῖοι τῇ Αἰσχύλου
ποιήσει, πλησίον κεῖνται καὶ οἱ τὰς Θήβας ἑλόντες, Αἰ-
γιαλεὺς Ἀδράστου, καὶ Πρόμαχος ὁ Παρθενοπαίου τοῦ
Ταλαοῦ, καὶ Πολύδωρος Ἱππομέδοντος, καὶ Θέρσανδρος,
καὶ οἱ Ἀμφιαράου παῖδες Ἀλκμαίων τε καὶ Ἀμφίλοχος,

Διομήδης τε καὶ Σθένελος· παρῆν δὲ ἔτι καὶ ἐπὶ τούτων
Εὐρύαλος Μηκιστέως καὶ Πολυνείκους Ἄδραστος καὶ
6 Τιμέας. τῶν δὲ ἀνδριάντων οὐ πόρρω δείκνυται Δαναοῦ
μνῆμα καὶ Ἀργείων τάφος κενὸς ὁπόσους ἔν τε Ἰλίῳ καὶ
ὀπίσω κομιζομένους ἐπέλαβεν ἡ τελευτή. 5. καὶ Διός
ἐστιν ἐνταῦθα ἱερὸν Σωτῆρος. καὶ παριοῦσίν ἐστιν οἴ-
κημα ἔνθα τὸν Ἄδωνιν αἱ γυναῖκες Ἀργείων ὀδύρονται.
ἐν δεξιᾷ δὲ τῆς ἐσόδου τῷ Κηφισῷ πεποίηται τὸ ἱερόν·
τῷ δὲ ποταμῷ τούτῳ τὸ ὕδωρ φασὶν οὐ καθάπαξ ὑπὸ τοῦ
Ποσειδῶνος ἀφανισθῆναι, ἀλλὰ ἐνταῦθα δὴ μάλιστα,
7 ἔνθα καὶ τὸ ἱερόν ἐστι, συνιᾶσιν ὑπὸ γῆν ῥέοντος. παρὰ
δὲ τὸ ἱερὸν τοῦ Κηφισοῦ Μεδούσης λίθου πεποιημένη
κεφαλή· Κυκλώπων φασὶν εἶναι καὶ τοῦτο τὸ ἔργον. τὸ
δὲ χωρίον τὸ ὄπισθεν καὶ ἐς τόδε Κριτήριον ὀνομάζου-
σιν, Ὑπερμνήστραν ἐνταῦθα ὑπὸ Δαναοῦ κριθῆναι λέ-
γοντες. 6. τούτου δέ ἐστιν οὐ πόρρω θέατρον· ἐν δὲ αὐ-
τῷ καὶ ἄλλα θέας ἄξια καὶ ἀνὴρ φονεύων ἐστὶν ἄνδρα,
Ὀθρυάδαν τὸν Σπαρτιάτην Περίλαος Ἀργεῖος ὁ Ἀλκή-
νορος. Περιλάῳ δὲ τούτῳ καὶ πρότερον ἔτι ὑπῆρχε Νε-
8 μείων ἀνῃρῆσθαι νίκην παλαίοντι. 7. Ὑπὲρ δὲ τὸ θέα-
τρον Ἀφροδίτης ἐστὶν ἱερόν, ἔμπροσθεν δὲ τοῦ ἕδους
Τελέσιλλα ἡ ποιήσασα τὰ ᾄσματα ἐπείργασται στήλῃ· καὶ 157
βιβλία μὲν ἐκεῖνα ἔρριπταί οἱ πρὸς τοῖς ποσίν, αὐτὴ δὲ
ἐς κράνος ὁρᾷ κατέχουσα τῇ χειρὶ καὶ ἐπιτίθεσθαι τῇ κε-
φαλῇ μέλλουσα. ἦν δὲ ἡ Τελέσιλλα καὶ ἄλλως ἐν ταῖς γυ-
ναιξὶν εὐδόκιμος, καὶ μᾶλλον ἐτιμᾶτο ἔτι ἐπὶ τῇ ποιήσει.
συμβάντος δὲ Ἀργείοις ἀτυχῆσαι λόγου μειζόνως πρὸς
Κλεομένην τὸν Ἀναξανδρίδου καὶ Λακεδαιμονίους, καὶ
τῶν μὲν ἐν αὐτῇ πεπτωκότων τῇ μάχῃ, ὅσοι δὲ ἐς τὸ ἄλ-
σος τοῦ Ἄργου κατέφευγον διαφθαρέντων καὶ τούτων,
τὰ μὲν πρῶτα ἐξιόντων κατὰ ὁμολογίαν, ὡς δὲ ἔγνωσαν
ἀπατώμενοι, συγκατακαυθέντων τῷ ἄλσει τῶν λοιπῶν,

οὕτω τοὺς Λακεδαιμονίους Κλεομένης ἦγεν ἐπὶ ἔρημον ἀνδρῶν τὸ Ἄργος. 8. Τελέσιλλα δὲ οἰκέτας μὲν καὶ ὅσοι διὰ νεότητα ἢ γῆρας ὅπλα ἀδύνατοι φέρειν ἦσαν, τούτους μὲν πάντας ἀνεβίβασεν ἐπὶ τὸ τεῖχος, αὐτὴ δὲ ὁπόσα ἐν ταῖς οἰκίαις ὑπελείπετο καὶ τὰ ἐκ τῶν ἱερῶν ὅπλα ἀθροίσασα τὰς ἀκμαζούσας ἡλικίᾳ τῶν γυναικῶν ὥπλιζεν, ὁπλίσασα δὲ ἔτασσε κατὰ τοῦτο ᾗ τοὺς πολεμίους προσιόντας ἠπίστατο. ὡς δὲ * * ἐγίνοντο οἱ Λακεδαιμόνιοι καὶ αἱ γυναῖκες οὔτε τῷ ἀλαλαγμῷ κατεπλάγησαν δεξάμεναί τε ἐμάχοντο ἐρρωμένως, ἐνταῦθα οἱ Λακεδαιμόνιοι φρονήσαντες ὡς καὶ διαφθείρασί σφισι τὰς γυναῖκας ἐπιφθόνως τὸ κατόρθωμα ἕξει καὶ σφαλεῖσι μετὰ ὀνειδῶν γενήσοιτο ἡ συμφορά, ὑπείκουσι ταῖς γυναιξί.
πρότερον δὲ ἔτι τὸν ἀγῶνα τοῦτον προεσήμηνεν ἡ Πυ- 10
θία, καὶ τὸ λόγιον εἴτε ἄλλως εἴτε καὶ συνεὶς ἐδήλωσεν Ἡρόδοτος·

ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρρενα νικήσασα
ἐξελάσῃ καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει.

8 τὰ μὲν ἐς τὸ ἔργον τῶν γυναικῶν ἔχοντα τοῦ χρησμοῦ ταῦτα ἦν.

XXI. Κατελθοῦσι δὲ ἐντεῦθεν καὶ τραπεῖσιν αὖθις ἐπὶ τὴν ἀγορὰν ἔστι μὲν Κερδοῦς Φορωνέως γυναικὸς μνῆμα, ἔστι δὲ ναὸς Ἀσκληπιοῦ. τὸ δὲ τῆς Ἀρτέμιδος ἱερὸν ἐπίκλησιν Πειθοῦς, Ὑπερμνήστρα καὶ τοῦτο ἀνέθηκε, νικήσασα τῇ δίκῃ τὸν πατέρα, ἣν τοῦ Λυγκέως ἕνεκα ἔφυγε. 2. καὶ Αἰνείου ἐνταῦθα χαλκοῦς ἀνδριάς ἐστι, καὶ χωρίον καλούμενον Δέλτα· ἐφ' ὅτῳ δέ, οὐ γάρ
μοι τὰ λεγόμενα ἤρεσκεν, ἑκὼν παρίημι. πρὸ δὲ αὐτοῦ 2
πεποίηται Διὸς Φυξίου βωμός, καὶ πλησίον Ὑπερμνήστρας μνῆμα Ἀμφιαράου μητρός, τὸ δὲ ἕτερον Ὑπερμνήστρας τῆς Δαναοῦ· σὺν δὲ αὐτῇ καὶ Λυγκεὺς τέθαπται.

τούτων δὲ ἀπαντικρὺ Ταλαοῦ τοῦ Βίαντός ἐστι τάφος· τὰ δὲ ἐς Βίαντα καὶ ἀπογόνους τοὺς Βίαντος ἤδη λέλεκταί
3 μοι. 3. Ἀθηνᾶς δὲ ἱδρύσασθαι Σάλπιγγος ἱερόν φασιν Ἡγέλεων. Τυρσηνοῦ δὲ τοῦτον τὸν Ἡγέλεων, τὸν δὲ Ἡρακλέους εἶναι καὶ γυναικὸς λέγουσι τῆς Λυδῆς, Τυρσηνὸν δὲ σάλπιγγα εὑρεῖν πρῶτον, Ἡγέλεων δὲ τὸν Τυρσηνοῦ διδάξαι τοὺς σὺν Τημένῳ Δωριέας τοῦ ὀργάνου τὸν ψόφον, καὶ δι' αὐτὸ Ἀθηνᾶν ἐπονομάσαι Σάλπιγγα. 4. Πρὸ δὲ τοῦ ναοῦ τῆς Ἀθηνᾶς Ἐπιμενίδου λέγουσιν εἶναι τάφον· Λακεδαιμονίους γὰρ πολεμήσαντας πρὸς Κνωσίους ἑλεῖν ζῶντα Ἐπιμενίδην, λαβόντας δὲ ἀποκτεῖναι, διότι σφίσιν οὐκ αἴσια ἐμαντεύετο, αὐτοὶ δὲ
4 ἀνελόμενοι θάψαι ταύτῃ φασί. 5. Τὸ δὲ οἰκοδόμημα λευκοῦ λίθου, κατὰ μέσον μάλιστα τῆς ἀγορᾶς, οὐ τρόπαιον ἐπὶ Πύρρῳ τῷ Ἠπειρώτῃ, καθὰ λέγουσιν οἱ Ἀργεῖοι, καυθέντος δὲ ἐνταῦθα τοῦ νεκροῦ μνῆμα καὶ τοῦτο ἂν εὕροι τις, ἐν ᾧ τά τε ἄλλα ὅσοις ὁ Πύρρος ἐχρῆτο ἐς τὰς μάχας καὶ οἱ ἐλέφαντές εἰσιν ἐπειργασμένοι. τοῦτο μὲν δὴ κατὰ τὴν πυρὰν οἰκοδόμημα ἐγένετο· αὐτὰ δὲ κεῖται τοῦ Πύρρου τὰ ὀστᾶ ἐν τῷ ἱερῷ τῆς Δήμητρος, παρ' ᾧ συμβῆναί οἱ καὶ τὴν τελευτὴν ἐδήλωσα ἐν τῇ Ἀτθίδι συγγραφῇ. τοῦ δὲ τῆς Δήμητρος ἱεροῦ τούτου κατὰ τὴν 159
ἔσοδον ἀσπίδα ἰδεῖν Πύρρου χαλκῆν ἔστιν ὑπὲρ τῶν θυρῶν ἀνακειμένην.

5 6. Τοῦ δὲ ἐν τῇ ἀγορᾷ τῇ Ἀργείων οἰκοδομήματος οὐ μακρὰν χῶμα γῆς ἐστίν· ἐν δὲ αὐτῷ κεῖσθαι τὴν Μεδούσης λέγουσι τῆς Γοργόνος κεφαλήν. ἀπόντος δὲ τοῦ μύθου τάδε ἄλλα ἐς αὐτήν ἐστιν εἰρημένα, Φόρκου μὲν θυγατέρα εἶναι, τελευτήσαντος δέ οἱ τοῦ πατρὸς βασιλεύειν τῶν περὶ τὴν λίμνην τὴν Τριτωνίδα οἰκούντων, καὶ ἐπὶ θήραν τε ἐξιέναι καὶ ἐς τὰς μάχας ἡγεῖσθαι τοῖς Λίβυσι, καὶ δὴ καὶ τότε ἀντικαθημένην στρατῷ πρὸς τὴν

Περσέως δύναμιν, ἕπεσθαι γὰρ καὶ τῷ Περσεῖ λογάδας
ἐκ Πελοποννήσου, δολοφονηθῆναι νύκτωρ, καὶ τὸν Περ-
σέα τὸ κάλλος ἔτι καὶ ἐπὶ νεκρῷ θαυμάζοντα, οὕτω τὴν
κεφαλὴν ἀποτεμόντα αὐτῆς ἄγειν τοῖς Ἕλλησιν ἐς ἐπί-
δειξιν. 7. Καρχηδονίῳ δὲ ἀνδρὶ Προκλεῖ τῷ Εὐκράτους 6
ἕτερος λόγος ὅδε ἐφαίνετο εἶναι τοῦ προτέρου πιθανώ-
τερος. Λιβύης ἡ ἔρημος καὶ ἄλλα παρέχεται θηρία ἀκού-
σασιν οὐ πιστά, καὶ ἄνδρες ἐνταῦθα ἄγριοι καὶ ἄγριαι
γίνονται γυναῖκες· ἔλεγέ τε ὁ Προκλῆς ἀπ' αὐτῶν ἄν-
δρα ἰδεῖν κομισθέντα ἐς Ῥώμην. εἴκαξεν οὖν πλανηθεῖ-
σαν γυναῖκα ἐκ τούτων καὶ ἀφικομένην ἐπὶ τὴν λίμνην
τὴν Τριτωνίδα λυμαίνεσθαι τοὺς προσοίκους, ἐς ὃ Περ-
σεὺς ἀπέκτεινεν αὐτήν. Ἀθηνᾶν δέ οἱ συνεπιλαβέσθαι
δοκεῖν τοῦ ἔργου, ὅτι οἱ περὶ τὴν λίμνην τὴν Τριτωνίδα
ἄνθρωποι ταύτης εἰσὶν ἱεροί. 8. Ἐν δὲ Ἄργει παρὰ τοῦτο 7
δὴ τὸ μνῆμα τῆς Γοργόνος Γοργοφόνης τάφος ἐστὶ τῆς
Περσέως. καὶ ἐφ' ὅτῳ μὲν αὐτῇ τὸ ὄνομα ἐτέθη, δῆλον
εὐθὺς ἀκούσαντι· γυναικῶν δὲ πρώτην αὐτήν φασι τε-
λευτήσαντος τοῦ ἀνδρὸς Περιήρους τοῦ Αἰόλου, τούτῳ
γὰρ παρθένος συνῴκησε, τὴν δὲ αὖθις Οἰβάλῳ γήμα-
σθαι. πρότερον δὲ καθεστήκει ταῖς γυναιξὶν ἐπὶ ἀνδρὶ
ἀποθανόντι χηρεύειν. 9. Τοῦ τάφου δὲ ἔμπροσθεν τρό- 8
παιον λίθου πεποίηται κατὰ ἀνδρὸς Ἀργείου Λαφάους·
τοῦτον γάρ, γράφω δὲ ὁπόσα λέγουσιν αὐτοὶ περὶ σφῶν
160 Ἀργεῖοι, τυραννοῦντα ἐξέβαλεν ἐπαναστὰς ὁ δῆμος, φυ-
γόντα δὲ ἐς Σπάρτην Λακεδαιμόνιοι κατάγειν ἐπειρῶντο
ἐπὶ τυραννίδι, νικήσαντες δὲ οἱ Ἀργεῖοι τῇ μάχῃ Λα-
φάην τε καὶ τῶν Λακεδαιμονίων τοὺς πολλοὺς ἀπέκτει-
ναν. 10. Τὸ δὲ ἱερὸν τῆς Λητοῦς ἔστι μὲν οὐ μακρὰν τοῦ
τροπαίου, τέχνη δὲ τὸ ἄγαλμα Πραξιτέλους. τὴν δὲ εἰ- 9
κόνα παρὰ τῇ θεῷ τῆς παρθένου Χλῶριν ὀνομάζουσι,
Νιόβης μὲν θυγατέρα εἶναι λέγοντες, Μελίβοιαν δὲ κα-

λεῖσθαι τὸ ἐξ ἀρχῆς· ἀπολλυμένων δὲ ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος τῶν Ἀμφίονος παίδων περιγενέσθαι μόνην τῶν ἀδελφῶν ταύτην καὶ Ἀμύκλαν, περιγενέσθαι δὲ εὐξαμένους τῇ Λητοῖ. Μελίβοιαν δὲ οὕτω δή τι παραυτίκα τε χλωρὰν τὸ δεῖμα ἐποίησε καὶ ἐς τὸ λοιπὸν τοῦ βίου παρέμεινεν, ὡς καὶ τὸ ὄνομα ἐπὶ τῷ συμβάντι ἀντὶ
10 Μελιβοίας αὐτῇ γενέσθαι Χλῶριν. τούτους δή φασιν Ἀργεῖοι τὸ ἐξ ἀρχῆς οἰκοδομῆσαι τῇ Λητοῖ τὸν ναόν. ἐγὼ δέ, πρόσκειμαι γὰρ πλέον τι ἢ οἱ λοιποὶ τῇ Ὁμήρου ποιήσει, δοκῶ τῇ Νιόβῃ τῶν παίδων μηδένα ὑπόλοιπον γενέσθαι. μαρτυρεῖ δέ μοι τὸ ἔπος·

τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν.

οὗτος μὲν δὴ τὸν οἶκον τὸν Ἀμφίονος ἐκ βάθρων ἀνατραπέντα οἶδε.

XXII. Τῆς δὲ Ἥρας ὁ ναὸς τῆς Ἀνθείας ἐστὶ τοῦ ἱεροῦ τῆς Λητοῦς ἐν δεξιᾷ, καὶ πρὸ αὐτοῦ γυναικῶν τάφος. ἀπέθανον δὲ αἱ γυναῖκες ἐν μάχῃ πρὸς Ἀργείους τε καὶ Περσέα, ἀπὸ νήσων τῶν ἐν Αἰγαίῳ Διονύσῳ συνεστρατευμέναι· καὶ διὰ τοῦτο Ἁλίας αὐτὰς ἐπονομάζουσιν. 2. ἀντικρὺ δὲ τοῦ μνήματος τῶν γυναικῶν Δήμητρός ἐστιν ἱερὸν ἐπίκλησιν Πελασγίδος ἀπὸ τοῦ ἱδρυσαμένου Πελασγοῦ τοῦ Τριόπα, καὶ οὐ πόρρω τοῦ ἱεροῦ
2 τάφος Πελασγοῦ. πέραν δὲ τοῦ τάφου χαλκεῖόν ἐστιν οὐ μέγα, ἀνέχει δὲ αὐτὸ ἀγάλματα ἀρχαῖα Ἀρτέμιδος καὶ Διὸς καὶ Ἀθηνᾶς. 3. Λυκέας μὲν οὖν ἐν τοῖς ἔπεσιν 161
ἐποίησε Μηχανέως τὸ ἄγαλμα εἶναι Διός, καὶ Ἀργείων ἔφη τοὺς ἐπὶ Ἴλιον στρατεύσαντας ἐνταῦθα ὀμόσαι παραμένειν πολεμοῦντας, ἔστ' ἂν ἢ τὸ Ἴλιον ἕλωσιν ἢ μαχομένους τελευτὴ σφᾶς ἐπιλάβῃ· 4. ἑτέροις δέ ἐστιν εἰρη-
3 μένον ὀστᾶ ἐν τῷ χαλκείῳ κεῖσθαι Ταντάλου. τὸν μὲν δὴ Θυέστου παῖδα ἢ Βροτέου, λέγεται γὰρ ἀμφότερα, ὃς Κλυταιμνήστρᾳ πρότερον ἢ Ἀγαμέμνων συνῴκησε, τοῦ-

τον μὲν Τάνταλον οὐ διοίσομαι ταφῆναι ταύτῃ· τοῦ δὲ
λεγομένου Διός τε εἶναι καὶ Πλουτοῦς ἰδὼν οἶδα ἐν Σι-
πύλῳ τάφον θέας ἄξιον. πρὸς δὲ οὐδὲ ἀνάγκη συνέπεσεν
ἐκ τῆς Σιπύλου φυγεῖν αὐτόν, ὡς Πέλοπα ἐπέλαβεν
ὕστερον ἐλαύνοντος Ἴλου τοῦ Φρυγὸς ἐπ᾽ αὐτὸν στρα-
τιᾷ. τάδε μὲν ἐς τοσοῦτον ἐξητάσθω· τὰ δὲ ἐς τὸν βό-
θρον τὸν πλησίον δρώμενα Νικόστρατον ἄνδρα ἐπιχώ-
ριον καταστήσασθαι λέγουσιν. ἀφιᾶσι δὲ καὶ νῦν ἔτι ἐς
τὸν βόθρον καιομένας λαμπάδας Κόρῃ τῇ Δήμητρος.
5. Ἐνταῦθα Ποσειδῶνός ἐστιν ἱερὸν ἐπίκλησιν Προσκλυ- 4
στίου· τῆς γὰρ χώρας τὸν Ποσειδῶνα ἐπικλύσαι τὴν πολ-
λήν, ὅτι Ἥρας εἶναι καὶ οὐκ αὐτοῦ τὴν γῆν Ἴναχος καὶ οἱ
συνδικάσαντες ἔγνωσαν. Ἥρα μὲν δὴ παρὰ Ποσειδῶνος
εὕρετο ἀπελθεῖν ὀπίσω τὴν θάλασσαν· Ἀργεῖοι δέ, ὅθεν
τὸ κῦμα ἀνεχώρησεν, ἱερὸν Ποσειδῶνι ἐποίησαν Προσ-
κλυστίῳ. 6. Προελθόντι δὲ οὐ πολὺ τάφος ἐστὶν Ἄργου 5
Διὸς εἶναι δοκοῦντος καὶ τῆς Φορωνέως Νιόβης· μετὰ
δὲ ταῦτα Διοσκούρων ναός. ἀγάλματα δὲ αὐτοί τε καὶ οἱ
παῖδές εἰσιν, Ἄναξις καὶ Μνασίνους, σὺν δέ σφισιν αἱ
μητέρες Ἱλάειρα καὶ Φοίβη, τέχνη μὲν Διποίνου καὶ
Σκύλλιδος, ξύλου δὲ ἐβένου· τοῖς δ᾽ ἵπποις τὰ μὲν πολ-
λὰ ἐβένου καὶ τούτοις, ὀλίγα δὲ καὶ ἐλέφαντος πεποίηται.
7. Πλησίον δὲ τῶν Ἀνάκτων Εἰληθυίας ἐστὶν ἱερὸν ἀνά- 6
62 θημα Ἑλένης, ὅτε σὺν Πειρίθῳ Θησέως ἀπελθόντος ἐς
Θεσπρωτοὺς Ἄφιδνά τε ὑπὸ Διοσκούρων ἑάλω καὶ ἤγετο
ἐς Λακεδαίμονα Ἑλένη. ἔχειν μὲν γὰρ αὐτὴν λέγουσιν ἐν
γαστρί, τεκοῦσαν δὲ ἐν Ἄργει καὶ τῆς Εἰληθυίας ἱδρυ-
σαμένην τὸ ἱερόν, τὴν μὲν παῖδα ἣν ἔτεκε Κλυταιμνή-
στρᾳ δοῦναι, συνοικεῖν γὰρ ἤδη Κλυταιμνήστραν Ἀγα-
μέμνονι, αὐτὴν δὲ ὕστερον τούτων Μενελάῳ γήμασθαι.
καὶ ἐπὶ τῷδε Εὐφορίων Χαλκιδεὺς καὶ Πλευρώνιος Ἀλέ- 7
ξανδρος ἔπη ποιήσαντες, πρότερον δὲ ἔτι Στησίχορος ὁ

Ἱμεραῖος, κατὰ ταὐτά φασιν Ἀργείοις Θησέως εἶναι θυγατέρα Ἰφιγένειαν. 8. Τοῦ δὲ ἱεροῦ τῆς Εἰληθυίας πέραν ἐστὶν Ἑκάτης ναός, Σκόπα δὲ τὸ ἄγαλμα ἔργον. τοῦτο μὲν λίθου, τὰ δ' ἀπαντικρὺ χαλκᾶ Ἑκάτης καὶ ταῦτα ἀγάλματα, τὸ μὲν Πολύκλειτος ἐποίησε, τὸ δὲ ἀδελφὸς
8 Πολυκλείτου Ναυκύδης Μόθωνος. Ἐρχομένῳ δὲ ὁδὸν εὐθεῖαν ἐς γυμνάσιον Κυλάραβιν, ἀπὸ τοῦ παιδὸς ὀνομαζόμενον τοῦ Σθενέλου, τέθαπται δὴ Λικύμνιος ὁ Ἠλεκτρύωνος· ἀποθανεῖν δ' αὐτὸν Ὅμηρος ὑπὸ Τληπτολέμου φησὶ τοῦ Ἡρακλέους, καὶ διὰ τὸν φόνον τοῦτον ἔφυγεν ἐξ Ἄργους Τληπτόλεμος. 9. Ὀλίγον δὲ τῆς ἐπὶ Κυλάραβιν καὶ τὴν ταύτῃ πύλην ἀποτραπεῖσι Σακάδα μνῆμά ἐστιν, ὃς τὸ αὔλημα τὸ Πυθικὸν πρῶτος ηὔλησεν
9 ἐν Δελφοῖς· καὶ τὸ ἔχθος τὸ Ἀπόλλωνι διαμένον ἐς τοὺς αὐλητὰς ἔτι ἀπὸ Μαρσύου καὶ τῆς ἁμίλλης τοῦ Σιληνοῦ παυθῆναι διὰ τοῦτον δοκεῖ τὸν Σακάδαν. 10. Ἐν δὲ τῷ γυμνασίῳ τῷ Κυλαράβου Καπανεία ἐστὶν Ἀθηνᾶ καλουμένη, καὶ τάφον Σθενέλου δεικνύουσι, τὸν δὲ αὐτοῦ Κυλαράβου. πεποίηται δὲ οὐ πόρρω τοῦ γυμνασίου πολυάνδριον τοῖς μετὰ Ἀθηναίων πλεύσασιν Ἀργείοις ἐπὶ καταδουλώσει Συρακουσῶν τε καὶ Σικελίας.

XXIII. Ἐντεῦθεν ἐρχομένοις ὁδὸν καλουμένην (Κοίλην) ναός ἐστιν ἐν δεξιᾷ Διονύσου· τὸ δὲ ἄγαλμα εἶναι 163
λέγουσιν ἐξ Εὐβοίας. συμβάσης γὰρ τοῖς Ἕλλησιν, ὡς ἐκομίζοντο ἐξ Ἰλίου, τῆς πρὸς τῷ Καφηρεῖ ναυαγίας, τοὺς δυνηθέντας ἐς τὴν γῆν διαφυγεῖν τῶν Ἀργείων ῥῖγός τε πιέζει καὶ λιμός. εὐξαμένοις δὲ θεῶν τινὰ ἐν τοῖς παροῦσιν ἀπόροις γενέσθαι σωτῆρα, αὐτίκα ὡς προήεσαν ἐφάνη σφίσι Διονύσου σπήλαιον, καὶ ἄγαλμα ἦν ἐν τῷ σπηλαίῳ τοῦ θεοῦ, τότε δὲ αἶγες ἄγριαι φεύγουσαι τὸν χειμῶνα ἐς αὐτὸ ἦσαν ἠθροισμέναι. ταύτας οἱ Ἀργεῖοι σφάξαντες τά τε κρέα ἐδείπνησαν καὶ δέρμασιν ἐχρήσαντο ἀντὶ ἐσθῆ-

τος. ἐπεὶ δὲ ὁ χειμὼν ἐπαύσατο καὶ ἐπισκευάσαντες τὰς
ναῦς οἴκαδε ἐκομίζοντο, ἐπάγονται τὸ ἐκ τοῦ σπηλαίου
ξόανον, καὶ διατελοῦσιν ἐς τόδε τιμῶντες ἔτι. 2. Τοῦ 2
Διονύσου δὲ ἐγγυτάτω οἰκίαν ὄψει * * πειν Ἀδράστου,
καὶ ἀπωτέρω ταύτης ἱερὸν Ἀμφιαράου, καὶ τοῦ ἱεροῦ
πέραν Ἐριφύλης μνῆμα. ἑξῆς δὲ τούτων ἐστὶν Ἀσκλη-
πιοῦ τέμενος καὶ μετὰ ταῦτα ἱερὸν Βάτωνος. ἦν δὲ ὁ Βά-
των γένους Ἀμφιαράῳ τοῦ αὐτοῦ τῶν Μελαμποδιδῶν,
καὶ ἐς μάχην ἐξιόντι ἡνιόχει τοὺς ἵππους· γενομένης δὲ
τῆς τροπῆς ἀπὸ τοῦ Θηβαίων τείχους, χάσμα γῆς Ἀμ-
φιάραον καὶ τὸ ἅρμα ὑποδεξάμενον ἠφάνισεν ὁμοῦ καὶ
τοῦτον τὸν Βάτωνα. 3. Ἐπανιόντι δὲ ἐκ τῆς Κοίλης Ὑρ- 3
νηθοῦς τάφον λέγουσιν εἶναι. εἰ μὲν δὴ κενὸν καὶ ἄλλως
ἐς μνήμην τῆς γυναικός, εἰκότα λέγουσιν, εἰ δὲ τῆς Ὑρ-
νηθοῦς κεῖσθαι τὸν νεκρὸν νομίζουσιν ἐνταῦθα, ἐγὼ
μέν σφισιν οὐ πείθομαι, πειθέσθω δὲ ὅστις τὰ Ἐπιδαυ-
ρίων οὐ πέπυσται. 4. Τὸ δ' ἐπιφανέστατον Ἀργείοις τῶν 4
Ἀσκληπιείων ἄγαλμα ἐφ' ἡμῶν ἔχει καθήμενον Ἀσκλη-
πιὸν λίθου λευκοῦ, καὶ παρ' αὐτὸν ἕστηκεν Ὑγίεια·
κάθηνται δὲ καὶ οἱ ποιήσαντες τὰ ἀγάλματα, Ξενόφιλος
καὶ Στράτων. ἐξ ἀρχῆς δὲ ἱδρύσατο Σφῦρος τὸ ἱερόν,
Μαχάονος μὲν υἱός, ἀδελφὸς δὲ Ἀλεξάνορος τοῦ παρὰ
Σικυωνίοις ἐν Τιτάνῃ τιμὰς ἔχοντος. 5. Τῆς δὲ Ἀρτέμι- 5
164 δος τῆς Φεραίας, σέβουσι γὰρ καὶ Ἀργεῖοι Φεραίαν Ἄρ-
τεμιν κατὰ ταὐτὰ Ἀθηναίοις καὶ Σικυωνίοις, τὸ ἄγαλμα
καὶ οὗτοί φασιν ἐκ Φερῶν τῶν ἐν Θεσσαλίᾳ κομισθῆναι.
τάδε δὲ αὐτοῖς οὐχ ὁμολογῶ· λέγουσι γὰρ Ἀργεῖοι Δηϊα-
νείρας ἐν Ἄργει μνῆμα εἶναι τῆς Οἰνέως τό τε Ἑλένου
τοῦ Πριάμου, καὶ ἄγαλμα κεῖσθαι παρὰ σφίσιν Ἀθηνᾶς
τὸ ἐκκομισθὲν ἐξ Ἰλίου καὶ ἁλῶναι ποιῆσαν Ἴλιον. τὸ
μὲν δὴ Παλλάδιον, καλεῖται γὰρ οὕτω, δῆλόν ἐστιν ἐς
Ἰταλίαν κομισθὲν ὑπὸ Αἰνείου· Δηϊανείρα δὲ τὴν τελευ-

τὴν περὶ Τραχῖνα ἴσμεν καὶ οὐκ ἐν Ἄργει γενομένην, καὶ ἔστιν ὁ τάφος αὐτῇ πλησίον Ἡρακλείας τῆς ὑπὸ τῇ Οἴτῃ.
6 6. Τὰ δὲ ἐς Ἕλενον τὸν Πριάμου δεδήλωκεν ὁ λόγος ἤδη μοι, μετὰ Πύρρου τοῦ Ἀχιλλέως αὐτὸν ἐλθεῖν ἐς Ἤπειρον, καὶ ἐπιτροπεῦσαί τε τοὺς Πύρρου παῖδας συνοικοῦντα Ἀνδρομάχῃ, καὶ τὴν Κεστρίνην καλουμένην ἀπὸ Κεστρίνου τοῦ Ἑλένου λαβεῖν τὸ ὄνομα. οὐ μὴν οὐδὲ αὐτῶν λέληθεν Ἀργείων τοὺς ἐξηγητὰς ὅτι μὴ πάντα ἐπ' ἀληθείᾳ λέγεταί σφισι· λέγουσι δὲ ὅμως· οὐ γάρ τι ἕτοιμον μεταπεῖσαι τοὺς πολλοὺς ἐναντία ὧν δοξάζουσιν.
7 7. Ἄλλα δέ ἐστιν Ἀργείοις θέας ἄξια. κατάγεων οἰκοδόμημα, ἐπ' αὐτῷ δὲ ἦν ὁ χαλκοῦς θάλαμος, ὃν Ἀκρίσιός ποτε ἐπὶ φρουρᾷ τῆς θυγατρὸς ἐποίησε· Περίλαος δὲ καθεῖλεν αὐτὸν τυραννήσας. τοῦτό τε οὖν τὸ οἰκοδόμημά ἐστι καὶ Κροτώπου μνῆμα καὶ Διονύσου ναὸς Κρησίου. 8. Περσεῖ γὰρ πολεμήσαντα αὐτὸν καὶ αὖθις ἐλθόντα ἐς λύσιν τοῦ ἔχθους τά τε ἄλλα τιμηθῆναι μεγάλως λέγουσιν ὑπὸ Ἀργείων, καὶ τέμενός οἱ δοθῆναι τοῦτο ἐξαίρε-
8 τον. Κρησίου δὲ ὕστερον ὠνομάσθη, διότι Ἀριάδνην ἀποθανοῦσαν ἔθαψαν ἐνταῦθα. Λυκέας δὲ λέγει κατασκευαζομένου δεύτερον τοῦ ναοῦ κεραμέαν εὑρεθῆναι σορόν, εἶναι δὲ Ἀριάδνης αὐτήν· καὶ αὐτός τε καὶ ἄλ-
λους Ἀργείων ἰδεῖν ἔφη τὴν σορόν. πλησίον δὲ τοῦ Διο- 165
νύσου καὶ Ἀφροδίτης ναός ἐστιν Οὐρανίας.

XXIV. Τὴν δὲ ἀκρόπολιν Λάρισαν μὲν καλοῦσιν ἀπὸ τῆς Πελασγοῦ θυγατρός· ἀπὸ ταύτης δὲ καὶ δύο τῶν ἐν Θεσσαλίᾳ πόλεων, ἥ τε ἐπὶ θαλάσσῃ καὶ ἡ παρὰ τὸν Πηνειόν, ὠνομάσθησαν. ἀνιόντων δὲ ἐς τὴν ἀκρόπολιν ἔστι μὲν τῆς Ἀκραίας Ἥρας τὸ ἱερόν, ἔστι δὲ [καὶ] ναὸς Ἀπόλλωνος, ὃν Πυθαεὺς πρῶτος παραγενόμενος ἐκ Δελφῶν λέγεται ποιῆσαι. τὸ δὲ ἄγαλμα τὸ νῦν χαλκοῦν ἐστὶν ὀρθόν, Δειραδιώτης Ἀπόλλων καλούμενος, ὅτι καὶ ὁ

τύπος οὗτος καλεῖται Δειράς. ἡ δέ οἱ μαντική, μαντεύε-
ται γὰρ ἔτι καὶ ἐς ἡμᾶς, καθέστηκε τρόπον τοῦτον. γυνὴ
μὲν προφητεύουσά ἐστιν, ἀνδρὸς εὐνῆς εἰργομένη· θυο-
μένης δὲ ἐν νυκτὶ ἀρνὸς κατὰ μῆνα ἕκαστον, γευσαμένη
δὴ τοῦ αἵματος ἡ γυνὴ κάτοχος ἐκ τοῦ θεοῦ γίνεται.
2. Τοῦ Δειραδιώτου δὲ Ἀπόλλωνος ἔχεται μὲν ἱερὸν 2
Ἀθηνᾶς Ὀξυδερκοῦς καλουμένης, Διομήδους ἀνάθημα,
ὅτι οἱ μαχομένῳ ποτὲ ἐν Ἰλίῳ τὴν ἀχλὺν ἀφεῖλεν ἡ θεὸς
ἀπὸ τῶν ὀφθαλμῶν· ἔχεται δὲ τὸ στάδιον, ἐν ᾧ τὸν
ἀγῶνα τῷ Νεμείῳ Διὶ καὶ τὰ Ἡραῖα ἄγουσιν. 3. Ἐς δὲ
τὴν ἀκρόπολιν ἰοῦσίν ἐστιν ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῶν
Αἰγύπτου παίδων καὶ ταύτῃ μνῆμα. χωρὶς μὲν γὰρ ἀπὸ
τῶν σωμάτων ἐνταῦθα αἱ κεφαλαί, χωρὶς δὲ ἐν Λέρνῃ
σώματα τὰ λοιπά· ἐν Λέρνῃ γὰρ καὶ ὁ φόνος ἐξειργάσθη
τῶν νεανίσκων, ἀποθανόντων δὲ ἀποτέμνουσιν αἱ γυ-
ναῖκες τὰς κεφαλάς, ἀπόδειξιν πρὸς τὸν πατέρα ὧν ἐτόλ-
μησαν. 4. Ἐπ' ἄκρᾳ δέ ἐστι τῇ Λαρίσῃ Διὸς ἐπίκλησιν 3
Λαρισαίου ναός, οὐκ ἔχων ὄροφον· τὸ δὲ ἄγαλμα ξύλου
πεποιημένον οὐκέτι ἑστηκὸς ἦν ἐπὶ τῷ βάθρῳ. καὶ Ἀθη-
νᾶς δὲ ναός ἐστι θέας ἄξιος· 5. ἐνταῦθα ἀναθήματα κεῖ-
ται καὶ ἄλλα καὶ Ζεὺς ξόανον, δύο μὲν ᾗ πεφύκαμεν ἔχον
ὀφθαλμούς, τρίτον δὲ ἐπὶ τοῦ μετώπου. τοῦτον τὸν Δία
Πριάμῳ φασὶν εἶναι τῷ Λαομέδοντος πατρῷον, ἐν ὑπαί-
θρῳ τῆς αὐλῆς ἱδρυμένον, καὶ ὅτε ἡλίσκετο ὑπὸ Ἑλλή-
166 νων Ἴλιον, ἐπὶ τούτου κατέφυγεν ὁ Πρίαμος τὸν βωμόν.
ἐπεὶ δὲ τὰ λάφυρα ἐνέμοντο λαμβάνει Σθένελος ὁ Καπα-
νέως αὐτόν, καὶ ἀνάκειται μὲν διὰ τοῦτο ἐνταῦθα· τρεῖς 4
δὲ ὀφθαλμοὺς ἔχειν ἐπὶ τῷδε ἄν τις τεκμαίροιτο αὐτόν.
Δία γὰρ ἐν οὐρανῷ βασιλεύειν, οὗτος μὲν λόγος κοινὸς
πάντων ἐστὶν ἀνθρώπων. ὃν δὲ ἄρχειν φασὶν ὑπὸ γῆς,
ἔστιν ἔπος τῶν Ὁμήρου Δία ὀνομάζον καὶ τοῦτον·

Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.

*Αἰσχύλος δὲ ὁ Εὐφορίωνος καλεῖ Δία καὶ τὸν ἐν θαλάσσῃ. τρισὶν οὖν ὁρῶντα ἐποίησεν ὀφθαλμοῖς ὅστις δὴ ἦν ὁ ποιήσας, ἅτε ἐν ταῖς τρισὶ ταῖς λεγομέναις λήξεσιν ἄρχοντα τὸν αὐτὸν τοῦτον θεόν.*

5 6. *Ὁδοὶ δὲ ἐξ Ἄργους καὶ κατ' ἄλλα εἰσὶ τῆς Πελοποννήσου καὶ πρὸς Ἀρκαδίας ἐπὶ Τεγέαν. ἐν δεξιᾷ δὲ ὄρος ἐστὶν ἡ Λυκώνη, δένδρα κυπαρίσσου μάλιστα ἔχουσα. ᾠκοδόμηται δὲ ἐπὶ κορυφῇ τοῦ ὄρους Ἀρτέμιδος Ὀρθίας ἱερόν, καὶ ἀγάλματα Ἀπόλλωνος καὶ Λητοῦς καὶ Ἀρτέμιδος πεποίηται λευκοῦ λίθου· Πολυκλείτου δέ φασιν εἶναι ἔργα. καταβάντων δὲ ἐκ τοῦ ὄρους αὖθις*
6 *ἐστὶν ἐν ἀριστερᾷ τῆς λεωφόρου ναὸς Ἀρτέμιδος.* 7. *ὀλίγον δὲ ἀπωτέρω ἐν δεξιᾷ τῆς ὁδοῦ Χάον ἐστὶν ὄρος ὀνομαζόμενον. ὑπὸ δὲ αὐτῷ δένδρα πέφυκεν ἥμερα, καὶ ἄνεισι τοῦ Ἐρασίνου φανερὸν ἐνταῦθα δὴ τὸ ὕδωρ· τέως δὲ ἐκ Στυμφάλου ῥεῖ τῆς Ἀρκάδων, ὥσπερ ἐξ Εὐρίπου κατὰ Ἐλευσῖνα καὶ τὴν ταύτῃ θάλασσαν οἱ Ῥειτοί. πρὸς δὲ τοῦ Ἐρασίνου ταῖς κατὰ τὸ ὄρος ἐκβολαῖς Διονύσῳ καὶ Πανὶ θύουσι, τῷ Διονύσῳ δὲ καὶ ἑορτὴν ἄγουσι*
7 *καλουμένην Τύρβην.* 8. *Ἐπανελθοῦσι δὲ ἐς τὴν ἐπὶ Τεγέας ὁδόν ἐστιν ἐν δεξιᾷ τοῦ ὀνομαζομένου Τρόχου Κεγχρεαί. τὸ δὲ ὄνομα ἐφ' ὅτῳ τῷ χωρίῳ γέγονεν, οὐ λέγουσι, πλὴν εἰ μὴ καὶ τοῦτο ἄρα ὠνομάσθη διὰ τὸν* 167
*Πειρήνης παῖδα Κεγχρειόν. καὶ πολυάνδρια ἐνταῦθά ἐστιν Ἀργείων νικησάντων μάχῃ Λακεδαιμονίους περὶ Ὑσιάς. τὸν δὲ ἀγῶνα τοῦτον συμβάντα εὕρισκον Ἀθηναίοις ἄρχοντος Πεισιστράτου, τετάρτῳ δὲ ἔτει τῆς * * Ὀλυμπιάδος ἣν Εὐρύβοτος Ἀθηναῖος ἐνίκα στάδιον. καταβάντος δὲ ἐς τὸ χθαμαλώτερον ἐρείπια Ὑσιῶν ἐστὶ πόλεώς ποτε ἐν τῇ Ἀργολίδι, καὶ τὸ πταῖσμα Λακεδαιμονίοις ἐνταῦθα γενέσθαι λέγουσιν.*

XXV. *Ἡ δ' ἐς Μαντίνειαν ἄγουσα ἐξ Ἄργους ἐστὶν*

οὐχ ἧπερ καὶ ἐπὶ Τεγέαν, ἀλλὰ ἀπὸ τῶν πυλῶν τῶν πρὸς τῇ Δειράδι. ἐπὶ δὲ τῆς ὁδοῦ ταύτης ἱερὸν διπλοῦν πεποίηται, καὶ πρὸς ἡλίου δύνοντος ἔσοδον καὶ κατὰ ἀνατολὰς ἑτέραν ἔχον. κατὰ μὲν δὴ τοῦτο Ἀφροδίτης κεῖται ξόανον, πρὸς δὲ ἡλίου δυσμὰς Ἄρεως. εἶναι δὲ τὰ ἀγάλματα Πολυνείκους λέγουσιν ἀναθήματα καὶ Ἀργείων, ὅσοι τιμωρήσοντες αὐτῷ συνεστρατεύοντο. 2. Προελ- 2
θοῦσι δὲ αὐτόθεν διαβάντων ποταμὸν χείμαρρον Χάραδρον καλούμενον ἔστιν Οἰνόη, τὸ ὄνομα ἔχουσα, ὡς Ἀργεῖοί φασιν, ἀπὸ Οἰνέως. Οἰνέα γὰρ τὸν βασιλεύσαντα ἐν Αἰτωλίᾳ λέγουσιν ὑπὸ τῶν Ἀγρίου παίδων ἐκβληθέντα τῆς ἀρχῆς παρὰ Διομήδην ἐς Ἄργος ἀφικέσθαι. ὁ δὲ τὰ μὲν ἄλλα ἐτιμώρησεν αὐτῷ στρατεύσας ἐς τὴν Καλυδωνίαν, παραμένειν δὲ οὐκ ἔφη οἱ δύνασθαι· συνακολουθεῖν δέ, εἰ βούλοιτο, ἐς Ἄργος ἐκεῖνον ἐκέλευεν. ἀφικόμενον δὲ τά τε ἄλλα ἐθεράπευεν, ὡς πατρὸς θεραπεύειν πατέρα εἰκὸς ἦν, καὶ ἀποθανόντα ἔθαψεν ἐνταῦθα. ἀπὸ τούτου μὲν Οἰνόη χωρίον ἐστὶν Ἀργείοις·
3. ὑπὲρ δὲ τῆς Οἰνόης ὄρος ἐστὶν Ἀρτεμίσιον, καὶ ἱερὸν 3
Ἀρτέμιδος ἐπὶ κορυφῇ τοῦ ὄρους. ἐν τούτῳ δέ εἰσι τῷ ὄρει καὶ αἱ πηγαὶ τοῦ Ἰνάχου· πηγαὶ γὰρ δὴ τῷ ὄντι εἰσὶν αὐτῷ, τὸ δὲ ὕδωρ οὐκ ἐπὶ πολὺ ἐξικνεῖται τῆς γῆς. ταύτῃ μὲν δὴ θέας οὐδὲν ἔτι ἦν ἄξιον.

4. Ἑτέρα δὲ ὁδὸς ἀπὸ τῶν πυλῶν τῶν πρὸς τῇ Δει- 4
ράδι ἐστὶν ἐπὶ Λύρκειαν. ἐς τοῦτο λέγεται τὸ χωρίον
58 Λυγκέα ἀποσωθῆναι τῶν πεντήκοντα ἀδελφῶν μόνον, καὶ ἡνίκα ἐσώθη, πυρσὸν ἀνέσχεν ἐντεῦθεν. συνέκειτο δὲ ἄρα αὐτῷ πρὸς τὴν Ὑπερμνήστραν ἀνασχεῖν τὸν πυρσόν, ἢν διαφυγὼν Δαναὸν ἐς ἀσφαλὲς ἀφίκηταί ποι. τὴν δὲ καὶ αὐτὴν ἀνάψαι λέγουσιν ἕτερον ἀπὸ τῆς Λαρίσης, δῆλα καὶ ταύτην ποιοῦσαν ὅτι ἐν οὐδενὶ οὐδὲ αὐτὴ καθέστηκεν ἔτι κινδύνῳ. ἐπὶ τούτῳ δὲ Ἀργεῖοι κατὰ ἔτος

5 ἕκαστον πυρσῶν ἑορτὴν ἄγουσι. τὸ δὲ χωρίον τότε μὲν
Λυγκεία ἐκαλεῖτο, οἰκήσαντος δὲ ὕστερον ἐν αὐτῷ Λύρ-
κου, παῖς δὲ ἦν Ἄβαντος νόθος, τὸ ὄνομα δι' αὐτὸν
ἔσχηκε· καὶ ἄλλα τέ ἐστιν οὐκ ἀξιόλογα ἐν τοῖς ἐρειπίοις,
καὶ εἰκὼν ἐπὶ στήλῃ τοῦ Λύρκου. ἐς μὲν δὴ ταύτην ἐστὶν
ἐξ Ἄργους ἑξήκοντα μάλιστά που στάδια, ἐκ δὲ Λυρκείας
ἕτερα τοσαῦτα ἐς Ὀρνεάς. 5. Λυρκείας μὲν δὴ πόλεως,
ἅτε ἠρημωμένης ἤδη κατὰ τὴν Ἑλλήνων στρατείαν ἐπὶ
Ἴλιον, οὐκ ἐποιήσατο Ὅμηρος ἐν καταλόγῳ μνήμην·
Ὀρνεὰς δέ, ἔτι γὰρ ᾠκοῦντο, ὥσπερ τῷ τόπῳ τῆς Ἀρ-
γείας ἔκειντο, οὕτω καὶ ἐν τοῖς ἔπεσι προτέρας ἢ Φλιοῦν-
6 τά τε καὶ Σικυῶνα κατέλεξεν. ἐκαλοῦντο δὲ ἀπὸ Ὀρνέως
τοῦ Ἐρεχθέως· τοῦ δὲ Ὀρνέως ἦν τούτου Πετεώς, τοῦ
δὲ Μενεσθεύς, ὃς Ἀγαμέμνονι μετὰ Ἀθηναίων τὴν
Πριάμου συγκαθεῖλεν ἀρχήν. ἀπὸ μὲν δὴ τούτου τὸ
ὄνομα ἐγένετο τῇ πόλει, Ἀργεῖοι δὲ ὕστερον τούτων Ὀρ-
νεάτας ἀνέστησαν· ἀναστάντες δὲ σύνοικοι γεγόνασιν
Ἀργείοις. ἔστι δὲ ἐν ταῖς Ὀρνεαῖς Ἀρτέμιδός τε ἱερὸν
καὶ ξόανον ὀρθόν, καὶ ἕτερος ναὸς θεοῖς πᾶσιν ἐν κοινῷ
ἀνειμένος. τὰ δὲ ἐπέκεινα Ὀρνεῶν ἥ τε Σικυωνία καὶ ἡ
Φλιασία ἐστίν.

7 6. Ἐρχομένοις δὲ ἐξ Ἄργους ἐς τὴν Ἐπιδαυρίαν
ἔστιν οἰκοδόμημα ἐν δεξιᾷ πυραμίδι μάλιστα εἰκασμένον,
ἔχει δὲ ἀσπίδας σχῆμα Ἀργολικὰς ἐπειργασμένας. ἐν-
ταῦθα Προίτῳ περὶ τῆς ἀρχῆς πρὸς Ἀκρίσιον μάχη γίνε- 169
ται, καὶ τέλος μὲν ἴσον τῷ ἀγῶνι συμβῆναί φασι, καὶ ἀπ'
αὐτοῦ διαλλαγὰς ὕστερον, ὡς οὐδέτεροι βεβαίως κρα-
τεῖν ἐδύναντο· συμβαλεῖν δὲ σφᾶς λέγουσιν ἀσπίσι πρῶ-
τον τότε καὶ αὐτοὺς καὶ τὸ στράτευμα ὡπλισμένους.
τοῖς δὲ πεσοῦσιν ἀφ' ἑκατέρων, πολῖται γὰρ καὶ συγγε-
8 νεῖς ἦσαν, ἐποιήθη ταύτῃ μνῆμα ἐν κοινῷ. 7. Προϊοῦσι
δὲ ἐντεῦθεν καὶ ἐκτραπεῖσιν ἐς δεξιὰν Τίρυνθός ἐστιν

ἐρείπια. ἀνέστησαν δὲ καὶ Τιρυνθίους Ἀργεῖοι, συνοίκους προσλαβεῖν καὶ τὸ Ἄργος ἐπαυξῆσαι θελήσαντες. Τίρυνθα δὲ ἥρωα, ἀφ᾽ οὗ τῇ πόλει τὸ ὄνομα ἐγένετο, παῖδα Ἄργου τοῦ Διὸς εἶναι λέγουσι. τὸ δὴ τεῖχος, ὃ δὴ μόνον τῶν ἐρειπίων λείπεται, Κυκλώπων μέν ἐστιν ἔργον, πεποίηται δὲ ἀργῶν λίθων, μέγεθος ἔχων ἕκαστος λίθος ὡς ἀπ᾽ αὐτῶν μηδ᾽ ἂν ἀρχὴν κινηθῆναι τὸν μικρότατον ὑπὸ ζεύγους ἡμιόνων. λίθια δὲ ἐνήρμοσται πάλαι, ὡς μάλιστα αὐτῶν ἕκαστον ἁρμονίαν τοῖς μεγάλοις λίθοις εἶναι. 8. Καταβάντων δὲ ὡς ἐπὶ θάλασσαν, ἐνταῦθα 9
οἱ θάλαμοι τῶν Προίτου θυγατέρων εἰσίν. ἐπανελθόντων δὲ ἐς τὴν λεωφόρον, ἐπὶ Μίδειαν ἐς ἀριστερὰν ἥξεις. βασιλεῦσαι δέ φασιν Ἠλεκτρύωνα ἐν τῇ Μιδείᾳ τὸν πατέρα Ἀλκμήνης. ἐπ᾽ ἐμοῦ δὲ Μιδείας πλὴν τὸ ἔδαφος ἄλλο οὐδὲν ἐλείπετο. 9. Κατὰ δὲ τὴν ἐς Ἐπίδαυρον εὐ- 10
θεῖάν ἐστι κώμη Λῆσσα, ναὸς δὲ Ἀθηνᾶς ἐν αὐτῇ καὶ ξόανον οὐδέν τι διάφορον ἢ τὸ ἐν ἀκροπόλει τῇ Λαρίσῃ. ἔστι δὲ ὄρος ὑπὲρ τῆς Λήσσης τὸ Ἀραχναῖον, πάλαι δὲ Σαπυσελάτων ἐπὶ Ἰνάχου τὸ ὄνομα εἰλήφει. βωμοὶ δέ εἰσιν ἐν αὐτῷ Διός τε καὶ Ἥρας· δεῆσαν ὄμβρου σφίσιν ἐνταῦθα θύουσι.

XXVI. Κατὰ δὲ τὴν Λῆσσαν ἔχεται τῆς Ἀργείας ἡ Ἐπιδαυρίων· πρὶν δὲ ἢ κατ᾽ αὐτὴν γενέσθαι τὴν πόλιν, ἐπὶ τὸ ἱερὸν ἀφίξῃ τοῦ Ἀσκληπιοῦ. 2. ταύτην τὴν χώ-
70 ραν οὐκ οἶδα οἵτινες πρότερον ᾤκησαν πρὶν Ἐπίδαυρον ἐλθεῖν ἐς αὐτήν· οὐ μὴν οὐδὲ τοὺς ἀπογόνους Ἐπιδαύρου πυθέσθαι παρὰ τῶν ἐπιχωρίων ἐδυνάμην. τελευταῖον δὲ πρὶν ἢ παραγενέσθαι Δωριέας ἐς Πελοπόννησον, βασιλεῦσαί φασι Πιτυρέα Ἴωνος ἀπόγονον τοῦ Ξούθου. τοῦτον παραδοῦναι λέγουσιν ἀμαχεὶ τὴν γῆν Δηϊφόντῃ καὶ Ἀργείοις. καὶ ὁ μὲν ἐς Ἀθήνας ὁμοῦ τοῖς 2
πολίταις ἀφικόμενος ἐνταῦθα ᾤκησε, Δηϊφόντης δὲ καὶ

Ἀργεῖοι τὴν Ἐπιδαυρίαν ἔσχον. ἀπεσχίσθησαν δὲ οὗτοι
τῶν ἄλλων Ἀργείων Τημένου τελευτήσαντος, Δηϊφόν-
της μὲν καὶ Ὑρνηθὼ κατ᾽ ἔχθος τῶν Τημένου παίδων, ὁ
δὲ σὺν αὐτοῖς στρατὸς Δηϊφόντῃ καὶ Ὑρνηθοῖ πλέον ἢ
Κείσῳ καὶ τοῖς ἀδελφοῖς νέμοντες. 3. Ἐπίδαυρος δὲ ἀφ᾽
οὗ τὸ ὄνομα τῇ γῇ ἐτέθη, ὡς μέν φασιν Ἠλεῖοι, Πέλοπος
ἦν· κατὰ δὲ Ἀργείων δόξαν καὶ τὰ ἔπη τὰς μεγάλας
Ἠοίας ἦν Ἐπιδαύρῳ πατὴρ Ἄργος ὁ Διός. Ἐπιδαύριοι δὲ
3 Ἀπόλλωνι Ἐπίδαυρον παῖδα προσποιοῦσιν. 4. Ἀσκλη-
πιοῦ δὲ ἱερὰν μάλιστα εἶναι τὴν γῆν ἐπὶ λόγῳ συμβέβηκε
τοιῷδε. Φλεγύαν Ἐπιδαύριοί φασιν ἐλθεῖν ἐς Πελοπόν-
νησον πρόφασιν μὲν ἐπὶ θέᾳ τῆς χώρας, ἔργῳ δὲ κατά-
σκοπον πλήθους τῶν ἐνοικούντων καὶ εἰ τὸ πολὺ μάχιμον
εἴη τῶν ἀνθρώπων· ἦν γὰρ δὴ Φλεγύας πολεμικώτατος
τῶν τότε, καὶ ἐπιὼν ἑκάστοτε ἐφ᾽ οὓς τύχοι τοὺς καρποὺς
4 ἔφερε καὶ ἤλαυνε τὴν λείαν. ὅτε δὲ παρεγένετο ἐς Πελο-
πόννησον, εἵπετο ἡ θυγάτηρ αὐτῷ, λεληθυῖα ἔτι τὸν
πατέρα ὅτι ἐξ Ἀπόλλωνος εἶχεν ἐν γαστρί. ὡς δὲ ἐν τῇ
γῇ τῇ Ἐπιδαυρίων ἔτεκεν, ἐκτίθησι τὸν παῖδα ἐς τὸ ὄρος
τοῦτο ὃ δὴ Τίτθιον ὀνομάζουσιν ἐφ᾽ ἡμῶν, τηνικαῦτα δὲ
ἐκαλεῖτο Μύργιον. ἐκκειμένῳ δὲ ἐδίδου μέν οἱ γάλα μία
τῶν περὶ τὸ ὄρος [τῶν] ποιμαινομένων αἰγῶν, ἐφύλασσε
5 δὲ ὁ κύων ὁ τοῦ αἰπολίου φρουρός. Ἀρεσθάνας δέ,
ὄνομα γὰρ τῷ ποιμένι τοῦτο ἦν, ὡς τὸν ἀριθμὸν οὐχ
εὕρισκεν ὁμολογοῦντα τῶν αἰγῶν καὶ ὁ κύων ἅμα ἀπε-
στάτει τῆς ποίμνης, οὕτω τὸν Ἀρεσθάναν ἐς πᾶν φασὶν 171
ἀφικνεῖσθαι ζητήσεως, εὑρόντα δὲ ἐπιθυμῆσαι τὸν παῖδα
ἀνελέσθαι, καὶ ὡς ἐγγὺς ἐγίνετο, ἀστραπὴν εἶδεν ἐκλάμ-
ψασαν ἀπὸ τοῦ παιδός, νομίσαντα δὲ εἶναι θεῖόν τι,
ὥσπερ ἦν, ἀποτραπέσθαι. ὁ δὲ αὐτίκα ἐπὶ γῆν καὶ θά-
λασσαν πᾶσαν ἠγγέλλετο τά τε ἄλλα ὁπόσα βούλοιτο
εὑρίσκειν ἐπὶ τοῖς κάμνουσι, καὶ ὅτι ἀνίστησι τεθνεῶτας.

5. *Λέγεται δὲ καὶ ἄλλος ἐπ' αὐτῷ λόγος, Κορωνίδα κύουσαν Ἀσκληπιὸν Ἴσχυϊ τῷ Ἐλάτου συγγενέσθαι, καὶ τὴν μὲν ἀποθανεῖν ὑπὸ Ἀρτέμιδος ἀμυνομένης τῆς ἐς τὸν Ἀπόλλωνα ὕβρεως, ἐξημμένης δὲ ἤδη τῆς πυρᾶς ἁρπάσαι λέγεται τὸν παῖδα Ἑρμῆς ἀπὸ τῆς φλογός.* 6. *Ὁ δὲ τρίτος τῶν λόγων ἥκιστα, ἐμοὶ δοκεῖν, ἀληθής ἐστιν, Ἀρσινόης ποιήσας εἶναι τῆς Λευκίππου παῖδα Ἀσκληπιόν. Ἀπολλοφάνει γὰρ τῷ Ἀρκάδι ἐς Δελφοὺς ἐλθόντι καὶ ἐρομένῳ τὸν θεὸν εἰ γένοιτο ἐξ Ἀρσινόης Ἀσκληπιὸς καὶ Μεσσηνίοις πολίτης εἴη, ἔχρησεν ἡ Πυθία,*

6 (margin, line 1) · 7 (margin, line 6)

> *ὦ μέγα χάρμα βροτοῖς βλαστὼν Ἀσκληπιὲ πᾶσιν,*
> *ὃν Φλεγυηῒς ἔτικτεν ἐμοὶ φιλότητι μιγεῖσα*
> *ἱμερόεσσα Κορωνὶς ἐνὶ κραναῇ Ἐπιδαύρῳ.*

*οὗτος ὁ χρησμὸς δηλοῖ μάλιστα οὐκ ὄντα Ἀσκληπιὸν Ἀρσινόης, ἀλλὰ Ἡσίοδον ἢ τῶν τινὰ ἐμπεποιηκότων ἐς τὰ Ἡσιόδου τὰ ἔπη συνθέντα ἐς τὴν Μεσσηνίων χάριν.*
7. *μαρτυρεῖ δέ μοι καὶ τόδε ἐν Ἐπιδαύρῳ τὸν θεὸν γε-* 8
*νέσθαι· τὰ γὰρ Ἀσκληπιεῖα εὑρίσκω τὰ ἐπιφανέστατα ἐξ Ἐπιδαύρου. τοῦτο μὲν γὰρ Ἀθηναῖοι τῆς τελετῆς λέγοντες Ἀσκληπιῷ μεταδοῦναι τὴν ἡμέραν ταύτην Ἐπιδαύρια ὀνομάζουσι, καὶ θεὸν ἀπ' ἐκείνου φασὶν Ἀσκληπιόν σφισι νομισθῆναι· τοῦτο δὲ Ἀρχίας ὁ Ἀρισταίχμου*
2 *τὸ συμβὰν σπάσμα θηρεύοντί οἱ περὶ τὸν Πίνδασον ἰαθεὶς ἐν τῇ Ἐπιδαυρίᾳ τὸν θεὸν ἐπηγάγετο ἐς Πέργαμον.*
*ἀπὸ δὲ τοῦ Περγαμηνῶν Σμυρναίοις γέγονεν ἐφ' ἡμῶν* 9
*Ἀσκληπιεῖον τὸ ἐπὶ θαλάσσῃ. τὸ δ' ἐν Βαλάγραις ταῖς Κυρηναίων, ἔστιν Ἀσκληπιὸς καλούμενος Ἰατρὸς ἐξ Ἐπιδαύρου καὶ οὗτος. ἐκ δὲ τοῦ παρὰ Κυρηναίοις τὸ ἐν Λεβήνῃ τῇ Κρητῶν ἐστὶν Ἀσκληπιεῖον. διάφορον δὲ Κυρηναίοις τοσόνδε ἐς Ἐπιδαυρίους ἐστίν, ὅτι αἶγας οἱ Κυρηναῖοι θύουσιν, Ἐπιδαυρίοις οὐ καθεστηκότος.*
*Θεὸν δὲ Ἀσκληπιὸν νομισθέντα ἐξ ἀρχῆς καὶ οὐκ ἀνὰ* 10

χρόνον λαβόντα τὴν φήμην τεκμηρίοις καὶ ἄλλοις εὑρίσκω, καὶ Ὁμήρου μαρτυρεῖ μοι τὰ περὶ Μαχάονος ὑπὸ Ἀγαμέμνονος εἰρημένα

Ταλθύβι' ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον
φῶτ' Ἀσκληπιοῦ υἱόν,

ὡς ἂν εἰ λέγοι θεοῦ παῖδα ἄνθρωπον.

XXVII. Τὸ δὲ ἱερὸν ἄλσος τοῦ Ἀσκληπιοῦ περιέχουσιν ὅροι πανταχόθεν· οὐδὲ ἀποθνήσκουσιν οὐδὲ τίκτουσιν αἱ γυναῖκές σφισιν ἐντὸς τοῦ περιβόλου, καθὰ καὶ ἐπὶ Δήλῳ τῇ νήσῳ τὸν αὐτὸν νόμον. τὰ δὲ θυόμενα, ἤν τέ τις Ἐπιδαυρίων αὐτῶν ἤν τε ξένος ὁ θύων ᾖ, καταναλίσκουσιν ἐντὸς τῶν ὅρων. τὸ δὲ αὐτὸ γινόμενον οἶδα
2 καὶ ἐν Τιτάνῃ. 2. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἄγαλμα μεγέθει μὲν τοῦ Ἀθήνησιν Ὀλυμπίου Διὸς ἥμισυ ἀποδεῖ, πεποίηται δὲ ἐλέφαντος καὶ χρυσοῦ· μηνύει δὲ ἐπίγραμμα τὸν εἰργασμένον εἶναι Θρασυμήδην Ἀριγνώτου Πάριον. κάθηται δὲ ἐπὶ θρόνου βακτηρίαν κρατῶν, τὴν δὲ ἑτέραν τῶν χειρῶν ὑπὲρ κεφαλῆς ἔχει τοῦ δράκοντος, καί οἱ καὶ κύων παρακατακείμενος πεποίηται. τῷ θρόνῳ δὲ 17
ἡρώων ἐπειργασμένα Ἀργείων ἐστὶν ἔργα, Βελλεροφόντου τὸ ἐς τὴν Χίμαιραν καὶ Περσεὺς ἀφελὼν τὴν Μεδούσης κεφαλήν. τοῦ ναοῦ δέ ἐστι πέραν ἔνθα οἱ
3 ἱκέται τοῦ θεοῦ καθεύδουσιν. 3. οἴκημα δὲ περιφερὲς λίθου λευκοῦ, καλούμενον Θόλος, ᾠκοδόμηται πλησίον, θέας ἄξιον. ἐν δὲ αὐτῷ Παυσίου γράψαντος βέλη μὲν καὶ τόξον ἐστὶν ἀφεικὼς Ἔρως, λύραν δὲ ἀντ' αὐτῶν ἀράμενος φέρει. γέγραπται δὲ ἐνταῦθα καὶ Μέθη, Παυσίου καὶ τοῦτο ἔργον, ἐξ ὑαλίνης φιάλης πίνουσα· ἴδοις δὲ κἂν ἐν τῇ γραφῇ φιάλην τε ὑάλου καὶ δι' αὐτῆς γυναικὸς πρόσωπον. στῆλαι δὲ εἱστήκεσαν ἐντὸς τοῦ περιβόλου, τὸ μὲν ἀρχαῖον καὶ πλέονες, ἐπ' ἐμοῦ δὲ ἓξ λοιπαί. ταύταις ἐγγεγραμμένα καὶ ἀνδρῶν καὶ γυναικῶν

ἐστὶν ὀνόματα ἀκεσθέντων ὑπὸ τοῦ Ἀσκληπιοῦ, προσέτι δὲ καὶ νόσημα ὅ τι ἕκαστος ἐνόσησε, καὶ ὅπως ἰάθη· γέγραπται δὲ φωνῇ τῇ Δωρίδι. 4. Χωρὶς δὲ ἀπὸ τῶν ἄλ- 4
λων ἐστὶν ἀρχαία στήλη, ἵππους δὲ Ἱππόλυτον ἀναθεῖναι τῷ θεῷ φησὶν εἴκοσι. ταύτης τῆς στήλης τῷ ἐπιγράμματι ὁμολογοῦντα λέγουσιν Ἀρικιεῖς, ὡς τεθνεῶτα Ἱππόλυτον ἐκ τῶν Θησέως ἀρῶν ἀνέστησεν Ἀσκληπιός· ὁ δὲ ὡς αὖθις ἐβίω, οὐκ ἠξίου νέμειν τῷ πατρὶ συγγνώμην, ἀλλὰ ὑπεριδὼν τὰς δεήσεις ἐς Ἰταλίαν ἔρχεται παρὰ τοὺς Ἀρικιεῖς, καὶ ἐβασίλευσέ τε αὐτόθι καὶ ἀνῆκε τῇ Ἀρτέμιδι τέμενος, ἔνθα ἄχρι ἐμοῦ μονομαχίας ἆθλον ἦν ἱερᾶσθαι
74 τῇ θεῷ τὸν νικῶντα. ὁ δὲ ἀγὼν ἐλευθέρων μὲν προέκειτο οὐδενί, οἰκέταις δὲ ἀποδρᾶσι τοὺς δεσπότας. 5. Ἐπι- 5
δαυρίοις δέ ἐστι θέατρον ἐν τῷ ἱερῷ, μάλιστα ἐμοὶ δοκεῖν θέας ἄξιον· τὰ μὲν γὰρ Ῥωμαίων πολὺ δή τι ὑπερῆρκε τῶν πανταχοῦ τῷ κόσμῳ, μεγέθει δὲ Ἀρκάδων τὸ ἐν Μεγάλῃ πόλει· ἁρμονίας δὲ ἢ κάλλους ἕνεκα ἀρχιτέκτων ποῖος ἐς ἅμιλλαν Πολυκλείτῳ γένοιτ᾽ ἂν ἀξιόχρεως; Πολύκλειτος γὰρ καὶ θέατρον τοῦτο καὶ οἴκημα τὸ περιφερὲς ὁ ποιήσας ἦν. 6. Ἐντὸς δὲ τοῦ ἄλσους ναός τέ ἐστιν Ἀρτέμιδος, καὶ ἄγαλμα Ἠπιόνης, καὶ Ἀφροδίτης ἱερὸν καὶ Θέμιδος, καὶ στάδιον οἷα Ἕλλησι τὰ πολλὰ γῆς χῶμα, καὶ κρήνη τῷ τε ὀρόφῳ καὶ κόσμῳ τῷ λοιπῷ θέας ἀξία.
7. Ὁπόσα δὲ Ἀντωνῖνος ἀνὴρ τῆς συγκλήτου βουλῆς ἐφ᾽ 6
ἡμῶν ἐποίησεν, ἔστι μὲν Ἀσκληπιοῦ λουτρόν, ἔστι δὲ ἱερὸν θεῶν οὓς Ἐπιδώτας ὀνομάζουσιν. ἐποίησε δὲ καὶ Ὑγιείᾳ ναὸν καὶ Ἀσκληπιῷ καὶ Ἀπόλλωνι ἐπίκλησιν Αἰγυπτίοις. καί, ἦν γὰρ στοὰ καλουμένη Κότυος, καταρρυέντος δέ οἱ τοῦ ὀρόφου διέφθαρτο ἤδη πᾶσα ἅτε ὠμῆς τῆς πλίνθου ποιηθεῖσα, ἀνῳκοδόμησε καὶ ταύτην. Ἐπιδαυρίων δὲ οἱ περὶ τὸ ἱερὸν μάλιστα ἐταλαιπώρουν, ὅτι μήτε αἱ γυναῖκες ἐν σκέπῃ σφίσιν ἔτικτον καὶ ἡ τελευτὴ

τοῖς κάμνουσιν ὑπαίθριος ἐγίνετο. ὁ δὲ καὶ ταῦτα ἐπανορθούμενος κατεσκευάσατο οἴκησιν· ἐνταῦθα ἤδη καὶ
7 ἀποθανεῖν ἀνθρώπῳ καὶ τεκεῖν γυναικὶ ὅσιον. 8. Ὄρη δέ ἐστιν ὑπὲρ τὸ ἄλσος τό τε Τίτθιον καὶ ἕτερον ὀνομαζόμενον Κυνόρτιον, Μαλεάτου δὲ Ἀπόλλωνος ἱερὸν ἐν 175
αὐτῷ. τοῦτο μὲν δὴ τῶν ἀρχαίων· τὰ δὲ ἄλλα ὅσα περὶ τὸ ἱερὸν τοῦ Μαλεάτου, καὶ ἔλυτρον κρήνης ἐς ὃ τὸ ὕδωρ συλλέγεταί σφισι τὸ ἐκ τοῦ θεοῦ, Ἀντωνῖνος καὶ ταῦτα Ἐπιδαυρίοις ἐποίησεν.

XXVIII. Δράκοντες δὲ οἱ λοιποὶ καὶ ἕτερον γένος ἐς τὸ ξανθότερον ῥέπον τῆς χρόας ἱεροὶ μὲν τοῦ Ἀσκληπιοῦ νομίζονται καὶ εἰσὶν ἀνθρώποις ἥμεροι, τρέφει δὲ μόνη σφᾶς ἡ τῶν Ἐπιδαυρίων γῆ. τὸ δὲ αὐτὸ εὑρίσκω καὶ ἄλλαις χώραις συμβεβηκός· Λιβύη μέν γε μόνη κροκοδείλους τρέφει χερσαίους διπήχεων οὐκ ἐλάσσονας, παρὰ δὲ Ἰνδῶν μόνων ἄλλα τε κομίζεται καὶ ὄρνιθες οἱ ψιττακοί. τοὺς δὲ ὄφεις οἱ Ἐπιδαύριοι τοὺς μεγάλους, ἐς πλέον πηχῶν καὶ τριάκοντα προήκοντας, οἷοι παρά τε Ἰνδοῖς τρέφονται καὶ ἐν Λιβύῃ, ἄλλο δή τι γένος φασὶν
2 εἶναι καὶ οὐ δράκοντας. 2. Ἐς δὲ τὸ ὄρος ἀνιοῦσι τὸ Κόρυφον ἔστι καθ' ὁδὸν Στρεπτῆς καλουμένης ἐλαίας φυτόν, αἰτίου τοῦ περιαγαγόντος τῇ χειρὶ Ἡρακλέους ἐς τοῦτο τὸ σχῆμα. εἰ δὲ καὶ Ἀσιναίοις τοῖς ἐν τῇ Ἀργολίδι ἔθηκεν ὅρον τοῦτον, οὐκ ἂν ἔγωγε εἰδείην, ἐπεὶ μηδὲ ἑτέρωθι ἀναστάτου γενομένης χώρας τὸ σαφὲς ἔτι οἷόν τε τῶν ὅρων ἐξευρεῖν. ἐπὶ δὲ τῇ ἄκρᾳ τοῦ ὄρους Κορυφαίας ἐστὶν ἱερὸν Ἀρτέμιδος, οὗ καὶ Τελέσιλλα ἐποιή-
3 σατο ἐν ᾄσματι μνήμην. Κατιοῦσι δὲ ἐς τῶν Ἐπιδαυρίων τὴν πόλιν χωρίον ἐστὶ πεφυκυίας ἀγριελαίους ἔχον· Ὑρνήθιον δὲ καλοῦσι τὸ χωρίον. 3. τὰ δὲ ἐς αὐτό, ὡς Ἐπιδαύριοί τε λέγουσι καὶ εἰκὸς ἔχει, γράψω. Κεῖσος καὶ οἱ λοιποὶ Τημένου παῖδες μάλιστα ᾔδεσαν Δηϊφόντην

176 λυπήσοντες, εἰ διαλῦσαί πως ἀπ᾽ αὐτοῦ τὴν Ὑρνηθὼ δυνηθεῖεν. ἀφίκοντο οὖν ἐς Ἐπίδαυρον Κερύνης καὶ Φάλκης· Ἀργαίῳ γὰρ τῷ νεωτάτῳ τὰ ποιούμενα οὐκ ἤρεσκεν. οὗτοι δὲ στήσαντες τὸ ἅρμα ὑπὸ τὸ τεῖχος κήρυκα ἀποστέλλουσι παρὰ τὴν ἀδελφήν, ἐλθεῖν δῆθεν ἐς λόγους αὐτῇ βουλόμενοι. ὡς δὲ ὑπήκουσε καλοῦσιν, 4
ἐνταῦθα οἱ νεανίσκοι πολλὰ μὲν Δηϊφόντου κατηγόρουν, πολλὰ δὲ αὐτὴν ἱκέτευον ἐκείνην ἐπανήκειν ἐς Ἄργος, ἄλλα τε ἐπαγγελλόμενοι καὶ ἀνδρὶ δώσειν αὐτὴν Δηϊφόντου τὰ πάντα ἀμείνονι καὶ ἀνθρώπων πλειόνων καὶ γῆς ἄρχοντι εὐδαιμονεστέρας. Ὑρνηθὼ δὲ τοῖς λεχθεῖσιν ἀλγήσασα ἀπεδίδου σφίσι τὴν ἴσην, Δηϊφόντην μὲν αὐτῇ τε ἄνδρα ἀρεστὸν εἶναι φήσασα καὶ Τημένῳ γενέσθαι γαμβρὸν οὐ μεμπτόν, ἐκείνοις δὲ Τημένου προσήκειν σφαγεῦσιν ὀνομάζεσθαι μᾶλλον ἢ παισί. καὶ τὴν μὲν οὐ- 5
δὲν ἔτι ἀποκρινάμενοι συλλαμβάνουσιν, ἀναθέντες δὲ ἐς τὸ ἅρμα ἀπήλαυνον· Δηϊφόντῃ δὲ ἀγγέλλει τις τῶν Ἐπιδαυρίων ὡς Κερύνης καὶ Φάλκης ἄγοντες οἴχοιντο ἄκουσαν Ὑρνηθώ. ὁ δὲ αὐτός τε ὡς τάχους εἶχεν ἤμυνε, καὶ οἱ Ἐπιδαύριοι πυνθανόμενοι προσεβοήθουν. Δηϊφόντης δὲ Κερύνην μὲν ὡς κατελάμβανεν ἀναιρεῖ βαλών, Φάλκην δὲ ἐχόμενον Ὑρνηθοῦς βαλεῖν μὲν ἔδεισε, μὴ ἁμαρτὼν γένοιτο αὐτῆς ἐκείνης φονεύς, συμπλακεὶς δὲ ἐπειρᾶτο ἀφαιρεῖσθαι. Φάλκης δὲ ἀντεχόμενος καὶ ἕλκων βιαιότερον ἀπέκτεινεν ἔχουσαν ἐν γαστρί. καὶ ὁ μὲν 6
συνεὶς οἷα ἐς τὴν ἀδελφὴν ἐξειργασμένος ἔργα ἦν, ἤλαυνε τὸ ἅρμα ἀφειδέστερον, προλαβεῖν τῆς ὁδοῦ σπεύδων πρὶν ἢ πάντας ἐπ᾽ αὐτὸν συλλεχθῆναι τοὺς Ἐπιδαυρίους· Δηϊφόντης δὲ σὺν τοῖς παισίν, ἐγεγόνεσαν γὰρ καὶ παῖδες αὐτῷ πρότερον ἔτι, υἱοὶ μὲν Ἀντιμένης καὶ Ξάνθιππός τε καὶ Ἀργεῖος, θυγάτηρ δὲ Ὀρσοβία· ταύτην Πάμφυλον τὸν Αἰγιμίου λέγουσιν ὕστερον γῆμαι· τότε δὲ ἀνα-

λαβόντες τὸν νεκρὸν τῆς Ὑρνηθοῦς κομίζουσιν ἐς τοῦτο
7 το χωρίον τὸ ἀνὰ χρόνον Ὑρνήθιον κληθέν. καί οἱ ποιή-
σαντες ἡρῷον τιμὰς καὶ ἄλλας δεδώκασι, καὶ ἐπὶ τοῖς
πεφυκόσιν ἐλαίοις, καὶ εἴ δή τι ἄλλο δένδρον ἔσω, καθ- 177
έστηκε νόμος τὰ θραυόμενα μηδένα ἐς οἶκον φέρεσθαι
μηδὲ χρᾶσθαί σφισιν ἐς μηδέν, κατὰ χώραν δ' αὐτοῦ
8 λείπουσιν ἱερὰ εἶναι τῆς Ὑρνηθοῦς. 4. Οὐ πόρρω δὲ
τῆς πόλεως Μελίσσης μνῆμά ἐστιν, ἣ Περιάνδρῳ συν-
ῴκησε τῷ Κυψέλου, καὶ ἕτερον Προκλέους πατρὸς τῆς Με-
λίσσης. ἐτυράννει δὲ καὶ οὗτος Ἐπιδαυρίων, καθὰ δὴ
καὶ ὁ γαμβρός οἱ Περίανδρος Κορίνθου.

XXIX. *Αὐτὴ δὲ τῶν Ἐπιδαυρίων ἡ πόλις παρείχετο
ἐς μνήμην τάδε ἀξιολογώτατα. τέμενος δή ἐστιν Ἀσκλη-
πιοῦ, καὶ ἀγάλματα ὁ θεὸς αὐτὸς καὶ Ἠπιόνη· γυναῖκα
δὲ εἶναι τὴν Ἠπιόνην Ἀσκληπιοῦ φασί. ταῦτά ἐστιν ἐν
ὑπαίθρῳ, λίθου Παρίου. ναοὶ δὲ ἐν τῇ πόλει καὶ Διο-
νύσου καὶ Ἀρτέμιδός ἐστιν ἄλλος· εἰκάσαις ἂν θηρευ-
ούσῃ τὴν Ἄρτεμιν. Ἀφροδίτης τε ἱερὸν πεποίηται· τὸ
δὲ πρὸς τῷ λιμένι ἐπὶ ἄκρας ἀνεχούσης ἐς θάλασσαν λέ-
γουσιν Ἥρας εἶναι. τὴν δὲ Ἀθηνᾶν τὴν ἐν τῇ ἀκροπόλει,
ξόανον θέας ἄξιον, Κισσαίαν ἐπονομάζουσιν.*

2 2. *Αἰγινῆται δὲ οἰκοῦσιν ἔχοντες τὴν νῆσον ἀπαν-
τικρὺ τῆς Ἐπιδαυρίας. ἀνθρώπους δ' οὐκ εὐθὺς ἐξ ἀρ-
χῆς λέγουσιν ἐν αὐτῇ γενέσθαι, Διὸς δὲ ἐς ἔρημον κο-
μίσαντος Αἴγιναν τὴν Ἀσωποῦ τῇ μὲν τὸ ὄνομα ἐτέθη
τοῦτο ἀντὶ Οἰνώνης, Αἰακοῦ δὲ αἰτήσαντος ὡς ηὐξήθη
παρὰ Διὸς οἰκήτορας, οὕτω οἱ τὸν Δία ἀνεῖναι τοὺς ἀν-
θρώπους φασὶν ἐκ τῆς γῆς. βασιλεύσαντα δὲ ἐν τῇ γῇ
πλὴν Αἰακὸν οὐδένα εἰπεῖν ἔχουσιν, ἐπεὶ μηδὲ τῶν Αἰα-
κοῦ παίδων τινὰ ἴσμεν καταμείναντα, Πηλεῖ μὲν συμβὰν
καὶ Τελαμῶνι ἐπὶ φόνῳ φεύγειν τῷ Φώκου, τῶν δὲ αὖ
Φώκου παίδων περὶ τὸν Παρνασὸν οἰκησάντων ἐν τῇ*

νῦν καλουμένῃ Φωκίδι. 3. τὸ δὲ ὄνομα προϋπῆρχεν ἤδη 3
τῇ χώρᾳ, Φώκου τοῦ Ὀρνυτίωνος γενεᾷ πρότερον ἐς
178 αὐτὴν ἐλθόντος. ἐπὶ μὲν δὴ Φώκου τούτου ἡ περὶ Τι-
θορέαν τε καὶ Παρνασὸν ἐκαλεῖτο Φωκίς· ἐπὶ δὲ τοῦ
Αἰακοῦ καὶ πᾶσιν ἐξενίκησεν, ὅσοι Μινύαις τέ εἰσιν
Ὀρχομενίοις ὅμοροι καὶ ἐπὶ Σκάρφειαν τὴν Λοκρῶν καθ-
ήκουσι. 4. γεγόνασι δὲ ἀπὸ μὲν Πηλέως οἱ ἐν Ἠπείρῳ 4
βασιλεῖς, Τελαμῶνος δὲ τῶν παίδων Αἴαντος μέν ἐστιν
ἀφανέστερον γένος οἷα ἰδιωτεύσαντος ἀνθρώπου, πλὴν
ὅσον Μιλτιάδης, ὃς Ἀθηναίοις ἐς Μαραθῶνα ἡγήσατο,
καὶ Κίμων ὁ Μιλτιάδου προῆλθον ἐς δόξαν· οἱ δὲ Τευ-
κρίδαι βασιλεῖς διέμειναν Κυπρίων ἄρχοντες ἐς Εὐαγό-
ραν. Φώκῳ δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ
Πανοπέα καὶ Κρῖσον· καὶ Πανοπέως μὲν ἐγένετο Ἐπειὸς
ὁ τὸν ἵππον τὸν δούρειον, ὡς Ὅμηρος ἐποίησεν, ἐργα-
σάμενος, Κρίσου δὲ ἦν ἀπόγονος τρίτος Πυλάδης, Στρο-
φίου τε ὢν τοῦ Κρίσου καὶ Ἀναξιβίας ἀδελφῆς Ἀγαμέμ-
νονος. γένη μὲν τοσαῦτα τῶν καλουμένων Αἰακιδῶν,
ἐξεχώρησε δὲ ἑτέρωσε ἀπ' ἀρχῆς. 5. Χρόνῳ δὲ ὕστερον 5
μοῖρα Ἀργείων τῶν Ἐπίδαυρον ὁμοῦ Δηϊφόντῃ κατα-
σχόντων διαβᾶσα ἐς Αἴγιναν, καὶ Αἰγινήταις τοῖς ἀρ-
χαίοις γενόμενοι σύνοικοι, τὰ Δωριέων ἔθη καὶ φωνὴν
κατεστήσαντο ἐν τῇ νήσῳ. προελθοῦσι δὲ Αἰγινήταις ἐς
μέγα δυνάμεως, ὡς Ἀθηναίων γενέσθαι ναυσὶν ἐπι-
κρατεστέρους καὶ ἐν τῷ Μηδικῷ πολέμῳ παρασχέσθαι
πλοῖα μετά γε Ἀθηναίους πλεῖστα, οὐ παρέμεινεν ἐς
ἅπαν ἡ εὐδαιμονία, γενόμενοι δὲ ὑπὸ Ἀθηναίων ἀνά-
στατοι Θυρέαν τὴν ἐν τῇ Ἀργολίδι Λακεδαιμονίων δόν-
των ᾤκησαν. καὶ ἀπέλαβον μὲν τὴν νῆσον, ὅτε περὶ
Ἑλλήσποντον αἱ Ἀθηναίων τριήρεις ἐλήφθησαν, πλοῦ-
του δὲ ἢ δυνάμεως οὐκέτι ἐξεγένετο ἐς ἴσον προελθεῖν
σφίσιν. Προσπλεῦσαι δὲ Αἴγινά ἐστι νήσων τῶν Ἑλλη- 6

νίδων ἀπορωτάτη· πέτραι τε γὰρ ὕφαλοι περὶ πᾶσαν καὶ
χοιράδες ανεστηκασι. μηχανήσασθαι δὲ ἐξεπίτηδες ταῦ-
τα Αἰακόν φασι λῃστειῶν τῶν ἐκ θαλάσσης φόβῳ, καὶ 179
πολεμίοις ἀνδράσι μὴ ἄνευ κινδύνου εἶναι. 6. Πλησίον
δὲ τοῦ λιμένος ἐν ᾧ μάλιστα ὁρμίζονται ναός ἐστιν Ἀφρο-
δίτης, ἐν ἐπιφανεστάτῳ δὲ τῆς πόλεως τὸ Αἰάκειον κα-
7 λούμενον, περίβολος τετράγωνος λευκοῦ λίθου. ἐπειρ-
γασμένοι δέ εἰσι κατὰ τὴν ἔσοδον οἱ παρὰ Αἰακόν ποτε
ὑπὸ τῶν Ἑλλήνων σταλέντες. αἰτίαν δὲ τὴν αὐτὴν Αἰ-
γινήταις καὶ οἱ λοιποὶ λέγουσιν. αὐχμὸς τὴν Ἑλλάδα
ἐπὶ χρόνον ἐπίεξε, καὶ οὔτε τὴν ἐκτὸς Ἰσθμοῦ χώραν
οὔτε Πελοποννησίοις ὗεν ὁ θεός, ἐς ὃ ἐς Δελφοὺς ἀπέ-
στειλαν ἐρησομένους τὸ αἴτιον ὅ τι εἴη καὶ αἰτήσοντας
ἅμα λύσιν τοῦ κακοῦ. τούτοις ἡ Πυθία εἶπε Δία ἱλά-
σκεσθαι, χρῆναι δέ, εἴπερ ὑπακούσῃ σφίσιν, Αἰακὸν
8 τὸν ἱκετεύσοντα εἶναι. οὕτως Αἰακοῦ δεησομένους ἀπο-
στέλλουσιν ἀφ' ἑκάστης πόλεως. καὶ ὁ μὲν τῷ Πανελλη-
νίῳ Διὶ θύσας καὶ εὐξάμενος τὴν Ἑλλάδα γῆν ἐποίησεν
ὕεσθαι· τῶν δὲ ἐλθόντων ὡς αὐτὸν εἰκόνας ταύτας
ἐποιήσαντο οἱ Αἰγινῆται. τοῦ περιβόλου δὲ ἐντὸς ἐλαῖαι
πεφύκασιν ἐκ παλαιοῦ, καὶ βωμός ἐστιν οὐ πολὺ ἀνέχων
ἐκ τῆς γῆς· ὡς δὲ καὶ μνῆμα οὗτος ὁ βωμὸς εἴη Αἰακοῦ,
9 λεγόμενόν ἐστιν ἐν ἀπορρήτῳ. 7. Παρὰ δὲ τὸ Αἰάκειον
Φώκου τάφος χῶμά ἐστι περιεχόμενον κύκλῳ κρηπῖδι,
ἐπίκειται δέ οἱ λίθος τραχύς· καὶ ἡνίκα Φῶκον Τελαμὼν
καὶ Πηλεὺς προηγάγοντο ἐς ἀγῶνα πεντάθλου καὶ περι-
ῆλθεν ἐς Πηλέα ἀφεῖναι τὸν λίθον, οὗτος γὰρ ἀντὶ
δίσκου σφίσιν ἦν, ἑκὼν τυγχάνει τοῦ Φώκου. ταῦτα δὲ
ἐχαρίζοντο τῇ μητρί· αὐτοὶ μὲν γὰρ ἐγεγόνεσαν ἐκ τῆς
Σκίρωνος θυγατρός, Φῶκος δὲ οὐκ ἐκ τῆς αὐτῆς, ἀλλ'
ἐξ ἀδελφῆς Θέτιδος ἦν, εἰ δὴ τὰ ὄντα λέγουσιν Ἕλληνες.
Πυλάδης τέ μοι καὶ διὰ ταῦτα φαίνεται καὶ οὐκ Ὀρέστου

φιλίᾳ μόνον βουλεῦσαι Νεοπτολέμῳ τὸν φόνον. τότε δὲ 10
ὡς τῷ δίσκῳ πληγεὶς ἀπέθανεν ὁ Φῶκος, φεύγουσιν ἐπι-
180 βάντες νεὼς οἱ Ἐνδηΐδος παῖδες. Τελαμὼν δὲ ὕστερα
κήρυκα ἀποστέλλων ἠρνεῖτο μὴ βουλεῦσαι Φώκῳ θάνα-
τον. Αἰακὸς δὲ ἐς μὲν τὴν νῆσον ἀποβαίνειν αὐτὸν οὐκ
εἴα, ἑστηκότα δὲ ἐπὶ νεώς, εἰ δὲ ἐθέλοι, χῶμα ἐν τῇ θα-
λάσσῃ χώσαντα ἐκέλευεν ἐντεῦθεν ἀπολογήσασθαι. οὕ-
τως ἐς τὸν Κρυπτὸν καλούμενον λιμένα ἐσπλεύσας, νύ-
κτωρ ἐποίει χῶμα. καὶ τοῦτο μὲν ἐξεργασθὲν καὶ ἐς ἡμᾶς
ἔτι μένει· καταγνωσθεὶς δὲ οὐκ ἀναίτιος εἶναι Φώκῳ
τῆς τελευτῆς τὸ δεύτερον ἐς Σαλαμῖνα ἀπέπλευσε. 8. Τοῦ 11
λιμένος δὲ οὐ πόρρω τοῦ Κρυπτοῦ θέατρόν ἐστι θέας
ἄξιον, κατὰ τὸ Ἐπιδαυρίων μάλιστα μέγεθος καὶ ἐργα-
σίαν τὴν λοιπήν. τούτου δὲ ὄπισθεν ᾠκοδόμηται σταδίου
πλευρὰ μία, ἀνέχουσά τε αὐτὴ τὸ θέατρον καὶ ἀντὶ ἐρεί-
σματος ἀνάλογον ἐκείνῳ χρωμένη.

XXX. Ναοὶ δὲ οὐ πολὺ ἀλλήλων ἀφεστηκότες ὁ
μὲν Ἀπόλλωνός ἐστιν, ὁ δὲ Ἀρτέμιδος, Διονύσῳ δὲ
αὐτῶν ὁ τρίτος. Ἀπόλλωνι μὲν δὴ ξόανον γυμνόν ἐστι
τέχνης τῆς ἐπιχωρίου, τῇ δὲ Ἀρτέμιδί ἐστιν ἐσθής, κατὰ
ταὐτὰ δὲ καὶ τῷ Διονύσῳ· καὶ γένεια Διόνυσος ἔχων
πεποίηται. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔστι μὲν ἑτέρωθι
καὶ οὐ ταύτῃ, λίθου δὲ ἄγαλμα καθήμενον. 2. Θεῶν 2
δὲ Αἰγινῆται τιμῶσιν Ἑκάτην μάλιστα, καὶ τελετὴν ἄγου-
σιν ἀνὰ πᾶν ἔτος Ἑκάτης, Ὀρφέα σφίσι τὸν Θρᾷκα κατα-
στήσασθαι τὴν τελετὴν λέγοντες. τοῦ περιβόλου δὲ ἐντὸς
ναός ἐστι. ξόανον δὲ ἔργον Μύρωνος, ὁμοίως ἓν πρόσ-
ωπόν τε καὶ τὸ λοιπὸν σῶμα. Ἀλκαμένης δέ, ἐμοὶ δο-
κεῖν, πρῶτος ἀγάλματα Ἑκάτης τρία ἐποίησε προσεχόμενα
ἀλλήλοις, ἣν Ἀθηναῖοι καλοῦσιν Ἐπιπυργιδίαν· ἕστηκε
δὲ παρὰ τῆς Ἀπτέρου Νίκης τὸν ναόν. 3. Ἐν Αἰγίνῃ δὲ 3
πρὸς τὸ ὄρος τοῦ Πανελληνίου Διὸς ἰοῦσίν ἐστιν Ἀφαίας

ἱερόν, ἐς ἣν καὶ Πίνδαρος ᾆσμα Αἰγινήταις ἐποίησε. φασὶ δὲ οἱ Κρῆτες, τούτοις γάρ ἐστι τὰ ἐς αὐτὴν ἐπιχώρια, Καρμάνορος τοῦ καθήραντος Ἀπόλλωνα ἐπὶ φόνῳ τῷ Πύθωνος παῖδα Εὔβουλον εἶναι, Διὸς δὲ καὶ Κάρμης
τῆς Εὐβούλου Βριτόμαρτιν γενέσθαι· χαίρειν δὲ αὐτὴν 181
δρόμοις τε καὶ θήραις, καὶ Ἀρτέμιδι μάλιστα φίλην εἶναι· Μίνω δὲ ἐρασθέντα φεύγουσα ἔρριψεν ἑαυτὴν ἐς δίκτυα ἀφειμένα ἐπ' ἰχθύων θήρᾳ. ταύτην μὲν θεὸν ἐποίησεν Ἄρτεμις, σέβουσι δὲ οὐ Κρῆτες μόνον ἀλλὰ καὶ Αἰγινῆται, λέγοντες φαίνεσθαί σφισιν ἐν τῇ νήσῳ τὴν Βριτόμαρτιν. ἐπίκλησις δέ οἱ παρά τε Αἰγινήταις ἐστὶν Ἀφαία
4 καὶ Δίκτυννα ἐν Κρήτῃ. 4. Τὸ δὲ Πανελλήνιον, ὅτι μὴ τοῦ Διὸς τὸ ἱερόν, ἄλλο τὸ ὄρος ἀξιόλογον εἶχεν οὐδέν. τοῦτο δὲ τὸ ἱερὸν λέγουσιν Αἰακὸν ποιῆσαι τῷ Διί. 5. τὰ δὲ ἐς τὴν Αὐξησίαν καὶ Δαμίαν, ὡς οὐχ ὗεν ὁ θεὸς Ἐπιδαυρίοις, ὡς τὰ ξόανα ταῦτα ἐκ μαντείας ἐποιήσαντο ἐλαίας παρ' Ἀθηναίων λαβόντες, ὡς Ἐπιδαύριοι μὲν οὐκ ἀπέφερον ἔτι Ἀθηναίοις ἃ ἐτάξαντο, οἷα Αἰγινητῶν ἐχόντων τὰ ἀγάλματα, Ἀθηναίων δὲ ἀπώλοντο οἱ διαβάντες ἐπ' αὐτὰ ἐς Αἴγιναν, ταῦτα εἰπόντος Ἡροδότου καθ' ἕκαστον αὐτῶν ἐπ' ἀκριβὲς οὔ μοι γράφειν κατὰ γνώμην ἦν εὖ προειρημένα, πλὴν τοσοῦτό γε ὅτι εἶδόν τε τὰ ἀγάλματα καὶ ἔθυσά σφισι κατὰ τὰ αὐτὰ καθὰ δὴ καὶ Ἐλευσῖνι θύειν νομίζουσιν.

5 6. Αἰγίνης μὲν δὴ Αἰακοῦ ἕνεκα καὶ ἔργων, ὁπόσα ἀπεδείξατο, ἐς τοσόνδε ἔστω μνήμη· τῆς δὲ Ἐπιδαυρίας ἔχονται Τροιζήνιοι σεμνύνοντες, εἴπερ καὶ ἄλλοι τινές, τὰ ἐγχώρια. φασὶ δὲ Ὧρον γενέσθαι σφίσιν ἐν τῇ γῇ πρῶτον. ἐμοὶ μὲν οὖν Αἰγύπτιον φαίνεται καὶ οὐδαμῶς Ἑλληνικὸν ὄνομα Ὧρος εἶναι· βασιλεῦσαι δ' οὖν φασὶν αὐτὸν καὶ Ὡραίαν ἀπ' αὐτοῦ καλεῖσθαι τὴν γῆν, Ἄλθηπον δὲ Ποσειδῶνος παῖδα καὶ Ληΐδος τῆς Ὥρου, παρα-

λαβόντα μετὰ Ὧρον τὴν ἀρχήν, Ἀλθηπίαν ὀνομάσαι τὴν
γῆν. ἐπὶ τούτου βασιλεύοντος Ἀθηνᾶν καὶ Ποσειδῶνα 6
ἀμφισβητῆσαι λέγουσι περὶ τῆς χώρας, ἀμφισβητήσαντας
182 δὲ ἔχειν ἐν κοινῷ· προστάξαι γὰρ οὕτω Δία σφίσι. καὶ
διὰ τοῦτο Ἀθηνᾶν τε σέβουσι Πολιάδα καὶ Σθενιάδα
ὀνομάζοντες τὴν αὐτήν, καὶ Ποσειδῶνα Βασιλέα ἐπίκλη-
σιν· καὶ δὴ καὶ νόμισμα αὐτοῖς τὸ ἀρχαῖον ἐπίσημα ἔχει
τρίαιναν καὶ Ἀθηνᾶς πρόσωπον. 7. Μετὰ δὲ Ἄλθηπον 7
Σάρων ἐβασίλευσεν. ἔλεγον δὲ ὅτι οὗτος τῇ Σαρωνίδι
τὸ ἱερὸν Ἀρτέμιδι ᾠκοδόμησεν ἐπὶ θαλάσσῃ τελματώδει
καὶ ἐπιπολῆς μᾶλλον, ὥστε καὶ Φοιβαία λίμνη διὰ τοῦτο
ἐκαλεῖτο. Σάρωνα δέ, θηρεύων γὰρ δὴ μάλιστα ἥδετο,
κατέλαβεν ἔλαφον διώκοντα ἐς θάλασσαν συνεσπεσεῖν
φευγούσῃ. καὶ ἥ τε ἔλαφος ἐνήχετο ἀπωτέρω τῆς γῆς
καὶ ὁ Σάρων εἴχετο τῆς ἄγρας, ἐς ὃ ὑπὸ προθυμίας ἀφί-
κετο ἐς τὸ πέλαγος· ἤδη δὲ κάμνοντα αὐτὸν καὶ ὑπὸ τῶν
κυμάτων κατακλυζόμενον ἐπέλαβε τὸ χρεών. ἐκπεσόντα
δὲ τὸν νεκρὸν κατὰ τὴν Φοιβαίαν λίμνην ἐς τὸ ἄλσος τῆς
Ἀρτέμιδος ἐντὸς τοῦ ἱεροῦ περιβόλου θάπτουσι, καὶ
λίμνην ἀπὸ τούτου Σαρωνίδα τὴν ταύτῃ θάλασσαν κα-
λοῦσιν ἀντὶ Φοιβαίας. τοὺς δὲ ὕστερον βασιλεύσαντας 8
οὐκ ἴσασιν ἄχρι Ὑπέρητος καὶ Ἄνθα· τούτους δὲ εἶναι
Ποσειδῶνος καὶ Ἀλκυόνης Ἄτλαντος θυγατρός, καὶ πό-
λεις αὐτοὺς ἐν τῇ χώρᾳ φασὶν Ὑπέρειάν τε καὶ Ἄνθειαν
οἰκίσαι· Ἀέτιον δὲ τὸν Ἄνθα τοῦ πατρὸς καὶ τοῦ θείου
παραλαβόντα τὴν ἀρχὴν τὴν ἑτέραν τῶν πόλεων Ποσει-
δωνιάδα ὀνομάσαι. 8. Τροιζῆνος δὲ καὶ Πιτθέως παρὰ
Ἀέτιον ἐλθόντων βασιλεῖς μὲν τρεῖς ἀντὶ ἑνὸς ἐγένοντο,
ἴσχυον δὲ οἱ παῖδες μᾶλλον οἱ Πέλοπος. σημεῖον δέ· 9
ἀποθανόντος γὰρ Τροιζῆνος Πιτθεὺς ἐς τὴν νῦν πόλιν
συναγαγὼν τοὺς ἀνθρώπους ὠνόμασεν ἀπὸ τοῦ ἀδελ-
φοῦ Τροιζῆνα συλλαβὼν Ὑπέρειάν τε καὶ Ἄνθειαν. πολ-

λοῖς δὲ ἔτεσιν ὕστερον ἐς ἀποικίαν ἐκ Τροιζῆνος σταλέντες Ἁλικαρνασὸν ἐν τῇ Καρίᾳ καὶ Μύνδον ἀπῴκισαν οἱ γεγονότες ἀπ' Ἀετίου τοῦ Ἄνθα. Τροιζῆνος δὲ οἱ παῖδες Ἀνάφλυστος καί Σφῆττος μετοικοῦσιν ἐς τὴν Ἀττικήν, 183
καὶ οἱ δῆμοι τὰ ὀνόματα ἔχουσιν ἀπὸ τούτων. τὰ δὲ ἐς Θησέα θυγατριδοῦν Πιτθέως εἰδόσι τὰ ἐς αὐτὸν οὐ γρά-
10 φω. 9. Δεῖ δέ με τοσόνδε ἔτι δηλῶσαι. Ἡρακλειδῶν γὰρ κατελθόντων ἐδέξαντο καὶ οἱ Τροιζήνιοι συνοίκους Δωριέων τῶν ἐξ Ἄργους καὶ πρότερον ἔτι Ἀργείων ὄντες κατήκοοι· καὶ σφᾶς καὶ Ὅμηρος ἐν καταλόγῳ φησὶν ὑπὸ Διομήδους ἄρχεσθαι. Διομήδης γὰρ καὶ Εὐρύαλος ὁ Μηκιστέως, Κυάνιππον τὸν Αἰγιαλέως παῖδα ὄντα ἐπιτροπεύοντες, Ἀργείων ἡγήσαντο ἐς Τροίαν. Σθένελος δέ, ὡς ἐδήλωσα ἐν τοῖς πρότερον, οἰκίας τε ἦν ἐπιφανεστέρας, τῶν Ἀναξαγοριδῶν καλουμένων, καὶ ἡ βασιλεία τούτῳ μάλιστα ἦν ἡ Ἀργείων προσήκουσα. Τοσαῦτα Τροιζηνίοις ἐχόμενα ἱστορίας ἦν, παρὲξ ἢ ὅσαι πόλεις παρ' αὐτῶν φασὶν ἀποικισθῆναι. κατασκευὴν δὲ ἱερῶν καὶ ὅσα ἄλλα ἐς ἐπίδειξιν, τὸ ἐντεῦθεν ἐπέξειμι.

XXXI. Ἐν τῇ ἀγορᾷ Τροιζηνίων ναὸς καὶ ἀγάλματα Ἀρτέμιδός ἐστι Σωτείρας. Θησέα δὲ ἐλέγετο ἱδρύσασθαι καὶ ὀνομάσαι Σώτειραν, ἡνίκα Ἀστερίωνα τὸν Μίνω καταγωνισάμενος ἀνέστρεψεν ἐκ τῆς Κρήτης. ἀξιολογώτατον δὲ εἶναι τοῦτο ἔδοξέν οἱ τῶν κατειργασμένων, οὐ τοσοῦτον, ἐμοὶ δοκεῖν, ὅτι ἀνδρίᾳ τοὺς ἀποθανόντας ὑπὸ Θησέως ὑπερέβαλεν ὁ Ἀστερίων, ἀλλὰ τό τε ἐκ τοῦ λαβυρίνθου δυσέξοδον καὶ λαθόντα ἀποδρᾶναι μετὰ τὸ ἔργον ἐποίησεν εἰκότα τὸν λόγον ὡς προνοίᾳ θείᾳ καὶ
2 αὐτὸς ἀνασωθείη Θησεὺς καὶ οἱ σὺν αὐτῷ. 2. Ἐν τούτῳ δέ εἰσι τῷ ναῷ βωμοὶ θεῶν τῶν λεγομένων ὑπὸ γῆν ἄρχειν· καί φασιν ἐξ Ἅιδου Σεμέλην τε ὑπὸ Διονύσου κομισθῆναι ταύτῃ, καὶ ὡς Ἡρακλῆς ἀναγάγοι τὸν κύνα

τοῦ Ἅιδου. ἐγὼ δὲ Σεμέλην μὲν οὐδὲ ἀποθανεῖν ἀρχὴν πείθομαι, Διός γε οὖσαν γυναῖκα· τὰ δὲ ἐς τὸν ὀνομα-
184 ζόμενον Ἅιδου κύνα ἑτέρωθι ἔσται μοι δῆλα, ὁποῖα εἶναί μοι δοκεῖ.

3. Ὄπισθε δὲ τοῦ ναοῦ Πιτθέως μνῆμά ἐστι, τρεῖς 3
δὲ ἐπ' αὐτῷ θρόνοι κεῖνται λίθου λευκοῦ· δικάζειν δὲ Πιτθέα καὶ ἄνδρας δύο σὺν αὐτῷ λέγουσιν ἐπὶ τῶν θρόνων. 4. Οὐ πόρρω δὲ ἱερὸν Μουσῶν ἐστί. ποιῆσαι δὲ ἔλεγον αὐτὸ Ἄρδαλον παῖδα Ἡφαίστου· καὶ αὐλόν τε εὑρεῖν νομίζουσι τὸν Ἄρδαλον τοῦτον, καὶ τὰς Μούσας ἀπ' αὐτοῦ καλοῦσιν Ἀρδαλίδας. ἐνταῦθα Πιτθέα διδάξαι λόγων τέχνην φασί, καί τι βιβλίον Πιτθέως δὴ σύγγραμμα, ὑπὸ ἀνδρὸς ἐκδοθὲν Ἐπιδαυρίου, καὶ αὐτὸς ἐπελεξάμην. 5. Τοῦ Μουσείου δὲ οὐ πόρρω βωμός ἐστιν ἀρχαῖος, Ἀρδάλου καὶ τοῦτον, ὥς φασιν, ἀναθέντος. ἐπὶ δὲ αὐτῷ Μούσαις καὶ Ὕπνῳ θύουσι, λέγοντες τὸν Ὕπνον θεὸν μάλιστα εἶναι φίλον ταῖς Μούσαις.
6. Πλησίον δὲ τοῦ θεάτρου Λυκείας ναὸν Ἀρτέμιδος 4
ἐποίησεν Ἱππόλυτος. ἐς δὲ τὴν ἐπίκλησιν οὐδὲν εἶχον πυθέσθαι παρὰ τῶν ἐξηγητῶν, ἀλλὰ ἢ λύκους ἐφαίνετό μοι τὴν Τροιζηνίαν λυμαινομένους ἐξελεῖν ὁ Ἱππόλυτος, ἢ Ἀμαζόσι, παρ' ὧν τὰ πρὸς μητρὸς ἦν, ἐπίκλησις τῆς Ἀρτέμιδός ἐστιν αὕτη· εἴη δ' ἂν ἔτι καὶ ἄλλο οὐ γινωσκόμενον ὑπὸ ἐμοῦ. 7. Τὸν δὲ ἔμπροσθεν τοῦ ναοῦ λίθον, καλούμενον δὲ ἱερόν, εἶναι λέγουσιν ἐφ' οὗ ποτὲ ἄνδρες Τροιζηνίων ἐννέα Ὀρέστην ἐκάθηραν ἐπὶ τῷ φό-
νῳ τῆς μητρός. 8. Εἰσὶ δὲ οὐ μακρὰν τῆς Λυκείας Ἀρ- 5
τέμιδος βωμοὶ διεστηκότες οὐ πολὺ ἀπ' ἀλλήλων. ὁ μὲν πρῶτός ἐστιν αὐτῶν Διονύσου κατὰ δή τι μάντευμα ἐπίκλησιν Σαώτου, δεύτερος δὲ Θεμίδων ὀνομαζόμενος· Πιτθεὺς τοῦτον ἀνέθηκεν, ὡς λέγουσιν. Ἡλίου δὲ Ἐλευ-
185 θερίου καὶ σφόδρα εἰκότι λόγῳ δοκοῦσί μοι ποιῆσαι βω-

μόν, ἐκφυγόντες δουλείαν ἀπὸ Ξέρξου τε καὶ Περσῶν.
6 9. Τὸ δὲ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Θεαρίου κατασκευά-
σαι μὲν Πιτθέα ἔφασαν, ἔστι δὲ ὧν οἶδα παλαιότατον.
ἀρχαῖος μὲν οὖν καὶ Φωκαεῦσι τοῖς ἐν Ἰωνίᾳ ναός ἐστιν
Ἀθηνᾶς, ὅν Ἅρπαγός ποτε ὁ Μῆδος ἐνέπρησεν, ἀρχαῖος
δὲ καὶ [ὁ] Σαμίοις Ἀπόλλωνος Πυθίου· πλὴν πολύ γε
ὕστερον τοῦ παρὰ Τροιζηνίοις ἐποιήθησαν. ἄγαλμα δέ
ἐστι τὸ ἐφ' ἡμῶν ἀνάθημα Αὐλίσκου, τέχνη δὲ Ἕρμωνος
Τροιζηνίου. τοῦ δὲ Ἕρμωνος τούτου καὶ τὰ τῶν Διο-
7 σκούρων ξόανά ἐστι. 10. Κεῖνται δὲ ἐν στοᾷ τῆς ἀγορᾶς
γυναῖκες, λίθου καὶ αὐταὶ καὶ οἱ παῖδες. εἰσὶ δὲ ἃς Ἀθη-
ναῖοι Τροιζηνίοις γυναῖκας καὶ τέκνα ἔδωκαν σώζειν,
ἐκλιπεῖν σφίσιν ἀρέσαν τὴν πόλιν μηδὲ στρατῷ πεζῷ τὸν
Μῆδον ἐπιόντα ὑπομεῖναι. λέγονται δὲ οὐ πασῶν τῶν
γυναικῶν, οὐ γὰρ δὴ πολλαί τινες ἐκεῖναι, ὁπόσαι δὲ
ἀξιώματι προεῖχον, τούτων εἰκόνας ἀναθεῖναι μόνων.
8 11. Τοῦ δὲ ἱεροῦ τοῦ Ἀπόλλωνός ἐστιν οἰκοδόμημα ἔμ-
προσθεν, Ὀρέστου καλούμενον σκηνή. πρὶν γὰρ ἐπὶ τῷ
αἵματι καθαρθῆναι τῆς μητρός, Τροιζηνίων οὐδεὶς πρό-
τερον ἤθελεν αὐτὸν οἴκῳ δέξασθαι· καθίσαντες δὲ ἐν-
ταῦθα ἐκάθαιρον καὶ εἱστίων, ἐς ὃ ἀφήγνισαν. καὶ νῦν
ἔτι οἱ ἀπόγονοι τῶν καθηράντων ἐνταῦθα δειπνοῦσιν ἐν
ἡμέραις ῥηταῖς. κατορυχθέντων δὲ ὀλίγον ἀπὸ τῆς σκη-
νῆς τῶν καθαρσίων φασὶν ἀπ' αὐτῶν ἀναφῦναι δάφνην,
ἣ δὴ καὶ ἐς ἡμᾶς ἔστιν, ἡ πρὸ τῆς σκηνῆς ταύτης. καθῆ-
9 ραι δέ φασιν Ὀρέστην καθαρσίοις καὶ ἄλλοις καὶ ὕδατι
τῷ ἀπὸ τῆς Ἵππου κρήνης. 12. ἔστι γὰρ καὶ Τροιζηνίοις
Ἵππου καλουμένη κρήνη, καὶ ὁ λόγος ἐς αὐτὴν οὐ δια-
φόρως τοῦ Βοιωτῶν ἔχει. Πηγάσῳ γὰρ τῷ ἵππῳ καὶ
οὗτοι λέγουσι τὸ ὕδωρ ἀνεῖναι τὴν γῆν θιγόντι τοῦ ἐδά-
φους τῇ ὁπλῇ, Βελλεροφόντην δὲ ἐλθεῖν ἐς Τροιζῆνα

γυναῖκα αἰτήσοντα Αἴθραν παρὰ Πιτθέως, πρὶν δὲ γῆμαι συμβῆναί οἱ φυγεῖν ἐκ Κορίνθου.

13. Καὶ Ἑρμῆς ἐνταῦθά ἐστι Πολύγιος καλούμενος. πρὸς τούτῳ τῷ ἀγάλματι τὸ ῥόπαλον θεῖναί φασιν Ἡρα-
86 κλέα· καί, ἦν γὰρ κοτίνου, τοῦτο μέν, ὅτῳ πιστά, ἐνέφυ τῇ γῇ καὶ ἀνεβλάστησεν αὖθις, καὶ ἔστιν ὁ κότινος πεφυκὼς ἔτι, τὸν δὲ Ἡρακλέα λέγουσιν ἀνευρόντα τὸν πρὸς τῇ Σαρωνίδι κότινον ἀπὸ τούτου τεμεῖν ῥόπαλον. 14. Ἔστι δὲ καὶ Διὸς ἱερὸν ἐπίκλησιν Σωτῆρος· ποιῆσαι δὲ αὐτὸ βασιλεύοντα Ἀέτιον τὸν Ἄνθα λέγουσιν. ὕδωρ δὲ ὀνομάζουσι Χρυσορρόαν· αὐχμοῦ δὲ ἐπὶ ἔτη συμβάντος σφίσιν ἐννέα, ἐν οἷς οὐχ ὗεν ὁ θεός, τὰ μὲν ἄλλα ἀναξηρανθῆναί φασιν ὕδατα, τὸν δὲ Χρυσορρόαν τοῦτον καὶ τότε ὁμοίως διαμεῖναι ῥέοντα.

XXXII. Ἱππολύτῳ δὲ τῷ Θησέως τέμενός τε ἐπιφανέστατον ἀνεῖται, καὶ ναὸς ἐν αὐτῷ καὶ ἄγαλμά ἐστιν ἀρχαῖον. καὶ ταῦτα μὲν Διομήδην λέγουσι ποιῆσαι, καὶ προσέτι θῦσαι τῷ Ἱππολύτῳ πρῶτον· Τροιζηνίοις δὲ ἱερεὺς μέν ἐστιν Ἱππολύτου τὸν χρόνον τοῦ βίου πάντα ἱερώμενος καὶ θυσίαι καθεστήκασιν ἐπέτειοι, δρῶσι δὲ καὶ ἄλλο τοιόνδε· ἑκάστη παρθένος πλόκαμον ἀποκείρεταί οἱ πρὸ γάμου, κειραμένη δὲ ἀνέθηκεν ἐς τὸν ναὸν φέρουσα. ἀποθανεῖν δὲ αὐτὸν οὐκ ἐθέλουσι συρέντα ὑπὸ τῶν ἵππων, οὐδὲ τὸν τάφον ἀποφαίνουσιν εἰδότες· τὸν δὲ ἐν οὐρανῷ καλούμενον ἡνίοχον, τοῦτον εἶναι νομίζουσιν ἐκεῖνον Ἱππόλυτον, τιμὴν παρὰ θεῶν ταύτην
ἔχοντα. 2. Τούτου δὲ ἐντὸς τοῦ περιβόλου ναός ἐστιν 2
Ἀπόλλωνος Ἐπιβατηρίου, Διομήδους ἀνάθημα ἐκφυγόντος τὸν χειμῶνα ὃς τοῖς Ἕλλησιν ἐπεγένετο ἀπὸ Ἰλίου κομιζομένοις· καὶ τὸν ἀγῶνα τῶν Πυθίων Διομήδην πρῶτον θεῖναί φασι τῷ Ἀπόλλωνι. ἐς δὲ τὴν Δαμίαν καὶ Αὐξησίαν, καὶ γὰρ Τροιζηνίοις μέτεστιν αὐτῶν,

οὐ τὸν αὐτὸν λέγουσιν ὃν Ἐπιδαύριοι καὶ Αἰγινῆται λό-
γον, ἀλλὰ ἀφικέσθαι παρθένους ἐκ Κρήτης· στασια-
σάντων δὲ ὁμοίως τῶν ἐν τῇ πόλει ἁπάντων καὶ ταύτας
φασὶν ὑπὸ τῶν ἀντιστασιωτῶν καταλευσθῆναι, καὶ ἑορ- 187
3 τὴν ἄγουσί σφισι Λιθοβόλια ὀνομάζοντες. 3. Κατὰ δὲ
τὸ ἕτερον τοῦ περιβόλου μέρος στάδιόν ἐστιν Ἱππολύτου
καλούμενον, καὶ ναὸς ὑπὲρ αὐτοῦ Ἀφροδίτης Κατασκο-
πίας· αὐτόθεν γάρ, ὁπότε γυμνάζοιτο ὁ Ἱππόλυτος, ἀπέ-
βλεπεν ἐς αὐτὸν ἐρῶσα ἡ Φαίδρα. ἐνταῦθα ἔτι πεφύκει
ἡ μυρσίνη τὰ φύλλα, ὡς καὶ πρότερον ἔγραψα, ἔχουσα
τετρυπημένα· καὶ ἡνίκα ἠπορεῖτο ἡ Φαίδρα καὶ ῥᾳστώ-
νην τῷ ἔρωτι οὐδεμίαν εὕρισκεν, ἐς ταύτης τὰ φύλλα
4 ἐσιναμώρει τῆς μυρσίνης. ἔστι δὲ καὶ τάφος Φαίδρας,
ἀπέχει δὲ οὐ πολὺ τοῦ Ἱππολύτου μνήματος· τὸ δὲ οὐ
πόρρω κέχωσται τῆς μυρσίνης. τοῦ δὲ Ἀσκληπιοῦ τὸ
ἄγαλμα ἐποίησε μὲν Τιμόθεος, Τροιζήνιοι δὲ οὐκ Ἀσκλη-
πιὸν ἀλλὰ εἰκόνα Ἱππολύτου φασὶν εἶναι. καὶ οἰκίαν
ἰδὼν οἶδα Ἱππολύτου· πρὸ δὲ αὐτῆς ἐστιν Ἡράκλειος
καλουμένη κρήνη, τὸ ὕδωρ, ὡς οἱ Τροιζήνιοι λέγουσιν,
5 ἀνευρόντος Ἡρακλέους. 4. Ἐν δὲ τῇ ἀκροπόλει τῆς Σθε-
νιάδος καλουμένης ναός ἐστιν Ἀθηνᾶς. αὐτὸ δὲ εἰργά-
σατο τῆς θεοῦ τὸ ξόανον Κάλλων Αἰγινήτης. μαθητὴς
δὲ ὁ Κάλλων ἦν Τεκταίου καὶ Ἀγγελίωνος, οἳ Δηλίοις
ἐποίησαν τὸ ἄγαλμα τοῦ Ἀπόλλωνος· ὁ δὲ Ἀγγελίων καὶ
Τεκταῖος παρὰ Διποίνῳ καὶ Σκύλλιδι ἐδιδάχθησαν.
6 5. Κατιόντων δὲ αὐτόθεν Λυτηρίου Πανός ἐστιν ἱερόν·
Τροιζηνίων γὰρ τοῖς τὰς ἀρχὰς ἔχουσιν ἔδειξεν ὀνείρατα,
ἃ εἶχεν ἄκεσιν λοιμοῦ πιέσαντος * * * Ἀθηναίους δὲ μά-
λιστα. διαβὰς δὲ καὶ ἐς τὴν Τροιζηνίαν ναὸν ἴδοις ἂν
Ἴσιδος καὶ ὑπὲρ αὐτὸν Ἀφροδίτης Ἀκραίας· τὸν μὲν
ἅτε ἐν μητροπόλει τῇ Τροιζῆνι Ἁλικαρνασεῖς ἐποίησαν, 188
τὸ δὲ ἄγαλμα τῆς Ἴσιδος ἀνέθηκε Τροιζηνίων δῆμος.

7. Ἰοῦσι δὲ τὴν διὰ τῶν ὀρῶν ἐς Ἑρμιόνην πηγή τέ 7
ἐστι τοῦ Ὑλλικοῦ ποταμοῦ, Ταυρίου δὲ τὸ ἐξ ἀρχῆς καλουμένου, καὶ πέτρα Θησέως ὀνομαζομένη, μεταβαλοῦσα καὶ αὐτὴ τὸ ὄνομα ἀνελομένου Θησέως ὑπ' αὐτῇ κρηπῖδας τὰς Αἰγέως καὶ ξίφος· πρότερον δὲ βωμὸς ἐκαλεῖτο Σθενίου Διός. τῆς δὲ πέτρας πλησίον Ἀφροδίτης ἐστὶν ἱερὸν Νυμφίας, ποιήσαντος Θησέως, ἡνίκα ἔσχε γυναῖκα Ἑλένην. Ἔστι δὲ ἔξω τείχους καὶ Ποσειδῶνος ἱερὸν Φυ- 8
ταλμίου. μηνίσαντα γάρ σφισι τὸν Ποσειδῶνα ποιεῖν φασὶν ἄκαρπον τὴν χώραν, ἅλμης ἐς τὰ σπέρματα καὶ τῶν φυτῶν τὰς ῥίζας καθικνουμένης, ἐς ὃ θυσίαις τε εἴξας καὶ εὐχαῖς οὐκέτι ἅλμην ἀνῆκεν ἐς τὴν γῆν. ὑπὲρ δὲ τοῦ Ποσειδῶνος τὸν ναόν ἐστι Δημήτηρ Θεσμοφόρος, Ἀλθήπου, καθὰ λέγουσιν, ἱδρυσαμένου. 8. Καταβαί- 9
νουσι δὲ ἐπὶ τὸν πρὸς τῇ Κελενδέρει καλουμένῃ λιμένα χωρίον ἐστὶν ὃ Γενέθλιον ὀνομάζουσι, τεχθῆναι Θησέα ἐνταῦθα λέγοντες. πρὸ δὲ τοῦ χωρίου τούτου ναός ἐστιν Ἄρεως, Θησέως καὶ ἐνταῦθα Ἀμαζόνας μάχῃ κρατήσαντος· αὗται δ' ἂν εἴησαν τῶν ἐν τῇ Ἀττικῇ πρὸς Θησέα καὶ Ἀθηναίους ἀγωνισαμένων. ἐπὶ θάλασσαν δὲ τὴν 10
Ψιφαίαν πορευομένοις κότινος πέφυκεν ὀνομαζόμενος ῥᾶχος στρεπτός. ῥάχους μὲν δὴ καλοῦσι Τροιζήνιοι πᾶν ὅσον ἄκαρπον ἐλαίας, κότινον καὶ φυλίαν καὶ ἔλαιον·
189 στρεπτὸν δὲ ἐπονομάζουσι τοῦτον, ὅτι ἐνσχεθεισῶν αὐτῷ τῶν ἡνιῶν ἀνετράπη τοῦ Ἱππολύτου τὸ ἅρμα. τούτου δὲ οὐ πολὺ τῆς Σαρωνίας Ἀρτέμιδος ἀφέστηκε τὸ ἱερόν, καὶ τὰ ἐς αὐτὸ ἐμήνυσεν ὁ λόγος ἤδη μοι. τοσόνδε δὲ ἔτι δηλώσει· Σαρώνια γὰρ δὴ κατὰ ἔτος τῇ Ἀρτέμιδι ἑορτὴν ἄγουσι.

XXXIII. Νῆσοι δέ εἰσι Τροιζηνίοις, μία μὲν πλησίον τῆς ἠπείρου, καὶ διαβῆναι ποσὶν ἐς αὐτήν ἔστιν. αὕτη Σφαιρία ὀνομαζομένη πρότερον, Ἱερὰ δι' αἰτίαν ἐκλήθη

τοιαύτην. ἔστιν ἐν αὐτῇ Σφαίρου μνῆμα· Πέλοπος δὲ
ἡνίοχον εἶναι λέγουσι τὸν Σφαῖρον. τούτῳ κατὰ δή τι
ἐξ Ἀθηνᾶς ὄνειρον κομίζουσα Αἴθρα χοὰς διέβαινεν ἐς
τὴν νῆσον, διαβάσῃ δὲ ἐνταῦθα λέγεται Ποσειδῶνα μι-
χθῆναι. ἱδρύσατο μὲν διὰ τοῦτο Αἴθρα ναὸν ἐνταῦθα
Ἀθηνᾶς Ἀπατουρίας, καὶ Ἱερὰν ἀντὶ Σφαιρίας ὠνόμασε
τὴν νῆσον· κατεστήσατο δὲ καὶ ταῖς Τροιζηνίων παρθέ-
νοις ἀνατιθέναι πρὸ γάμου τὴν ζώνην τῇ Ἀθηνᾷ τῇ
2 Ἀπατουρίᾳ. 2. Καλαύρειαν δὲ Ἀπόλλωνος ἱερὰν τὸ ἀρ-
χαῖον εἶναι λέγουσιν, ὅτε περ ἦσαν καὶ οἱ Δελφοὶ Ποσει-
δῶνος. λέγεται δὲ καὶ τοῦτο, ἀντιδοῦναι τὰ χωρία σφᾶς
ἀλλήλοις. φασὶ δὲ ἔτι καὶ λόγιον μνημονεύουσιν·

Ἶσόν τοι Δῆλόν τε Καλαύρειάν τε νέμεσθαι
Πυθώ τ' ἠγαθέην καὶ Ταίναρον ἠνεμόεσσαν.

3. ἔστι δ' οὖν Ποσειδῶνος ἱερὸν ἐνταῦθα ἅγιον, ἱερᾶται
3 δὲ αὐτῷ παρθένος, ἔστ' ἂν ἐς ὥραν προέλθῃ γάμου. τοῦ
περιβόλου δὲ ἐντὸς καὶ τὸ Δημοσθένους μνῆμά ἐστι. καί
μοι τὸ δαιμόνιον δεῖξαι μάλιστα ἐπὶ τούτου δοκεῖ καὶ
Ὁμήρου πρότερον ὡς εἴη βάσκανον, εἰ δὴ Ὅμηρον μὲν
προδιεφθαρμένον τοὺς ὀφθαλμοὺς ἐπὶ τοσούτῳ κακῷ
κακὸν δεύτερον πενία πιέζουσα ἐπὶ πᾶσαν γῆν πτωχεύ-
οντα ἦγε, Δημοσθένει δὲ φυγῆς τε συνέπεσεν ἐν γήρᾳ
λαβεῖν πεῖραν καὶ ὁ θάνατος ἐγένετο οὕτω βίαιος. 4. Εἴ- 190
ρηται μὲν οὖν περὶ αὐτοῦ καὶ ἄλλοις καὶ αὐτῷ Δημοσθέ-
νει πλεῖστα, ἦ μὴν τῶν χρημάτων ἃ ἐκ τῆς Ἀσίας ἤγαγεν
4 Ἅρπαλος μὴ μεταλαβεῖν αὐτόν· τὸ δὲ ὕστερον λεχθὲν
ἐπέξειμι ὁποῖον ἐγένετο. Ἅρπαλος μὲν ὡς ἐξ Ἀθηνῶν
ἀπέδρα διαβὰς ναυσὶν ἐς Κρήτην, οὐ πολὺ ὕστερον ὑπὸ
τῶν θεραπευόντων ἀπέθανεν οἰκετῶν· οἱ δὲ ὑπὸ ἀνδρὸς
Μακεδόνος Παυσανίου δολοφονηθῆναί φασιν αὐτόν.
τὸν δέ οἱ τῶν χρημάτων διοικητὴν φυγόντα ἐς Ῥόδον
Φιλόξενος Μακεδὼν συνέλαβεν, ὃς καὶ αὐτὸν παρὰ

Ἀθηναίων ἐξῄτησεν Ἅρπαλον. τὸν δὲ παῖδα τοῦτον ἔχων ἤλεγχεν, ἐς ὃ πάντα ἐπύθετο, ὅσοι τῶν Ἁρπάλου τι ἔτυχον εἰληφότες· μαθὼν δὲ ἐς Ἀθήνας γράμματα ἐπέστελλεν. ἐν τούτοις τοῖς γράμμασι τοὺς λαβόντας παρὰ Ἁρπάλου καταριθμῶν καὶ αὐτοὺς καὶ ὁπόσον αὐτῶν ἔλαβεν ἕκαστος, οὐδὲ ἐμνημόνευκεν ἀρχὴν Δημοσθένους, Ἀλεξάνδρῳ τε ἐς τὰ μάλιστα ἀπεχθανομένου, καὶ αὐτὸς ἰδίᾳ προσκρούσας. Δημοσθένει μὲν οὖν τιμαὶ καὶ ἑτέρωθι τῆς Ἑλλάδος καὶ παρὰ τῶν Καλαυρείας εἰσὶν οἰκητόρων.

XXXIV. Τῆς δὲ Τροιζηνίας γῆς ἐστιν ἰσθμὸς ἐπὶ πολὺ διέχων ἐς θάλασσαν, ἐν δὲ αὐτῷ πόλισμα οὐ μέγα ἐπὶ θαλάσσῃ Μέθανα ᾤκισται. Ἴσιδος δὲ ἐνταῦθα ἱερόν ἐστι, καὶ ἄγαλμα ἐπὶ τῆς ἀγορᾶς Ἑρμοῦ, τὸ δὲ ἕτερον Ἡρακλέους. 2. τοῦ δὲ πολίσματος τριάκοντά που στάδια ἀπέχει λουτρὰ θερμά. φασὶ δὲ Ἀντιγόνου τοῦ Δημητρίου Μακεδόνων βασιλεύοντος, τότε πρῶτον τὸ ὕδωρ φανῆναι, φανῆναι δὲ οὐχ ὕδωρ εὐθύς, ἀλλὰ πῦρ ἀναζέσαι πολὺ ἐκ τῆς γῆς, ἐπὶ δὲ τούτῳ μαρανθέντι ῥυῆναι τὸ ὕδωρ, ὃ δὴ καὶ ἐς ἡμᾶς ἄνεισι θερμόν τε καὶ δεινῶς ἁλμυρόν. λουσαμένῳ δὲ ἐνταῦθα οὔτε ὕδωρ ἐστὶν ἐγγὺς
191 ψυχρὸν οὔτε ἐσπεσόντα ἐς τὴν θάλασσαν ἀκινδύνως νήχεσθαι· θηρία γὰρ καὶ ἄλλα καὶ κύνας παρέχεται πλείστους. 3. Ὃ δὲ ἐθαύμασα ἐν τοῖς Μεθάνοις μάλιστα, 2
γράψω καὶ τοῦτο. ἄνεμος ὁ Λὶψ βλαστανούσαις ταῖς ἀμπέλοις ἐμπίπτων ἐκ τοῦ Σαρωνικοῦ κόλπου τὴν βλάστην σφῶν ἀφαναίνει. κατιόντος οὖν ἔτι τοῦ πνεύματος ἀλεκτρυόνα τὰ πτερὰ ἔχοντα διὰ παντὸς λευκὰ διελόντες ἄνδρες δύο ἐναντίοι περιθέουσι τὰς ἀμπέλους, ἥμισυ ἑκάτερος τοῦ ἀλεκτρυόνος φέρων· ἀφικόμενοι δ' ἐς τὸ αὐτὸ ὅθεν ὡρμήθησαν, κατορύσσουσιν ἐνταῦθα. τοῦτο 3
μὲν πρὸς τὸν Λίβα σφίσιν ἐστὶν εὑρημένον· 4. τὰς δὲ

νησῖδας αἳ πρόκεινται τῆς χώρας, ἀριθμὸν ἐννέα οὔσας, Πέλοπος μὲν καλοῦσι, τοῦ θεοῦ δὲ ὕοντος μίαν ἐξ αὐτῶν οὔ φασιν ὕεσθαι. τοῦτο δὲ εἰ τοιοῦτόν ἐστιν, οὐκ οἶδα, ἔλεγον δὲ οἱ περὶ τὰ Μέθανα, ἐπεὶ χάλαζάν γε ἤδη θυ-
4 σίαις εἶδον καὶ ἐπῳδαῖς ἀνθρώπους ἀποτρέποντας. 5. Τὰ μὲν δὴ Μέθανα ἰσθμός ἐστι τῆς Πελοποννήσου· ἐντὸς δὲ τοῦ ἰσθμοῦ τῆς Τροιζηνίων ὅμορός ἐστιν Ἑρμιόνη. οἰκιστὴν δὲ τῆς ἀρχαίας πόλεως Ἑρμιονεῖς γενέσθαι φασὶν Ἕρμιόνα Εὔρωπος. τὸν δὲ Εὔρωπα, ἦν γὰρ δὴ Φορωνέως, Ἡροφάνης ὁ Τροιζήνιος ἔφασκεν εἶναι νόθον· οὐ γὰρ δή ποτε ἐς Ἄργον τὸν Νιόβης, θυγατριδοῦν ὄντα Φορωνέως, τὴν ἐν Ἄργει περιελθεῖν ἀρχὴν παρόντος
5 Φορωνεῖ γνησίου παιδός. ἐγὼ δέ, εἰ καὶ γνήσιον ὄντα Εὔρωπα πρότερον τὸ χρεὼν ἢ Φορωνέα ἐπέλαβεν, εὖ οἶδα ὡς οὐκ ἔμελλεν ὁ παῖς αὐτῷ Νιόβης παιδὶ ἴσα οἴσεσθαι Διός γε εἶναι δοκοῦντι. ἐπῴκησαν δὲ καὶ Ἑρμιόνα ὕστερον Δωριεῖς οἱ ἐξ Ἄργους. πόλεμον δὲ οὐ δοκῶ γε- 192
νέσθαι σφίσιν· ἐλέγετο γὰρ ἂν ὑπὸ Ἀργείων.

6 6. Ἔστι δὲ ὁδὸς ἐς Ἑρμιόνα ἐκ Τροιζῆνος κατὰ τὴν πέτραν ἣ πρότερον μὲν ἐκαλεῖτο Σθενίου Διὸς βωμός, μετὰ δὲ Θησέα ἀνελόμενον τὰ γνωρίσματα ὀνομάζουσιν οἱ νῦν Θησέως αὐτήν. κατὰ ταύτην οὖν τὴν πέτραν ἰοῦσιν ὀρεινὴν ὁδὸν ἔστι μὲν Ἀπόλλωνος ἐπίκλησιν Πλατανιστίου ναός, ἔστι δὲ Εἰλεοὶ χωρίον, ἐν δὲ αὐτῷ Δήμητρος καὶ Κόρης τῆς Δήμητρος ἱερά. τὰ δὲ πρὸς θάλασσαν ἐν ὅροις τῆς Ἑρμιονίδος ἱερὸν Δήμητρός ἐστιν
7 ἐπίκλησιν Θερμασίας. 7. Σταδίους δὲ ὀγδοήκοντα ἀπέχει μάλιστα ἄκρα Σκυλλαῖον ἀπὸ τῆς Νίσου καλουμένη θυγατρός. ὡς γὰρ δὴ τὴν Νίσαιαν ὁ Μίνως καὶ τὰ Μέγαρα εἷλεν ἐκείνης προδούσης, οὔτε γυναῖκα ἕξειν αὐτὴν ἔτι ἔφασκε, καὶ προσέταξε τοῖς Κρησὶν ἐκβάλλειν τῆς νεώς· ἀποθανοῦσαν δὲ ἀπέρριψεν ἐς τὴν ἄκραν ταύτην ὁ κλύ-

δων. τάφον δὲ οὐκ ἀποφαίνουσιν αὐτῆς, ἀλλὰ περι-
οφθῆναι τὸν νεκρόν φασι διαφορηθέντα ὑπὸ τῶν ἐκ θα-
λάσσης ὀρνίθων. 8. Ἀπὸ δὲ Σκυλλαίου πλέοντι ὡς ἐπὶ 8
τὴν πόλιν ἄκρα τέ ἐστιν ἑτέρα Βουκέφαλα, καὶ μετὰ τὴν
ἄκραν νῆσοι, πρώτη μὲν Ἁλιοῦσσα· παρέχεται δὲ αὕτη
λιμένα ἐνορμίσασθαι ναυσὶν ἐπιτήδειον· μετὰ δὲ Πι-
τυοῦσσα, τρίτη δὲ ἣν Ἀριστερὰς ὀνομάζουσι. ταύτας δὲ
παραπλεύσαντί ἐστιν αὖθις ἄκρα Κωλυεργία ἀνέχουσα
ἐκ τῆς ἠπείρου, μετὰ δὲ αὐτὴν νῆσος Τρίκρανα καλου-
μένη, καὶ ὄρος ἐς θάλασσαν ἀπὸ τῆς Πελοποννήσου προ-
βεβλημένον, Βούπορθμος. ἐν Βουπόρθμῳ δὲ πεποίηται
μὲν ἱερὸν Δήμητρος καὶ τῆς παιδός, πεποίηται δὲ Ἀθη-
νᾶς· ἐπίκλησις δέ ἐστι τῇ θεῷ Προμαχόρμα. 9. Πρόκει- 9
ται δὲ Βουπόρθμου νῆσος Ἀπεροπία καλουμένη. τῆς δὲ
Ἀπεροπίας ἀφέστηκεν οὐ πολὺ ἑτέρα νῆσος Ὑδρέα. μετὰ
193 ταύτην αἰγιαλός τε παρήκει τῆς ἠπείρου μηνοειδής, καὶ
ἀκτὴ μετὰ τὸν αἰγιαλὸν ἐπὶ Ποσείδιον, ἐκ θαλάσσης μὲν
ἀρχομένη τῆς πρὸς ἀνατολάς, προήκουσα δὲ ὡς ἐπὶ τὴν
ἑσπέραν· ἔχει δὲ καὶ λιμένας ἐν αὐτῇ. μῆκος μὲν δὴ τῆς
ἀκτῆς ἐστὶν ἑπτά που στάδια, πλάτος δέ, ᾗ πλατυτάτη,
σταδίων τριῶν οὐ πλέον. 10. ἐνταῦθα ἡ προτέρα πόλις 10
τοῖς Ἑρμιονεῦσιν ἦν. ἔστι δέ σφισι καὶ νῦν ἔτι ἱερὰ αὐ-
τόθι, Ποσειδῶνος μὲν ἐπὶ τῆς ἀκτῆς τῇ ἀρχῇ, προελθοῦσι
δὲ ἀπὸ θαλάσσης ἐς τὰ μετέωρα ναὸς Ἀθηνᾶς, παρὰ δὲ
αὐτῷ σταδίου θεμέλια· ἐν δὲ αὐτῷ τοὺς Τυνδάρεω παῖ-
δας ἀγωνίσασθαι λέγουσιν. ἔστι δὲ καὶ ἕτερον οὐ μέγα
τῆς Ἀθηνᾶς ἱερόν, ὁ δὲ ὄροφος κατερρύηκεν αὐτῷ. καὶ
Ἡλίῳ ναός, καὶ ἄλλος Χάρισιν, ὁ δὲ Σαράπιδι ᾠκοδό-
μηται καὶ Ἴσιδι. καὶ περίβολοι μεγάλων λίθων λογάδων
εἰσίν· ἐντὸς δὲ αὐτῶν ἱερὰ δρῶσιν ἀπόρρητα Δήμητρι.
Τοσαῦτα μὲν Ἑρμιονεῦσίν ἐστιν ἐνταῦθα· ἡ δὲ ἐφ' ἡμῶν 11
πόλις ἀπέχει μὲν τῆς ἄκρας, ἐφ' ᾗ τοῦ Ποσειδῶνος τὸ

ἱερόν, τέσσαρας μάλιστα σταδίους, κειμένη δὲ ἐν ὁμαλῷ
τὰ πρῶτα ἠρέμα ἐς προσαντες ἄνεισι, τὸ δέ ἐστιν ἤδη
τοῦ Πρωνός· 11. Πρῶνα γὰρ τὸ ὄρος τοῦτο ὀνομάζουσι.
τεῖχος μὲν δὴ περὶ πᾶσαν τὴν Ἑρμιόνα ἕστηκε· τὰ δὲ ἐς
συγγραφὴν καὶ ἄλλα παρείχετο, καὶ ὧν αὐτὸς ποιήσα-
σθαι μάλιστα ἠξίωσα μνήμην, Ἀφροδίτης ναός ἐστιν ἐπί-
κλησιν Ποντίας καὶ Λιμενίας τῆς αὐτῆς, ἄγαλμα δὲ λευ-
κοῦ λίθου, μεγέθει τε μέγα καὶ ἐπὶ τῇ τέχνῃ θέας ἄξιον.
12 καὶ ναὸς ἕτερός ἐστιν Ἀφροδίτης· αὕτη καὶ ἄλλας ἔχει
παρὰ Ἑρμιονέων τιμάς, καὶ ταῖς παρθένοις καὶ ἣν γυνὴ
χηρεύουσα παρὰ ἄνδρα μέλλῃ φοιτᾶν, ἁπάσαις πρὸ γά-
μου θύειν καθέστηκεν ἐνταῦθα. Δήμητρος δὲ ἱερὰ πε-
ποίηται Θερμασίας, τὸ μὲν ἐπὶ τοῖς πρὸς τὴν Τροιζηνίαν 1
ὅροις, ὡς ἐστὶν εἰρημένον ἤδη μοι, τὸ δὲ καὶ ἐν αὐτῇ τῇ
πόλει.

XXXV. Πλησίον δὲ αὐτοῦ Διονύσου ναὸς Μελαναί-
γιδος· τούτῳ μουσικῆς ἀγῶνα κατὰ ἔτος ἕκαστον ἄγουσι,
καὶ ἁμίλλης κολύμβου καὶ πλοίων τιθέασιν ἆθλα. 2. καὶ
Ἀρτέμιδος ἐπίκλησιν Ἰφιγενείας ἐστὶν ἱερόν, καὶ Ποσει-
δῶν χαλκοῦς τὸν ἕτερον πόδα ἔχων ἐπὶ δελφῖνος. παρελ-
θοῦσι δὲ ἐς τὸ τῆς Ἑστίας ἄγαλμα μέν ἐστιν οὐδέν, βω-
2 μὸς δέ, καὶ ἐπ' αὐτοῦ θύουσιν Ἑστίᾳ. Ἀπόλλωνος δέ
εἰσι ναοὶ τρεῖς καὶ ἀγάλματα τρία· καὶ τῷ μὲν οὐκ ἔστιν
ἐπίκλησις, τὸν δὲ Πυθαέα ὀνομάζουσι, καὶ Ὅριον τὸν
τρίτον. τὸ μὲν δὴ τοῦ Πυθαέως ὄνομα μεμαθήκασι παρὰ
Ἀργείων· τούτοις γὰρ Ἑλλήνων πρώτοις ἀφικέσθαι Τε-
λέσιλλά φησι τὸν Πυθαέα ἐς τὴν χώραν Ἀπόλλωνος παῖ-
δα ὄντα· τὸν δὲ Ὅριον ἐφ' ὅτῳ καλοῦσιν, σαφῶς μὲν
οὐκ ἂν ἔχοιμι εἰπεῖν, τεκμαίρομαι δὲ περὶ γῆς ὅρων πο-
λέμῳ σφᾶς ἢ δίκῃ νικήσαντας ἐπὶ τῷδε τιμὰς Ἀπόλλωνι
3 Ὁρίῳ νεῖμαι. τὸ δὲ ἱερὸν τῆς Τύχης νεώτατον μὲν λέγου-
σιν Ἑρμιονεῖς τῶν παρὰ σφίσιν εἶναι, λίθου δὲ Παρίου

κολοσσὸς ἕστηκεν. κρήνας δὲ τὴν μὲν σφόδρα ἔχουσιν ἀρχαίαν, ἐς δὲ αὐτὴν οὐ φανερῶς τὸ ὕδωρ κάτεισιν, ἐπιλείποι δὲ οὐκ ἄν ποτε, οὐδ' εἰ πάντες καταβάντες ὑδρεύωνται ἐξ αὐτῆς· τὴν δὲ ἐφ' ἡμῶν πεποιήκασιν, ὄνομα δέ ἐστι τῷ χωρίῳ Λειμών, ὅθεν ῥεῖ τὸ ὕδωρ ἐς
αὐτήν. 3. Τὸ δὲ λόγου μάλιστα ἄξιον ἱερὸν Δήμητρός 4
ἐστιν ἐπὶ τοῦ Πρωνός. τοῦτο τὸ ἱερὸν Ἑρμιονεῖς μὲν Κλύμενον Φορωνέως παῖδα καὶ ἀδελφὴν Κλυμένου Χθονίαν τοὺς ἱδρυσαμένους φασὶν εἶναι. Ἀργεῖοι δέ, ὅτε ἐς τὴν Ἀργολίδα ἦλθε Δημήτηρ, τότε Ἀθέραν μὲν λέγουσι καὶ Μύσιον ὡς ξενίαν παρασχόντας τῇ θεῷ, Κολόνταν δὲ οὔτε οἴκῳ δέξασθαι τὴν θεὸν οὔτε ἀπονεῖμαί τι ἄλλο ἐς τιμήν· ταῦτα δὲ οὐ κατὰ γνώμην Χθονίᾳ τῇ θυγατρὶ ποιεῖν αὐτόν. Κολόνταν μὲν οὖν φασιν ἀντὶ τούτων συγκαταπρησθῆναι τῇ οἰκίᾳ, Χθονίαν δὲ κομισθεῖσαν ἐς Ἑρμιόνα ὑπὸ Δήμητρος Ἑρμιονεῦσι ποιῆσαι τὸ ἱερόν.
195 4. Χθονία δ' οὖν ἥ θεός τε αὐτὴ καλεῖται, καὶ Χθόνια 5
ἑορτὴν κατὰ ἔτος ἄγουσιν ὥρᾳ θέρους. ἄγουσι δὲ οὕτως. ἡγοῦνται μὲν αὐτοῖς τῆς πομπῆς οἵ τε ἱερεῖς τῶν θεῶν καὶ ὅσοι τὰς ἐπετείους ἀρχὰς ἔχουσιν, ἕπονται δὲ καὶ γυναῖκες καὶ ἄνδρες. τοῖς δὲ καὶ παισὶν ἔτι οὖσι καθέστηκεν ἤδη τὴν θεὸν τιμᾶν τῇ πομπῇ· οὗτοι λευκὴν ἐσθῆτα καὶ ἐπὶ ταῖς κεφαλαῖς ἔχουσι στεφάνους. πλέκονται δὲ οἱ στέφανοί σφισιν ἐκ τοῦ ἄνθους ὃ καλοῦσιν οἱ ταύτῃ κοσμοσάνδαλον, ὑάκινθον ἐμοὶ δοκεῖν ὄντα καὶ μεγέθει καὶ χρόᾳ· ἔπεστι δέ οἱ καὶ τὰ ἐπὶ τῷ θρήνῳ γράμματα.
τοῖς δὲ τὴν πομπὴν πέμπουσιν ἕπονται τελείαν ἐξ ἀγέλης 6
βοῦν ἄγοντες διειλημμένην δεσμοῖς τε καὶ ὑβρίζουσαν ἔτι ὑπὸ ἀγριότητος. ἐλάσαντες δὲ πρὸς τὸν ναὸν οἱ μὲν ἔσω φέρεσθαι τὴν βοῦν ἐς τὸ ἱερὸν ἀνῆκαν ἐκ τῶν δεσμῶν, ἕτεροι δὲ ἀναπεπταμένας ἔχοντες τέως τὰς θύρας, ἐπειδὰν τὴν βοῦν ἴδωσιν ἐντὸς τοῦ ναοῦ, προσέθε-

7 σαν τὰς θύρας. τέσσαρες δὲ ἔνδον ὑπολειπόμεναι γρᾶες, αὗται τὴν βοῦν εἰσὶν αἱ κατεργαζόμεναι· δρεπάνῳ γὰρ ἥτις ἂν τύχῃ τὴν φάρυγγα ὑπέτεμε τῆς βοός. μετὰ δὲ αἱ θύραι τε ἠνοίχθησαν, καὶ προσελαύνουσιν οἷς ἐπιτέτακται βοῦν δευτέραν καὶ τρίτην ἐπὶ ταύτῃ, καὶ ἄλλην τετάρτην. κατεργάζονταί τε δὴ πάσας κατὰ ταὐτὰ αἱ γρᾶες, καὶ τόδε ἄλλο πρόσκειται τῇ θυσίᾳ θαῦμα· ἐφ' ἥντινα γὰρ ἂν πέσῃ τῶν πλευρῶν ἡ πρώτη βοῦς, ἀνάγκη
8 πεσεῖν καὶ πάσας. θυσία μὲν δρᾶται τοῖς Ἑρμιονεῦσι τὸν εἰρημένον τρόπον· πρὸ δὲ τοῦ ναοῦ γυναικῶν ἱερασαμένων τῇ Δήμητρι εἰκόνες ἑστήκασιν οὐ πολλαί, καὶ παρελθόντι ἔσω θρόνοι τέ εἰσιν ἐφ' ὧν αἱ γρᾶες ἀναμένουσιν ἐσελαθῆναι καθ' ἑκάστην τῶν βοῶν, καὶ ἀγάλματα οὐκ ἄγαν ἀρχαῖα, Ἀθηνᾶ καὶ Δημήτηρ. αὐτὸ δὲ ὃ σέβουσιν ἐπὶ πλέον ἢ τἆλλα, ἐγὼ μὲν οὐκ εἶδον, οὐ μὴν οὐδὲ ἀνὴρ ἄλλος, οὔτε ξένος οὔτε Ἑρμιονέων αὐτῶν· μόναι δὲ ὁποῖόν τί ἐστιν αἱ γρᾶες ἴστωσαν.

9 5. Ἔστι δὲ καὶ ἄλλος ναός· εἰκόνες δὲ περὶ πάντα ἑστήκασιν αὐτόν. οὗτος ὁ ναός ἐστιν ἀπαντικρὺ τοῦ τῆς Χθονίας, καλεῖται δὲ Κλυμένου, καὶ τῷ Κλυμένῳ θύουσιν ἐνταῦθα. Κλύμενον δὲ οὐκ ἄνδρα Ἀργεῖον ἐλθεῖν ἔγωγε ἐς Ἑρμιόνα ἡγοῦμαι, τοῦ θεοῦ δέ ἐστιν ἐπίκλησις, 196
ὅντινα ἔχει λόγος βασιλέα ὑπὸ γῆν εἶναι. παρὰ μὲν δὴ
10 τοῦτόν ἐστιν ἄλλος ναὸς καὶ ἄγαλμα Ἄρεως. 6. Τοῦ δὲ τῆς Χθονίας ἐστὶν ἱεροῦ στοὰ κατὰ τὴν δεξιάν, Ἠχοῦς ὑπὸ τῶν ἐπιχωρίων καλουμένη· φθεγξαμένῳ δὲ ἀνδρὶ τὰ ὀλίγιστα ἐς τρὶς ἀντιβοῆσαι πέφυκεν. 7. ὄπισθεν δὲ τοῦ ναοῦ τῆς Χθονίας χωρία ἐστὶν ἃ καλοῦσιν Ἑρμιονεῖς τὸ μὲν Κλυμένου, τὸ δὲ Πλούτωνος, τὸ τρίτον δὲ αὐτῶν λίμνην Ἀχερουσίαν. περιείργεται μὲν δὴ πάντα θριγκοῖς λίθων, ἐν δὲ τῷ τοῦ Κλυμένου καὶ γῆς χάσμα· διὰ τούτου δὲ Ἡρακλῆς ἀνῆγε τοῦ Ἅιδου τὸν κύνα κατὰ τὰ λε-

γόμενα ὑπὸ Ἑρμιονέων. 8. Πρὸς δὲ τῇ πύλῃ καθ᾽ ἣν 11
ὁδὸς εὐθεῖά ἐστιν ἄγουσα ἐπὶ Μάσητα, Εἰλειθυίας ἐστὶν
ἐντὸς τοῦ τείχους ἱερόν. ἄλλως μὲν δὴ κατὰ ἡμέραν ἑκά-
στην καὶ θυσίαις καὶ θυμιάμασι μεγάλως τὴν θεὸν ἱλά-
σκονται, καὶ ἀναθήματα δίδοται πλεῖστα τῇ Εἰλειθυίᾳ·
τὸ δὲ ἄγαλμα οὐδενί, πλὴν εἰ μὴ ἄρα ταῖς ἱερείαις, ἔστιν
ἰδεῖν.

**XXXVI.** Κατὰ δὲ τὴν ἐπὶ Μάσητα εὐθεῖαν προελ-
θοῦσιν ἑπτά που σταδίους καὶ ἐς ἀριστερὰ ἐκτραπεῖσιν
ἐς Ἁλίκην ἐστὶν ὁδός. ἡ δὲ Ἁλίκη τὰ μὲν ἐφ᾽ ἡμῶν ἐστὶν
ἔρημος, ᾠκεῖτο δὲ καὶ αὕτη ποτέ, καὶ Ἁλικὸς λόγος ἐν
στήλαις ἐστὶ ταῖς Ἐπιδαυρίων, αἳ τοῦ Ἀσκληπιοῦ τὰ
ἰάματα ἐγγεγραμμένα ἔχουσιν· ἄλλο δὲ σύγγραμμα οὐ-
δὲν οἶδα ἀξιόχρεων, ἔνθα ἢ πόλεως Ἁλίκης ἢ ἀνδρῶν
ἐστὶν Ἁλικῶν μνήμη. 2. ἔστι δ᾽ οὖν ὁδὸς καὶ ἐς ταύτην
τοῦ τε Πρωνὸς μέση καὶ ὄρους ἑτέρου Θόρνακος καλου-
μένου τὸ ἀρχαῖον· ἀπὸ δὲ τῆς Διὸς ἐς κόκκυγα τὸν ὄρ-
νιθα ἀλλαγῆς λεγομένης ἐνταῦθα γενέσθαι μετονομα-
197 σθῆναι τὸ ὄρος φασίν. ἱερὰ δὲ καὶ ἐς τόδε ἐπὶ ἄκρων τῶν 2
ὀρῶν, ἐπὶ μὲν τῷ Κοκκυγίῳ Διός, ἐν δὲ τῷ Πρωνί ἐστιν
Ἥρας. καὶ τοῦ τε Κοκκυγίου πρὸς τοῖς πέρασι ναός ἐστι,
θύραι δὲ οὐκ ἐφεστήκασιν, οὐδὲ ὄροφον εἶχεν, οὐδέ οἵ
τι ἐνῆν ἄγαλμα· εἶναι δὲ ἐλέγετο ὁ ναὸς Ἀπόλλωνος.
3. Παρὰ δὲ αὐτὸν ὁδός ἐστιν ἐπὶ Μάσητα τοῖς ἐκτραπεῖ-
σιν ἐκ τῆς εὐθείας. Μάσητι δὲ οὔσῃ πόλει τὸ ἀρχαῖον,
καθὰ καὶ Ὅμηρος ἐν Ἀργείων καταλόγῳ πεποίηκεν, ἐπι-
νείῳ καθ᾽ ἡμᾶς ἐχρῶντο Ἑρμιονεῖς. ἀπὸ Μάσητος δὲ 3
ὁδὸς ἐν δεξιᾷ ἐστὶν ἐπὶ ἄκραν καλουμένην Στρουθοῦντα.
στάδιοι δὲ ἀπὸ τῆς ἄκρας ταύτης κατὰ τῶν ὀρῶν τὰς κο-
ρυφὰς πεντήκοντά εἰσι καὶ διακόσιοι ἐς Φιλανόριόν τε
καλούμενον καὶ ἐπὶ Βολεούς· οἱ δὲ Βολεοὶ οὗτοι λίθων
εἰσὶ σωροὶ λογάδων. 4. χωρίον δὲ ἕτερον ὃ Διδύμους

*ὀνομάζουσι, στάδια εἴκοσιν αὐτόθεν ἀφέστηκεν. ἐνταῦθα ἔστι μὲν ἱερὸν Ἀπόλλωνος, ἔστι δὲ Ποσειδῶνος, ἐπὶ δὲ αὐτοῖς Δήμητρος· ἀγάλματα δὲ ὀρθὰ λίθου λευκοῦ.*

4 5. *Τὸ δὲ ἐντεῦθέν ἐστιν Ἀργείων ἥ ποτε Ἀσιναία καλουμένη, καὶ Ἀσίνης ἐστὶν ἐρείπια ἐπὶ θαλάσσῃ. Λακεδαιμονίων δὲ καὶ τοῦ βασιλέως Νικάνδρου τοῦ Χαρίλλου τοῦ Πολυδέκτου τοῦ Εὐνόμου τοῦ Πρυτάνιδος τοῦ Εὐρυπῶντος ἐς τὴν Ἀργολίδα ἐσβαλόντων στρατιᾷ συνεσέβαλόν σφισιν οἱ Ἀσιναῖοι, καὶ ἐδῄωσαν σὺν ἐκείνοις τῶν Ἀργείων τὴν γῆν. ὡς δὲ ὁ στόλος τῶν Λακεδαιμονίων ἀπῆλθεν οἴκαδε, στρατεύουσιν ἐπὶ τὴν Ἀσίνην οἱ*
5 *Ἀργεῖοι καὶ ὁ βασιλεὺς αὐτῶν Ἔρατος. καὶ χρόνον μέν τινα ἀπὸ τοῦ τείχους ἠμύναντο οἱ Ἀσιναῖοι, καὶ ἀποκτείνουσιν ἄλλους τε καὶ Λυσίστρατον ἐν τοῖς δοκιμωτάτοις ὄντα Ἀργείων· ἁλισκομένου δὲ τοῦ τείχους οὗτοι μὲν γυναῖκας ἐς τὰ πλοῖα ἐνθέμενοι καὶ παῖδας ἐκλείπουσι τὴν αὑτῶν, Ἀργεῖοι δὲ ἐς ἔδαφος καταβαλόντες τὴν Ἀσίνην καὶ τὴν γῆν προσορισάμενοι τῇ σφετέρᾳ, Πυθαέως τε Ἀπόλλωνος ὑπέλιπον τὸ ἱερόν, καὶ νῦν ἔτι δῆλόν ἐστι, καὶ τὸν Λυσίστρατον πρὸς αὐτῷ θάπτουσιν.*

6 6. *Ἀπέχει δὲ Ἀργείων τῆς πόλεως τεσσαράκοντα καὶ οὐ πλείω στάδια ἡ κατὰ Λέρναν θάλασσα. κατιόντων δὲ ἐς Λέρναν πρῶτον μὲν καθ' ὁδόν ἐστιν ὁ Ἐρασῖνος, ἐκδίδωσι δὲ ἐς τὸν Φρίξον, ὁ Φρίξος δὲ ἐς τὴν θάλασσαν* 198
*τὴν μεταξὺ Τημενίου καὶ Λέρνης. ἀπὸ δὲ Ἐρασίνου τραπεῖσιν ἐς ἀριστερὰ σταδίους ὅσον ὀκτὼ Διοσκούρων ἱερόν ἐστιν Ἀνάκτων· πεποίηται δέ σφισι κατὰ ταὐτὰ καὶ*
7 *ἐν τῇ πόλει τὰ ξόανα.* 7. *ἀναστρέψας δὲ ἐς τὴν εὐθεῖαν τόν τε Ἐρασῖνον διαβήσῃ καὶ ἐπὶ τὸν Χείμαρρον ποταμὸν ἀφίξῃ. πλησίον δὲ αὐτοῦ περίβολός ἐστι λίθων, καὶ τὸν Πλούτωνα ἁρπάσαντα, ὡς λέγεται, Κόρην τὴν Δήμητρος καταβῆναι ταύτῃ φασὶν ἐς τὴν ὑπόγεων νομιζο-*

μένην ἀρχήν. ἡ δὲ Λέρνα ἐστίν, ὡς καὶ τα πρότερα ἔχει μοι τοῦ λόγου, πρὸς θαλάσσῃ, καὶ τελετὴν Λερναίᾳ ἄγουσιν ἐνταῦθα Δήμητρι. 8. ἔστι δὲ ἄλσος ἱερὸν ἀρχόμενον 8
μὲν ἀπὸ ὄρους ὃ καλοῦσι Ποντῖνον. τὸ δὲ ὄρος ὁ Ποντῖνος οὐκ ἐᾷ τὸ ὕδωρ ἀπορρεῖν τὸ ἐκ τοῦ θεοῦ, ἀλλὰ ἐς αὐτὸ καταδέχεται· ῥεῖ δὲ καὶ ποταμὸς ἀπ' αὐτοῦ Ποντῖνος. καὶ ἐπὶ κορυφῇ τοῦ ὄρους ἱερόν τε Ἀθηνᾶς Σαΐτιδος, ἐρείπια ἔτι μόνα, καὶ θεμέλια οἰκίας ἐστὶν Ἱππομέδοντος, ὃς Πολυνείκει τῷ Οἰδίποδος τιμωρήσων ἦλθεν ἐς Θήβας.

**XXXVII.** Ἀπὸ δὴ τοῦ ὄρους τούτου τὸ ἄλσος ἀρχόμενον πλατάνων τὸ πολὺ ἐπὶ τὴν θάλασσαν καθήκει. ὅροι δὲ αὐτοῦ τῇ μὲν ποταμὸς ὁ Ποντῖνος, τῇ δὲ ἕτερος ποταμός· Ἀμυμώνη δὲ ἀπὸ τῆς Δαναοῦ θυγατρὸς ὄνομα τῷ ποταμῷ. 2. ἐντὸς δὲ τοῦ ἄλσους ἀγάλματα ἔστι μὲν Δήμητρος Προσύμνης, ἔστι δὲ Διονύσου· καὶ Δήμητρος καθήμενον ἄγαλμα οὐ μέγα. ταῦτα μὲν λίθου πεποιημέ- 2
να, ἑτέρῳ δὲ ναῷ Διόνυσος Σαώτης καθήμενον ξόανον, καὶ Ἀφροδίτης ἄγαλμα ἐπὶ θαλάσσῃ λίθου· ἀναθεῖναι δὲ αὐτὸ τὰς θυγατέρας λέγουσι τὰς Δαναοῦ, Δαναὸν δὲ αὐτὸν τὸ ἱερὸν ἐπὶ Ποντίνῳ ποιῆσαι τῆς Ἀθηνᾶς. 3. Καταστήσασθαι δὲ τῶν Λερναίων τὴν τελετὴν Φιλάμμωνά
199 φασι. τὰ μὲν οὖν λεγόμενα ἐπὶ τοῖς δρωμένοις δῆλά ἐστιν
οὐκ ὄντα ἀρχαῖα· ἃ δὲ ἤκουσα ἐπὶ τῇ καρδίᾳ γεγράφθαι 3
τῇ πεποιημένῃ τοῦ ὀρειχάλκου, οὐδὲ ταῦτα ὄντα Φιλάμμωνος Ἀρριφῶν εὗρε, τὸ μὲν ἀνέκαθεν Τριχωνιεὺς τῶν ἐν Αἰτωλίᾳ, τὰ δὲ ἐφ' ἡμῶν Λυκίων τοῖς μάλιστα ὁμοίως δόκιμος, δεινὸς δὲ ἐξευρεῖν ἃ μή τις πρότερον εἶδε, καὶ δὴ καὶ ταῦτα φωράσας ἐπὶ τῷδε. τὰ ἔπη καὶ ὅσα οὐ μετὰ μέτρου μεμιγμένα ἦν τοῖς ἔπεσι τὰ πάντα Δωριστὶ ἐπεποίητο· πρὶν δὲ Ἡρακλείδας κατελθεῖν ἐς Πελοπόννησον τὴν αὐτὴν ἠφίεσαν Ἀθηναίοις οἱ Ἀργεῖοι φωνήν·

*ἐπὶ δὲ Φιλάμμωνος οὐδὲ τὸ ὄνομα τὸ Δωριέων, ἐμοὶ δο-
κεῖν, ἐς ἅπαντας ἠκούετο Ἕλληνας. ταῦτα μὲν δὴ ἀπέ-
φαινεν οὕτως ἔχοντα.*
4 *4. Τῆς δὲ Ἀμυμώνης πέφυκεν ἐπὶ τῇ πηγῇ πλάτα-
νος· ὑπὸ ταύτῃ τὴν ὕδραν τραφῆναι τῇ πλατάνῳ φασίν.
ἐγὼ δὲ τὸ θηρίον πείθομαι τοῦτο καὶ μεγέθει διενεγκεῖν
ὑδρῶν ἄλλων, καὶ τὸν ἰὸν οὕτω δή τι ἔχειν ἀνίατον ὡς
τὸν Ἡρακλέα ἀπὸ τῆς χολῆς αὐτοῦ τὰς ἀκίδας φαρμα-
κεῦσαι τῶν ὀϊστῶν· κεφαλὴν δὲ εἶχεν, ἐμοὶ δοκεῖν, μίαν
καὶ οὐ πλείονας. Πείσανδρος δὲ ὁ Καμιρεύς, ἵνα τὸ θη-
ρίον τε δοκοίη φοβερώτερον καὶ αὐτῷ γίνηται ἡ ποίησις
ἀξιόχρεως μᾶλλον, ἀντὶ τούτων τὰς κεφαλὰς ἐποίησε τῇ*
5 *ὕδρᾳ τὰς πολλάς. 5. Εἶδον δὲ καὶ πηγὴν Ἀμφιαράου* 200
*καλουμένην καὶ τὴν Ἀλκυονίαν λίμνην, δι᾽ ἧς φασὶν
Ἀργεῖοι Διόνυσον ἐς τὸν Ἅιδην ἐλθεῖν Σεμέλην ἀνά-
ξοντα, τὴν δὲ ταύτῃ κάθοδον δεῖξαί οἱ Πόλυμνον. τῇ δὲ
Ἀλκυονίᾳ πέρας τοῦ βάθους οὐκ ἔστιν, οὐδέ τινα οἶδα
ἄνθρωπον ἐς τὸ τέρμα αὐτῆς οὐδεμιᾷ μηχανῇ καθικέ-
σθαι δυνηθέντα, ὅπου καὶ Νέρων σταδίων πολλῶν κά-
λους ποιησάμενος καὶ συνάψας ἀλλήλοις, ἀπαρτήσας δὲ
καὶ μόλυβδον ἀπ᾽ αὐτῶν καὶ εἰ δή τι χρήσιμον ἄλλο ἐς
τὴν πεῖραν, οὐδὲ οὗτος οὐδένα ἐξευρεῖν ἐδυνήθη ὅρον*
6 *τοῦ βάθους. καὶ τόδε ἤκουσα ἄλλο· τὸ ὕδωρ τῆς λίμνης,
ὡς ἰδόντα εἰκάσαι, γαληνόν ἐστι καὶ ἠρεμαῖον, παρεχό-
μενον δὲ ὄψιν τοιαύτην διανήχεσθαι τολμήσαντα πάντα
τινὰ καθέλκειν πέφυκε καὶ ἐς βυθὸν ὑπολαβὸν ἀπήνεγκε.
περίοδος δὲ τῆς λίμνης ἐστὶν οὐ πολλή, ἀλλὰ ὅσον τε στα-
δίου τρίτον· ἐπὶ δὲ τοῖς χείλεσιν αὐτῆς πόα καὶ σχοῖνοι
πεφύκασι. τὰ δὲ ἐς αὐτὴν Διονύσῳ δρώμενα ἐν νυκτὶ
κατὰ ἔτος ἕκαστον οὐχ ὅσιον ἐς ἅπαντας ἦν μοι γράψαι.*

XXXVIII. *Ἐκ Λέρνης δὲ ἰοῦσιν ἐς Τημένιον, τὸ δὲ
Τημένιόν ἐστιν Ἀργείων, ὠνομάσθη δὲ ἀπὸ Τημένου*

τοῦ Ἀριστομάχου· καταλαβὼν γὰρ καὶ ἐχυρωσάμενος τὸ
χωρίον ἐπολέμει σὺν τοῖς Δωριεῦσιν αὐτόθεν τὸν πρὸς
Τισαμενὸν καὶ Ἀχαιοὺς πόλεμον· ἐς τοῦτο οὖν τὸ Τη-
μένιον ἰοῦσιν ὅ τε Φρίξος ποταμὸς ἐκδίδωσιν ἐς θάλασ-
σαν, καὶ Ποσειδῶνος ἱερὸν ἐν Τημενίῳ πεποίηται καὶ
Ἀφροδίτης ἕτερον, καὶ μνῆμά ἐστι Τημένου τιμὰς ἔχον
παρὰ Δωριέων τῶν ἐν Ἄργει. 2. Τημενίου δὲ ἀπέχει 2
Ναυπλία πεντήκοντα, ἐμοὶ δοκεῖν, σταδίους, τὰ μὲν ἐφ'
ἡμῶν ἔρημος, οἰκιστὴς δὲ ἐγένετο αὐτῆς Ναύπλιος Πο-
201 σειδῶνος λεγόμενος καὶ Ἀμυμώνης εἶναι. λείπεται δὲ
καὶ τειχῶν ἔτι ἐρείπια, καὶ Ποσειδῶνος ἱερὸν καὶ λιμένες
εἰσὶν ἐν Ναυπλίᾳ, καὶ πηγὴ Κάναθος καλουμένη· ἐν-
ταῦθα τὴν Ἥραν φασὶν Ἀργεῖοι κατὰ ἔτος λουμένην
παρθένον γίνεσθαι. οὗτος μὲν δή σφισιν ἐκ τελετῆς, ἣν 3
ἄγουσι τῇ Ἥρᾳ, λόγος τῶν ἀπορρήτων ἐστίν· 3. τὰ δὲ
ὑπὸ τῶν ἐν Ναυπλίᾳ λεγόμενα ἐς τὸν ὄνον, ὡς ἐπιφα-
γὼν ἀμπέλου κλῆμα ἀφθονώτερον ἐς τὸ μέλλον ἀπέφηνε
τὸν καρπόν, καὶ ὄνος σφίσιν ἐν πέτρᾳ πεποιημένος διὰ
τοῦτό ἐστιν ἅτε ἀμπέλων διδάξας τομήν, παρίημι οὐκ
ἀξιόλογα ἡγούμενος. 4. Ἔστι δὲ ἐκ Λέρνης καὶ ἑτέρα 4
παρ' αὐτὴν ὁδὸς τὴν θάλασσαν ἐπὶ χωρίον ὃ Γενέσιον
ὀνομάζουσι· πρὸς θαλάσσῃ δὲ τοῦ Γενεσίου Ποσειδῶνος
ἱερόν ἐστιν οὐ μέγα. τούτου δὲ ἔχεται χωρίον ἄλλο Ἀπό-
βαθμοι· γῆς δὲ ἐνταῦθα πρῶτον τῆς Ἀργολίδος Δαναὸν
σὺν ταῖς παισὶν ἀποβῆναι λέγουσιν. ἐντεῦθεν διελθοῦ-
σιν Ἀνιγραῖα καλούμενα ὁδὸν καὶ στενὴν καὶ ἄλλως
δύσβατον, ἔστιν ἐν ἀριστερᾷ μὲν καθήκουσα ἐπὶ θάλασ-
σαν καὶ δένδρα, ἐλαίας μάλιστα, ἀγαθὴ τρέφειν γῆ,
5. ἰόντι δὲ ἄνω πρὸς τὴν ἤπειρον * * αὐτῆς χωρίον ἐστίν, 5
ἔνθα δὴ ἐμαχέσαντο ὑπὲρ τῆς γῆς ταύτης λογάδες Ἀρ-
γείων τριακόσιοι πρὸς ἄνδρας Λακεδαιμονίων ἀριθμόν
τε ἴσους καὶ ἐπιλέκτους ὁμοίως. ἀποθανόντων δὲ ἁπάν-

των πλὴν ἑνὸς Σπαρτιάτου καὶ δυοῖν Ἀργείων, τοῖς μὲν
ἀποθανοῦσιν ἐχώσθησαν ἐνταῦθα οἱ τάφοι, τὴν χώραν
δὲ οἱ Λακεδαιμόνιοι, γενομένου πανδημεὶ σφισιν ἀγῶ-
νος πρὸς Ἀργείους, κρατήσαντες βεβαίως αὐτοί τε παρ- 202
αυτίκα ἐκαρποῦντο καὶ ὕστερον Αἰγινήταις ἔδοσαν ἐκ-
πεσοῦσιν ὑπὸ Ἀθηναίων ἐκ τῆς νήσου. τὰ δὲ ἐπ' ἐμοῦ
τὴν Θυρεᾶτιν ἐνέμοντο Ἀργεῖοι· φασὶ δὲ ἀνασώσασθαι
6 δίκῃ νικήσαντες. 6. Ἀπὸ δὲ τῶν πολυανδρίων ἰόντι
Ἀθήνη τέ ἐστιν, ἐς ἣν Αἰγινῆταί ποτε ᾤκησαν, καὶ ἑτέρα
κώμη Νηρίς, τρίτη δὲ Εὔα, μεγίστη τῶν κωμῶν· καὶ
ἱερὸν τοῦ Πολεμοκράτους ἐστὶν ἐν ταύτῃ. ὁ δὲ Πολεμο-
κράτης ἐστὶ καὶ οὗτος Μαχάονος υἱός, ἀδελφὸς δὲ Ἀλε-
ξάνορος, καὶ ἰᾶται τοὺς ταύτῃ, καὶ τιμὰς παρὰ τῶν προσ-
7 οίκων ἔχει. 7. Ἀνατείνει δὲ ὑπὲρ τὰς κώμας ὄρος Πάρ-
νων, καὶ Λακεδαιμονίων ἐπ' αὐτοῦ πρὸς Ἀργείους ὅροι
καὶ Τεγεάτας εἰσίν· ἑστήκασι δὲ ἐπὶ τοῖς ὅροις Ἑρμαῖ
λίθου, καὶ τοῦ χωρίου τὸ ὄνομά ἐστιν ἀπ' αὐτῶν. ποτα-
μὸς δὲ καλούμενος Τάναος, εἷς γὰρ δὴ οὗτος ἐκ τοῦ Πάρ-
νωνος κάτεισι, ῥέων διὰ τῆς Ἀργείας ἐκδίδωσιν ἐς τὸν
Θυρεάτην κόλπον.

---

## ΛΑΚΩΝΙΚΑ.

I. Μετὰ δὲ τοὺς Ἑρμᾶς ἐστὶν ἤδη Λακωνικὴ τὰ πρὸς 203
ἑσπέραν. ὡς δὲ αὐτοὶ Λακεδαιμόνιοι λέγουσι, Λέλεξ αὐ-
τόχθων ὢν ἐβασίλευσε πρῶτος ἐν τῇ γῇ ταύτῃ, καὶ ἀπὸ
τούτου Λέλεγες ὧν ἦρχεν ὠνομάσθησαν. Λέλεγος δὲ γί- 204
νεται Μύλης καὶ νεώτερος Πολυκάων. Πολυκάων μὲν
δὴ ὅποι καὶ δι' ἥντινα αἰτίαν ἀπεχώρησεν, ἑτέρωθι δη-
λώσω· 2. Μύλητος δὲ τελευτήσαντος παρέλαβεν ὁ παῖς

Εὐρώτας τὴν ἀρχήν. οὗτος τὸ ὕδωρ τὸ λιμνάζον ἐν τῷ
πεδίῳ διώρυγι κατήγαγεν ἐπὶ θάλασσαν, ἀπορρυέντος
δέ, ἦν γὰρ δὴ τὸ ὑπόλοιπον ποταμοῦ ῥεῦμα, ὠνόμασεν
Εὐρώταν. ἅτε δὲ οὐκ ὄντων αὐτῷ παίδων ἀρρένων, βα- 2
σιλεύειν καταλείπει Λακεδαίμονα, μητρὸς μὲν Ταϋγέτης
ὄντα, ἀφ' ἧς καὶ τὸ ὄρος ὠνομάσθη, ἐς Δία δὲ πατέρα
ἀνήκοντα κατὰ τὴν φήμην· 3. συνῴκει δὲ ὁ Λακεδαίμων
Σπάρτῃ θυγατρὶ τοῦ Εὐρώτα. τότε δέ, ὡς ἔσχε τὴν ἀρ-
χήν, πρῶτα μὲν τῇ χώρᾳ καὶ τοῖς ἀνθρώποις μετέθετο
ἀφ' αὑτοῦ τὰ ὀνόματα, μετὰ δὲ τοῦτο ᾤκισέ τε καὶ ὠνό-
μασεν ἀπὸ τῆς γυναικὸς πόλιν, ἣ Σπάρτη καλεῖται καὶ
ἐς ἡμᾶς. Ἀμύκλας δὲ ὁ Λακεδαίμονος, βουλόμενος ὑπο- 3
λιπέσθαι τι καὶ αὐτὸς ἐς μνήμην, πόλισμα ἔκτισεν ἐν τῇ
Λακωνικῇ. γενομένων δέ οἱ παίδων, Ὑάκινθον μὲν
νεώτατον ὄντα καὶ τὸ εἶδος κάλλιστον κατέλαβεν ἡ πε-
πρωμένη πρότερον τοῦ πατρός, καὶ Ὑακίνθου μνῆμά
ἐστιν ἐν Ἀμύκλαις ὑπὸ τὸ ἄγαλμα τοῦ Ἀπόλλωνος. ἀπο-
θανόντος δὲ Ἀμύκλα ἐς Ἄργαλον τὸν πρεσβύτατον τῶν
Ἀμύκλα παίδων, καὶ ὕστερον ἐς Κυνόρταν Ἀργάλου τε-
λευτήσαντος ἀφίκετο ἡ ἀρχή. Κυνόρτα δὲ ἐγένετο Οἴβα-
λος. 4. οὗτος Γοργοφόνην τε τὴν Περσέως γυναῖκα ἔσχεν 4
ἐξ Ἄργους καὶ παῖδα ἔσχε Τυνδάρεων, ᾧ περὶ τῆς βασι-
λείας Ἱπποκόων ἠμφισβήτει καὶ κατὰ πρεσβείαν ἔχειν
ἠξίου τὴν ἀρχήν. προσλαβὼν δὲ Ἰκάριον καὶ τοὺς στα-
σιώτας παρὰ πολύ τε ὑπερεβάλετο δυνάμει Τυνδάρεων,
καὶ ἠνάγκασεν ἀποχωρῆσαι δείσαντα, ὡς μὲν Λακεδαι-
05 μόνιοί φασιν, ἐς Πελλάναν, Μεσσηνίων δέ ἐστιν ἐς
αὐτὸν λόγος Τυνδάρεων φεύγοντα ἐλθεῖν ὡς Ἀφαρέα ἐς
τὴν Μεσσηνίαν, εἶναι δὲ Ἀφαρέα τὸν Περιήρους ἀδελ-
φὸν Τυνδάρεῳ πρὸς μητρός· καὶ οἰκῆσαί τε αὐτὸν τῆς
Μεσσηνίας φασὶν ἐν Θαλάμαις, καὶ τοὺς παῖδας ἐνταῦθα
οἰκοῦντι αὐτῷ γενέσθαι. χρόνῳ δὲ ὕστερον κατῆλθέ τε 5

ὑπὸ Ἡρακλέους Τυνδάρεως καὶ ἀνεσώσατο τὴν ἀρχήν· ἐβασίλευσαν δὲ καὶ οἱ Τυνδάρεω παῖδες, καὶ Μενέλαος ὁ Ἀτρέως Τυνδάρεω γαμβρὸς ὤν, Ὀρέστης τε Ἑρμιόνῃ τῇ Μενελάου συνοικῶν. κατελθόντων δὲ Ἡρακλειδῶν ἐπὶ Τισαμενοῦ τοῦ Ὀρέστου βασιλεύοντος, Μεσσήνη μὲν καὶ Ἄργος ἑκατέρα μοῖρα Τήμενον, ἡ δὲ Κρεσφόντην ἔσχεν ἄρχοντας· 5. ἐν Λακεδαίμονι δὲ ὄντων διδύμων τῶν Ἀριστοδήμου παίδων οἰκίαι δύο βασίλειαι γί-
6 νονται· συναρέσαι γὰρ τῇ Πυθίᾳ φασίν. Ἀριστοδήμῳ δὲ αὐτῷ πρότερον τὴν τελευτὴν συμβῆναι λέγουσιν ἐν Δελφοῖς πρὶν ἢ Δωριέας κατελθεῖν ἐς Πελοπόννησον. οἱ μὲν δὴ ἀποσεμνύνοντες τὰ ἐς αὐτὸν τοξευθῆναι λέγουσιν Ἀριστόδημον ὑπὸ Ἀπόλλωνος, ὅτι οὐκ ἀφίκοιτο ἐπὶ τὸ μαντεῖον, παρὰ δὲ Ἡρακλέους ἐντυχόντος οἱ πρότερον πύθοιτο ὡς ἐς Πελοπόννησον Δωριεῦσι γενήσεται ἥδε ἡ κάθοδος· ὁ δὲ ἀληθέστερος ἔχει λόγος Πυλάδου τοὺς παῖδας καὶ Ἠλέκτρας, ἀνεψιοὺς ὄντας Τισαμενῷ
7 τῷ Ὀρέστου, φονεῦσαι τὸν Ἀριστόδημον. 6. Ὀνόματα μὲν δὴ τοῖς παισὶν αὐτοῦ Προκλῆς καὶ Εὐρυσθένης ἐτέθη, δίδυμοι δὲ ὄντες διάφοροι τὰ μάλιστα ἦσαν. προεληλυθότες δὲ ἐπὶ μέγα ἀπεχθείας ὅμως ἐν κοινῷ Θήρᾳ τῷ Αὐτεσίωνος ἀδελφῷ τῆς μητρὸς σφῶν ὄντι Ἀργείας, ἐπιτροπεύσαντι δὲ καὶ αὐτῶν, συνήραντο ἐς ἀποικίαν. 7. Τὴν δὲ ἀποικίαν ὁ Θήρας ἔστελλεν ἐς τὴν νῆσον τὴν τότε ὀνομαζομένην Καλλίστην, τοὺς ἀπογόνους οἱ τοὺς Μεμβλιάρου παραχωρήσεσθαι τῆς βασιλείας ἐλπίζων
8 ἑκόντας. ὅπερ οὖν καὶ ἐποίησαν, λαβόντες λογισμὸν 206
ὅτι Θήρᾳ μὲν ἐς αὐτὸν ἀνήει Κάδμον τὸ γένος, οἱ δὲ ἦσαν ἀπόγονοι Μεμβλιάρου· Μεμβλίαρον δὲ ἄνδρα ὄντα τοῦ δήμου Κάδμος ἐν τῇ νήσῳ κατέλιπεν ἡγεμόνα εἶναι τῶν ἐποίκων. καὶ Θήρας μὲν τῇ τε νήσῳ μετέβαλεν ἀφ' ἑαυτοῦ τὸ ὄνομα, καί οἱ καὶ νῦν ἔτι οἱ Θηραῖοι κατὰ

ἔτος ἐναγίζουσιν ὡς οἰκιστῇ· Προκλεῖ δὲ καὶ Εὐρυσθένει
μέχρι μὲν τῆς προθυμίας τῆς ἐς τὸν Θήραν ἐς τὸ αὐτὸ
συνῆλθον αἱ γνῶμαι, τὰ δὲ λοιπὰ διειστήκει σφίσιν ἐπὶ
παντὶ τὰ βουλεύματα. οὐ μὴν οὐδὲ ὁμονοησάντων τοὺς 9
ἀπογόνους αὐτῶν ἐς κοινὸν κατάλογον ὑπάξειν ἔμελλον·
οὐ γάρ τι τὰ πάντα ἐς τὸ αὐτὸ συνεληλύθεσαν ἡλικίας,
ὡς ἀνεψιόν τε ἀνεψιῷ καὶ ἀνεψιῶν παῖδας, ὡσαύτως δὲ
καὶ τοὺς κατωτέρω κατὰ ἀριθμὸν τυχεῖν ἀλλήλοις γεγο-
νότας τὸν ἴσον. ἑκατέραν οὖν τὴν οἰκίαν ἐπέξειμι αὐτῶν
ἰδίως καὶ οὐκ ἀμφοτέρας ἅμα ἐς τὸ αὐτὸ ἀναμίξας.

II. Εὐρυσθένει πρεσβυτέρῳ τῶν Ἀριστοδήμου παί-
δων ὄντι ἡλικίαν γενέσθαι λέγουσιν υἱὸν Ἆγιν· ἀπὸ
τούτου δὲ τὸ γένος τὸ Εὐρυσθένους καλοῦσιν Ἀγίδας.
ἐπὶ τούτου Πατρεῖ τῷ Πρευγένους κτίζοντι ἐν Ἀχαΐᾳ πό-
λιν, ἥντινα Πάτρας καὶ ἐς ἡμᾶς καλοῦσιν ἀπὸ τοῦ Πα-
τρέως τούτου, συνεπελάβοντο Λακεδαιμόνιοι τοῦ οἰ-
κισμοῦ. συνήραντο δὲ καὶ Γρᾷ τῷ Ἐχέλα τοῦ Πενθίλου
τοῦ Ὀρέστου στελλομένῳ ναυσὶν ἐς ἀποικίαν. καὶ ὁ μὲν
207 τὴν τῆς Ἰωνίας μεταξὺ καὶ Μυσῶν, καλουμένην δὲ Αἰο-
λίδα ἐφ' ἡμῶν, καθέξειν ἔμελλεν· ὁ δέ οἱ πρόγονος
Πενθίλος Λέσβον τὴν ὑπὲρ τῆς ἠπείρου ταύτης νῆσον
εἷλεν ἔτι πρότερον. 2. Ἐπὶ δὲ Ἐχεστράτου τοῦ Ἄγιδος 2
βασιλεύοντος ἐν Σπάρτῃ Κυνουρέας τοὺς ἐν [τῇ] ἡλικίᾳ
Λακεδαιμόνιοι ποιοῦσιν ἀναστάτους, αἰτίαν ἐπενεγκόν-
τες ὡς τὴν Ἀργολίδα, συγγενῶν σφίσιν ὄντων Ἀργείων,
λῃσταί τε ἐκ τῆς Κυνουριακῆς κακουργοῖεν, καὶ αὐτοὶ
καταδρομὰς ἐκ τοῦ φανεροῦ ποιοῖντο ἐς τὴν γῆν. λέγον-
ται δὲ οἱ Κυνουρεῖς Ἀργεῖοι τὸ ἀνέκαθεν εἶναι, καὶ οἰκι-
στήν φασιν αὐτῶν Κύνουρον γενέσθαι τὸν Περσέως.
3. Ἔτεσι δὲ ὕστερον οὐ πολλοῖς Λαβώτας ὁ Ἐχεστράτου 3
τὴν ἀρχὴν ἔσχεν ἐν Σπάρτῃ. τοῦτον τὸν Λαβώταν Ἡρό-
δοτος ἐν τῷ λόγῳ τῷ ἐς Κροῖσον ὑπὸ Λυκούργου τοῦ

θεμένου τοὺς νόμους φησὶν ἐπιτροπευθῆναι παῖδα ὄντα· Λεωβώτην δέ οἱ τίθεται τὸ ὄνομα καὶ οὐ Λαβώταν. Λακεδαιμονίοις δὲ πρῶτον τότε ἔδοξεν ἄρασθαι πρὸς Ἀργείους πόλεμον· ἐποιοῦντο δὲ ἐς αὐτοὺς ἐγκλήματα τήν τε Κυνουρικὴν ἑλόντων αὐτῶν ἀποτέμνεσθαι τοὺς Ἀργείους, καὶ τοὺς περιοίκους σφῶν ὑπηκόους ὄντας ἀφιστάναι. τότε μὲν δὴ παρὰ οὐδετέρων πολεμησάντων
4 ὅμως μνήμης ἄξιον πραχθῆναί φασιν οὐδέν· τοὺς δὲ ἐφεξῆς βασιλεύσαντας τῆς οἰκίας ταύτης Δόρυσσον τὸν Λαβώτα καὶ Ἀγησίλαον Δορύσσου δι' ὀλίγου σφᾶς τὸ χρεὼν ἐπέλαβεν ἀμφοτέρους. 4. Ἔθηκε δὲ καὶ Λυκοῦργος Λακεδαιμονίοις τοὺς νόμους ἐπὶ τῆς Ἀγησιλάου βασιλείας. θεῖναι δὲ αὐτὸν λέγουσιν οἱ μὲν παρὰ τῆς Πυθίας διδαχθέντα ὑπὲρ αὐτῶν, οἱ δὲ ὡς Κρητικὰ ὄντα νόμιμα ἐπαγάγοιτο. τούτους δὲ οἱ Κρῆτες τοὺς νόμους τεθῆναί σφισιν ὑπὸ Μίνω λέγουσι, βουλεύσασθαι δὲ ὑπὲρ τῶν νόμων οὐκ ἄνευ θεοῦ τὸν Μίνω. ἠνίξατο δὲ καὶ Ὅμηρος, ἐμοὶ δοκεῖν, περὶ τοῦ Μίνω τῆς νομοθεσίας ἐν τοῖσδε τοῖς ἔπεσι·

τῇσι δ' ἐνὶ Κνωσός, μεγάλη πόλις, ἔνθα τε Μίνως 208
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής.

5 Λυκούργου μὲν οὖν καὶ ἐν τοῖς ἔπειτα τοῦ λόγου ποιήσομαι μνήμην· 5. Ἀγησιλάου δὲ παῖς ἐγένετο Ἀρχέλαος. ἐπὶ τούτου Λακεδαιμόνιοι πολέμῳ κρατήσαντες πόλιν τῶν περιοικίδων ἠνδραποδίσαντο Αἴγυν, ὑποπτεύσαντες ὡς οἱ Αἰγῦται φρονοῦσι τὰ Ἀρκάδων. Χάριλλος δὲ ὁ τῆς ἑτέρας οἰκίας βασιλεὺς συνεξεῖλε μὲν καὶ Ἀρχελάῳ τὴν Αἴγυν, ὁπόσα δὲ καὶ ἰδίᾳ Λακεδαιμονίων αὐτὸς ἔδρασεν ἡγούμενος, μνήμην καὶ τῶνδε ποιησόμεθα ὁμοῦ τῷ λόγῳ
6 μεταβάντι ἐς τοὺς Εὐρυπωντίδας καλουμένους. 6. Ἀρχελάου δὲ ἦν Τήλεκλος. ἐπὶ τούτου πόλεις Λακεδαιμόνιοι τῶν περιοικίδων πολέμῳ κρατήσαντες ἐξεῖλον Ἀμύ-

κλας καὶ Φᾶριν καὶ Γεράνθρας ἐχόντων ἔτι Ἀχαιῶν. τούτων Φαρῖται καὶ Γερανθρᾶται τὴν ἔφοδον τῶν Δωριέων καταπλαγέντες ἀπελθεῖν ἐκ Πελοποννήσου συγχωροῦνται ὑπόσπονδοι· τοὺς δὲ Ἀμυκλαιεῖς οὐκ ἐξ ἐπιδρομῆς ἐκβάλλουσιν, ἀλλὰ ἀντισχόντας τε ἐπὶ πολὺ τῷ πολέμῳ καὶ ἔργα οὐκ ἄδοξα ἐπιδειξαμένους. δηλοῦσι δὲ καὶ οἱ Δωριεῖς τρόπαιον ἐπὶ τοῖς Ἀμυκλαιεῦσιν ἀναστήσαντες, ὡς ἐν τῷ τότε λόγου μάλιστα ἄξιον τοῦτο ὑπάρξαν σφίσιν. οὐ πολλῷ δὲ ὕστερον τούτων ἀπέθανεν ὑπὸ Μεσσηνίων Τήλεκλος ἐν Ἀρτέμιδος ἱερῷ· τὸ δὲ ἱερὸν τοῦτο ἐν μεθορίῳ τῆς τε Λακωνικῆς καὶ τῆς Μεσσηνίας
ἐπεποίητο ἐν χωρίῳ καλουμένῳ Λίμναις. 7. Τηλέκλου δὲ 7
ἀποθανόντος Ἀλκαμένης ἔσχεν ὁ Τηλέκλου τὴν ἀρχήν, καὶ Λακεδαιμόνιοι πέμπουσιν ἐς Κρήτην Χαρμίδαν τὸν Εὔθυος, ἄνδρα ἐν Σπάρτῃ τῶν δοκίμων, στάσεις τε κα-
209 ταπαύσοντα τοῖς Κρησί, καὶ τὰ πολίσματα ὁπόσα ἦν ἀπωτέρω θαλάσσης καὶ ἄλλως ἀσθενῆ, ταῦτα μὲν τοὺς Κρῆτας πείσοντα ἐκλιπεῖν, τὰ δὲ ἐν ἐπικαίρῳ τοῦ παράπλου συνοικιοῦντα ἀντ' αὐτῶν. ἀνέστησαν δὲ καὶ Ἕλος ἐπὶ θαλάσσῃ πόλισμα Ἀχαιῶν ἐχόντων, καὶ Ἀργείους τοῖς Εἵλωσιν ἀμύναντας μάχῃ νικῶσι.

III. Τελευτήσαντος δὲ Ἀλκαμένους Πολύδωρος τὴν βασιλείαν παρέλαβεν ὁ Ἀλκαμένους, καὶ ἀποικίαν τε ἐς Ἰταλίαν Λακεδαιμόνιοι τὴν ἐς Κρότωνα ἔστειλαν καὶ [ἀποικίαν] ἐς Λοκροὺς τοὺς πρὸς ἄκρᾳ Ζεφυρίῳ, 2. καὶ ὁ πόλεμος ὁ καλούμενος Μεσσηνιακὸς Πολυδώρου βασιλεύοντος μάλιστα ἐς ἀκμὴν προῆλθε. λέγουσι δὲ οὐ τὰς αὐτὰς Λακεδαιμόνιοί τε αἰτίας καὶ Μεσσήνιοι τοῦ πολέ-
μου. τὰ οὖν λεγόμενα ὑπ' αὐτῶν, καὶ ὁποῖον ὁ πόλεμος 2
ἔσχεν οὗτος πέρας, τοῦ λόγου μοι τὰ ἐφεξῆς δηλώσει· τοσοῦτον δὲ ἐν τῷ παρόντι μνησθησόμεθα αὐτῶν, τὰ πολλὰ ἡγήσασθαι Λακεδαιμονίοις ἐν τῷ προτέρῳ προς

*Μεσσηνίους πολέμῳ Θεόπομπον τον Νικάνδρου, βασι-
λέα ὄντα τῆς ἑτέρας οἰκίας. διαπεπολεμημένου δὲ τοῦ
πρὸς Μεσσήνην πολέμου καὶ ἤδη Λακεδαιμονίοις δο-
ρικτήτου τῆς Μεσσηνίας οὔσης, Πολύδωρον εὐδοκι-
μοῦντα ἐν Σπάρτῃ καὶ κατὰ γνώμην Λακεδαιμονίων μά-
λιστα ὄντα τῷ δήμῳ, οὔτε γὰρ ἔργον βίαιον οὔτε ὑβρι-
στὴν λόγον παρείχετο ἐς οὐδένα, ἐν δὲ ταῖς κρίσεσι τὰ
3 δίκαια ἐφύλασσεν οὐκ ἄνευ φιλανθρωπίας, — ἔχοντος δὲ
ἤδη Πολυδώρου λαμπρὸν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ὄνομα,
Πολέμαρχος οἰκίας ἐν Λακεδαίμονι ἀνὴρ οὐκ ἀδόξου,
θρασύτερος δὲ ὡς ἐδήλωσε γνώμην, φονεύει τὸν Πολύ-
δωρον. ἀποθανόντι δὲ αὐτῷ πολλά τε παρὰ Λακεδαιμο-
νίων δέδοται καὶ ἀξιόλογα ἐς τιμήν. ἔστι μέντοι καὶ Πο-
λεμάρχου μνῆμα ἐν Σπάρτῃ, εἴτε ἀγαθοῦ τὰ πρότερα
ἀνδρὸς εἶναι νομισθέντος, εἴτε καὶ κρύφα οἱ προσήκον-
4 τες θάπτουσιν αὐτόν. 3. Ἐπὶ μὲν δὴ Εὐρυκράτους τοῦ
Πολυδώρου βασιλεύοντος Μεσσήνιοί τε ἠνείχοντο ὑπή-
κοοι Λακεδαιμονίων ὄντες, καὶ παρὰ τοῦ δήμου τοῦ
Ἀργείων οὐδέν σφισιν ἀπήντησε νεώτερον· ἐπὶ δὲ Ἀνα-
ξάνδρου τοῦ Εὐρυκράτους, τὸ γὰρ χρεὼν ἤδη Μεσση-
νίους ἤλαυνεν ἐκτὸς Πελοποννήσου πάσης, ἀφίστανται* 210
*Λακεδαιμονίων οἱ Μεσσήνιοι, καὶ χρόνον μὲν ἀντέσχον
πολεμοῦντες, ὑπόσπονδοι δέ, ὡς ἐκρατήθησαν, ἀπή-
εσαν ἐκ Πελοποννήσου. τὸ δὲ αὐτῶν ἐγκαταλειφθὲν τῇ
γῇ Λακεδαιμονίων ἐγένοντο οἰκέται, πλὴν οἱ τὰ ἐν τῇ
5 θαλάσσῃ πολίσματα ἔχοντες. τὰ μὲν δὴ ἐπὶ τοῦ πολέμου
συμβάντα ὃν οἱ Μεσσήνιοι Λακεδαιμονίων ἀποστάντες
ἐπολέμησαν, οὔ μοι κατὰ καιρὸν ἦν ἐν τῇ συγγραφῇ τῇ
παρούσῃ δηλῶσαι·* 5. *Ἀναξάνδρου δὲ υἱὸς Εὐρυκράτης
γίνεται, Εὐρυκράτους δὲ τοῦ δευτέρου Λέων. ἐπὶ τού-
των βασιλευόντων Λακεδαιμόνιοι προσέπταιον ἐν τῷ
πρὸς Τεγεάτας πολέμῳ τὰ πλείονα. ἐπὶ δὲ Ἀναξανδρί-*

δου τοῦ Λέοντος ἐπικρατέστεροι Τεγεατῶν γίνονται τῷ πολέμῳ· γίνονται δὲ οὕτως. ἀνὴρ Λακεδαιμόνιος Λίχας ὄνομα ἀφίκετο ἐς Τεγέαν· τηνικαῦτα δὲ αἱ πόλεις ἄγουσαι σπονδὰς ἔτυχον. 6. ἀφικομένου δὲ τοῦ Λίχα Ὀρέστου τὰ 6
ὀστᾶ ἀνεζήτουν· ἀνεζήτουν δὲ αὐτὰ ἐκ θεοπροπίου Σπαρτιᾶται. συνῆκεν οὖν ὁ Λίχας ὡς ἔστι κατακείμενα ἐν οἰκίᾳ χαλκέως, συνῆκε δὲ οὕτως· ὁπόσα ἐν τῇ τοῦ χαλκέως ἑώρα, παρέβαλεν αὐτὰ πρὸς τὸ ἐκ Δελφῶν μάντευμα, ἀνέμοις μὲν τοῦ χαλκέως εἰκάζων τὰς φύσας, ὅτι καὶ αὐταὶ βίαιον πνεῦμα ἠφίεσαν, τύπον δὲ τὴν σφῦραν, καὶ τὸν ἄκμονα ἀντίτυπον ταύτῃ, πῆμα δὲ εἰκότως ἀνθρώπῳ τὸν σίδηρον, ὅτι ἐχρῶντο ἐς τὰς μάχας ἤδη τῷ σιδήρῳ· τὰ δὲ ἐπὶ τῶν ἡρώων καλουμένων ἂν εἶπεν ὁ θεὸς ἀνθρώπῳ πῆμα εἶναι τὸν χαλκόν. τῷ χρησμῷ δὲ τῷ γενο- 7
μένῳ Λακεδαιμονίοις ἐς τοῦ Ὀρέστου τὰ ὀστᾶ καὶ Ἀθηναίοις ὕστερον ἐοικότα ἐχρήσθη κατάγουσιν ἐς Ἀθήνας ἐκ Σκύρου Θησέα, ἄλλως δὲ οὐκ εἶναί σφισιν ἑλεῖν Σκῦ-
211 ρον. ἀνεῦρέ τε δὴ τὰ ὀστᾶ τοῦ Θησέως Κίμων ὁ Μιλτιάδου, σοφίᾳ χρησάμενος καὶ οὗτος, καὶ μετ' οὐ πολὺ εἷλε τὴν Σκῦρον. ὅτι δὲ ἐπὶ τῶν ἡρώων τὰ ὅπλα ὁμοίως 8
χαλκᾶ ἦν πάντα, μαρτυρεῖ μοι καὶ Ὁμήρου τῶν ἐπῶν τὰ ἔς τε ἀξίνην ἔχοντα τὴν Πεισάνδρου καὶ ἐς τοῦ Μηριόνου τὸν ὀϊστόν. βεβαιοῖ δὲ καὶ ἄλλως μοι τὸν λόγον ἐν Φασήλιδι ἀνακείμενον ἐν Ἀθηνᾶς ἱερῷ τὸ δόρυ Ἀχιλλέως καὶ Νικομηδεῦσιν ἐν Ἀσκληπιοῦ ναῷ μάχαιρα ἡ Μέμνονος· καὶ τοῦ μὲν ἥ τε αἰχμὴ καὶ ὁ σαυρωτήρ, ἡ μάχαιρα δὲ καὶ διὰ πάσης χαλκοῦ πεποίηται. ταῦτα μὲν δὴ ἴσμεν ἔχοντα οὕτως. 7. Ἀναξανδρίδης δὲ ὁ Λέοντος Λακεδαι- 9
μονίων μόνος γυναῖκάς τε δύο ἅμα ἔσχε καὶ οἰκίας δύο ἅμα ᾤκησε. τὴν γὰρ οἱ πρότερον συνοικοῦσαν ἀρίστην τὰ ἄλλα οὖσαν συνέβαινεν οὐ τίκτειν· ἀποπέμψασθαι δὲ αὐτὴν κελευόντων τῶν ἐφόρων τοῦτο μὲν οὐδαμῶς

ἐπαγγέλλεται, τοσοῦτον δέ σφισιν εἴκει, γυναῖκα ἑτέραν
λαβεῖν πρὸς ταύτῃ. καὶ ἥ τε ἐπεισελθοῦσα Κλεομένην
παῖδα ἔσχε, καὶ ἡ προτέρα τέως οὐ σχοῦσα ἐν γαστρὶ ἐπὶ
γεγονότι ἤδη Κλεομένει τίκτει Δωριέα καὶ αὖθις Λεωνί-
10 δαν, ἐπὶ δὲ αὐτοῖς Κλεόμβροτον. 8. Ἐπεὶ δὲ ἀπέθανεν
Ἀναξανδρίδης, Λακεδαιμόνιοι Δωριέα καὶ γνώμην
Κλεομένους καὶ τὰ ἐς πόλεμον ἀμείνονα εἶναι νομί-
ζοντες, τὸν μὲν ἀπώσαντο ἄκοντες, Κλεομένει δὲ δι-
δόασιν ἐκ τῶν νόμων πρεσβεῖα τὴν ἀρχήν.

IV. Δωριεὺς μὲν δή, οὐ γὰρ ἠνείχετο ὑπακούειν Κλεο-
μένει μένων ἐν Λακεδαίμονι, ἐς ἀποικίαν στέλλεται· Κλεο-
μένης δὲ ὡς ἐβασίλευσεν, αὐτίκα ἐσέβαλεν ἐς τὴν Ἀργο-
λίδα, Λακεδαιμονίων τε αὐτῶν ἀθροίσας καὶ τῶν συμμά-
χων στρατιάν. ὡς δὲ ἐπεξῆλθον οἱ Ἀργεῖοι σὺν ὅπλοις, ὁ
Κλεομένης ἐνίκα τῇ μάχῃ· καί, ἦν γὰρ πλησίον ἄλσος ἱε-
ρὸν Ἄργου τοῦ Νιόβης, καταφεύγουσιν, ὡς ἐτράποντο,
ὅσον τε πεντακισχίλιοι τῶν Ἀργείων ἐς τὸ ἄλσος. Κλεομέ-
νης δέ, ἐξώρμει γὰρ τὰ πολλὰ ἐκ τοῦ νοῦ, κελεύει καὶ τότε 212
ἐνεῖναι πῦρ τοῖς Εἵλωσιν ἐς τὸ ἄλσος, καὶ τό τε ἄλσος ἡ
φλὸξ ἐπέλαβεν ἅπαν, καὶ ὁμοῦ τῷ ἄλσει καιομένῳ συγκα-
2 τεκαύθησαν [αὖθις] οἱ ἱκέται. 2. Ἐστράτευσε δὲ καὶ ἐπὶ
Ἀθήνας, τὸ μὲν πρότερον Ἀθηναίοις τε ἐλευθερίαν ἀπὸ
τῶν Πεισιστράτου παίδων καὶ αὑτῷ καὶ Λακεδαιμονίοις
δόξαν ἐν τοῖς Ἕλλησιν ἀγαθὴν κτώμενος, ὕστερον δὲ
Ἀθηναίου χάριτι ἀνδρὸς Ἰσαγόρου τυραννίδα οἱ συγκα-
τεργασόμενος Ἀθηνῶν. ὡς δὲ ἡμάρτανε τῆς ἐλπίδος καὶ
οἱ Ἀθηναῖοι περὶ τῆς ἐλευθερίας ἐμαχέσαντο ἐρρωμένως,
ἐνταῦθα ὁ Κλεομένης ἄλλα τε ἐδῄωσε τῆς χώρας, καὶ τῆς
καλουμένης Ὀργάδος θεῶν τε τῶν ἐν Ἐλευσῖνι ἱερᾶς,
καὶ ταύτης τεμεῖν φασὶν αὐτόν. 3. Ἀφίκετο δὲ καὶ ἐς
Αἴγιναν, καὶ Αἰγινητῶν τοὺς δυνατοὺς συνελάμβανεν
ὅσοι μηδισμοῦ τε αὐτῶν μετέσχον καὶ βασιλεῖ Δαρείῳ

τῷ Ὑστάσπου γῆν δοῦναι καὶ ὕδωρ τοὺς πολίτας ἔπει-
σαν. διατρίβοντος δὲ ἐν Αἰγίνῃ Κλεομένους, Δημάρατος 3
ὁ τῆς οἰκίας βασιλεὺς τῆς ἑτέρας διέβαλλεν αὐτὸν ἐς τῶν
Λακεδαιμονίων τὸ πλῆθος. 4. Κλεομένης δὲ ὡς ἀνέ-
στρεψεν ἐξ Αἰγίνης, ἔπρασσεν ὅπως Δημάρατον παύσειε
βασιλεύοντα, καὶ τήν τε ἐν Δελφοῖς πρόμαντιν ὠνήσατο,
Λακεδαιμονίοις αὐτὴν ὁπόσα αὐτὸς ἐδίδασκεν ἐς Δημά-
ρατον χρῆσαι, καὶ Λεωτυχίδην ἄνδρα τοῦ βασιλικοῦ γέ-
νους καὶ οἰκίας Δημαράτῳ τῆς αὐτῆς ἐπῆρεν ἀμφισβη-
τεῖν ὑπὲρ τῆς ἀρχῆς. εἵλετο δὲ Λεωτυχίδης λόγων οὓς 4
Ἀρίστων ποτὲ ἐς Δημάρατον τεχθέντα ἐξέβαλεν ὑπὸ
ἀμαθίας οὐχ αὑτοῦ παῖδα εἶναι φήσας. τότε δὲ οἱ μὲν ἐς
τὸ χρηστήριον οἱ Λακεδαιμόνιοι τὸ ἐν Δελφοῖς, ὥσπερ
καὶ τὰ ἄλλα εἰώθεσαν, ἀνάγουσι καὶ τὸ ἀμφισβήτημα τὸ
213 ὑπὲρ Δημαράτου· ἡ δέ σφισιν ἔχρησεν ἡ πρόμαντις
ὁπόσα ἦν Κλεομένει κατὰ γνώμην. Δημάρατος μὲν δὴ 5
κατὰ ἔχθος τὸ Κλεομένους καὶ οὐ σὺν τῷ δικαίῳ βασι-
λείας ἐπαύθη, 5. Κλεομένην δὲ ὕστερον τούτων ἐπέλα-
βεν ἡ τελευτὴ μανέντα· ὡς γὰρ δὴ ἐλάβετο ξίφους, ἐτί-
τρωσκεν αὐτὸς αὑτὸν καὶ διεξῄει τὸ σῶμα ἅπαν κόπτων
τε καὶ λυμαινόμενος. Ἀργεῖοι μὲν δὴ τοῖς ἱκέταις τοῦ
Ἄργου διδόντα αὐτὸν δίκην τέλος τοῦ βίου φασὶν εὑρέ-
σθαι τοιοῦτον, Ἀθηναῖοι δὲ ὅτι ἐδῄωσε τὴν Ὀργάδα,
Δελφοὶ δὲ τῶν δώρων ἕνεκα ὧν τῇ προμάντιδι ἔδωκεν,
ἀναπείσας ἐψευσμένα εἰπεῖν ἐς Δημάρατον. εἴη δ' ἂν καὶ 6
τὰ μηνίματα ἔκ τε ἡρώων ὁμοῦ καὶ θεῶν ἐς τὸ αὐτὸ τῷ
Κλεομένει συνεληλυθότα, ἐπεί τοι καὶ ἰδίᾳ Πρωτεσίλαος
ἐν Ἐλεοῦντι οὐδὲν ἥρως Ἄργου φανερώτερος ἄνδρα Πέρ-
σην ἐτιμωρήσατο Ἀρταΰκτην, καὶ Μεγαρεῦσιν οὔ ποτε
θεῶν τῶν ἐν Ἐλευσῖνι ὄντων ἐξεγένετο ἱλάσασθαι τὸ
μήνιμα γῆν ἐπεργασαμένοις τὴν ἱεράν. τὰ δὲ ἐς τοῦ μαν-
τείου τὴν διάπειραν οὐδὲ τὸ παράπαν ἄλλον γε οὐδένα

7 ὅτι μὴ μόνον Κλεομένην τολμήσαντα ἴσμεν. Κλεομένει
δὲ οὐκ ὄντων ἀρρένων παίδων ἐς Λεωνίδαν τὸν Ἀναξαν-
δρίδου, Δωριέως δὲ ἀπ' ἀμφοτέρων ἀδελφόν, κατέβαι-
νεν ἡ ἀρχή. 6. καὶ Ξέρξης τε τηνικαῦτα ἐπὶ τὴν Ἑλλάδα
ἤγαγε τὸν λαόν, καὶ Λεωνίδας τριακοσίοις ὁμοῦ Λακε-
δαιμονίων ἀπήντησεν ἐς Θερμοπύλας. γεγόνασι μὲν δὴ
πόλεμοι καὶ Ἑλλήνων πολλοὶ καὶ ἐς ἀλλήλους βαρβάρων,
εὐαρίθμητοι δὲ ὁπόσους ἀνδρὸς ἑνὸς μάλιστα ἀρετὴ
προήγαγεν ἐς πλέον δόξης, ὡς Ἀχιλλεύς τε τὸν πρὸς Ἰλίῳ
πόλεμον καὶ Μιλτιάδης τὸ Μαραθῶνι ἔργον. ἀλλὰ γὰρ
τὸ Λεωνίδου κατόρθωμα ὑπερεβάλετο, ἐμοὶ δοκεῖν, τά
8 τε ἀνὰ χρόνον συμβάντα καὶ τὰ ἔτι πρότερον. Ξέρξῃ γὰρ
βασιλέων, ὁπόσοι Μήδοις καὶ Πέρσαις ἐγένοντο ὕστερον,
παρασχομένῳ μέγιστον φρόνημα καὶ ἀποδειξαμένῳ λαμ- 214
πρὰ οὕτω, κατὰ τὴν πορείαν Λεωνίδας σὺν ὀλίγοις, οὓς
ἠγάγετο ἐς Θερμοπύλας, ἐγένετο ἂν ἐμποδὼν μηδὲ ἀρχὴν
τὴν Ἑλλάδα ἰδεῖν αὐτὸν μηδὲ Ἀθηναίων ποτὲ ἐμπρῆσαι
τὴν πόλιν, εἰ μὴ κατὰ τὴν ἀτραπὸν τὴν διὰ τῆς Οἴτης
τείνουσαν περιαγαγὼν τὴν μετὰ Ὑδάρνου στρατιὰν
ὁ Τραχίνιος κυκλώσασθαί σφισι τοὺς Ἕλληνας παρέσχε,
καὶ οὕτω κατεργασθέντος Λεωνίδου παρῆλθον ἐς τὴν
9 Ἑλλάδα οἱ βάρβαροι. 7. Παυσανίας δὲ ὁ Κλεομβρότου
βασιλεὺς μὲν οὐκ ἐγένετο· ἐπιτροπεύων γὰρ Πλείσταρ-
χον τὸν Λεωνίδου καταλειφθέντα ἔτι παῖδα ἐς Πλάταιάν
τε Λακεδαιμονίους ἤγαγε καὶ ὕστερον ναυσὶν ἐς τὸν Ἑλ-
λήσποντον. Παυσανίου δὲ τὸ ἔργον τὸ ἐς τὴν Κῴαν γυ-
ναῖκα ἐν ἐπαίνῳ τίθεμαι μάλιστα, ἥντινα ἀνδρὸς οὐκ
ἀδόξου παρὰ Κῴοις θυγατέρα οὖσαν Ἡγητορίδου τοῦ
Ἀνταγόρου Φαρανδάτης ὁ Τεάσπιδος, ἀνὴρ Πέρσης,
10 παλλακὴν εἶχεν ἄκουσαν· ἐπεὶ δὲ Πλαταιᾶσι Μαρδόνιός
τε ἔπεσεν ἐν τῇ μάχῃ καὶ ἀπώλοντο οἱ βάρβαροι, τὴν
γυναῖκα ὁ Παυσανίας ἀπέστειλεν ἐς τὴν Κῶν κόσμον τε,

ὃν ἐποιήσατο ὁ Πέρσης αὐτῇ, καὶ τὴν ἄλλην ἀγομένην κατασκευήν. Μαρδονίου τε οὐκ ἠθέλησεν ὁ Παυσανίας αἰσχῦναι τὸν νεκρὸν κατὰ τὴν παραίνεσιν τοῦ Αἰγινήτου Λάμπωνος.

V. Πλείσταρχος μὲν οὖν ὁ Λεωνίδου νεωστὶ τὴν βασιλείαν παρειληφὼς ἐτελεύτησε, Πλειστοάναξ δὲ ἔσχε τὴν ἀρχὴν ὁ Παυσανίου τοῦ Πλαταιᾶσιν ἡγησαμένου. 2. Πλειστοάνακτος δὲ ἐγένετο Παυσανίας. οὗτος ἐς τὴν Ἀττικὴν ἀφίκετο ὁ Παυσανίας Θρασυβούλῳ καὶ Ἀθηναίοις πολέμιος τῷ λόγῳ, τοῖς δὲ ἄρχειν ἐπιτραπεῖσιν ὑπὸ Λυσάνδρου καταστησόμενος τὴν τυραννίδα ἐν βεβαίῳ. καὶ μάχῃ μὲν ἐνίκησεν Ἀθηναίων τοὺς ἔχοντας τὸν Πειραιᾶ, μετὰ δὲ τὴν μάχην αὐτίκα οἱ τὸν στρατὸν ἀπάγειν οἴκαδε ἤρεσε, μηδὲ ἀνοσίων ἀνδρῶν τυραννίδα αὔξοντα ἐπισπάσασθαι τῇ Σπάρτῃ τὸ αἴσχιστον ὀνειδῶν.
3. Ὡς δὲ ἐπανῆλθεν ἐξ Ἀθηνῶν μαχεσάμενος ἄπρακτον 2
μάχην, ὑπάγουσιν αὐτὸν ἐς κρίσιν οἱ ἐχθροί. βασιλεῖ δὲ τῷ Λακεδαιμονίων δικαστήριον ἐκάθιζον οἵ τε ὀνομαζόμενοι γέροντες ὀκτὼ καὶ εἴκοσιν ὄντες ἀριθμόν, καὶ ἡ τῶν ἐφόρων ἀρχή, σὺν δὲ αὐτοῖς καὶ ὁ τῆς οἰκίας βασιλεὺς τῆς ἑτέρας. τέσσαρες μὲν δὴ καὶ δέκα τῶν γερόντων, ἐπὶ δὲ αὐτοῖς Ἆγις ὁ τῆς ἑτέρας οἰκίας βασιλεύς, ἀδικεῖν τὸν Παυσανίαν κατέγνωσαν· τὸ δὲ ἄλλο ἀπέγνω
δικαστήριον. 4. Μετὰ δὲ οὐ πολὺν χρόνον Λακεδαιμο- 3
νίων συλλεγόντων ἐπὶ Θήβας στρατιάν, αἰτία δὲ ἥτις ἐγένετο προσέσται τῷ ἐς Ἀγησίλαον λόγῳ, τότε δὲ Λύσανδρος μὲν ἐς τὴν Φωκίδα ἀφικόμενος καὶ ἀναλαβὼν πανδημεὶ τοὺς Φωκέας, οὐδένα ἔτι ἐπισχὼν χρόνον ἔς τε Βοιωτίαν ἐλήλυθε καὶ προσβολὰς ἐποιεῖτο ἐς τὸ Ἁλιαρτίων τεῖχος οὐκ ἐθελόντων ἀπὸ Θηβαίων ἀφίστασθαι. ἐσεληλύθεσαν δὲ ἤδη καὶ Θηβαίων καὶ Ἀθηναίων τινὲς κρύφα ἐς τὴν πόλιν, ὧν ἐπεξελθόντων καὶ πρὸ τοῦ τεί-

χους ταξαμένων ἄλλοι τε ἐνταῦθα Λακεδαιμονίων καὶ
4 Λύσανδρος ἔπεσε. 5. Παυσανίας δὲ ὑστέρησε μὲν τοῦ
ἀγῶνος παρὰ Τεγεατῶν καὶ ἐξ Ἀρκαδίας τῆς ἄλλης
ἀθροίζων δύναμιν· ὡς δὲ ἐς τὴν Βοιωτίαν ἀφίκετο,
ἐπυνθάνετό [τε] τήν τε ἧτταν τῶν ὁμοῦ Λυσάνδρῳ καὶ
αὐτοῦ Λυσάνδρου τὴν τελευτήν, ἐπῆγε δὲ ὅμως ἐπὶ τὰς
Θήβας τὸν στρατὸν καὶ διενοεῖτο ὡς μάχης ἄρξων. ἐν-
ταῦθα οἵ τε Θηβαῖοι [τὰ] ἐναντία ἐτάσσοντο, καὶ Θρασύ-
βουλος ἀπέχειν οὐ πολὺ ἀπηγγέλλετο ἄγων τοὺς Ἀθη-
ναίους· ἀνέμενε δὲ ἄρξαι Λακεδαιμονίους μάχης, ἄρ-
ξασι δὲ αὐτὸς ἤδη κατὰ νώτου σφίσιν ἔμελλεν ἐπικείσε-
5 σθαι. ἔδεισεν οὖν ὁ Παυσανίας διπλοῦ στρατιωτικοῦ
πολεμίων ἀνδρῶν μεταξὺ ἀποληφθῆναι, καὶ οὕτω σπον-
δάς τε πρὸς τοὺς Θηβαίους ἐποιήσατο, καὶ τοὺς ὑπὸ τῷ
Ἁλιαρτίων τείχει πεσόντας ἀνείλετο. τοῦτο Λακεδαιμο-
νίοις μὲν ἐγένετο οὐ κατὰ γνώμην, ἐγὼ δὲ ἐπαινῶ τῶνδε
ἕνεκα τὸ βούλευμα· ἅτε γὰρ εὖ εἰδὼς ὁ Παυσανίας ὡς τὰ
σφάλματα ἀεὶ Λακεδαιμονίοις γίνονται ἐν μέσῳ πολε- 216
μίων ἀποληφθεῖσι, τό τε ἐν Θερμοπύλαις καὶ ἐν τῇ
Σφακτηρίᾳ νήσῳ δεῖμα ἐποιήσατο μή σφισι καὶ αὐτὸς
6 τρίτου γένηται κακοῦ πρόφασις. 6. Τότε δὲ ἐν αἰτίᾳ
ποιουμένων τῶν πολιτῶν τὴν βραδυτῆτα αὐτοῦ τὴν ἐς
Βοιωτίαν οὐχ ὑπέμεινεν ἐσελθεῖν ἐς δικαστήριον, Τε-
γεᾶται δὲ αὐτὸν τῆς Ἀθηνᾶς ἱκέτην ἐδέξαντο τῆς Ἀλέας.
ἦν δὲ ἄρα τὸ ἱερὸν τοῦτο ἐκ παλαιοῦ Πελοποννησίοις
πᾶσιν αἰδέσιμον, καὶ τοῖς αὐτόθι ἱκετεύουσιν ἀσφάλειαν
μάλιστα παρείχετο· ἐδήλωσαν δὲ οἵ τε Λακεδαιμόνιοι
τὸν Παυσανίαν καὶ ἔτι πρότερον τούτου Λεωτυχίδην,
καὶ Ἀργεῖοι Χρυσίδα, καθεζομένους ἐνταῦθα ἱκέτας,
7 οὐδὲ ἀρχὴν ἐξαιτῆσαι θελήσαντες. 7. Παυσανίου δὲ
φυγόντος οἱ μὲν παῖδες Ἀγησίπολις καὶ Κλεόμβροτος
νέοι παντάπασιν ἔτι ἦσαν, Ἀριστόδημος δὲ ἐπετρόπευεν

αὐτοὺς γένους ἐγγύτατα ὤν· καὶ τὸ ἐν Κορίνθῳ Λακεδαιμονίων κατόρθωμα Ἀριστοδήμου σφίσιν ἐγένετο ἡγουμένου. 8. Ἀγησίπολις δὲ ἐπεὶ τὴν βασιλείαν ἔσχεν 8
αὐξηθείς, Πελοποννησίων πρώτοις ἐπολέμησεν Ἀργείοις. ὡς δὲ ἐκ τῆς Τεγεατῶν ἐς τὴν Ἀργολίδα ἤγαγε τὸν στρατόν, πέμπουσι κήρυκα οἱ Ἀργεῖοι σπεισόμενον πρὸς Ἀγησίπολίν σφισι πατρῴους δή τινας σπονδὰς ἐκ παλαιοῦ καθεστώσας τοῖς Δωριεῦσι πρὸς ἀλλήλους. ὁ δὲ οὔτε τῷ κήρυκι ἐσπείσατο καὶ προϊὼν ὁμοῦ τῇ στρατιᾷ τὴν γῆν ἔφθειρεν. ἔσεισέ τε δὴ ὁ θεός, καὶ ὁ Ἀγησίπολις οὐδ' οὕτω τὴν δύναμιν ἀπάξειν ἔμελλεν· καίτοι Λακεδαιμονίοις μάλιστα Ἑλλήνων [ὡσαύτως δὲ καὶ Ἀθηναίοις,] δεῖμα αἱ διοσημεῖαι παρείχοντο. καὶ ὁ μὲν 9
217 ὑπὸ τὸ τεῖχος κατεστρατοπεδεύετο ἤδη τὸ Ἀργείων, καὶ οὐ παρίει σείων ὁ θεός, καί τινες καὶ ἀπώλοντο τῶν στρατιωτῶν κεραυνωθέντες, τοὺς δὲ καὶ ἔκφρονας ἐποίησαν αἱ βρονταί. οὕτω μὲν δὴ ἐκ τῆς Ἀργολίδος ἀνέζευξεν ἄκων, 9. ἐπὶ δὲ Ὀλυνθίους ἐποιεῖτο αὖθις στρατείαν. κρατοῦντα δὲ αὐτὸν τῷ πολέμῳ, καὶ ᾑρηκότα τῶν τε ἄλλων πόλεων τῶν ἐν Χαλκιδεῦσι τὰς πολλὰς καὶ αὐτὴν ἐλπίζοντα αἱρήσειν τὴν Ὄλυνθον, νόσος τε ἐξαίφνης καὶ θάνατος ἐπέλαβεν ἀπ' αὐτῆς.

VI. Ἀγησιπόλιδος δὲ ἄπαιδος τελευτήσαντος ἐς Κλεόμβροτον περιῆλθεν ἡ ἀρχή, καὶ ὑπὸ ἡγεμόνι τούτῳ Βοιωτῶν ἐναντία ἠγωνίσαντο ἐν Λεύκτροις. Κλεόμβροτος δὲ αὐτὸς γενόμενος ἀνὴρ ἀγαθὸς ἀρχομένης ἔτι ἔπεσε τῆς μάχης. μάλιστα δέ πως ἐπὶ πταίσμασιν ἐθέλει μεγάλοις προαφαιρεῖσθαι τὸν ἡγεμόνα ὁ δαίμων, καθὰ δὴ καὶ Ἀθηναίων ἀπῆγεν Ἱπποκράτην τε τὸν Ἀρίφρονος στρατηγοῦντα ἐπὶ Δηλίῳ καὶ ὕστερον ἐν Θεσσαλίᾳ Λεωσθένην.

Κλεομβρότου δὲ ὁ μὲν πρεσβύτερος τῶν παίδων 2

Ἀγησίπολις παρέσχετο μέγα οὐδὲν ἐς μνήμην, Κλεομέ-
νης δὲ ὁ νεώτερος μετὰ τὸν ἀδελφὸν τελευτήσαντα ἔσχε
τὴν ἀρχήν. γενομένων δὲ αὐτῷ παίδων Ἀκροτάτου καὶ
ἐπ' αὐτῷ Κλεωνύμου, κατήγαγε τὸ χρεὼν Ἀκρότατον ἔτι
πρότερον ἢ αὐτὸν Κλεομένην, 2. καὶ ὡς Κλεομένης ἀπέ-
θανεν ὕστερον, ἐς ἀντιλογίαν ἀφίκοντο ὑπὲρ τῆς βασι-
λείας Κλεώνυμός τε ὁ Κλεομένους καὶ Ἀρεὺς ὁ Ἀκροτά-
του. δικάζουσιν οὖν οἱ γέροντες Ἀρεῖ τῷ Ἀκροτάτου καὶ
3 οὐχὶ Κλεωνύμῳ πατρῴαν εἶναι τὴν τιμήν. Κλεωνύμῳ
δὲ ἀπελαθέντι τῆς βασιλείας περισσῶς δή τι ὁ θυμὸς
εἷλε, καὶ αὐτὸν οἱ ἔφοροι καὶ ἄλλοις γέρασι ψυχαγω-
γοῦντες καὶ ἐπὶ ταῖς δυνάμεσιν ἐφιστάντες ἄρχοντα παρ- 21
ῆγον μή ποτε πολέμιον γενέσθαι τῇ Σπάρτῃ. τέλος δὲ
ὁ μὲν πολλά τε καὶ ἐχθρὰ ἐς τὴν πατρίδα ἐτόλμησε, καὶ
Πύρρον τὸν Αἰακίδου σφίσιν ἐπηγάγετο ἐς χώραν·
4 3. Ἀρέως δὲ ἐν Σπάρτῃ τοῦ Ἀκροτάτου βασιλεύον-
τος Ἀντίγονος ὁ Δημητρίου πεζῷ τε καὶ ναυσὶν ἐπὶ Ἀθή-
νας στρατεύει. τοῖς δὲ Ἀθηναίοις ἀμυνοῦντες ἀφίκοντο
μὲν ὁ Αἰγυπτίων ὁμοῦ Πατρόκλῳ στόλος, ἐξίασι δὲ καὶ οἱ
Λακεδαιμόνιοι πανδημεί, τὸν βασιλέα ἡγεῖσθαί σφισιν
5 Ἀρέα ἐπιτάξαντες. περικαθημένου δὲ Ἀντιγόνου τὰς
Ἀθήνας καὶ τῆς ἐσόδου τῆς ἐς τὴν πόλιν τὰ Ἀθηναίων
συμμαχικὰ εἴργοντος, Πάτροκλος ἀποστέλλων ἀγγέλους
προέτρεπε Λακεδαιμονίους καὶ Ἀρέα ἄρχειν πρὸς Ἀντί-
γονον μάχης, ἐκείνων δὲ ἀρξάντων, οὕτω καὶ αὐτὸς κατὰ
νώτου τοῖς Μακεδόσιν ἔφασκεν ἐπικείσεσθαι· πρότερον
δὲ οὐκ εἰκὸς εἶναι σφᾶς Αἰγυπτίους τε ὄντας καὶ ναύτας
Μακεδόσιν ἐπιέναι πεζῇ. Λακεδαιμόνιοι μὲν δὴ παρα-
κινδυνεύειν ὥρμηντο Ἀθηναίων τε εὐνοίᾳ καί τι καὶ
ἄξιον μνήμης ἐς τοὺς ἔπειτα ἐργάσασθαι προθυμούμε-
6 νοι· Ἀρεὺς δέ, ὥς σφισι τὰ ἐπιτήδεια ἐξανήλωτο, ἀπῆ-
γεν ὀπίσω τὴν στρατιάν. ταμιεύεσθαι γὰρ τὴν ἀπόνοιαν

ἐς τὰ οἰκεῖα ἠξίου, καὶ μὴ ἀφειδῶς ἐπ' ἀλλοτρίοις ἀναρ-
ρῖψαι. τοῖς δὲ Ἀθηναίοις ἀντισχοῦσιν ἐπὶ μακρότατον
ἐποιήσατο Ἀντίγονος εἰρήνην, ἐφ' ᾧ τέ σφισιν ἐπαγάγῃ
φρουρὰν ἐς τὸ Μουσεῖον. καὶ τοῖς μὲν ἀνὰ χρόνον αὐτὸς
ἐξήγαγεν ἑκουσίως τὴν φρουρὰν ὁ Ἀντίγονος, Ἀρέως
δὲ ἐγένετο υἱὸς Ἀκρότατος, τοῦ δὲ Ἀρεύς, ὃς ὀκτὼ μάλι-
στα ἔτη γεγονὼς τελευτᾷ νόσῳ. 4. Καί, ἐλείπετο γὰρ τῆς 7
Εὐρυσθένους οἰκίας γένος τὸ πρὸς ἀνδρῶν Λεωνίδας ὁ
Κλεωνύμου, παντάπασιν ἤδη γέρων, τούτῳ διδόασιν οἱ
Λακεδαιμόνιοι τὴν ἀρχήν. τῷ δὲ Λεωνίδᾳ διάφορος
ἐτύγχανεν ὢν ἐς τὰ μάλιστα Λύσανδρος, ἀπόγονος Λυ-
σάνδρου τοῦ Ἀριστοκρίτου. οὗτος προσποιεῖται Κλεόμ-
βροτον θυγατέρα ἔχοντα Λεωνίδου· τοῦτον δὲ οἰκειωσά-
219 μενος ἐπῆγε Λεωνίδᾳ καὶ ἄλλα ἐγκλήματα καὶ ὅρκους
αὐτὸν Κλεωνύμῳ τῷ πατρὶ ὀμόσαι παῖδα ὄντα ἐπὶ ὀλέ-
θρῳ τῆς Σπάρτης. ἐπαύθη τε δὴ Λεωνίδας βασιλείας, 8
καὶ ἀντ' αὐτοῦ Κλεόμβροτος ἔσχε τὴν τιμήν. εἰ μὲν δὴ ὁ
Λεωνίδας ἐπέτρεψε τῷ θυμῷ καὶ Δημαράτῳ τῷ Ἀρίστω-
νος κατὰ ταὐτὰ ἀπεχώρησεν ἤτοι παρὰ τὸν ἐν Μακεδονίᾳ
βασιλεύοντα ἢ τὸν Αἰγύπτιον, ὁ δὲ καὶ μεταγνόντων ἂν
Σπαρτιατῶν ὤνατο οὐδέν. νῦν δὲ ἐπιβαλόντων οἱ φυ-
γὴν τῶν πολιτῶν ἀφίκετο ἐς Ἀρκαδίαν· ἐκεῖθεν δὲ ἔτε-
σιν ὕστερον οὐ πολλοῖς κατάγουσί τε αὐτὸν Λακεδαιμό-
νιοι καὶ αὖθις βασιλέα ἐποιήσαντο. 5. Κλεομένει δὲ τῷ 9
Λεωνίδου τά τε ἄλλα ὁποῖα ἐς τόλμαν ὁμοῦ καὶ ἀνδρείαν
ὑπῆρξε, καὶ ὡς ἐπαύσαντο ἐξ ἐκείνου Σπαρτιᾶται βασι-
λευόμενοι, πρότερον ἔτι ἐδήλωσέ μοι τὰ ἐς τὸν Σικυώ-
νιον Ἄρατον. προσεπελάβετο δὲ ὁ λόγος μοι καὶ τρόπον
ὅντινα ἐν Αἰγύπτῳ Κλεομένης ἐτελεύτησε.

**VII.** Γένους μὲν δὴ τοῦ Εὐρυσθένους, καλουμένων
δὲ Ἀγιαδῶν, Κλεομένης ὁ Λεωνίδου βασιλεὺς ὕστατος
ἐγένετο ἐν Σπάρτῃ· τὰ δὲ ἐς τὴν οἰκίαν τὴν ἑτέραν τοιάδε

ἤκουσα εἶναι. Προκλῆς ὁ Ἀριστοδήμου τῷ παιδὶ ὄνομα τίθεται Σόον. Εὐρυπῶντα δὲ τὸν Σόου φασὶν ἐς τοσοῦτον ἀφικέσθαι δόξης ὡς καὶ τὴν οἰκίαν ταύτην Εὐρυπωντίδας ὄνομα ἀπ' αὐτοῦ λαβεῖν, Προκλείδας ἐς ἐκεῖ-
2 νον καλουμένους. 2. Εὐρυπῶντος δὲ υἱὸς γίνεται Πρύτανις. ἐπὶ μὲν δὴ Πρυτάνιδος τοῦ Εὐρυπῶντος τὸ ἔχθος τε Λακεδαιμονίοις ἤρξατο τὸ ἐς Ἀργείους, καὶ ἔτι τοῦ ἐγκλήματος τούτου πρότερον Κυνουρεῦσιν ἐπολέμησαν· τὰς δὲ ἐφεξῆς ταύτῃ γενεάς, Εὐνόμου τε τοῦ Πρυτάνιδος καὶ Πολυδέκτου τοῦ Εὐνόμου βασιλευόντων, ἐν εἰρήνῃ
3 διετέλεσεν οὖσα ἡ Σπάρτη. 3. Χάριλλος δὲ ὁ Πολυδέκτου τήν τε γῆν ἐδῄωσεν Ἀργείοις, οὗτος γὰρ καὶ ὁ ἐς τὴν Ἀργολίδα ἐσβαλών, καὶ ἔτεσιν οὐ πολλοῖς ὕστερον ὑπὸ ἡγεμόνι Χαρίλλῳ γίνεται καὶ ἡ Σπαρτιατῶν ἐπὶ Τεγεάτας ἔξοδος, ὅτε οἱ Λακεδαιμόνιοι Τεγεάτας αἱρήσειν 220
ἤλπισαν καὶ ἀποτεμεῖσθαι τῆς Ἀρκαδίας τὸ Τεγεατῶν
4 πεδίον, ὑπούλῳ μαντεύματι ἐπελθόντες. 4. μετὰ δὲ Χάριλλον τελευτήσαντα Νίκανδρος ὁ Χαρίλλου διαδέχεται τὴν ἀρχήν· καὶ τὰ Μεσσηνίων ἐς Τήλεκλον τὸν τῆς ἑτέρας βασιλέα οἰκίας ἐν τῷ ἱερῷ τῆς Λιμνάδος συμβάντα ἐπὶ Νικάνδρου γίνεται βασιλεύοντος. ἐσέβαλε δὲ καὶ ἐς τὴν Ἀργολίδα ὁ Νίκανδρος στρατιᾷ, καὶ τὰ πολλὰ ἐκάκωσε τῆς χώρας. μετασχόντες δὲ Ἀσιναῖοι Λακεδαιμονίοις τοῦ ἔργου δίκην μετ' οὐ πολὺ Ἀργείοις ἀπέδοσαν σὺν με-
5 γάλῳ πατρίδος τε ὀλέθρῳ καὶ φυγῇ τῇ σφετέρᾳ. 5. Θεόπομπον δὲ τὸν Νικάνδρου, βασιλεύσαντα μετὰ Νίκανδρον, μέλλει καὶ αὖθις ὁ λόγος μοι προσθήσειν προελθόντι ἐς τὴν Μεσσηνίαν συγγραφήν. Θεοπόμπου δὲ ἔτι ἔχοντος τὴν ἀρχὴν ἐν Σπάρτῃ γίνεται καὶ ὁ περὶ τῆς Θυρεάτιδος καλουμένης χώρας Λακεδαιμονίοις ἀγὼν πρὸς Ἀργείους. Θεόπομπος δὲ αὐτὸς οὐ μετέσχε τοῦ ἔργου γήρᾳ καὶ ὑπὸ λύπης τὸ πλέον· Ἀρχίδαμον γὰρ Θεοπόμ-

που ζῶντος ἔτι ἐπιλαμβάνει τὸ χρεών. οὐ μὴν ἄπαις ἐτε- 6
λεύτησεν ὁ Ἀρχίδαμος, Ζευξίδαμον δὲ ἀπολιπὼν υἱόν.
Ζευξιδάμου δὲ Ἀναξίδαμος ὁ παῖς ἐκδέχεται τὴν ἀρχήν·
6. ἐπὶ τούτου Μεσσήνιοι φεύγουσιν ἐκ Πελοποννήσου,
πολέμῳ τὸ δεύτερον κρατηθέντες ὑπὸ Σπαρτιατῶν.
Ἀναξιδάμου δὲ υἱὸς ἐγένετο Ἀρχίδαμος, Ἀρχιδάμου δὲ
Ἀγησικλῆς· καί σφισιν ὑπῆρξεν ἀμφοτέροις τὸν βίον
διατελέσαι πάντα ἐν ἡσυχίᾳ καὶ πολέμων οὖσιν ἐκτός.
7. Ἀρίστωνι δὲ τῷ Ἀγησικλέους ἀγαγομένῳ γυναῖκα ἥν- 7
τινα παρθένων μὲν τῶν ἐν Λακεδαίμονι εἶναί φασιν αἰ-
σχίστην, γυναικῶν δὲ τὸ εἶδος καλλίστην ὑπὸ Ἑλένης γε-
221 νέσθαι, ταύτην ἀγαγομένῳ τῷ Ἀρίστωνι ἐγένετο υἱὸς
Δημάρατος ἐν μόνοις μησὶν ἑπτά. καὶ αὐτῷ μετὰ τῶν
ἐφόρων καθημένῳ τηνικαῦτα ἐν βουλῇ ἦλθεν οἰκέτης
ἀπαγγέλλων τετέχθαι οἱ παῖδα. Ἀρίστων δὲ ἐπῶν τῶν
ἐν Ἰλιάδι ἐς τὴν Εὐρυσθέως γένεσιν πεποιημένος λήθην,
ἢ μηδὲ ἀρχὴν συνεὶς αὐτῶν, οὐκ ἔφη τῶν μηνῶν ἕνεκα
αὐτοῦ τὸν παῖδα εἶναι. τοῦτον μὲν δὴ τῶν εἰρημένων 8
μετάνοια ἔλαβεν ὕστερον· Δημάρατον δὲ βασιλεύοντα
καὶ τά τε ἄλλα εὐδοκιμοῦντα ἐν Σπάρτῃ καὶ ἀπὸ τῶν
Πεισιστρατιδῶν Κλεομένει συνελευθερώσαντα Ἀθη-
ναίους, ἥ τε Ἀρίστωνος ἀγνωμοσύνη καὶ τὸ ἔχθος τὸ
Κλεομένους ἐποίησεν ἰδιώτην. καὶ τοῦ μὲν παρὰ βασιλέα
Δαρεῖον ἐλθόντος ἐς Πέρσας ἐπὶ πολὺν ἐν τῇ Ἀσίᾳ χρό-
νον διαμεῖναι τοὺς ἀπογόνους φασί· 8. Λεωτυχίδης δὲ 9
ἀντὶ Δημαράτου γενόμενος βασιλεὺς μετέσχε μὲν Ἀθη-
ναίοις καὶ Ἀθηναίων τῷ στρατηγῷ Ξανθίππῳ τῷ Ἀρί-
φρονος τοῦ ἔργου τοῦ πρὸς Μυκάλῃ, ἐστράτευσε δὲ
ὕστερον τούτων καὶ ἐπὶ τοὺς Ἀλευάδας ἐς Θεσσαλίαν.
καί οἱ καταστρέψασθαι Θεσσαλίαν πᾶσαν ἐξὸν ὅτε ἀεὶ νι-
κῶντι ἐν ταῖς μάχαις, δῶρα ἔλαβε παρὰ τῶν Ἀλευαδῶν.
ὑπαγόμενος δὲ ἐν Λακεδαίμονι ἐς δίκην ἔφυγεν ἐθελον- 10

τῆς ἐς Τεγέαν. καὶ ὁ μὲν αὐτόθι τὴν Ἀθηνᾶν τὴν Ἀλέαν
ἱκέτευε, Λεωτυχίδου δὲ ὁ μὲν παῖς Ζευξίδαμος ζῶντος
ἔτι Λεωτυχίδου καὶ οὐ πεφευγότος πω τελευτᾷ νόσῳ,
9. Ἀρχίδαμος δὲ ὁ Ζευξιδάμου μετὰ Λεωτυχίδην ἀπελ-
θόντα ἐς Τεγέαν ἔσχε τὴν ἀρχήν. οὗτος Ἀρχίδαμος Ἀθη-
ναίοις μάλιστα ἐκάκωσε τὴν χώραν, στρατῷ τε ἐσβάλλων
ἐς γῆν τὴν Ἀττικὴν ἀνὰ πᾶν ἔτος, καὶ ὁπότε ἐσβάλοι, διὰ
πάσης ἐπεξῄει φθείρων, καὶ Πλαταιέων Ἀθηναίοις ὄντων 222
11 εὔνων πολιορκίᾳ τὸ ἄστυ εἷλεν. οὐ μὴν τὸν πόλεμόν γε
τὸν Πελοποννησίων καὶ Ἀθηναίων γενέσθαι συνέσπευ-
σεν, ἀλλὰ καὶ ἐς ὅσον δυνάμεως ἧκε, διαμεῖναί σφισιν
ἔπρασσε τὰς σπονδάς. 10. Σθενελαΐδας δὲ ἔς τε ἄλλα
ὧν οὐκ ἀδύνατος ἐν Λακεδαίμονι καὶ ἐφορεύων ἐν τῷ
τότε τοῦ πολέμου μάλιστα ἐγένετο αἴτιος. καὶ ὁ πόλεμος
οὗτος εὖ τὴν Ἑλλάδα ἔτι βεβηκυῖαν διέσεισεν ἐκ βά-
θρων, καὶ ὕστερον Φίλιππος ὁ Ἀμύντου σαθρὰν ἤδη καὶ
οὐ παντάπασιν ὑγιῆ προσκατήρειψεν αὐτήν.

VIII. Ἀρχιδάμου δέ, ὡς ἐτελεύτα, καταλιπόντος
παῖδας Ἆγίς τε πρεσβύτερος ἦν ἡλικίᾳ καὶ παρέλαβεν
ἀντὶ Ἀγησιλάου τὴν ἀρχήν. ἐγένετο δὲ Ἀρχιδάμῳ καὶ
θυγάτηρ, ὄνομα μὲν Κυνίσκα, φιλοτιμότατα δὲ ἐς τὸν
ἀγῶνα ἔσχε τὸν Ὀλυμπικόν, καὶ πρώτη τε ἱπποτρόφησε
γυναικῶν καὶ νίκην ἀνείλετο Ὀλυμπικὴν πρώτη. Κυ-
νίσκας δὲ ὕστερον γυναιξὶ καὶ ἄλλαις καὶ μάλιστα ταῖς ἐκ
Λακεδαίμονος γεγόνασιν Ὀλυμπικαὶ νῖκαι, ὧν ἐπιφανε-
2 στέρα ἐς τὰς νίκας οὐδεμία ἐστὶν αὐτῆς. δοκοῦσι δὲ οἱ
Σπαρτιᾶταί μοι ποίησιν καὶ ἔπαινον τὸν ἀπ' αὐτῆς ἥκι-
στα ἀνθρώπων θαυμάσαι. ὅτι γὰρ μὴ τῇ Κυνίσκᾳ τὸ ἐπί-
γραμμα ἐποίησεν ὅστις δή, καὶ ἔτι πρότερον Παυσανίᾳ
τὸ ἐπὶ τῷ τρίποδι Σιμωνίδης τῷ ἀνατεθέντι ἐς Δελφούς,
ἄλλο [δέ] γε παρὰ ἀνδρὸς ποιητοῦ Λακεδαιμονίων τοῖς
3 βασιλεῦσιν οὐδέν ἐστιν ἐς μνήμην. 2. Ἐπὶ δὲ Ἄγιδος τοῦ

Ἀρχιδάμου βασιλεύοντος Λακεδαιμονίοις ἄλλα τε ἐγέ-
νετο ἐς Ἠλείους ἐγκλήματα, καὶ τοῦ ἀγῶνος τοῦ Ὀλυμ-
πικοῦ καὶ ἱεροῦ τοῦ Ὀλυμπίασιν ὑπ' αὐτῶν εἰργόμε-
223 νοι μάλιστα ἤχθοντο. ἀποστέλλουσιν οὖν κήρυκα ἐπί-
ταγμα φέροντα Ἠλείοις Λεπρεάτας τε αὐτονόμους ἀφιέ-
ναι καὶ ὅσοι τῶν περιοίκων ἄλλοι σφίσιν ἦσαν ὑπήκοοι.
ἀποκριναμένων δὲ Ἠλείων ὡς ἐπειδὰν τὰς περιοικίδας
τῆς Σπάρτης πόλεις ἴδωσιν ἐλευθέρας, οὐδὲ αὐτοὶ μελλή-
σουσιν ἔτι ἀφιέναι τὰς ἑαυτῶν, οὕτω Λακεδαιμόνιοι καὶ
ὁ βασιλεὺς Ἆγις ἐσβάλλουσιν ἐς τὴν Ἠλείαν. τότε μὲν 4
δὴ τοῦ θεοῦ σείσαντος ὀπίσω τὸ στράτευμα ἀπεχώρησεν
ἄχρι Ὀλυμπίας καὶ τοῦ Ἀλφειοῦ προελθόντες· τῷ δὲ
ἐφεξῆς ἔτει τήν τε χώραν ἐδῄωσεν ὁ Ἆγις καὶ ἤλασε τῆς
λείας τὴν πολλήν. Ξενίας δὲ ἀνὴρ Ἠλεῖος Ἄγιδί τε ἰδίᾳ
ξένος καὶ Λακεδαιμονίων τοῦ κοινοῦ πρόξενος ἐπανέστη
τῷ δήμῳ σὺν τοῖς τὰ χρήματα ἔχουσι· πρὶν δὲ Ἆγιν καὶ
τὸν στρατὸν ἀφῖχθαί σφισιν ἀμύνοντας, Θρασυδαῖος
προεστηκὼς τότε τοῦ Ἠλείων δήμου μάχῃ Ξενίαν καὶ
τοὺς σὺν αὐτῷ κρατήσας ἐξέβαλεν ἐκ τῆς πόλεως. Ἆγις 5
δὲ ὡς ἀπήγαγεν ὀπίσω τὴν στρατιάν, Λυσίστρατον
Σπαρτιάτην καὶ μοῖράν τε τῆς δυνάμεως καὶ Ἠλείων κα-
ταλείπει τοὺς φυγάδας κακουργεῖν σφᾶς ὁμοῦ Λεπρεά-
ταις τὴν χώραν. τρίτῳ δὲ ἔτει τοῦ πολέμου Λακεδαιμό-
νιοι μὲν καὶ Ἆγις παρεσκευάζοντο ὡς ἐς τὴν Ἠλείαν καὶ
τότε ἐσβαλοῦντες· οἱ δὲ Ἠλεῖοι καὶ Θρασυδαῖος, κεκα-
κωμένοι γὰρ ἐς τὸ ἔσχατον ἦσαν, συγχωροῦσι μήτε τῶν
περιοίκων ἔτι ἄρχειν καὶ τοῦ ἄστεως κατερεῖψαι τὸ τεῖ-
χος, Λακεδαιμονίους τε ἐν Ὀλυμπίᾳ καὶ θύειν τῷ θεῷ
καὶ τὸν ἀγῶνα ἐξεῖναί σφισιν ἀγωνίζεσθαι. 3. Ἐνέβαλλε 6
δὲ καὶ ἐς τὴν Ἀττικὴν συνεχῶς ὁ Ἆγις στρατιᾷ, καὶ ἐπε-
τείχισε φρούριον Ἀθηναίοις τὸ ἐν Δεκελείᾳ· καταλυ-
θέντος δὲ ἐν Αἰγὸς ποταμοῖς τοῦ Ἀθηναίων ναυτικοῦ

Λύσανδρος ὁ Ἀριστοκρίτου καὶ Ἆγις ὅρκους μὲν θεῶν 224 ὑπερέβησαν, οὓς ὤμοσαν Ἀθηναίοις ἐν κοινῷ Λακεδαιμόνιοι, κατὰ σφᾶς δὲ αὐτοὶ καὶ οὐ μετὰ Σπαρτιατῶν τοῦ κοινοῦ τὸ βούλευμα ἐς τοὺς συμμάχους ἐξήνεγκαν ἐκ-
7 κόψαι προρρίζους τὰς Ἀθήνας. τὰ μὲν οὖν ἐς πόλεμον μάλιστα ἐπίσημα τοιαῦτα ὑπῆρχε τῷ Ἄγιδι· 4. προπέτειαν δὲ τὴν Ἀρίστωνος ἐς Δημάρατον καὶ Ἆγις ἐς τὸν παῖδα ἔσχε Λεωτυχίδην, καί οἱ κατά τινα οὐκ ἀγαθὸν δαίμονα ἐσῆλθεν ἐς ἐπήκοον τῶν ἐφόρων εἰπεῖν ὥς οὐχ αὑτοῦ νομίζοι Λεωτυχίδην. ἐπέλαβε μέντοι καὶ Ἆγιν μετάνοια ὕστερον, καί, ἔφερον γὰρ τηνικαῦτα οἴκαδε ἐξ Ἀρκαδίας αὐτὸν νοσοῦντα, ὡς ἐγίνετο ἐν Ἡραίᾳ, καὶ τὸ πλῆθος μάρτυρας ἐποιεῖτο ἦ μὴν Λεωτυχίδην ἑαυτοῦ παῖδα ἡγεῖσθαι, καί σφισι σὺν ἱκεσίᾳ τε καὶ δακρύοις ἐπέσκηπτε πρὸς Λακεδαιμονίους ταῦτα ἀπαγγέλλειν.
8 5. Μετὰ δὲ Ἆγιν ἀποθανόντα ἀπήλαυνεν Ἀγησίλαος τῆς βασιλείας Λεωτυχίδην ἐς μνήμην ἄγων Λακεδαιμονίοις τὰ ὑπὸ Ἄγιδός ποτε λεχθέντα ἐς τὸν Λεωτυχίδην. ἀφίκοντο δὲ καὶ οἱ ἐξ Ἡραίας Ἀρκάδες, καὶ ἦσαν τῷ Λεωτυχίδῃ μάρτυρες ὁπόσα Ἄγιδος τελευτῶντος ἤκουσαν.
9 τῷ δὲ Ἀγησιλάῳ καὶ Λεωτυχίδῃ παρέσχεν ἐς πλέον τὸ μάντευμα ἀντιλογίαν τὸ ἐκ Δελφῶν, γεγονὸς μὲν ἐκεῖ, ἔχον δὲ οὕτω·

φράζεο δή, Σπάρτη, καίπερ μεγαλαυχος ἐοῦσα,
μὴ σέθεν ἀρτίποδος βλάστῃ χωλὴ βασιλεία.
δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι
φθερσίβροτόν τ' ἐπὶ κῦμα κυκωομένου πολέμοιο.

10 τότε οὖν Λεωτυχίδης μὲν ἐς Ἀγησίλαον ταῦτα ἔφασκεν 225 εἰρῆσθαι, τὸν γὰρ δὴ ἕτερον τῶν ποδῶν ἐπεπήρωτο ὁ Ἀγησίλαος, Ἀγησίλαος δὲ ἐς Λεωτυχίδην αὐτὰ ἔτρεπεν οὐ γνήσιον ὄντα Ἄγιδος. Λακεδαιμόνιοι δέ, καίπερ ἐπὶ σφίσιν ὄν, οὐκ ἐπανήγαγον τὸ ἀμφισβήτημα ἐς Δελ-

φούς· αἴτιος δ᾽ ἐμοὶ δοκεῖν Λύσανδρος ἐγένετο ὁ Ἀριστο-
κρίτου (Ἀγησιλάῳ) συσπεύδων ἐξ ἅπαντος τὴν βασιλείαν
γενέσθαι.

IX. Βασιλεύει τε δὴ Ἀγησίλαος ὁ Ἀρχιδάμου, καὶ
Λακεδαιμονίοις ἤρεσε διαβῆναι ναυσὶν ἐς τὴν Ἀσίαν
Ἀρταξέρξην τὸν Δαρείου αἱρήσοντας· ἐδιδάσκοντο γὰρ
ὑπό τε ἄλλων τῶν ἐν τέλει καὶ μάλιστα ὑπὸ Λυσάνδρου
μὴ τὸν Ἀρταξέρξην σφίσιν ἐν τῷ πρὸς Ἀθηναίους πο-
λέμῳ, Κῦρον δὲ εἶναι τὸν τὰ χρήματα διδόντα ἐς τὰς
ναῦς. Ἀγησίλαος δέ, ἀπεδείχθη γὰρ διαβιβάσαι τε ἐς
τὴν Ἀσίαν τὸν στρατὸν καὶ δυνάμεως ἡγεμὼν τῆς πεζῆς,
περιέπεμπεν ἔς τε Πελοπόννησον πλὴν Ἄργους καὶ ἐς
τοὺς Ἕλληνας τοὺς ἐκτὸς Ἰσθμοῦ, συμμαχεῖν σφίσιν
ἐπαγγέλλων. Κορίνθιοι μὲν οὖν, καίπερ ἐς τὰ μάλιστα 2
ἔχοντες προθύμως μετασχεῖν τοῦ ἐς τὴν Ἀσίαν στόλου,
κατακαυθέντος σφίσιν ἐξαίφνης ναοῦ Διὸς ἐπίκλησιν
Ὀλυμπίου, ποιησάμενοι πονηρὸν οἰωνὸν καταμένουσιν
ἄκοντες. Ἀθηναίοις δὲ ἦν μὲν ἡ πρόφασις ἐκ τοῦ Πε-
λοποννησίων πολέμου καὶ ἐκ νόσου τῆς λοιμώδους ἐπα-
νήκειν τὴν πόλιν ἐς τὴν πρότερόν ποτε οὖσαν εὐδαιμο-
νίαν· πυνθανόμενοι δὲ δι᾽ ἀγγέλων ὡς Κόνων ὁ Τιμο-
θέου παρὰ βασιλέα ἀναβεβηκὼς εἴη, κατὰ τοῦτο ἡσύχα-
ζον μάλιστα. ἀπεστάλη δὲ καὶ ἐς Θήβας πρεσβεύειν Ἀρι- 3
στομηνίδας, μητρὸς μὲν τῆς Ἀγησιλάου πατήρ, Θηβαίοις
δὲ εἶχεν ἐπιτηδείως καὶ ἐγεγόνει τῶν δικαστῶν οἳ Πλα-
ταιεῦσιν ἁλόντος τοῦ τείχους ἀποθανεῖν τοὺς ἐγκατα-
226 ληφθέντας ἔγνωσαν. Θηβαῖοι μὲν οὖν κατὰ τὰ αὐτὰ
Ἀθηναίοις ἀπείπαντο, οὐ φάμενοι βοηθήσειν· 2. Ἀγη-
σίλαος δέ, ὡς αὐτῷ τά τε οἴκοθεν καὶ παρὰ τῶν συμμά-
χων τὸ στράτευμα ἤθροιστο καὶ ἅμα αἱ νῆες εὐτρεπεῖς
ἦσαν, ἀφίκετο ἐς Αὐλίδα τῇ Ἀρτέμιδι θύσων, ὅτι καὶ
Ἀγαμέμνων ἐνταῦθα ἱλασάμενος τὴν θεὸν τὸν ἐς Τροίαν

4 στόλον ἤγαγεν. ἠξίου δὲ ἄρα ὁ Ἀγησίλαος πόλεώς τε εὐ-
δαιμονεστέρας ἢ Ἀγαμέμνων βασιλεὺς εἶναι, καὶ ἄρχειν
τῆς Ἑλλάδος πάσης ὁμοίως ἐκείνῳ, τό τε κατόρθωμα ἐπι-
φανέστερον ἔσεσθαι, βασιλέα κρατήσαντα Ἀρταξέρξην
εὐδαιμονίαν κτήσασθαι τὴν Περσῶν ἢ ἀρχὴν καθελεῖν
τὴν Πριάμου. θύοντος δὲ αὐτοῦ Θηβαῖοι σὺν ὅπλοις
ἐπελθόντες τῶν τε ἱερείων καιόμενα ἤδη τὰ μηρία ἀπορ-
ρίπτουσιν ἀπὸ τοῦ βωμοῦ καὶ αὐτὸν ἐξελαύνουσιν ἐκ
5 τοῦ ἱεροῦ. Ἀγησίλαον δὲ ἐλύπει μὲν ἡ θυσία μὴ τελε-
σθεῖσα, διέβαινε δὲ ὅμως ἐς τὴν Ἀσίαν καὶ ἤλαυνεν ἐπὶ
τὰς Σάρδεις· 3. ἦν γὰρ δὴ τῆς Ἀσίας τῆς κάτω μέγιστον
μέρος τηνικαῦτα ἡ Λυδία, καὶ αἱ Σάρδεις πλούτῳ καὶ
παρασκευῇ προεῖχον, τῷ τε σατραπεύοντι ἐπὶ θαλάσσῃ
τοῦτο οἰκητήριον ἀπεδέδεικτο καθάπερ γε αὐτῷ βασιλεῖ
6 τὰ Σοῦσα. γενομένης δὲ πρὸς Τισσαφέρνην σατράπην
τῶν περὶ Ἰωνίαν μάχης ἐν Ἕρμου πεδίῳ, τήν τε ἵππον
τὴν Περσῶν ἐνίκησεν ὁ Ἀγησίλαος καὶ τὸ πεζὸν τότε
πλεῖστον ἀθροισθὲν μετά γε τὸν Ξέρξου καὶ πρότερον ἔτι
ἐπὶ Σκύθας Δαρείου καὶ ἐπὶ Ἀθήνας στρατόν. Λακε-
δαιμόνιοι δὲ ἀγασθέντες τὸ ἐς τὰ πράγματα τοῦ Ἀγησι-
λάου πρόθυμον διδόασιν ἄρχοντα εἶναι καὶ τῶν νεῶν
αὐτῷ. ὁ δὲ ταῖς μὲν τριήρεσιν ἐπέστησεν ἡγεμόνα Πεί-
σανδρον, τοῦ Πεισάνδρου δὲ ἐτύγχανε συνοικῶν ἀδελφῇ,
7 τῷ πολέμῳ δὲ αὐτὸς κατὰ γῆν προσεῖχεν ἐρρωμένως. καί
οἱ θεῶν τις ἐβάσκηνε μὴ ἀγαγεῖν τὰ βουλεύματα ἐς τέ- 227
λος. 4. ὡς γὰρ δὴ ἐπύθετο Ἀρταξέρξης μάχας τε ἃς ἐνί-
κησεν Ἀγησίλαος, καὶ ὡς τὸ πρόσω, χειρούμενος τὰ ἐν
ποσί, πρόεισιν ἀεὶ σὺν τῷ στρατῷ, Τισσαφέρνην μὲν καί-
περ τὰ πρότερα εὐεργέτην ὄντα ζημιοῖ θανάτῳ, Τιθραύ-
στην δὲ κατέπεμψεν ἐπὶ θάλασσαν, καὶ φρονῆσαί τε δει-
νὸν καί τι καὶ ἐς τοὺς Λακεδαιμονίους ἔχοντα δυσνοίας.
8 οὗτος ὡς ἀφίκετο ἐς Σάρδεις, αὐτίκα ἐπενόει τρόπον ᾧ

τινὶ ἀναγκάσει Λακεδαιμονίους τὴν ἐκ τῆς Ἀσίας ἀνακα-
λέσασθαι στρατιάν. ἄνδρα οὖν Ῥόδιον Τιμοκράτην ἐς
τὴν Ἑλλάδα πέμπει χρήματα ἄγοντα, ἐντειλάμενος πόλε-
μον ἐν τῇ Ἑλλάδι ἐργάσασθαι Λακεδαιμονίοις. οἱ δὲ τῶν
χρημάτων μεταλαβόντες Ἀργείων μὲν Κύλων τε εἶναι
λέγονται καὶ Σωδάμας, ἐν Θήβαις δὲ Ἀνδροκλείδης καὶ
Ἰσμηνίας καὶ Ἀμφίθεμις· μετέσχε δὲ καὶ Ἀθηναῖος Κέ-
φαλος καὶ Ἐπικράτης, καὶ ὅσοι Κορινθίων ἐφρόνουν τὰ
Ἀργείων, Πολυάνθης τε καὶ Τιμόλαος. οἱ δὲ ἐς τὸ φανε- 9
ρὸν τοῦ πολέμου παρασχόντες τὴν ἀρχὴν ἐγένοντο οἱ ἐξ
Ἀμφίσσης Λοκροί. τοῖς γὰρ δὴ Λοκροῖς γῆ πρὸς τοὺς
Φωκέας ἐτύγχανεν οὖσα ἀμφισβητήσιμος· ἐκ ταύτης ὑπὸ
Θηβαίων ἐπαρθέντες τῶν περὶ Ἰσμηνίαν τόν τε σῖτον
ἀκμάζοντα ἔτεμον καὶ ἤλασαν λείαν ἄγοντες. ἐνέβαλον
δὲ πανδημεὶ καὶ οἱ Φωκεῖς ἐς τὴν Λοκρίδα, καὶ ἐδῄωσαν
τὴν χώραν. ἐπηγάγοντο οὖν οἱ Λοκροὶ συμμάχους Θη- 10
βαίους, καὶ τὴν Φωκίδα ἐπόρθησαν. 5. Ἐς δὲ τὴν Λα-
κεδαίμονα ἐλθόντες οἱ Φωκεῖς τοῖς Θηβαίοις ἐπέκειντο,
καὶ ἐδίδασκον οἷα ἐπεπόνθεσαν ὑπ᾽ αὐτῶν. Λακεδαιμο-
νίοις δὲ πόλεμον πρὸς Θηβαίους ἔδοξεν ἄρασθαι·
ἐποιοῦντο δὲ ἐς αὐτοὺς καὶ ἄλλα ἐγκλήματα καὶ τὴν ἐν
Αὐλίδι αὐτῶν ὕβριν ἐς τὴν Ἀγησιλάου θυσίαν. Ἀθη- 11
228 ναῖοι δὲ τὴν διάνοιαν τῶν Λακεδαιμονίων προπεπυσμέ-
νοι πέμπουσιν ἐς Σπάρτην, ὅπλα μὲν σφᾶς ἐπὶ Θήβας
δεόμενοι μὴ κινῆσαι, δίκῃ δὲ ὑπὲρ ὧν ἐγκαλοῦσι διακρί-
νεσθαι· Λακεδαιμόνιοι δὲ πρὸς ὀργὴν ἀποπέμπουσι τὴν
πρεσβείαν. τὰ δὲ ἐπὶ τούτοις ἔς τε τὴν Λακεδαιμονίων
ἔξοδον καὶ τὰ ἐς τὴν Λυσάνδρου τελευτὴν ἐδήλωσέ μοι
τοῦ λόγου τὰ ἐς Παυσανίαν. 6. καὶ ὁ κληθεὶς Κορινθια- 12
κὸς πόλεμος ἐς πλέον ἀεὶ προῆλθεν ἀπὸ τῆς Λακεδαιμο-
νίων ἀρξάμενος ἐς Βοιωτίαν ἐξόδου. κατὰ ταύτην μὲν δὴ
τὴν ἀνάγκην ὀπίσω τὸ στράτευμα ἐκ τῆς Ἀσίας ἀπῆγεν

Ἀγησίλαος. ἐπεὶ δὲ ἐξ Ἀβύδου περαιωθεὶς ναυσὶν ἐς Σηστὸν καὶ διεξελθὼν τὴν Θρᾴκην ἀφίκετο ἐς Θεσσαλίαν, ἐνταῦθα οἱ Θεσσαλοὶ χάριτι τῇ ἐς Θηβαίους τοῦ πρόσω τὸν Ἀγησίλαον ἐπειρῶντο εἴργειν· ἦν δέ τι εὐνοίας ἐκ
13 παλαιοῦ καὶ ἐς τὴν πόλιν αὐτοῖς τὴν Ἀθηναίων. 7. Ἀγησίλαος δὲ Θεσσαλίαν τε διεξῆλθε τρεψάμενος αὐτῶν τὸ ἱππικόν, καὶ αὖθις διὰ Βοιωτῶν διώδευσε Θηβαίους ἐν Κορωνείᾳ καὶ τὸ ἄλλο νικήσας συμμαχικόν. ὡς δὲ ἐτράποντο οἱ Βοιωτοί, καταφεύγουσιν ἄνδρες ἐξ αὐτῶν ἐς ἱερὸν Ἀθηνᾶς ἐπίκλησιν Ἰτωνίας· Ἀγησίλαος δὲ εἶχε μὲν τραῦμα ἐκ τῆς μάχης, ἐς δὲ τοὺς ἱκέτας παρενόμησεν οὐδ' οὕτως.

X. Οὐ πολλῷ δὲ ὕστερον τὸν ἀγῶνα ἔθηκαν τῶν Ἰσθμίων οἱ ἐπὶ λακωνισμῷ φεύγοντες Κορίνθιοι. οἱ δὲ ἐν τῇ πόλει τότε μὲν τῷ Ἀγησιλάου δείματι ἡσύχαζον· ἀναζεύξαντος δὲ ἐς τὴν Σπάρτην, οὕτω καὶ αὐτοὶ μετὰ Ἀργείων τὰ Ἴσθμια ἄγουσιν. ἀφίκετο δὲ καὶ αὖθις ἐπὶ Κόρινθον στρατιᾷ· καί, ἐπῄει γὰρ Ὑακίνθια, ἀφίησι τοὺς Ἀμυκλαιεῖς οἴκαδε ἀπελθόντας τὰ καθεστηκότα τῷ τε Ἀπόλλωνι καὶ Ὑακίνθῳ δρᾶσαι. ταύτην τὴν μοῖραν ἐπιθέμενοι καθ' ὁδὸν Ἀθηναῖοι καὶ Ἰφικράτης διέφθει- 229
2 ραν. 2. Ἀγησίλαος δὲ καὶ ἐς Αἰτωλίαν ἐπικουρήσων ἀφίκετο Αἰτωλοῖς ὑπὸ Ἀκαρνάνων πολέμῳ πιεζομένοις, καὶ Ἀκαρνᾶνας ἠνάγκασε καταλύσασθαι τὸν πόλεμον, οὐ πολὺ ἀποδέοντας Καλυδῶνα καὶ τὰ ἄλλα Αἰτωλῶν πολίσματα ᾑρηκέναι. 3. χρόνῳ δὲ ὕστερον ἔπλευσε καὶ ἐς Αἴγυπτον, ἀφεστηκότων ἀπὸ βασιλέως τῶν Αἰγυπτίων βοηθήσων· καὶ ἔστιν Ἀγησιλάῳ πολλά τε εἰργασμένα καὶ μνήμης ἄξια ἐν Αἰγύπτῳ. καί, ἦν γὰρ δὴ ἤδη γέρων, τὸν μὲν κατὰ τὴν πορείαν ἐπέλαβεν ἡ μοῖρα· Λακεδαιμόνιοι δέ, ὡς ἐκομίσθη σφίσιν ὁ νεκρός, θάπτουσιν αὐτὸν βασιλέων τιμήσαντες μάλιστα.

4. Ἀρχιδάμου δὲ τοῦ Ἀγησιλάου βασιλεύοντος κα- 3
τέλαβον τὸ ἱερὸν Φωκεῖς τὸ ἐν Δελφοῖς. Θηβαίοις μὲν δὴ πολεμεῖν τοῖς Φωκεῦσιν ἀφίκετο μὲν καὶ ἰδίᾳ συμμαχικὰ ἐπὶ χρήμασιν, ἀπὸ δὲ κοινοῦ λόγου Λακεδαιμόνιοί τε καὶ Ἀθηναῖοί σφισιν ἤμυνον, οἱ μὲν ἀρχαίαν δή τινα ἐκ τῶν Φωκέων μνημονεύοντες εὐεργεσίαν, Λακεδαιμόνιοι δὲ προφάσει μὲν καὶ οὗτοι φιλίας, κατὰ ἔχθος δέ, ἐμοὶ δοκεῖν, τὸ Θηβαίων. Θεόπομπος δὲ ὁ Δαμασιστράτου τόν τε Ἀρχίδαμον μετασχεῖν τῶν χρημάτων αὐτόν, καὶ ἔτι Δεινίχαν τὴν Ἀρχιδάμου γυναῖκα παρὰ τῶν δυναστευόντων ἐν Φωκεῦσιν ἔφη λαμβάνουσαν δωρεὰν ἑτοιμότερον ποιεῖν σφίσιν ἐς τὴν συμμαχίαν Ἀρχίδαμον.
τὸ μὲν δὴ χρήματα ἱερὰ δέξασθαι καὶ ἀνδράσιν ἀμῦναι 4
μαντείων πορθήσασι τὸ ἐπιφανέστατον οὐκ ἐς ἔπαινον τίθεμαι, τοσοῦτον δέ οἱ πρόσεστιν ἐς ἔπαινον· Δελφῶν γὰρ τούς τε ἡβῶντας ἀποκτεῖναι καὶ γυναῖκας καὶ τέκνα ἐξανδραποδίσασθαι, καταβαλεῖν δὲ καὶ αὐτὴν ἐς ἔδαφος
230 τὴν πόλιν ἐτόλμων οἱ Φωκεῖς· ταῦτα οὖν μὴ παθεῖν ὑπὸ
τῶν Φωκέων αὐτοὺς παρῃτήσατο Ἀρχίδαμος. 5. Διέβη 5
δὲ καὶ ἐς Ἰταλίαν ὕστερον Ταραντίνοις βαρβάρων πόλεμον συνδιοίσων σφίσιν ὁμόρων· καὶ ἀπέθανέ τε αὐτόθι ὑπὸ τῶν βαρβάρων, καὶ αὐτοῦ τὸν νεκρὸν ἁμαρτεῖν τάφου τὸ μήνιμα ἐγένετο ἐμποδὼν τὸ ἐκ τοῦ Ἀπόλλωνος. 6. Τοῦ δὲ Ἀρχιδάμου τούτου τὸν μὲν πρεσβύτερον παῖδα Ἆγιν κατέλαβεν ἀποθανεῖν Μακεδόσιν ἐναντία καὶ Ἀντιπάτρῳ μαχεσάμενον, Εὐδαμίδας δὲ ὁ νεώτερος Λακεδαιμονίοις ἐβασίλευσεν ἄγουσιν εἰρήνην. τὰ δὲ ἐς Ἆγιν τὸν Εὐδαμίδου καὶ ἐς Εὐρυδαμίδαν τὸν Ἄγιδος ὡς ἔσχεν, ἤδη μοι καὶ τάδε η Σικυωνία συγγραφὴ διεξῄει.

7. Ἰοῦσι δὲ ἀπὸ τῶν Ἑρμῶν ἐστὶν ὁ τόπος οὗτος 6
ἅπας δρυῶν πλήρης· τὸ δὲ ὄνομα τῷ χωρίῳ Σκοτίταν [τὸ δὲ σκότος] οὐ τὸ συνεχὲς τῶν δένδρων ἐποίησεν,

ἀλλὰ Ζεὺς ἐπίκλησιν [ἔσχε] Σκοτίτας, καὶ ἔστιν ἐν ἀριστερᾷ τῆς ὁδοῦ δέκα μάλιστά που στάδια ἐκτραπομένοις ἱερὸν Σκοτίτα Διός. ἐπανελθόντων δὲ ἐντεῦθεν προελθοῦσιν ὀλίγον καὶ τραπεῖσιν αὖθις ἐς ἀριστερὰν ἄγαλμά ἐστιν Ἡρακλέους καὶ τρόπαιον· ἀναστῆσαι δὲ ἐλέγετο Ἡρακλῆς ἀποκτείνας Ἱπποκόωντα καὶ τοὺς παῖδας. 8.
7 τρίτη δὲ ἐκ τῆς ὁδοῦ τῆς εὐθείας ἐκβολὴ κατὰ τὰ δεξιὰ ἐς Καρύας ἄγει καὶ ἐς τὸ ἱερὸν τῆς Ἀρτέμιδος. τὸ γὰρ χωρίον Ἀρτέμιδος καὶ Νυμφῶν ἐστὶν αἱ Κάρυαι, καὶ ἄγαλμα ἕστηκεν Ἀρτέμιδος ἐν ὑπαίθρῳ Καρυάτιδος· χοροὺς δὲ ἐνταῦθα αἱ Λακεδαιμονίων παρθένοι κατὰ ἔτος ἱστᾶσι, καὶ ἐπιχώριος αὐταῖς καθέστηκεν ὄρχησις. 9. Ἀναστρέψαντι δὲ καὶ κατὰ τὴν λεωφόρον ἰόντι ἐρείπια Σελλασίας ἐστί· ταύτην, καθὰ καὶ πρότερον ἔγραψα, ἠνδραποδίσαντο Ἀχαιοὶ Λακεδαιμονίους καὶ τὸν βασιλέα Κλεομέ-
8 νην τὸν Λεωνίδου μάχῃ νικήσαντες. 10. Ἐν δὲ Θόρνακι, 231
ἐς γὰρ τοῦτον ἀφίξῃ προϊών, ἄγαλμά ἐστι Πυθαέως Ἀπόλλωνος, κατὰ τὰ αὐτὰ τῷ ἐν Ἀμύκλαις πεποιημένον· τὸ δὲ σχῆμα ὁποῖόν ἐστιν, ἐπ' ἐκείνῳ γράψω. Λακεδαιμονίοις γὰρ ἐπιφανέστερά ἐστι τὰ ἐς τὸν Ἀμυκλαῖον, ὥστε καὶ τὸν χρυσὸν ὃν Κροῖσος ὁ Λυδὸς τῷ Ἀπόλλωνι ἔπεμψε τῷ Πυθαεῖ, τούτῳ ἐς κόσμον τοῦ ἐν Ἀμύκλαις κατεχρήσαντο ἀγάλματος.

XI. Ἀπὸ δὲ Θόρνακος προελθόντι ἔστιν ἡ πόλις, Σπάρτη μὲν ὀνομασθεῖσα ἐξ ἀρχῆς, προσλαβοῦσα δὲ ἀνὰ χρόνον καὶ Λακεδαίμων ἡ αὐτὴ καλεῖσθαι· τέως δὲ τὸ ὄνομα τοῦτο ἔκειτο τῇ γῇ. ὃ δὲ ἐν τῇ συγγραφῇ μοι τῇ Ἀτθίδι ἐπανόρθωμα ἐγένετο, μὴ τὰ πάντα με ἐφεξῆς, τὰ δὲ μάλιστα ἄξια μνήμης ἐπιλεξάμενον ἀπ' αὐτῶν εἰρηκέναι, δηλώσω δὴ πρὸ τοῦ λόγου τοῦ ἐς Σπαρτιάτας· ἐμοὶ γὰρ ἐξ ἀρχῆς ἠθέλησεν ὁ λόγος ἀπὸ πολλῶν καὶ οὐκ ἀξίων ἀφηγήσεως, ἃ ἕκαστοι παρὰ σφίσι λέγουσιν, ἀπο-

κρῖναι τὰ ἀξιολογώτατα. ὡς οὖν εὖ βεβουλευμένος οὐκ ἔστιν ὅπου παραβήσομαι. 2. Λακεδαιμονίων τοῖς Σπάρ- 2
την ἔχουσίν ἐστιν ἀγορὰ θέας ἀξία, καὶ τῆς τε γερουσίας βουλευτήριον, καὶ τῶν ἐφόρων καὶ νομοφυλάκων καὶ καλουμένων Βιδιαίων ἀρχεῖά ἐστιν ἐπὶ τῆς ἀγορᾶς. ἡ μὲν δὴ γερουσία συνέδριον Λακεδαιμονίοις κυριώτατον τῆς πολιτείας, οἱ λοιποὶ δέ εἰσιν ἄρχοντες· τοῖς δὲ ἐφόροις καὶ Βιδιαίοις πέντε ἀριθμὸν ἑκατέροις οὖσι, τοῖς μὲν τοὺς ἐπὶ τῷ Πλατανιστᾷ καλουμένῳ καὶ ἄλλους τῶν ἐφήβων ἀγῶνας τιθέναι καθέστηκεν, ἔφοροι δὲ τά τε
232 ἄλλα διοικοῦσι τὰ σπουδῆς μάλιστα ἄξια καὶ παρέχονται τὸν ἐπώνυμον, καθὰ δὴ καὶ Ἀθηναίοις τῶν καλουμένων ἐννέα ἐπώνυμός ἐστιν εἷς ἄρχων. 3. Ἐπιφανέστατον δὲ 3
τῆς ἀγορᾶς ἐστὶν ἣν στοὰν Περσικὴν ὀνομάζουσιν ἀπὸ λαφύρων ποιηθεῖσαν τῶν Μηδικῶν· ἀνὰ χρόνον δὲ αὐτὴν ἐς μέγεθος τὸ νῦν καὶ ἐς κόσμον τὸν παρόντα μεταβεβλήκασιν. εἰσὶ δὲ ἐπὶ τῶν κιόνων Πέρσαι λίθου λευκοῦ καὶ ἄλλοι καὶ Μαρδόνιος ὁ Γωβρύου. πεποίηται δὲ καὶ Ἀρτεμισία, θυγάτηρ μὲν Λυγδάμιδος, ἐβασίλευσε δὲ Ἁλικαρνασοῦ· ταύτην φασὶν ἑκουσίως ἐπὶ τὴν Ἑλλάδα συστρατεῦσαι Ξέρξῃ καὶ ἔργα ἐν τῇ ναυμαχίᾳ περὶ Σαλαμῖνα ἀποδείξασθαι. 4. Ναοὶ δέ εἰσιν ἐπὶ τῆς ἀγορᾶς, 4
Καίσαρος, ὃς μοναρχίας πρῶτος ἐν Ῥωμαίοις ἐπεθύμησεν καὶ ἀρχὴν τὴν καθεστηκυῖαν πρῶτος ἐκτήσατο· ὁ δὲ Αὐγούστῳ πεποίηται παιδὶ ἐκείνου, τήν τε βασιλείαν βεβαιωσαμένῳ μᾶλλον καὶ ἀξιώματος καὶ δυνάμεως ἐς πλέον ἢ ὁ πατήρ οἱ προελθόντι. τὸ δὲ ὄνομα εἶναι τούτῳ Αὔγουστος, ὃ κατὰ γλῶσσαν δύναται τὴν Ἑλλήνων σεβαστός. 5. Τοῦ δὲ Αὐγούστου δεικνύουσι πρὸς τῷ 5
βωμῷ χαλκῆν εἰκόνα Ἀγίου. τοῦτον τὸν Ἀγίαν μαντευσάμενόν φασι Λυσάνδρῳ τὸ Ἀθηναίων ἑλεῖν ναυτικὸν περὶ Αἰγὸς ποταμοὺς πλὴν τριήρων δέκα· αὗται δὲ ἀπο-

φεύγουσιν ἐς Κύπρον, τὰς δὲ ἄλλας οἱ Λακεδαιμόνιοι καὶ αὐτὰς καὶ τοὺς ἄνδρας αἱροῦσιν. ὁ δὲ Ἁγίας Ἀγε-
6 λόχου παῖς ἦν τοῦ Τισαμενοῦ. 6. Τισαμενῷ δὲ ὄντι Ἠλείῳ τῶν Ἰαμιδῶν λόγιον ἐγένετο ἀγῶνας ἀναιρήσεσθαι πέντε ἐπιφανεστάτους αὐτόν. οὕτω πένταθλον Ὀλυμπίασιν ἀσκήσας ἀπῆλθεν ἡττηθείς. καίτοι τὰ δύο γε ἦν πρῶτος· καὶ γὰρ δρόμῳ τε ἐκράτει καὶ πηδήματι Ἱερώνυμον Ἄνδριον. καταπαλαισθεὶς δὲ ὑπ' αὐτοῦ καὶ ἁμαρτὼν τῆς νίκης συνίησι τοῦ χρησμοῦ, διδόναι οἱ τὸν θεὸν μαντευομένῳ πέντε ἀγῶνας πολέμῳ κρατῆσαι.
7 Λακεδαιμόνιοι δέ, οὐ γὰρ εἶχον ἀνηκόως ὧν Τισαμενῷ
προεῖπεν ἡ Πυθία, πείθουσι μετοικήσαντα ἐξ Ἤλιδος 233
μαντεύεσθαι Σπαρτιατῶν τῷ κοινῷ· καί σφισιν ὁ Τισαμενὸς ἀγῶνας πολέμου πέντε ἐνίκησε, πρῶτον μὲν Πλαταιᾶσιν ἐναντία Περσῶν, δεύτερον δὲ ἐν Τεγέᾳ πρὸς Τεγεάτας καὶ Ἀργείους μάχης Λακεδαιμονίοις συνεστώσης, ἐπὶ τούτοις δὲ ἐν Διπαιεῦσιν Ἀρκάδων πάντων πλὴν Μαντινέων ἀντιτεταγμένων· οἱ δὲ Διπαιεῖς ἐν τῇ
8 Μαιναλίᾳ πόλισμα Ἀρκάδων ἦσαν. τέταρτον δὲ ἠγωνίσατο πρὸς τοὺς ἐξ Ἰσθμοῦ ἐς Ἰθώμην ἀποστάντας τῶν Εἱλώτων. ἀπέστησαν δὲ οὐχ ἅπαντες οἱ Εἵλωτες, ἀλλὰ τὸ Μεσσηνιακὸν ἀπὸ τῶν ἀρχαίων Εἱλώτων ἀποσχισθέντες· καί μοι καὶ τάδε ὁ λόγος αὐτίκα ἐπέξεισι. τότε δὲ οἱ Λακεδαιμόνιοι τοὺς ἀποστάντας ἀπελθεῖν ὑποσπόνδους εἴασαν Τισαμενῷ καὶ τῷ ἐν Δελφοῖς χρηστηρίῳ πειθόμενοι. τελευταῖον δὲ ὁ Τισαμενὸς ἐμαντεύσατο ἐν Τανάγρᾳ σφίσι πρὸς Ἀργείους καὶ Ἀθηναίους γινομένης
9 συμβολῆς. Τὰ μὲν Τισαμενοῦ τοιαῦτα ἐπυνθανόμην ὄντα· 7. Σπαρτιάταις δὲ ἐπὶ τῆς ἀγορᾶς Πυθαέως τέ ἐστιν Ἀπόλλωνος καὶ Ἀρτέμιδος καὶ Λητοῦς ἀγάλματα. Χορὸς δὲ οὗτος ὁ τόπος καλεῖται πᾶς, ὅτι ἐν ταῖς γυμνοπαιδίαις, ἑορτῇ δὲ εἴ τις ἄλλῃ καὶ αἱ γυμνοπαιδίαι διὰ

σπουδῆς Λακεδαιμονίοις εἰσίν, ἐν ταύταις οὖν οἱ ἔφηβοι
χοροὺς ἱστᾶσι τῷ Ἀπόλλωνι. 8. τούτων δὲ οὐ πόῤῥω
234 Γῆς ἱερὸν καὶ Διός ἐστιν Ἀγοραίου, τὸ δὲ Ἀθηνᾶς Ἀγο-
ραίας καὶ Ποσειδῶνος ὃν ἐπονομάζουσιν Ἀσφάλιον, καὶ
Ἀπόλλωνος αὖθις καὶ Ἥρας. ἀνάκειται δὲ καὶ Δήμου 10
τοῦ Σπαρτιατῶν ἀνδριὰς μεγέθει μέγας. καὶ Μοιρῶν
Λακεδαιμονίοις ἐστὶν ἱερόν, Ὀρέστου δὲ τοῦ Ἀγαμέμνο-
νος πρὸς αὐτῷ τάφος· κομισθέντα γὰρ ἐκ Τεγέας τοῦ
Ὀρέστου τὰ ὀστᾶ κατὰ μαντείαν θάπτουσιν ἐνταῦθα.
παρὰ δὲ τοῦ Ὀρέστου τὸν τάφον ἐστὶν εἰκὼν Πολυδώρου
τοῦ Ἀλκαμένους, ὃν βασιλέων ἐς τοσοῦτο τιμῆς προήχα-
σιν ὥστε οἱ τὰς ἀρχὰς ἔχοντες, ὁπόσα δεῖ σημαίνεσθαι,
τοῦ Πολυδώρου σημαίνονται τῇ εἰκόνι. ἔστι δὲ καὶ Ἑρ- 11
μῆς Ἀγοραῖος Διόνυσον φέρων παῖδα, καὶ τὰ ἀρχαῖα
καλούμενα Ἐφορεῖα, ἐν δὲ αὐτοῖς Ἐπιμενίδου τοῦ Κρη-
τὸς μνῆμα καὶ Ἀφαρέως τοῦ Περιήρους· καὶ τά γε ἐς
Ἐπιμενίδην Λακεδαιμονίους δοξάζω μᾶλλον Ἀργείων
λέγειν εἰκότα. ἐνταῦθα αἱ Μοῖραι *** καὶ ἔστιν ἃ καὶ
Λακεδαιμονίοις. ἔστι καὶ Ζεὺς Ξένιος καὶ Ἀθηνᾶ Ξενία.
235 XII. Ἰόντι δὲ ἐκ τῆς ἀγορᾶς κατὰ τὴν ὁδὸν ἣν
Ἀφέτα ὀνομάζουσι, τὰ καλούμενα Βοώνητά ἐστι· καί με
ὁ λόγος ἀπαιτεῖ πρότερα εἰπεῖν τὰ ἐς τὴν ἐπίκλησιν τῆς
ὁδοῦ. 2. τοῖς μνηστῆρσιν Ἰκάριον τῆς Πηνελόπης φασὶν
ἀγῶνα προθεῖναι δρόμου· καὶ ὅτι μὲν Ὀδυσσεὺς ἐκράτει,
δῆλά ἐστιν, ἀφεθῆναι δὲ αὐτοὺς λέγουσιν ἐς τὸν δρόμον
διὰ τῆς ὁδοῦ τῆς Ἀφεταΐδος. δοκεῖν δ' ἐμοί, δρόμου 2
Ἰκάριος τὸ ἀγώνισμα ἐποίησε μιμούμενος Δαναόν. Δα-
ναῷ γὰρ τοῦτο ἐπὶ ταῖς θυγατράσιν εὑρέθη· [καὶ] ὡς
γυναῖκα οὐδεὶς ἤθελεν ἐξ αὐτῶν διὰ τὸ μίασμα ἀγαγέ-
σθαι, διέπεμπε δὴ ὁ Δαναὸς ἕδνων ἄνευ δώσειν ᾗ ἂν
ἕκαστος κατὰ κάλλος ἀρέσκηται, ἀφικομένοις δὲ ἀνδρά-
σιν οὐ πολλοῖς ἀγῶνα δρόμου κατέστησε, καὶ πρώτῳ τε

ἐλθόντι ἐγένετο ἑλέσθαι πρώτῳ τῶν ἄλλων, καὶ μετ᾽ ἐκεῖ-
νον τῷ δευτέρῳ, καὶ ἤδη κατὰ τὰ αὐτὰ ἄχρι τοῦ τελευ-
ταίου· τὰς δὲ ὑπολειφθείσας μένειν ἔφοδον ἄλλην μνη-
3 στήρων ἔδει καὶ ἀγῶνα ἄλλον δρόμου. 3. Λακεδαιμο-
νίοις δὲ κατὰ τὴν ὁδὸν ταύτην ἐστίν, ὡς ἤδη λέλεκταί
μοι, τὰ ὀνομαζόμενα Βοώνητα, Πολυδώρου ποτὲ οἰκία
τοῦ βασιλέως· ἀποθανόντος δὲ παρὰ τοῦ Πολυδώρου
τῆς γυναικὸς ἐπρίαντο ἀντιδόντες βοῦς. ἀργύρου γὰρ
οὐκ ἦν πω τότε οὐδὲ χρυσοῦ νόμισμα, κατὰ τρόπον δὲ
ἔτι τὸν ἀρχαῖον ἀντεδίδοσαν βοῦς καὶ ἀνδράποδα καὶ ἀρ-
4 γὸν τὸν ἄργυρον καὶ χρυσόν. οἱ δὲ ἐς τὴν Ἰνδικὴν ἐσπλέ-
οντες φορτίων φασὶν Ἑλληνικῶν τοὺς Ἰνδοὺς ἀγώγιμα
ἄλλα ἀνταλλάσσεσθαι, νόμισμα δὲ οὐκ ἐπίστασθαι, καὶ
ταῦτα χρυσοῦ τε ἀφθόνου καὶ χαλκοῦ παρόντος σφίσι.
4. Τοῦ δὲ τῶν Βιδιαίων ἀρχείου πέραν ἐστὶν Ἀθηνᾶς
ἱερόν· Ὀδυσσεὺς δὲ ἱδρύσασθαι τὸ ἄγαλμα λέγεται καὶ
ὀνομάσαι Κελεύθειαν, τοὺς Πηνελόπης μνηστῆρας τῷ 236
δρόμῳ νικήσας. ἱδρύσατο δὲ τῆς Κελευθείας ἱερὰ ἀριθμῷ
5 τρία, διεστηκότα ἀπ᾽ ἀλλήλων. Προϊόντων δὲ κατὰ τὴν
Ἀφεταΐδα ἡρῷά ἐστιν, Ἴοπός τε κατὰ Λέλεγα ἢ Μύλητα
γενέσθαι δοκοῦντος καὶ Ἀμφιαράου τοῦ Οἰκλέους· τοῦτο
δὲ Τυνδάρεω παῖδας νομίζουσιν ἅτε ἀνεψιῷ τῷ Ἀμφιαράῳ
ποιῆσαι. καὶ αὐτοῦ Λέλεγός ἐστιν ἡρῷον. 5. Τούτων δὲ
οὐ πόρρω τέμενος Ποσειδῶνος Ταιναρίου· Ταινάριον
δὲ ἐπονομάζουσιν * * * οὐ μακρὰν δὲ Ἀθηνᾶς ἄγαλμα, ὃ
τοὺς ἐς Ἰταλίαν τε καὶ Τάραντα ἀποικισθέντας ἀναθεῖ-
6 ναι λέγουσι. τὸ δὲ χωρίον ὃ καλοῦσιν Ἑλλήνιον, ἐστὶν
εἰρημένον ὡς οἱ τῶν Ἑλλήνων Ξέρξην διαβαίνοντα ἐς
τὴν Εὐρώπην παρεσκευάζοντο ἀμυνούμενοι, κατὰ τοῦτο
τὸ χωρίον βουλευσαμένους τρόπον ὅντινα ἀνθέξουσιν.
ὁ δὲ ἕτερος τῶν λόγων τοὺς Μενελάου χάριτι στρατεύ-
σαντας ἐπὶ Ἴλιον βουλεύσασθαί φησιν ἐνταῦθα ὅπως

αναπλεῦσαί τε ἐς Τροίαν καὶ δίκας δυνήσονται παρὰ
Ἀλεξάνδρου λαβεῖν τῆς Ἑλένης ἁρπαγῆς. 6. Τοῦ δὲ Ἑλ- 7
ληνίου πλησίον Ταλθυβίου μνῆμα ἀποφαίνουσι· δει-
κνύουσι δὲ καὶ Ἀχαιῶν Αἰγιεῖς ἐπὶ τῆς ἀγορᾶς, Ταλθυ-
βίου καὶ οὗτοι φάμενοι μνῆμα εἶναι. Ταλθυβίου δὲ τού-
του μήνιμα ἐπὶ τῷ φόνῳ τῶν κηρύκων, οἳ παρὰ βασιλέως
Δαρείου γῆν τε καὶ ὕδωρ αἰτήσοντες ἐς τὴν Ἑλλάδα
ἐπέμφθησαν, Λακεδαιμονίοις μὲν ἐπεσήμαινεν ἐς τὸ δη-
μόσιον, ἐν Ἀθήναις δὲ ἰδίᾳ τε καὶ ἐς ἑνὸς οἶκον ἀνδρὸς
κατέσκηψε Μιλτιάδου τοῦ Κίμωνος. ἐγεγόνει δὲ καὶ τῶν
κηρύκων τοῖς ἐλθοῦσιν ἐς τὴν Ἀττικὴν ὁ Μιλτιάδης
237 ἀποθανεῖν αἴτιος ὑπὸ Ἀθηναίων. 7. Λακεδαιμονίοις δὲ 8
ἔστι μὲν Ἀπόλλωνος Ἀκρείτα βωμός, ἔστι δ' ἐπονομαζό-
μενον Γάσηπτον ἱερὸν Γῆς· Ἀπόλλων δὲ ὑπὲρ αὐτὸ
ἵδρυται Μαλεάτης. ἐπὶ δὲ τῷ πέρατι Ἀφεταΐδος,
ἐγγύτατα ἤδη τοῦ τείχους, Δικτύννης ἐστὶν ἱερὸν καὶ βα-
σίλειοι τάφοι τῶν καλουμένων Εὐρυπωντιδῶν. παρὰ
δὲ τὸ Ἑλλήνιον Ἀρσινόης ἱερόν, Λευκίππου τε θυγατρὸς
καὶ γυναικῶν τῶν Πολυδεύκους καὶ Κάστορος ἀδελφῆς.
πρὸς δὲ τοῖς Φρουρίοις καλουμένοις ναός ἐστιν Ἀρτέμι-
δος, καὶ προελθοῦσιν ὀλίγον πεποίηται μνῆμα τοῖς ἐξ
Ἤλιδος μάντεσι, καλουμένοις δὲ Ἰαμίδαις. καὶ Μάρωνός 9
ἐστιν ἱερὸν καὶ Ἀλφειοῦ· Λακεδαιμονίων δὲ τῶν ἐς Θερ-
μοπύλας στρατευσαμένων λόγου μάλιστα ἀξίως μαχέσα-
σθαι μετά γε αὐτὸν δοκοῦσι Λεωνίδαν. τοῦ δὲ Τροπαίου
Διὸς τὸ ἱερὸν ἐποίησαν οἱ Δωριεῖς πολέμῳ τούς τε ἄλ-
λους Ἀχαιούς, οἳ γῆν τὴν Λακωνικὴν τηνικαῦτα εἶχον,
καὶ τοὺς Ἀμυκλαιεῖς κρατήσαντες. τὸ δὲ ἱερὸν τῆς μεγά-
λης Μητρὸς τιμᾶται περισσῶς δή τι. μετὰ δὲ αὐτὸ ἡρῷα
Ἱππολύτου τέ ἐστι τοῦ Θησέως καὶ Αὐλῶνος Ἀρκάδος,
υἱοῦ δὲ Τλησιμένους· Τλησιμένην δὲ Παρθενοπαίου τοῦ
Μελανίωνος ἀδελφόν, οἱ δὲ παῖδα εἶναι λέγουσιν.

10 8. Ἑτέρα δὲ ἐκ τῆς ἀγορᾶς ἐστὶν ἔξοδος, καθ' ἣν πε-
ποίηταί σφισι καλουμένη Σκιάς, ἔνθα καὶ νῦν ἔτι ἐκκλη-
σιάζουσι. ταύτην τὴν Σκιάδα Θεοδώρου τοῦ Σαμίου
φασὶν εἶναι ποίημα, ὃς πρῶτος διαχέαι σίδηρον εὗρε καὶ
ἀγάλματα ἀπ' αὐτοῦ πλάσαι. ἐνταῦθα ἐκρέμασαν Λακε-
δαιμόνιοι τὴν Τιμοθέου τοῦ Μιλησίου κιθάραν, κατα-
γνόντες ὅτι χορδαῖς ἑπτὰ ταῖς ἀρχαίαις ἐφεῦρεν ἐν τῇ
11 κιθαρῳδίᾳ τέσσαρας χορδάς. 9. πρὸς δὲ τῇ Σκιάδι οἰ-
κοδόμημά ἐστι περιφερές, ἐν δὲ αὐτῷ Διὸς καὶ Ἀφροδίτης
ἀγάλματα ἐπίκλησιν Ὀλυμπίων· τοῦτο Ἐπιμενίδην κα-
τασκευάσαι λέγουσιν, οὐχ ὁμολογοῦντες τὰ ἐς αὐτὸν
Ἀργείοις, ὅπου μηδὲ πολεμῆσαί φασι πρὸς Κνωσίους.

XIII. Πλησίον δὲ ἔστι μὲν Κυνόρτου τοῦ Ἀμύκλα 238
τάφος, ἔστι δὲ Κάστορος μνῆμα, ἐπὶ δὲ αὐτῷ καὶ ἱερὸν
πεποίηται· τεσσαρακοστῷ γὰρ ὕστερον ἔτει τῆς μάχης
τῆς πρὸς Ἴδαν καὶ Λυγκέα θεοὺς τοὺς Τυνδάρεω παῖδας
καὶ οὐ πρότερον νομισθῆναί φασι. δείκνυται δὲ πρὸς τῇ
Σκιάδι καὶ Ἴδα καὶ Λυγκέως τάφος. κατὰ μὲν δὴ τοῦ λό-
γου τὸ εἰκὸς ἐτάφησαν ἐν τῇ Μεσσηνίᾳ καὶ οὐ ταύτῃ·
2 Μεσσηνίων δὲ αἱ συμφοραὶ καὶ ὁ χρόνος ὅσον ἔφυγον ἐκ
Πελοποννήσου, πολλὰ τῶν ἀρχαίων καὶ κατελθοῦσιν
ἐποίησεν ἄγνωστα, ἅτε δὲ ἐκείνων οὐκ εἰδότων ἔστιν ἤδη
τοῖς ἐθέλουσιν ἀμφισβητεῖν. 2. Λακεδαιμονίοις δὲ
ἀπαντικρὺ τῆς Ὀλυμπίας Ἀφροδίτης ἐστὶ ναὸς Κόρης
Σωτείρας· ποιῆσαι δὲ τὸν Θρᾷκα Ὀρφέα λέγουσιν, οἱ δὲ
3 Ἄβαριν ἀφικόμενον ἐξ Ὑπερβορέων. Ὁ δὲ Κάρνειος, ὃν
Οἰκέταν ἐπονομάζουσι, τιμὰς εἶχεν ἐν Σπάρτῃ καὶ πρὶν
Ἡρακλείδας κατελθεῖν, ἵδρυτο δὲ ἐν οἰκίᾳ Κρίου τοῦ
Θεοκλέους, ἀνδρὸς μάντεως. τούτου δὲ τοῦ Κρίου γεμι-
ζούσῃ τῇ θυγατρὶ ὕδωρ συντυχόντες κατάσκοποι τῶν
Δωριέων αὐτῇ τε ἀφίκοντο ἐς λόγους, καὶ παρὰ τὸν
Κρῖον ἐλθόντες διδάσκονται τὴν ἅλωσιν τῆς Σπάρτης.

3. *Κάρνειον δὲ Ἀπόλλωνα Δωριεῦσι μὲν τοῖς πᾶσι σέβε-* 4
*σθαι καθέστηκεν ἀπὸ Κάρνου γένος ἐξ Ἀκαρνανίας,*
*μαντευομένου δὲ ἐξ Ἀπόλλωνος· τοῦτον γὰρ τὸν Κάρ-*
*νον ἀποκτείναντος Ἱππότου τοῦ Φύλαντος ἐνέπεσεν ἐς*
*τὸ στρατόπεδον τοῖς Δωριεῦσι μήνιμα Ἀπόλλωνος, καὶ*
*Ἱππότης τε ἔφυγεν ἐπὶ τῷ φόνῳ καὶ Δωριεῦσιν ἀπὸ τού-*
*του τὸν Ἀκαρνᾶνα μάντιν καθέστηκεν ἱλάσκεσθαι. ἀλλὰ*
239 *γὰρ Λακεδαιμονίοις οὐχ οὗτος ὁ Οἰκέτας ἐστὶ Κάρνειος,*
*ὁ δὲ ἐν τοῦ μάντεως Κριοῦ τιμώμενος Ἀχαιῶν ἔτι ἐχόν-*
*των τὴν Σπάρτην. Πραξίλλῃ μὲν δὴ πεποιημένα ἐστὶν* 5
*ὡς Εὐρώπης εἴη ὁ Κάρνειος, καὶ αὐτὸν ἀνεθρέψατο*
*Ἀπόλλων καὶ Λητώ· λέγεται δὲ καὶ ἄλλος ἐπ' αὐτῷ λό-*
*γος, ἐν τῇ Ἴδῃ τῇ Τρωϊκῇ κρανείας ἐν Ἀπόλλωνος ἄλσει*
*πεφυκυίας τοὺς Ἕλληνας ἐκτεμεῖν ἐς τοῦ ἵππου τοῦ δου-*
*ρείου τὴν ποίησιν· μαθόντες δὲ ὀργήν σφισιν ἔχειν τὸν*
*θεόν, θυσίαις ἱλάσκονται καὶ Ἀπόλλωνα ὀνομάζουσι*
*Κάρνειον ἀπὸ τῶν κρανειῶν, ὑπερθέντες τὸ ῥῶ κατὰ δή*
*τι ἀρχαῖον.*

4. *Τοῦ Καρνείου δὲ οὐ πόρρω καλούμενόν ἐστιν* 6
*ἄγαλμα Ἀφεταίου· τοῖς δὲ Πηνελόπης μνηστῆρσί φασιν*
*ἐντεῦθεν γενέσθαι τοῦ δρόμου τὴν ἀρχήν. ἔστι δέ τι χω-*
*ρίον ἔχον τὰς στοὰς ἐν τετραγώνῳ τῷ σχήματι, ἔνθα σφί-*
*σιν ἐπιπράσκετο ὁ ῥῶπος τὸ ἀρχαῖον· πρὸς τούτῳ Διὸς*
*Ἀμβουλίου καὶ Ἀθηνᾶς ἐστὶν Ἀμβουλίας βωμός, καὶ*
*Διοσκούρων καὶ τούτων Ἀμβουλίων.* 5. *ἀπαντικρὺ* 7
*δὲ ἥ τε ὀνομαζομένη Κολώνα καὶ Διονύσου Κολωνάτα*
*ναός, πρὸς αὐτῷ δὲ τέμενός ἐστιν ἥρωος, ὃν τῆς ὁδοῦ*
*τῆς ἐς Σπάρτην Διονύσῳ φασὶ γενέσθαι ἡγεμόνα. τῷ δὲ*
*ἥρωϊ τούτῳ πρὶν ἢ τῷ θεῷ θύουσιν αἱ Διονυσιάδες καὶ*
*αἱ Λευκιππίδες. τὰς δὲ ἄλλας ἕνδεκα ἃς καὶ αὐτὰς Διο-*
*νυσιάδας ὀνομάζουσι, ταύταις δρόμου προτιθέασιν ἀγῶ-*
*να· δρᾶν δὲ οὕτω σφίσιν ἦλθεν ἐκ Δελφῶν. Τοῦ Διο-* 8

νύσου δὲ οὐ μακρὰν Διὸς ἱερόν ἐστιν Εὐανέμου, τούτου δὲ ἐν δεξιᾷ Πλευρῶνος ἡρῷον. γεγόνασι δὲ οἱ Τυνδάρεω παῖδες τὰ πρὸς μητρὸς ἀπὸ τοῦ Πλευρῶνος· Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἄρειός φησιν ἐν τοῖς ἔπεσιν Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος. 6. Τοῦ δὲ ἡρῴου λόφος ἐστὶν οὐ πόρρω, καὶ Ἥρας ἐπὶ τῷ λόφῳ ναὸς Ἀργείας· ἱδρύσασθαι δὲ Εὐρυδίκην φασὶ Λακεδαίμονος θυγατέρα, γυναῖκα δὲ Ἀκρισίου τοῦ Ἄβαντος. Ἥρας δὲ ἱερὸν Ὑπερχειρίας κατὰ μαντείαν ἐποιήθη, τοῦ Εὐρώτα
9 πολὺ τῆς γῆς σφίσιν ἐπικλύζοντος. ξόανον δὲ ἀρχαῖον 240
καλοῦσιν Ἀφροδίτης Ἥρας· ἐπὶ δὲ θυγατρὶ γαμουμένῃ νενομίκασι τὰς μητέρας τῇ θεῷ θύειν. 7. τοῦ λόφου δὲ κατὰ τὴν ἐς δεξιὰν ὁδὸν Ἑτοιμοκλέους ἐστὶν εἰκών. τῷ δὲ Ἑτοιμοκλεῖ καὶ αὐτῷ καὶ Ἱπποσθένει τῷ πατρὶ πάλης εἰσὶν Ὀλυμπικαὶ νῖκαι, συναμφοτέροις μὲν μία τε καὶ δέκα, τῷ δὲ Ἱπποσθένει μιᾷ νίκῃ τὸν υἱὸν παρελθεῖν ὑπῆρξεν.

XIV. Ἐκ δὲ τῆς ἀγορᾶς πρὸς ἥλιον ἰόντι δυόμενον τάφος κενὸς Βρασίδᾳ τῷ Τέλλιδος πεποίηται. ἀπέχει δὲ οὐ πολὺ τοῦ τάφου τὸ θέατρον λίθου λευκοῦ θέας ἄξιον. τοῦ θεάτρου δὲ ἀπαντικρὺ Παυσανίου τοῦ Πλαταιᾶσιν ἡγησαμένου μνῆμά ἐστι, τὸ δὲ ἕτερον Λεωνίδου· καὶ λόγους κατὰ ἔτος ἕκαστον ἐπ' αὐτοῖς λέγουσι καὶ τιθέασιν ἀγῶνα, ἐν ᾧ πλὴν Σπαρτιατῶν ἄλλῳ γε οὐκ ἔστιν ἀγωνίζεσθαι. τὰ δὲ ὀστᾶ τοῦ Λεωνίδου τεσσαράκοντα ἔτεσιν ὕστερον ἀνελομένου ἐκ Θερμοπυλῶν ** τοῦ Παυσανίου κεῖται [δὲ] καὶ στήλη πατρόθεν τὰ ὀνόματα ἔχουσα οἳ πρὸς Μήδους τὸν ἐν Θερμοπύλαις ἀγῶνα ὑπέμειναν.
2 2. Καλεῖται δὲ ἐν τῇ Σπάρτῃ Θεομηλίδα χωρίον. κατὰ τοῦτο τῆς πόλεως τάφοι τῶν Ἀγιαδῶν βασιλέων εἰσί, καὶ πλησίον ὀνομαζομένη λέσχη Κροτανῶν· εἰσὶ δὲ οἱ Κροτανοὶ Πιτανατῶν μοῖρα. Ἀσκληπιοῦ δὲ οὐ πόρρω

τῆς λέσχης ἐστὶν ἱερόν, ἐν Ἀγιαδῶν καλούμενον. προ-
ελθοῦσι δὲ Ταινάρου μνῆμά ἐστι, καὶ τὴν ἄκραν τὴν ἐς
θάλασσαν ἐσέχουσαν ἀπὸ τούτου φασὶν ὀνομασθῆναι.
θεῶν δὲ ἱερὰ Ποσειδῶνός ἐστιν Ἱπποκουρίου καὶ Ἀρτέ-
μιδος Αἰγιναίας. ἐπανελθοῦσι δὲ ὀπίσω πρὸς τὴν λέσχην
ἐστὶν Ἀρτέμιδος Ἰσσώρας ἱερόν· ἐπονομάζουσι δὲ αὐ-
τὴν καὶ Λιμναίαν, οὖσαν οὐκ Ἄρτεμιν, Βριτόμαρτιν δὲ
241 τὴν Κρητῶν· τὰ δὲ ἐς αὐτὴν ὁ Αἰγιναῖος ἔχει μοι λόγος.
3. ἐγγυτάτω δὲ τῶν μνημάτων ἃ τοῖς Ἀγιάδαις πεποίη- 3
ται στήλην ὄψει, γεγραμμέναι δέ εἰσιν ἃς Χίονις ἀνὴρ
Λακεδαιμόνιος δρόμου νίκας ἀνείλετο, ἄλλας τε καὶ
Ὀλυμπίασιν. ἐνταῦθα δὲ ἑπτὰ ἐγένοντο νῖκαι, τέσσαρες
μὲν σταδίου, διαύλου δὲ αἱ λοιπαί· τὸν δὲ σὺν τῇ ἀσπίδι
δρόμον ἐπὶ ἀγῶνι λήγοντι οὐ συνέβαινεν εἶναί πω. Χίο-
νιν δὲ καὶ τοῦ στόλου μετασχεῖν τῷ Θηραίῳ Βάττῳ καὶ
Κυρήνην οἰκίσαι σὺν ἐκείνῳ καὶ Λιβύων καταστρέψα-
σθαι τοὺς προσχώρους λέγουσιν. 4. Τὸ δὲ ἱερὸν τῆς Θέ- 4
τιδος κατασκευασθῆναί φασιν ἐπ' αἰτίᾳ τοιαύτῃ, πολε-
μεῖν μὲν πρὸς Μεσσηνίους ἀφεστηκότας, τὸν δὲ βασιλέα
σφῶν Ἀνάξανδρον ἐσβαλόντα ἐς τὴν Μεσσηνίαν λαβεῖν
αἰχμαλώτους γυναῖκας, ἐν δὲ αὐταῖς εἶναι Κλεώ, Θέτιδος
δὲ αὐτὴν ἱέρειαν εἶναι. ταύτην ἡ τοῦ Ἀναξάνδρου γυνὴ
τὴν Κλεὼ παρὰ τοῦ Ἀναξάνδρου αἰτεῖ, καὶ τό τε ξόανον
τῆς Θέτιδος ἀνεῦρεν ἔχουσαν καὶ ναὸν μετ' αὐτῆς ἱδρύ-
σατο τῇ θεῷ· ἐποίει δὲ ταῦτα ἡ Λεανδρὶς κατὰ ὄψιν ὀνεί-
ρατος. τὸ μὲν δὴ ξόανον τῆς Θέτιδος ἐν ἀπορρήτῳ φυ- 5
λάσσουσι· 5. Δήμητρα δὲ Χθονίαν Λακεδαιμόνιοι μὲν
σέβειν φασὶ παραδόντος σφίσιν Ὀρφέως, δόξῃ δὲ ἐμῇ
διὰ τὸ ἱερὸν τὸ ἐν Ἑρμιόνι κατέστη καὶ τούτοις Χθονίαν
νομίζειν Δήμητρα. ἔστι δὲ καὶ Σαράπιδος νεώτατον
τοῦτο Σπαρτιάταις ἱερόν, καὶ Διὸς ἐπίκλησιν Ὀλυμπίου.
6. Καλοῦσι δὲ Λακεδαιμόνιοι Δρόμον, ἔνθα τοῖς 6

νέοις καὶ ἐφ' ἡμῶν ἔτι δρόμου μελέτη καθέστηκεν. ἐς τοῦτον τὸν Δρόμον ἰόντι ἀπὸ τοῦ τάφου τῶν Ἀγιαδῶν ἔστιν ἐν ἀριστερᾷ μνῆμα Εὐμήδους, Ἱπποκόωντος δὲ καὶ οὗτος ἦν ὁ Εὐμήδης, ἔστι δὲ ἄγαλμα ἀρχαῖον Ἡρακλέους, ᾧ θύουσιν οἱ Σφαιρεῖς· οἱ δέ εἰσιν οἱ ἐκ τῶν ἐφήβων ἐς ἄνδρας ἀρχόμενοι συντελεῖν. πεποίηται δὲ καὶ γυμνάσια ἐν τῷ Δρόμῳ, τὸ ἕτερον Εὐρυκλέους ἀνάθημα ἀνδρὸς Σπαρτιάτου. τοῦ Δρόμου δὲ ἐκτὸς κατὰ τοῦ Ἡρακλέους 242
τὸ ἄγαλμά ἐστιν οἰκία τὰ ἐφ' ἡμῶν ἰδιώτου, Μενελάου τὸ ἀρχαῖον. προελθόντι δὲ ἀπὸ τοῦ Δρόμου Διοσκούρων ἱερὸν καὶ Χαρίτων, τὸ δὲ Εἰλειθυίας ἐστὶν Ἀπόλλωνός τε
7 Καρνείου καὶ Ἀρτέμιδος Ἡγεμόνης. 7. Τὸ δὲ τοῦ Ἀγνίτα πεποίηται μὲν ἐν δεξιᾷ τοῦ Δρόμου, Ἀσκληπιοῦ δέ ἐστιν ἐπίκλησις ὁ Ἀγνίτας, ὅτι ἦν ἄγνου τῷ θεῷ ξόανον· ἡ δὲ ἄγνος λύγος καὶ αὐτὴ κατὰ ταὐτά ἐστι τῇ ῥάμνῳ. τοῦ Ἀσκληπιοῦ δὲ οὐ πόρρω τρόπαιον ἕστηκε, Πολυδεύκην δὲ ἀναστῆσαί φασιν ἐπὶ Λυγκεῖ· καί μοι καὶ τοῦτο ἀποφαίνει τὸν λόγον εἰκότα, οὐ ταφῆναι τοὺς Ἀφαρέως παῖδας ἐν Σπάρτῃ. πρὸς δὲ τοῦ Δρόμου τῇ ἀρχῇ Διόσκουροί τέ εἰσιν Ἀφετήριοι, καὶ ὀλίγον προελθόντι ἡρῷον Ἄλκωνος· τὸν δὲ Ἄλκωνα λέγουσιν Ἱπποκόωντος παῖδα εἶναι. παρὰ δὲ τοῦ Ἄλκωνος τὸ ἡρῷον Ποσειδῶνός ἐστιν
8 ἱερόν, Δωματίτην δὲ ἐπονομάζουσιν. 8. καὶ χωρίον Πλατανιστᾶς ἐστὶν ἀπὸ τῶν δένδρων, αἳ δὴ ὑψηλαὶ καὶ συνεχεῖς περὶ αὐτὸ αἱ πλάτανοι πεφύκασιν. αὐτὸ δὲ τὸ χωρίον, ἔνθα τοῖς ἐφήβοις μάχεσθαι καθέστηκε, κύκλῳ μὲν εὔριπος περιέχει κατὰ ταὐτὰ καὶ εἰ νῆσον θάλασσα, ἔσοδοι δὲ ἐπὶ γεφυρῶν εἰσί. γεφυρῶν δὲ ἐφ' ἑκάτερα, τῇ μέν ἐστιν ἄγαλμα Ἡρακλέους, τῇ δὲ εἰκὼν Λυκούργου· νόμους δὲ ἔς τε τὴν ἄλλην πολιτείαν καὶ ἐς τὴν μάχην
9 τῶν ἐφήβων ἔθηκεν ὁ Λυκοῦργος. 9. καὶ τάδε ἄλλα τοῖς ἐφήβοις δρώμενά ἐστι. θύουσι πρὸ τῆς μάχης ἐν τῷ Φοι–

243 βαίῳ· τὸ δὲ Φοιβαῖόν ἐστιν ἐκτὸς τῆς πόλεως, Θεράπνης οὐ πολὺ ἀφεστηκός. ἐνταῦθα ἑκατέρα μοῖρα τῶν ἐφήβων σκύλακα κυνὸς τῷ Ἐνυαλίῳ θύουσι, θεῶν τῷ ἀλκιμωτάτῳ κρίνοντες ἱερεῖον κατὰ γνώμην εἶναι τὸ ἀλκιμώτατον ζῷον τῶν ἡμέρων. κυνὸς δὲ σκύλακας οὐδένας ἄλλους οἶδα Ἑλλήνων νομίζοντας θύειν ὅτι μὴ Κολοφωνίους· θύουσι γὰρ καὶ Κολοφώνιοι μέλαιναν τῇ Ἐνοδίῳ σκύλακα. νυκτεριναὶ δὲ ἥ τε Κολοφωνίων θυσία καὶ τῶν ἐν Λακεδαίμονι ἐφήβων καθεστήκασιν. ἐπὶ δὲ τῇ θυσίᾳ 10
κάπρους ἠθάδας οἱ ἔφηβοι συμβάλλουσι μαχουμένους· ὁποτέρων δ' ἂν ὁ κάπρος τύχῃ νικῶν, ἐν τῷ Πλατανιστᾷ κρατῆσαι τούτους ὡς τὰ πλείω συμβαίνει. τοσάδε μὲν δρῶσιν ἐν τῷ Φοιβαίῳ· ἐς δὲ τὴν ἐπιοῦσαν ὀλίγον πρὸ μεσούσης ἡμέρας ἐσίασι κατὰ τὰς γεφύρας ἐς τὸ εἰρημένον χωρίον. τὴν μὲν δὴ ἔσοδον καθ' ἣν ἐσελθεῖν δεῦρο ἔστιν ἑκατέραν τάξιν, προεδήλωσε κλῆρός σφισιν ἐν τῇ νυκτί· μάχονται δὲ καὶ ἐν χερσὶ καὶ ἐμπηδῶντες λάξ, δάκνουσί τε καὶ τοὺς ὀφθαλμοὺς ἀντορύσσουσιν. ἀνὴρ μὲν δὴ πρὸς ἄνδρα τὸν εἰρημένον τρόπον μάχεται· ἀθρόοι δὲ ἐμπίπτουσι βιαίως καὶ ἐς τὸ ὕδωρ ὠθοῦσιν ἀλλήλους.

XV. Πρὸς δὲ τῷ Πλατανιστᾷ καὶ Κυνίσκας ἐστὶν ἡρῷον, θυγατρὸς Ἀρχιδάμου βασιλεύοντος Σπαρτιατῶν· πρώτη δὲ ἱπποτρόφησε γυναικῶν, καὶ Ὀλυμπίασι πρώτη νίκην ἀνείλετο ἅρματι. 2. ἔστι δὲ τῆς στοᾶς ἣ παρὰ τὸν Πλατανιστᾶν πεποίηται, ταύτης ὄπισθεν ἡρῷα, τὸ μὲν Ἀλκίμου, τὸ δὲ Ἐναραιφόρου, καὶ ἀφεστηκὸς οὐ
244 πολὺ Δορκέως, τὸ δὲ ἐπὶ τούτῳ Σεβροῦ· παῖδας δὲ Ἱπποκόωντος εἶναι λέγουσιν. ἀπὸ δὲ τοῦ Δορκέως κρήνην 2
τὴν πλησίον τοῦ ἡρῴου Δορκείαν, τὸ δὲ χωρίον τὸ Σέβριον καλοῦσιν ἀπὸ τοῦ Σεβροῦ. τοῦ Σεβρίου δέ ἐστιν ἐν δεξιᾷ μνῆμα Ἀλκμᾶνος, ᾧ ποιήσαντι ᾄσματα οὐδὲν ἐς ἡδονὴν αὐτῶν ἐλυμήνατο τῶν Λακώνων ἡ γλῶσσα, ἥκι-

3 στα παρεχομένη τὸ εὔφωνον. 3. Ἑλένης δὲ ἱερὰ καὶ
Ἡρακλέους, τῆς μὲν πλησίον τοῦ τάφου τοῦ Ἀλκμᾶνος,
τῷ δὲ ἐγγυτάτω τοῦ τείχους, ἐν αὐτῷ δὲ ἄγαλμα Ἡρα-
κλέους ἐστὶν ὡπλισμένον· τὸ δὲ σχῆμα τοῦ ἀγάλματος
διὰ τὴν πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας μάχην γενέ-
σθαι λέγουσι. τὸ δὲ ἔχθος Ἡρακλεῖ φασὶν ἐς οἶκον ὑπάρ-
ξαι τὸν Ἱπποκόωντος, ὅτι μετὰ τὸν Ἰφίτου θάνατον
καθαρσίων ἕνεκα ἐλθόντα αὐτὸν ἐν Σπάρτῃ ἀπηξίωσαν
4 καθῆραι. προσεγένετο δὲ ἐς τοῦ πολέμου τὴν ἀρχὴν καὶ
ἄλλο τοιόνδε. Οἰωνὸς ἡλικίαν μὲν μειράκιον, ἀνεψιὸς δὲ
Ἡρακλεῖ, Λικυμνίου γὰρ παῖς ἦν τοῦ ἀδελφοῦ τοῦ
Ἀλκμήνης, ἀφίκετο ἐς Σπάρτην ἅμα Ἡρακλεῖ, περιιόντι
δὲ καὶ θεωμένῳ τὴν πόλιν, ὡς ἐγίνετο κατὰ τοῦ Ἱππο-
κόωντος τὴν οἰκίαν, ἐνταῦθά οἱ κύων ἐπεφέρετο οἰκου-
ρός· ὁ δὲ τυγχάνει τε ἀφεὶς λίθον ὁ Οἰωνός, καὶ κατα-
βάλλει τὴν κύνα· ἐπεκθέουσιν οὖν τοῦ Ἱπποκόωντος οἱ
παῖδες, καὶ ῥοπάλοις τύπτοντες κατεργάζονται τὸν Οἰω-
5 νόν. τοῦτο Ἡρακλέα μάλιστα ἐξηγρίωσεν ἐς Ἱπποκόωντα
καὶ τοὺς παῖδας· αὐτίκα δὲ ὡς ὀργῆς εἶχε χωρεῖ σφίσιν
ἐς μάχην. τότε μὲν δὴ τιτρώσκεται καὶ λαθὼν ἀπεχώρη-
σεν· ὕστερον δὲ ἐξεγένετό οἱ στρατεύσαντι ἐς Σπάρτην
τιμωρήσασθαι μὲν Ἱπποκόωντα, τιμωρήσασθαι δὲ καὶ
τοὺς παῖδας τοῦ Οἰωνοῦ φόνου. τὸ δὲ μνῆμα τῷ Οἰωνῷ
6 πεποίηται παρὰ τὸ Ἡράκλειον. 4. Ἰόντι δὲ ἐκ τοῦ Δρό-
μου πρὸς ἀνίσχοντα ἥλιον ἀτραπός ἐστιν ἐν δεξιᾷ καὶ
Ἀθηνᾶς Ἀξιοποίνου καλουμένης ἱερόν. ὡς γὰρ δὴ ἀμυ-
νόμενος Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς παῖδας μετῆλθε 245
κατ' ἀξίαν ὧν προϋπῆρξαν, ἱερὸν Ἀθηνᾶς ἱδρύεται,
Ἀξιοποίνου δὲ ἐπίκλησιν, ὅτι τὰς τιμωρίας οἱ παλαιοὶ
τῶν ἀνθρώπων ὠνόμαζον ποινάς. ἔστι δὲ καὶ ἄλλο ἱερὸν
Ἀθηνᾶς ἰόντι ἑτέραν ὁδὸν ἀπὸ τοῦ Δρόμου· Θήραν δὲ
ἀναθεῖναι τὸν Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάν-

δρου φασίν, ἡνίκα ἀποικίαν ἔστελλεν ἐπὶ τὴν νῆσον ἣ
νῦν ἀπὸ Θήρα τούτου τὸ ὄνομα ἔσχηκε, τὸ δὲ ἀρχαῖον
ἐκαλεῖτο Καλλίστη. 5. Πλησίον δέ ἐστιν Ἱπποσθένους 7
ναός, ᾧ γεγόνασιν αἱ πολλαὶ νῖκαι πάλης· σέβουσι δὲ ἐκ
μαντεύματος τὸν Ἱπποσθένην ἅτε Ποσειδῶνι τιμὰς νέ-
μοντες. τοῦ ναοῦ δὲ ἀπαντικρὺ πέδας ἐστὶν ἔχων Ἐνυά-
λιος, ἄγαλμα ἀρχαῖον. γνώμη δὲ Λακεδαιμονίων τε ἐς
τοῦτό ἐστι τὸ ἄγαλμα καὶ Ἀθηναίων ἐς τὴν Ἄπτερον κα-
λουμένην Νίκην, τῶν μὲν οὔποτε τὸν Ἐνυάλιον φεύ-
γοντα οἰχήσεσθαί σφισιν ἐνεχόμενον ταῖς πέδαις, Ἀθη-
ναίων δὲ τὴν Νίκην αὐτόθι ἀεὶ μενεῖν οὐκ ὄντων πτε-
ρῶν. τόνδε μέν εἰσιν αἱ πόλεις αὗται τὰ ξόανα τὸν τρό-
πον ἱδρυμέναι καὶ ἐπὶ δόξῃ τοιαύτῃ. 6. Ἐν Σπάρτῃ δὲ 8
λέσχη τέ ἐστι καλουμένη Ποικίλη καὶ ἡρῷα πρὸς αὐτῇ,
Κάδμου τοῦ Ἀγήνορος, τῶν τε ἀπογόνων, Οἰολύκου
τοῦ Θήρα καὶ Αἰγέως τοῦ Οἰολύκου. ποιῆσαι δὲ τὰ ἡρῷα
λέγουσι Μαῖσιν καὶ Λαίαν τε καὶ Εὐρώπαν, εἶναι δὲ αὐ-
τοὺς Ὑραίου παῖδας τοῦ Αἰγέως. ἐποίησαν δὲ καὶ τῷ
Ἀμφιλόχῳ τὸ ἡρῷον, ὅτι σφίσιν ὁ πρόγονος Τισαμενὸς
246 μητρὸς ἦν Δημωνάσσης, ἀδελφῆς Ἀμφιλόχου. 7. Μό- 9
νοις δὲ Ἑλλήνων Λακεδαιμονίοις καθέστηκεν Ἥραν ἐπ-
ονομάζειν Αἰγοφάγον καὶ αἶγας τῇ θεῷ θύειν. Ἡρακλέα
δὲ λέγουσιν ἱδρύσασθαι τὸ ἱερὸν καὶ αἶγας θῦσαι πρῶ-
τον, ὅτι μαχομένῳ οἱ πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας
οὐδὲν ἐκ τῆς Ἥρας ἀπήντησεν ἐμπόδιον, ὥσπερ γε ἐπὶ
τῶν ἄλλων ἐδόξαζεν ἐναντιοῦσθαί οἱ τὴν θεόν. αἶγας δὲ
αὐτὸν θῦσαί φασιν ἱερείων ἀπορήσαντα ἀλλοίων. Τοῦ 10
θεάτρου δὲ οὐ πόρρω Ποσειδῶνός τε ἱερόν ἐστι Γενε-
θλίου καὶ ἡρῷα Κλεοδαίου τοῦ Ὕλλου καὶ Οἰβάλου. τῶν
δὲ Ἀσκληπιείων τὸ ἐπιφανέστατον πεποίηταί σφισι πρὸς
τοῖς Βοωνήτοις, ἐν ἀριστερᾷ δὲ ἡρῷον Τηλέκλου· τού-
του δὲ καὶ ὕστερον ποιήσομαι μνήμην ἐν τῇ Μεσσηνίᾳ

συγγραφῇ. 8. Προελθοῦσι δὲ οὐ πολὺ λόφος ἐστὶν οὐ μέγας, ἐπὶ δὲ αὐτῷ ναὸς ἀρχαῖος καὶ Ἀφροδίτης ξόανον ὡπλισμένης. ναῶν δὲ ὧν οἶδα μόνῳ τούτῳ καὶ ὑπερῷον
11 ἄλλο ἐπῳκοδόμηται Μορφοῦς ἱερόν. ἐπίκλησις μὲν δὴ τῆς Ἀφροδίτης ἐστὶν ἡ Μορφώ, κάθηται δὲ καλύπτραν τε ἔχουσα καὶ πέδας περὶ τοῖς ποσί· περιθεῖναι δέ οἱ Τυνδάρεων τὰς πέδας φασίν, ἀφομοιοῦντα τοῖς δεσμοῖς τὸ ἐς τοὺς συνοικοῦντας τῶν γυναικῶν βέβαιον. τὸν γὰρ δὴ ἕτερον λόγον, ὡς τὴν θεὸν πέδαις ἐτιμωρεῖτο ὁ Τυνδάρεως, γενέσθαι ταῖς θυγατράσιν ἐξ Ἀφροδίτης ἡγούμενος τὰ ὀνείδη, τοῦτον οὐδὲ ἀρχὴν προσίεμαι· ἦν γὰρ δὴ παντάπασιν εὔηθες κέδρου ποιησάμενον ζῴδιον καὶ ὄνομα Ἀφροδίτην θέμενον ἐλπίζειν ἀμύνεσθαι τὴν θεόν.

XVI. Πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστὶν ἱερόν· ὁ δὲ ποιήσας τὰ ἔπη τὰ Κύπρια θυγατέρας αὐτὰς Ἀπόλλωνός φησιν εἶναι. κόραι δὲ ἱερῶνταί σφισι παρθένοι, καλούμεναι κατὰ ταὐτὰ ταῖς θεαῖς καὶ αὗται Λευκιππίδες. τὸ μὲν δὴ ἕτερον τῶν ἀγαλμάτων ἱερωσαμένη τις 247
ταῖς θεαῖς Λευκιππὶς ἐπεκόσμησε, πρόσωπον ἀντὶ τοῦ ἀρχαίου ποιησαμένη τῆς ἐφ' ἡμῶν τέχνης· τὸ δὲ ἕτερον μὴ καὶ τοῦτο ἐπικοσμεῖν αὐτὴν ἀπεῖπεν ὄνειρον. 2. Ἐνταῦθα ἀπήρτηται ᾠὸν τοῦ ὀρόφου κατειλημένον ταινίαις· εἶναι δέ φασιν ᾠὸν ἐκεῖνο ὃ τεκεῖν Λήδαν ἔχει λό-
2 γος. Ὑφαίνουσι δὲ κατὰ ἔτος αἱ γυναῖκες τῷ Ἀπόλλωνι χιτῶνα τῷ ἐν Ἀμύκλαις, καὶ τὸ οἴκημα ἔνθα ὑφαίνουσι Χιτῶνα ὀνομάζουσιν. 3. οἰκία δὲ αὐτοῦ πεποίηται πλησίον· τὸ δὲ ἐξ ἀρχῆς φασὶν αὐτὴν οἰκῆσαι τοὺς Τυνδάρεω παῖδας, χρόνῳ δὲ ὕστερον ἐκτήσατο Φορμίων Σπαρτιάτης. παρὰ τοῦτον ἀφίκοντο οἱ Διόσκουροι ξένοις ἀνδράσιν ἐοικότες· ἥκειν δὲ ἐκ Κυρήνης φήσαντες καταχθῆναί τε ἠξίουν παρ' αὐτῷ, καὶ οἴκημα ᾐτοῦντο ᾧ
3 μάλιστα ἔχαιρον, ἡνίκα μετὰ ἀνθρώπων ἦσαν. ὁ δὲ οἰ-

κίας μὲν τῆς ἄλλης ἐκέλευεν αὐτοὺς ἔνθα ἂν ἐθέλωσιν
οἰκῆσαι, τὸ δὲ οἴκημα οὐκ ἔφη δώσειν· θυγάτηρ γὰρ
ἔτυχέν οἱ παρθένος ἔχουσα ἐν αὐτῷ δίαιταν. ἐς δὲ τὴν
ὑστεραίαν παρθένος μὲν ἐκείνη καὶ θεραπεία πᾶσα ἡ
περὶ τὴν παῖδα ἠφάνιστο, Διοσκούρων δὲ ἀγάλματα ἐν
τῷ οἰκήματι εὑρέθη καὶ τράπεζά τε καὶ σίλφιον ἐπ' αὐτῇ.
τάδε μὲν οὕτω γενέσθαι λέγουσιν.

4. Ἰόντι δὲ ὡς ἐπὶ τὰς πύλας ἀπὸ τοῦ Χιτῶνος Χεί- 4
λωνός ἐστιν ἡρῷον τοῦ σοφοῦ νομιζομένου, καὶ Ἀθη-
ναίων ** ρῳ τῶν ὁμοῦ Δωριεῖ τῷ Ἀναξανδρίδου στα-
λέντων ἐς Σικελίαν· ἐστάλησαν δὲ τὴν Ἐρυκίνην χώραν
νομίζοντες τῶν ἀπογόνων τῶν Ἡρακλέους εἶναι καὶ οὐ
βαρβάρων τῶν ἐχόντων. Ἡρακλέα γὰρ ἔχει λόγος παλαῖ-
σαι πρὸς Ἔρυκα ἐπὶ τοῖσδε εἰρημένοις, ἢν μὲν Ἡρακλῆς
248 νικήσῃ, γῆν τὴν Ἔρυκος Ἡρακλέους εἶναι, κρατηθέντος
δὲ τῇ πάλῃ βοῦς τὰς Γηρυόνου, ταύτας γὰρ τότε ἤλαυ- 5
νεν Ἡρακλῆς, διανηξαμένας δὲ ἐπὶ Σικελίαν κατὰ τὸν
Ἔλεον τὸν κῦφον ἀνευρήσων ἐπιδιέβη, τὰς οὖν βοῦς
ἔδει κρατηθέντος Ἡρακλέους τὸν Ἔρυκα ἄγοντα οἴχε-
σθαι. τὸ δὲ εὐμενὲς ἐκ τῶν θεῶν οὐ κατὰ ταὐτὰ Ἡρακλεῖ
καὶ ὕστερον Δωριεῖ τῷ Ἀναξανδρίδου παρεγένετο, ἀλλὰ
Ἡρακλῆς μὲν ἀποκτίννυσιν Ἔρυκα, Δωριέα δὲ αὐτόν τε
καὶ τῆς στρατιᾶς διέφθειραν τὸ πολὺ Ἐγεσταῖοι. 5. Λα- 6
κεδαιμόνιοι δὲ καὶ Λυκούργῳ τῷ θεμένῳ τοὺς νόμους,
οἷα δὴ θεῷ πεποιήκασι καὶ τούτῳ ἱερόν. τάφος δέ ἐστιν
ὄπισθεν μὲν τοῦ ναοῦ τῷ Λυκούργου παιδὶ Εὐκόσμῳ,
πρὸς δὲ τῷ βωμῷ Λαθρίας καὶ Ἀναξάνδρας· αἱ δὲ αὐταί
τε ἦσαν δίδυμοι, καὶ ἐπὶ τούτῳ σφᾶς οἱ Ἀριστοδήμου
παῖδες ἅτε ὄντες καὶ αὐτοὶ δίδυμοι λαμβάνουσι, θυγα-
τέρες δὲ ἦσαν Θερσάνδρου τοῦ Ἀγαμηδίδα, βασιλεύον-
τος μὲν Κλεεστωναίων, τετάρτου δὲ ἀπογόνου Κτησίπ-
που τοῦ Ἡρακλέους. τοῦ ναοῦ δὲ ἀπαντικρὺ μνῆμα

*Θεοπόμπου τοῦ Νικάνδρου, τὸ δὲ Εὐρυβιάδου, Λακε-
δαιμονίων τριήρεσιν ἐπ' Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυ-
μαχήσαντος πρὸς Μήδους. πλησίον δὲ Ἀστραβάκου κα-
λούμενόν ἐστιν ἡρῷον.*

7 6. *Τὸ δὲ χωρίον τὸ ἐπονομαζόμενον Λιμναῖον Ὀρ-
θίας ἱερόν ἐστιν Ἀρτέμιδος. τὸ ξόανον δὲ ἐκεῖνο εἶναι* 249
*λέγουσιν ὅ ποτε Ὀρέστης καὶ Ἰφιγένεια ἐκ τῆς Ταυρικῆς
ἐκκλέπτουσιν· ἐς δὲ τὴν σφετέραν Λακεδαιμόνιοι κομι-
σθῆναί φασιν Ὀρέστου καὶ ἐνταῦθα βασιλεύοντος. καί
μοι εἰκότα λέγειν μᾶλλόν τι δοκοῦσιν ἢ Ἀθηναῖοι. ποίῳ
γὰρ δὴ λόγῳ κατέλιπεν ἂν ἐν Βραυρῶνι Ἰφιγένεια τὸ
ἄγαλμα; ἢ πῶς, ἡνίκα Ἀθηναῖοι τὴν χώραν ἐκλιπεῖν
παρεσκευάζοντο, οὐκ ἐσέθεντο καὶ τοῦτο ἐς τὰς ναῦς;*
8 *καίτοι διαμεμένηκεν ἔτι καὶ νῦν τηλικοῦτο ὄνομα τῇ
Ταυρικῇ θεῷ, ὥστε ἀμφισβητοῦσι μὲν Καππαδόκαι οἱ
τὸν Εὔξεινον οἰκοῦντες τὸ ἄγαλμα εἶναι παρὰ σφίσιν,
ἀμφισβητοῦσι δὲ καὶ Λυδῶν οἷς ἐστὶν Ἀρτέμιδος ἱερὸν
Ἀναιίτιδος. Ἀθηναίοις δὲ ἄρα παρώφθη γενόμενον λά-
φυρον τῷ Μήδῳ· τὸ γὰρ ἐκ Βραυρῶνος ἐκομίσθη τε ἐς
Σοῦσα, καὶ ὕστερον Σελεύκου δόντος Σύροι Λαοδικεῖς*
9 *ἐφ' ἡμῶν ἔχουσι. μαρτύρια δέ μοι καὶ τάδε τὴν ἐν Λακε-
δαίμονι Ὀρθίαν τὸ ἐκ τῶν βαρβάρων εἶναι ξόανον· τοῦτο
μὲν γὰρ Ἀστράβακος καὶ Ἀλώπεκος οἱ Ἴρβου τοῦ Ἀμφι-
σθένους τοῦ Ἀμφικλέους τοῦ Ἄγιδος τὸ ἄγαλμα εὑρόν-
τες αὐτίκα παρεφρόνησαν· τοῦτο δὲ οἱ Λιμνᾶται Σπαρ-
τιατῶν καὶ Κυνοσουρεῖς καὶ ἐκ Μεσόας τε καὶ Πιτάνης
θύοντες τῇ Ἀρτέμιδι ἐς διαφοράν, ἀπὸ δὲ αὐτῆς καὶ ἐς
φόνους προήχθησαν, ἀποθανόντων δὲ ἐπὶ τῷ βωμῷ πολ-*
10 *λῶν νόσος ἔφθειρε τοὺς λοιπούς.* 7. *καί σφισιν ἐπὶ τού-
τῳ γίνεται λόγιον αἵματι ἀνθρώπων τὸν βωμὸν αἱμάσ-
σειν· θυομένου δὲ ὅντινα ὁ κλῆρος ἐπελάμβανε, Λυ-
κοῦργος μετέβαλεν ἐς τὰς ἐπὶ τοῖς ἐφήβοις μάστιγας,*

ἐμπίπλαταί τε οὕτως ἀνθρώπων αἵματι ὁ βωμός. ἡ δὲ
250 ἱέρεια τὸ ξόανον ἔχουσά σφισιν ἐφέστηκε. τὸ δέ ἐστιν ἄλ-
λως μὲν κοῦφον ὑπὸ σμικρότητος, ἢν δὲ οἱ μαστιγοῦντές 11
ποτε ὑποφειδόμενοι παίωσι κατὰ ἐφήβου κάλλος ἢ
ἀξίωμα, τότε ἤδη τῇ γυναικὶ τὸ ξόανον γίνεται βαρὺ καὶ
οὐκέτι εὔφορον· ἡ δὲ ἐν αἰτίᾳ τοὺς μαστιγοῦντας ποιεῖ-
ται καὶ πιέζεσθαι δι' αὐτούς φησιν. οὕτω τῷ ἀγάλματι
ἀπὸ τῶν ἐν τῇ Ταυρικῇ θυσιῶν ἐμμεμένηκεν ἀνθρώπων
αἵματι ἥδεσθαι. καλοῦσι δὲ οὐκ Ὀρθίαν μόνον, ἀλλὰ καὶ
Λυγοδέσμαν τὴν αὐτήν, ὅτι ἐν θάμνῳ λύγων εὑρέθη,
περιειληθεῖσα δὲ ἡ λύγος ἐποίησε τὸ ἄγαλμα ὀρθόν.

XVII. Οὐ πόρρω δὲ τῆς Ὀρθίας ἐστὶν Εἰλειθυίας
ἱερόν· οἰκοδομῆσαι δέ φασιν αὐτὸ καὶ Εἰλείθυιαν νο-
μίσαι θεὸν γενομένου σφίσιν ἐκ Δελφῶν μαντεύματος.
2. Λακεδαιμονίοις δὲ ἀκρόπολις μὲν ἐς ὕψος περιφανὲς
ἐξίσχουσα οὐκ ἔστι, καθὰ δὴ Θηβαίοις τε ἡ Καδμεία καὶ
ἡ Λάρισα Ἀργείοις· ὄντων δὲ ἐν τῇ πόλει λόφων καὶ ἄλ-
λων, τὸ μάλιστα ἐς μετέωρον ἀνῆκον ὀνομάζουσιν ἀκρό-
πολιν. 3. Ἐνταῦθα Ἀθηνᾶς ἱερὸν πεποίηται, Πολιούχου 2
καλουμένης καὶ Χαλκιοίκου τῆς αὐτῆς. τοῦ δὲ ἱεροῦ τῆς
κατασκευῆς Τυνδάρεως, καθὰ λέγουσιν, ἤρξατο· ἀπο-
θανόντος δὲ ἐκείνου δεύτερα οἱ παῖδες ἐξεργάσασθαι τὸ
οἰκοδόμημα ἤθελον, ἀφορμὴ δέ σφισιν ἔμελλε τὰ ἐξ
Ἀφιδναίων ἔσεσθαι λάφυρα. προαπολιπόντων δὲ καὶ
τούτων, Λακεδαιμόνιοι πολλοῖς ἔτεσιν ὕστερον τόν τε
ναὸν ὁμοίως καὶ τὸ ἄγαλμα ἐποιήσαντο Ἀθηνᾶς χαλ-
κοῦν· Γιτιάδας δὲ εἰργάσατο ἀνὴρ ἐπιχώριος. ἐποίησε
δὲ καὶ ᾄσματα Δώρια ὁ Γιτιάδας ἄλλα τε καὶ ὕμνον ἐς
τὴν θεόν. ἐπείργασται δὲ τῷ χαλκῷ πολλὰ μὲν τῶν 3
ἄθλων Ἡρακλέους, πολλὰ δὲ καὶ ὧν ἐθελοντὴς κατώρ-
251 θωσε, Τυνδάρεω δὲ τῶν παίδων ἄλλα τε καὶ ἡ τῶν Λευ-
κίππου θυγατέρων ἁρπαγή· καὶ Ἥφαιστος τὴν μητέρα

ἐστὶν ἀπολύων τῶν δεσμῶν. ἐδήλωσα δὲ καὶ ταῦτα, ὁποῖα λέγεται, πρότερον ἔτι ἐν τῇ Ἀτθίδι συγγραφῇ. Περσεῖ δ᾽ ἐς Λιβύην καὶ ἐπὶ Μέδουσαν ὡρμημένῳ διδοῦσαι νύμφαι δῶρά εἰσι κυνῆν καὶ τὰ ὑποδήματα, ὑφ᾽ ὧν οἰσθήσεσθαι διὰ τοῦ ἀέρος ἔμελλεν. ἐπείργασται δὲ καὶ τὰ ἐς τὴν Ἀθηνᾶς γένεσιν καὶ Ἀμφιτρίτη καὶ Ποσειδῶν, ἃ δὴ μέγιστα καὶ μάλιστα ἦν ἐμοὶ δοκεῖν θέας ἄξια.

4 4. Ἔστι δὲ καὶ ἕτερον αὐτόθι Ἀθηνᾶς Ἐργάνης ἱερόν. ἐς δὲ τὴν πρὸς μεσημβρίαν στοὰν Κοσμητᾶ τε ἐπίκλησιν Διὸς ναὸς καὶ Τυνδάρεω πρὸ αὐτοῦ μνῆμά ἐστιν. ἡ δὲ πρὸς δυσμὰς ἔχει τῶν στοῶν ἀετούς τε δύο τοὺς ὄρνιθας καὶ ἴσας ἐπ᾽ αὐτοῖς Νίκας, Λυσάνδρου μὲν ἀνάθημα, τῶν δὲ ἔργων ὑπόμνημα τῶν ἀμφοτέρων, τοῦ τε περὶ Ἔφεσον, ὅτε Ἀντίοχον τὸν Ἀλκιβιάδου κυβερνήτην καὶ Ἀθηναίων τριήρεις ἐνίκησε, καὶ ὕστερον ἐν Αἰ-
5 γὸς ποταμοῖς καθεῖλεν Ἀθηναίων τὸ ναυτικόν. 5. Ἐν ἀριστερᾷ δὲ τῆς Χαλκιοίκου Μουσῶν ἱδρύσαντο ἱερόν, ὅτι οἱ Λακεδαιμόνιοι τὰς ἐξόδους ἐπὶ τὰς μάχας οὐ μετὰ σαλπίγγων ἐποιοῦντο, ἀλλὰ πρός τε αὐλῶν μέλη καὶ ὑπὸ λύρας καὶ κιθάρας κρούσμασιν. ὄπισθεν δὲ τῆς Χαλκιοίκου ναός ἐστιν Ἀφροδίτης Ἀρείας· τὰ δὲ ξόανα ἀρχαῖα, εἴπερ τι ἄλλο ἐν Ἕλλησι.

6 6. Τῆς Χαλκιοίκου δὲ ἐν δεξιᾷ Διὸς ἄγαλμα Ὑπάτου πεποίηται, παλαιότατον πάντων ὁπόσα ἐστὶ χαλκοῦ· δι᾽ ὅλου γὰρ οὐκ ἔστιν εἰργασμένον, ἐληλασμένου δὲ ἰδίᾳ τῶν μερῶν καθ᾽ αὑτὸ ἑκάστου συνήρμοσταί τε πρὸς ἄλληλα, καὶ ἧλοι συνέχουσιν αὐτὰ μὴ διαλυθῆναι. Κλέαρχον δὲ ἄνδρα Ῥηγῖνον τὸ ἄγαλμα ποιῆσαι λέγουσιν, ὃν Διποίνου καὶ Σκύλλιδος, οἱ δὲ αὐτοῦ Δαιδάλου φασὶν εἶναι μαθητήν. πρὸς δὲ τῷ Σκηνώματι ὀνομαζομένῳ 252
γυναικός ἐστιν εἰκών, Λακεδαιμόνιοι δὲ Εὐρυλεωνίδα

λέγουσιν εἶναι· νίκην δὲ ἵππων συνωρίδι ἀνείλετο Ὀλυμπικήν.

7. Παρὰ δὲ τῆς Χαλκιοίκου τὸν βωμὸν ἑστήκασι 7
δύο εἰκόνες Παυσανίου τοῦ περὶ Πλάταιαν ἡγησαμένου. τὰ δὲ ἐς αὐτὸν ὁποῖα ἐγένετο εἰδόσιν οὐ διηγήσομαι· τὰ γὰρ τοῖς πρότερον συγγραφέντα ἐπ' ἀκριβὲς ἀποχρῶντα ἦν· ἐπεξελθεῖν δέ σφισιν ἀρκέσομαι ἃ ἤκουσα ἀνδρὸς Βυζαντίου, Παυσανίαν φωραθῆναί τε ἐφ' οἷς ἐβουλεύετο καὶ μόνον τῶν ἱκετευσάντων τὴν Χαλκίοικον ἁμαρτεῖν ἀδείας κατ' ἄλλο μὲν οὐδέν, φόνου δὲ ἄγος ἐκνίψασθαι
μὴ δυνηθέντα. 8. ὡς γὰρ δὴ διέτριβε περὶ Ἑλλήσποντον 8
ναυσὶ τῶν τε ἄλλων καὶ αὐτῶν Λακεδαιμονίων, παρθένου Βυζαντίας ἐπεθύμησε· καὶ αὐτίκα νυκτὸς ἀρχομένης τὴν Κλεονίκην, τοῦτο γὰρ ὄνομα ἦν τῇ κόρῃ, κομίζουσιν οἷς ἐπετέτακτο. ἐν τούτῳ δὲ ὑπνωμένον τὸν Παυσανίαν ἐπήγειρεν ὁ ψόφος· ἰοῦσα γὰρ παρ' αὐτὸν τὸν καιόμενον λύχνον κατέβαλεν ἄκουσα. ἅτε δὲ ὁ Παυσανίας συνειδὼς αὑτῷ προδιδόντι τὴν Ἑλλάδα, καὶ δι' αὐτὸ ἐχόμενος ταραχῇ τε ἀεὶ καὶ δείματι, ἐξέστη καὶ τότε καὶ
τὴν παῖδα τῷ ἀκινάκῃ παίει. τοῦτο τὸ ἄγος οὐκ ἐξεγέ- 9
νετο ἀποφυγεῖν Παυσανίᾳ, καθάρσια παντοῖα καὶ ἱκε-
253 σίας δεξαμένῳ Διὸς Φυξίου, καὶ δὴ ἐς Φιγαλίαν ἐλθόντι τὴν Ἀρκάδων παρὰ τοὺς ψυχαγωγούς, δίκην δὲ ἣν εἰκὸς ἦν Κλεονίκῃ τε ἀπέδωκε καὶ τῷ θεῷ. Λακεδαιμόνιοι δὲ ἐκτελοῦντες πρόσταγμα ἐκ Δελφῶν τάς τε εἰκόνας ἐποιήσαντο τὰς χαλκᾶς καὶ δαίμονα τιμῶσιν Ἐπιδώτην, τὸ ἐπὶ Παυσανίᾳ τοῦ Ἱκεσίου μήνιμα ἀποτρέπειν τὸν Ἐπιδώτην λέγοντες τοῦτον.

XVIII. Τῶν δὲ ἀνδριάντων τοῦ Παυσανίου πλησίον ἐστὶν Ἀμβολογήρας Ἀφροδίτης ἄγαλμα, ἱδρυμένον κατὰ μαντείαν, ἄλλα δὲ Ὕπνου καὶ Θανάτου· καὶ σφᾶς ἀδελ-
φοὺς εἶναι κατὰ τὰ ἔπη τὰ ἐν Ἰλιάδι ἥγηνται. Ἰόντι δὲ ὡς 2

ἐπὶ τὸ Ἀλπίου καλούμενον ναός ἐστιν Ἀθηνᾶς Ὀφθαλ-
μίτιδος· ἀναθεῖναι δὲ Λυκοῦργον λέγουσιν ἐκκοπέντα
τῶν ὀφθαλμῶν τὸν ἕτερον ὑπὸ Ἀλκάνδρου, διότι οὓς
ἔθηκε νόμους οὐκ ἀρεστοὺς συνέβαινεν εἶναι τῷ Ἀλκάν-
δρῳ· διαφυγὼν δὲ ἐς τοῦτο τὸ χωρίον Λακεδαιμονίων
ἀμυνάντων μὴ προσαπολέσθαι οἱ καὶ τὸν λειπόμενον
ὀφθαλμόν, οὕτω ναὸν Ὀφθαλμίτιδος Ἀθηνᾶς ἐποίησε.
3 2. Προελθόντι δὲ ἐντεῦθεν ἱερόν ἐστιν Ἄμμωνος·
φαίνονται δὲ ἀπ' ἀρχῆς Λακεδαιμόνιοι μάλιστα Ἑλλήνων
χρώμενοι τῷ ἐν Λιβύῃ μαντείῳ. λέγεται δὲ καὶ Λυσάν-
δρῳ πολιορκοῦντι Ἄφυτιν τὴν ἐν τῇ Παλλήνῃ νύκτωρ
ἐπιφανέντα Ἄμμωνα προαγορεύειν ὡς ἄμεινον ἐκείνῳ
τε ἔσοιτο καὶ τῇ Λακεδαίμονι πολέμου πρὸς Ἀφυταίους
παυσαμένοις· καὶ οὕτω τὴν πολιορκίαν διέλυσεν ὁ Λύ- 254
σανδρος, καὶ Λακεδαιμονίους τὸν θεὸν σέβειν προήγαγεν
ἐς πλέον. Ἀφυταῖοι δὲ τιμῶσιν Ἄμμωνα οὐδὲν ἧσσον ἢ
4 οἱ Ἀμμώνιοι Λιβύων. 3. Τὰ δὲ ἐς τὴν Κναγίαν Ἄρτε-
μίν ἐστιν οὕτω λεγόμενα. Κναγέα ἄνδρα ἐπιχώριον
στρατεῦσαί φασιν ἐς Ἄφιδναν ὁμοῦ τοῖς Διοσκούροις,
ληφθέντα δὲ αἰχμάλωτον ἐν τῇ μάχῃ καὶ πραθέντα ἐς
Κρήτην δουλεύειν ἔνθα ἦν Ἀρτέμιδος τοῖς Κρησὶν ἱερόν,
ἀνὰ χρόνον δὲ αὐτόν τε ἀποδρᾶναι καὶ παρθένον τὴν
ἱερευομένην ἔχοντα οἴχεσθαι τὸ ἄγαλμα ἀγομένην. ἐπὶ
5 τούτῳ δὲ λέγουσιν ὀνομάζειν Κναγίαν Ἄρτεμιν. ἐμοὶ δὲ
οὗτος ὁ Κναγεὺς ἄλλως ἀφικέσθαι πως ἐς Κρήτην φαί-
νεται, καὶ οὐχ ὡς οἱ Λακεδαιμόνιοί φασιν, ἐπεὶ μηδὲ γε-
νέσθαι δοκῶ πρὸς Ἀφίδνῃ μάχην Θησέως τε ἐν Θεσπρω-
τοῖς ἐχομένου καὶ Ἀθηναίων οὐχ ὁμονοούντων, ἀλλὰ ἐς
Μενεσθέα ῥεπόντων μᾶλλον ταῖς εὐνοίαις. οὐ μὴν οὐδὲ
ἀγῶνος συμβάντος πείθοιτο ἄν τις αἰχμαλώτους ληφθῆ-
ναι παρὰ τῶν κρατησάντων, ἄλλως τε καὶ παρὰ πολὺ

γενομένης τῆς νίκης, ὥστε ἁλῶναι καὶ αὐτὴν Ἄφιδναν. τάδε μὲν ἐς τοσοῦτον ἐξητάσθω.

4. Ἐς Ἀμύκλας δὲ κατιοῦσιν ἐκ Σπάρτης ποταμός 6
ἐστι Τίασα· θυγατέρα δὲ νομίζουσιν εἶναι τοῦ Εὐρώτα τὴν Τίασαν, καὶ πρὸς αὐτῇ Χαρίτων ἐστὶν ἱερόν, Φαέννας καὶ Κλήτας, καθὰ δὴ καὶ Ἀλκμὰν ἐποίησεν. ἱδρύσασθαι δὲ Λακεδαίμονα Χάρισιν ἐνταῦθα τὸ ἱερὸν καὶ θέσθαι τὰ ὀνόματα ἥγηνται. 5. Τὰ δὲ ἐν Ἀμύκλαις θέας 7
ἄξια, ἀνὴρ πένταθλός ἐστιν ἐπὶ στήλης ὄνομα Αἴνητος· τούτῳ νικήσαντι Ὀλυμπίασι καὶ ἔτι στεφανουμένῳ γενέσθαι τοῦ βίου τὴν τελευτὴν λέγουσι. τούτου τε οὖν ἐστὶν εἰκών, καὶ τρίποδες χαλκοῖ. τοὺς δὲ ἀρχαιοτέρους δεκάτην τοῦ πρὸς Μεσσηνίους πολέμου φασὶν εἶναι. ὑπὸ 8
255 μὲν δὴ τῷ πρώτῳ τρίποδι Ἀφροδίτης ἄγαλμα ἑστήκει, Ἄρτεμις δὲ ὑπὸ τῷ δευτέρῳ· Γιτιάδα καὶ αὐτοὶ τέχνη καὶ τὰ ἐπειργασμένα. ὁ τρίτος δέ ἐστιν Αἰγινήτου Κάλλωνος· ὑπὸ τούτῳ δὲ ἄγαλμα Κόρης τῆς Δήμητρος ἕστηκεν. Ἀρίστανδρος δὲ Πάριος καὶ Πολύκλειτος Ἀργεῖος, ὁ μὲν γυναῖκα ἐποίησεν ἔχουσαν λύραν, Σπάρτην δῆθεν, Πολύκλειτος δὲ Ἀφροδίτην παρὰ Ἀμυκλαίῳ καλουμένην. οὗτοι δὲ οἱ τρίποδες μεγέθει τε ὑπὲρ τοὺς ἄλλους εἰσί, καὶ ἀπὸ τῆς νίκης τῆς ἐν Αἰγὸς ποταμοῖς ἀνετέθησαν. 6. Βαθυκλέους δὲ Μάγνητος, ὃς τὸν θρόνον ἐποίησε 9
τοῦ Ἀμυκλαίου, ἀναθήματα ἐπ' ἐξειργασμένῳ τῷ θρόνῳ Χάριτες καὶ ἄγαλμα δὲ Λευκοφρυηνῆς ἐστὶν Ἀρτέμιδος. ὅτου δὲ οὗτος ὁ Βαθυκλῆς μαθητὴς ἐγεγόνει, ἢ τὸν θρόνον ἐφ' ὅτου βασιλεύοντος Λακεδαιμονίων ἐποίησε, τάδε μὲν παρίημι, τὸν θρόνον δὲ εἶδόν τε καὶ τὰ ἐς αὐτὸν ὁποῖα ἦν γράψω. 7. Ἀνέχουσιν ἔμπροσθεν αὐτόν, κατὰ 10
ταὐτὰ δὲ καὶ ὀπίσω, Χάριτές τε δύο καὶ Ὧραι δύο· ἐν ἀριστερᾷ δὲ Ἔχιδνα ἕστηκε καὶ Τυφώς, ἐν δεξιᾷ δὲ Τρίτωνες. τὰ δὲ ἐπειργασμένα καθ' ἕκαστον ἐπ' ἀκριβὲς

διελθεῖν ὄχλον τοῖς ἐπιλεξομένοις παρέξειν ἔμελλεν· ὡς δὲ δηλῶσαι συλλαβόντι, ἐπεὶ μηδὲ ἄγνωστα τὰ πολλὰ ἦν, Ταϋγέτην θυγατέρα Ἄτλαντος καὶ ἀδελφὴν αὐτῆς Ἀλκυόνην φέρουσι Ποσειδῶν καὶ Ζεύς. ἐπείργασται δὲ καὶ Ἄτλας, καὶ Ἡρακλέους μονομαχία πρὸς Κύκνον, καὶ ἡ
11 παρὰ Φόλῳ τῶν Κενταύρων μάχη. τὸν δὲ Μίνω καλούμενον Ταῦρον οὐκ οἶδα ἀνθ' ὅτου πεποίηκε Βαθυκλῆς δεδεμένον τε καὶ ἀγόμενον ὑπὸ Θησέως ζῶντα. καὶ Φαιάκων χορός ἐστιν ἐπὶ τῷ θρόνῳ, καὶ ᾄδων ὁ Δημόδοκος. Περσέως τε τὸ ἔργον πεποίηται τὸ ἐς Μέδουσαν. παρέντι δὲ Ἡρακλέους μάχην πρὸς Θούριον τῶν γιγάντων καὶ Τυνδάρεω πρὸς Εὔρυτον, ἔστιν ἁρπαγὴ τῶν Λευκίππου θυγατέρων. Διόνυσον δὲ καὶ Ἡρακλέα, τὸν μὲν παῖδα ἔτι [ὄντα] ἐς οὐρανόν ἐστιν Ἑρμῆς φέρων, Ἀθηνᾶ δὲ
12 ἄγουσα Ἡρακλέα συνοικήσοντα ἀπὸ τούτου θεοῖς. παραδίδωσι δὲ καὶ Πηλεὺς Ἀχιλλέα τραφησόμενον παρὰ Χείρωνι, ὃς καὶ διδάξαι λέγεται· Κέφαλος δὲ τοῦ κάλλους 256
ἕνεκα ὑπὸ Ἡμέρας ἐστὶν ἡρπασμένος. καὶ ἐς τὸν γάμον τὸν Ἁρμονίας δῶρα κομίζουσιν οἱ θεοί. καὶ Ἀχιλλέως μονομαχία πρὸς Μέμνονα ἐπείργασται, Διομήδην τε Ἡρακλῆς τὸν Θρᾷκα καὶ ἐπ' Εὐήνῳ τῷ ποταμῷ Νέσσον τιμωρούμενος. Ἑρμῆς δὲ παρ' Ἀλέξανδρον κριθησομένας ἄγει τὰς θεάς. Ἄδραστος δὲ καὶ Τυδεὺς Ἀμφιάραον καὶ Λυκοῦργον τὸν Πρώνακτος μάχης καταπαύουσιν.
13 Ἥρα δὲ ἀφορᾷ πρὸς Ἰὼ τὴν Ἰνάχου βοῦν οὖσαν ἤδη, καὶ Ἀθηνᾶ διώκοντα ἀποφεύγουσά ἐστιν Ἥφαιστον. ἐπὶ δὲ τούτοις Ἡρακλέους πεποίηται τῶν ἔργων τὸ ἐς τὴν ὕδραν καὶ ὡς ἀνήγαγε τοῦ Ἅιδου τὸν κύνα. Ἄναξις δὲ καὶ Μνασίνους, τούτων μὲν ἐφ' ἵππου καθήμενός ἐστιν ἑκάτερος, Μεγαπένθην δὲ τὸν Μενελάου καὶ Νικόστρατον ἵππος εἷς φέρων ἐστίν. ἀναιρεῖ δὲ καὶ Βελλεροφόντης τὸ ἐν Λυκίᾳ θηρίον, καὶ Ἡρακλῆς τὰς Γηρυόνου βοῦς ἐλαύ-

νει. 8. Τοῦ θρόνου δὲ πρὸς τοῖς ἄνω πέρασιν ἐφ' ἵππων 14
ἑκατέρωθέν εἰσιν οἱ Τυνδάρεω παῖδες· καὶ σφίγγες τέ εἰσιν ὑπὸ τοῖς ἵπποις καὶ θηρία ἄνω θέοντα, τῇ μὲν πάρδαλις, κατὰ δὲ τὸν Πολυδεύκην λέαινα. ἀνωτάτω δὲ χορὸς ἐπὶ τῷ θρόνῳ πεποίηται, Μάγνητες οἱ συνειργασμένοι Βαθυκλεῖ τὸν θρόνον. ὑπελθόντι δὲ ὑπὸ τὸν θρό- 15
νον, τὰ ἔνδον ἀπὸ τῶν Τριτώνων, ὕός ἐστι θήρα τοῦ Καλυδωνίου καὶ Ἡρακλῆς ἀποκτείνων τοὺς παῖδας τοὺς Ἄκτορος. Κάλαϊς δὲ καὶ Ζήτης τὰς Ἁρπυίας Φινέως ἀπελαύνουσιν. Πειρίθους τε καὶ Θησεὺς ἡρπακότες εἰσὶν Ἑλένην, καὶ ἄγχων Ἡρακλῆς τὸν λέοντα. Τιτυὸν δὲ Ἀπόλλων τοξεύει καὶ Ἄρτεμις. Ἡρακλέους τε πρὸς 16
Ὄρειον Κένταυρον μάχη πεποίηται καὶ Θησέως πρὸς Ταῦρον τὸν Μίνω. πεποίηται καὶ ἡ πρὸς Ἀχελῷον Ἡρακλέους πάλη, καὶ τὰ λεγόμενα ἐς Ἥραν, ὡς ὑπὸ Ἡφαί-
257 στου δεθείη, καὶ ὃν Ἄκαστος ἔθηκεν ἀγῶνα ἐπὶ πατρί, καὶ τὰ ἐς Μενέλαον καὶ τὸν Αἰγύπτιον Πρωτέα ἐν Ὀδυσσείᾳ. τελευταῖα Ἄδμητός τε ζευγνύων ἐστὶν ὑπὸ τὸ ἅρμα κάπρον καὶ λέοντα, καὶ οἱ Τρῶες ἐπιφέροντες χοὰς Ἕκτορι.

XIX. Τοῦ θρόνου δέ, ᾗ καθίζοιτο ἂν ὁ θεός, οὐ διὰ παντὸς κατὰ τοῦτο συνεχοῦς ὄντος ἀλλὰ καθέδρας παρεχομένου πλείονας, παρὰ δὲ καθέδραν ἑκάστην ὑπολειπομένης [καὶ] εὐρυχωρίας, τὸ μέσον ἐστὶν εὐρυχωρὲς μάλιστα, καὶ τὸ ἄγαλμα ἐνταῦθα ἐνέστηκε. 2. μέγεθος 2
δὲ αὐτοῦ μέτρῳ μὲν οὐδένα ἀνευρόντα οἶδα, εἰκάζοντι δὲ καὶ τριάκοντα εἶναι φαίνοιντο ἂν πήχεις. ἔργον δὲ οὐ Βαθυκλέους ἐστίν, ἀλλὰ ἀρχαῖον καὶ οὐ σὺν τέχνῃ πεποιημένον· ὅτι γὰρ μὴ πρόσωπον αὐτῷ καὶ πόδες εἰσὶν ἄκροι καὶ χεῖρες, τὸ λοιπὸν χαλκῷ κίονί ἐστιν εἰκασμένον. ἔχει δὲ ἐπὶ τῇ κεφαλῇ κράνος, λόγχην δὲ ἐν ταῖς χερσὶ καὶ τόξον. 3. τοῦ δὲ ἀγάλματος τὸ βάθρον παρέχε- 3

ται μὲν βωμοῦ σχῆμα, τεθάφθαι δὲ τὸν Ὑάκινθον λέγουσιν ἐν αὐτῷ, καὶ Ὑακινθίοις πρὸ τῆς τοῦ Ἀπόλλωνος θυσίας ἐς τοῦτον Ὑακίνθῳ τὸν βωμὸν διὰ θύρας χαλκῆς ἐναγίζουσιν· ἐν ἀριστερᾷ δέ ἐστιν ἡ θύρα τοῦ βωμοῦ. 4. ἐπείργασται δὲ τῷ βωμῷ τοῦτο μὲν ἄγαλμα Βίριδος, τοῦτο δὲ Ἀμφιτρίτης καὶ Ποσειδῶνος. Διὸς δὲ καὶ Ἑρμοῦ διαλεγομένων ἀλλήλοις πλησίον Διόνυσος ἑστήκασι
4 καὶ Σεμέλη, παρὰ δὲ αὐτὴν Ἰνώ. πεποίηται δὲ ἐπὶ τοῦ βωμοῦ καὶ ἡ Δημήτηρ καὶ Κόρη καὶ Πλούτων, ἐπὶ δὲ αὐτοῖς Μοῖραί τε καὶ Ὧραι, σὺν δέ σφισιν Ἀφροδίτη καὶ Ἀθηνᾶ τε καὶ Ἄρτεμις· κομίζουσι δ' ἐς οὐρανὸν Ὑάκινθον καὶ Πολύβοιαν Ὑακίνθου, καθὰ λέγουσιν, ἀδελφὴν ἀποθανοῦσαν ἔτι παρθένον. τοῦτο μὲν οὖν τοῦ Ὑακίνθου τὸ ἄγαλμα ἔχον ἐστὶν ἤδη γένεια, Νικίας δὲ ὁ Νικομήδους περισσῶς δή τι ἔγραψεν αὐτὸν ὡραῖον, τὸν ἐπὶ Ὑακίνθῳ λεγόμενον Ἀπόλλωνος ἔρωτα ὑποσημαίνων. 258
5 πεποίηται δὲ ἐπὶ τοῦ βωμοῦ καὶ Ἡρακλῆς ὑπὸ Ἀθηνᾶς καὶ θεῶν τῶν ἄλλων καὶ οὗτος ἀγόμενος ἐς οὐρανόν. εἰσὶ δὲ καὶ αἱ Θεστίου θυγατέρες ἐπὶ τῷ βωμῷ καὶ Μοῦσαί τε καὶ Ὧραι. περὶ δὲ ἀνέμου Ζεφύρου, καὶ ὡς ὑπὸ τοῦ Ἀπόλλωνος Ὑάκινθος ἀπέθανεν ἄκοντος, καὶ τὰ ἐς τὸ ἄνθος εἰρημένα, τάχα μὲν ἂν ἔχοι καὶ ἄλλως, δοκείτω δὲ ᾗ λέγεται.

6 5. Ἀμύκλαι δὲ ἀνάστατος ὑπὸ Δωριέων γενομένη καὶ ἀπ' ἐκείνου κώμη διαμένουσα θέας παρείχετο ἄξιον ἱερὸν Ἀλεξάνδρας καὶ ἄγαλμα· τὴν δὲ Ἀλεξάνδραν οἱ Ἀμυκλαιεῖς Κασσάνδραν τὴν Πριάμου φασὶν εἶναι. καὶ Κλυταιμνήστρας ἐστὶν ἐνταῦθα εἰκών, καὶ [ἄγαλμα] Ἀγαμέμνονος νομιζόμενον μνῆμα. 6. θεῶν δὲ σέβουσιν οἱ ταύτῃ τόν τε Ἀμυκλαῖον καὶ Διόνυσον, ὀρθότατα ἐμοὶ δοκεῖν Ψίλακα ἐπονομάζοντες· ψίλα γὰρ καλοῦσιν οἱ Δωριεῖς τὰ πτερά, ἀνθρώπους δὲ οἶνος ἐπαίρει τε καὶ

ἀνακουφίζει γνώμην οὐδέν τι ἧσσον ἢ ὄρνιθας πτερά. καὶ Ἀμύκλαι μὲν παρείχοντο τοσαῦτα ἐς μνήμην.

7. Ἑτέρα δὲ ἐκ τῆς πόλεως ὁδὸς ἐς Θεράπνην ἄγει· 7
κατὰ δὲ τὴν ὁδὸν Ἀθηνᾶς ξόανόν ἐστιν Ἀλέας. πρὶν δὲ ἢ διαβῆναι τὸν Εὐρώταν, ὀλίγον ὑπὲρ τῆς ὄχθης ἱερὸν δείκνυται Διὸς Πλουσίου. διαβᾶσι δὲ Κοτυλέως ἐστὶν Ἀσκληπιοῦ ναός, ὃν ἐποίησεν Ἡρακλῆς καὶ Ἀσκληπιὸν Κοτυλέα ὠνόμασεν ἀκεσθεὶς τὸ τραῦμα τὸ ἐς τὴν κοτύλην οἱ γενόμενον ἐν τῇ πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας προτέρᾳ μάχῃ. ὁπόσα δὲ πεποίηται κατὰ τὴν ὁδὸν ταύτην, ἐστὶν ἀρχαιότατον αὐτῶν Ἄρεως ἱερόν. τοῦτό ἐστιν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, τὸ δ' ἄγαλμα τοὺς Διοσκούρους φασὶ κομίσαι ἐκ Κόλχων· 8. Θηρειτὰν δὲ ἐπονομά- 8
ζουσιν ἀπὸ Θηροῦς· ταύτην γὰρ τροφὸν εἶναι τοῦ Ἄρεως λέγουσι. τάχα δ' ἂν ἀκηκοότες παρὰ Κόλχων Θηρειτὰν
259 λέγοιεν, ἐπεὶ Ἕλληνές γε οὐκ ἴσασιν Ἄρεως τροφὸν Θηρώ. δοκεῖν δέ μοι, Θηρειτὰς οὐ διὰ τὴν τροφὸν ἡ ἐπωνυμία τῷ Ἄρει γέγονεν, ὅτι δὲ ἀνδρὶ χρὴ πολεμίῳ καταστάντα ἐς μάχην οὐδὲν ἔτι ἔχειν ἤπιον, καθὰ δὴ καὶ Ὁμήρῳ περὶ Ἀχιλλέως πεποίηται „λέων δ' ὣς ἄγρια οἶδεν.“

9. Θεράπνη δὲ ὄνομα μὲν τῷ χωρίῳ γέγονεν ἀπὸ τῆς 9
Λέλεγος θυγατρός, Μενελάου δέ ἐστιν ἐν αὐτῇ ναός, καὶ Μενέλαον καὶ Ἑλένην ἐνταῦθα ταφῆναι λέγουσι. 10. Ῥόδιοι δὲ οὐχ ὁμολογοῦντες Λακεδαιμονίοις φασὶν Ἑλένην Μενελάου τελευτήσαντος, Ὀρέστου δὲ ἔτι πλανωμένου, τηνικαῦτα ὑπὸ Νικοστράτου καὶ Μεγαπένθους διωχθεῖσαν ἐς Ῥόδον ἀφικέσθαι Πολυξοῖ τῇ Τληπολέμου γυναικὶ ἔχουσαν ἐπιτηδείως· εἶναι γὰρ καὶ Πολυξὼ τὸ γένος Ἀρ- 10
γείαν, Τληπολέμῳ δὲ ἔτι πρότερον συνοικοῦσαν φυγῆς μετασχεῖν τῆς ἐς Ῥόδον, καὶ τῆς νήσου τηνικαῦτα ἄρχειν ὑπολειπομένην ἐπὶ ὀρφανῷ παιδί. ταύτην τὴν Πολυξώ

φασιν ἐπιθυμοῦσαν Ἑλένην τιμωρήσασθαι τελευτῆς τῆς
Τληπολέμου, τότε ὡς ἔλαβεν αὐτὴν ὑποχείριον ἐπιπέμ-
ψαι οἱ λουμένῃ θεραπαίνας Ἐρινύσιν εἰκασμένας· καὶ
αὗται διαλαβοῦσαι δὴ τὴν Ἑλένην αἱ γυναῖκες ἀπάγχου-
σιν ἐπὶ δένδρου, καὶ ἐπὶ τούτῳ Ῥοδίοις Ἑλένης ἱερόν
11 ἐστι Δενδρίτιδος. 11. Ὃν δὲ οἶδα λέγοντας Κροτωνιάτας
περὶ Ἑλένης λόγον, ὁμολογοῦντας δέ σφισι καὶ Ἱμεραί-
ους, ἐπιμνησθήσομαι καὶ τοῦδε. ἔστιν ἐν τῷ Εὐξείνῳ
νῆσος κατὰ τοῦ Ἴστρου τὰς ἐκβολὰς Ἀχιλλέως ἱερά·
ὄνομα μὲν τῇ νήσῳ Λευκή, περίπλους δὲ αὐτῇ σταδίων
εἴκοσι, δασεῖα δὲ ὕλῃ πᾶσα καὶ πλήρης ζῴων ἀγρίων καὶ
12 ἡμέρων, καὶ ναὸς Ἀχιλλέως καὶ ἄγαλμα ἐν αὐτῇ. ἐς ταύ-
την πρῶτος ἐσπλεῦσαι λέγεται Κροτωνιάτης Λεώνυμος.
πολέμου γὰρ Κροτωνιάταις συνεστηκότος πρὸς τοὺς ἐν
Ἰταλίᾳ Λοκρούς, τῶν Λοκρῶν κατὰ οἰκειότητα πρὸς 260
Ὀπουντίους Αἴαντα τὸν Ὀϊλέως ἐς τὰς μάχας ἐπικαλου-
μένων, ὁ Λεώνυμος Κροτωνιάταις στρατηγῶν ἐπῄει τοῖς
ἐναντίοις κατὰ τοῦτο ᾗ προτετάχθαι σφίσι τὸν Αἴαντα
ἤκουε. τιτρώσκεται δὴ τὸ στέρνον, καί, ἔκαμνε γὰρ ὑπὸ
τοῦ τραύματος, ἀφίκετο ἐς Δελφούς. ἐλθόντα δὲ ἡ Πυ-
θία Λεώνυμον ἀπέστελλεν ἐς νῆσον τὴν Λευκήν, ἐν-
ταῦθα εἰποῦσα αὐτῷ φανήσεσθαι τὸν Αἴαντα καὶ ἀκέσε-
13 σθαι τὸ τραῦμα. χρόνῳ δὲ ὡς ὑγιάνας ἐπανῆλθεν ἐκ τῆς
Λευκῆς, ἰδεῖν μὲν ἔφασκεν Ἀχιλλέα, ἰδεῖν δὲ τὸν Ὀϊλέως
καὶ τὸν Τελαμῶνος Αἴαντα, συνεῖναι δὲ καὶ Πάτροκλόν
σφισι καὶ Ἀντίλοχον· Ἑλένην δὲ Ἀχιλλεῖ μὲν συνοικεῖν,
προστάξαι δέ οἱ πλεύσαντι ἐς Ἱμέραν πρὸς Στησίχορον
ἀγγέλλειν ὡς ἡ διαφθορὰ τῶν ὀφθαλμῶν ἐξ Ἑλένης γέ-
νοιτο αὐτῷ μηνίματος. Στησίχορος μὲν ἐπὶ τούτῳ τὴν
παλινῳδίαν ἐποίησεν.

XX. Ἐν Θεράπνῃ δὲ κρήνην τὴν Μεσσηΐδα ἰδὼν οἶ-
δα. Λακεδαιμονίων δὲ ἑτέροις ἐστὶν εἰρημένον τὴν Πο-

λυδεύκειαν ὀνομαζομένην ἐφ' ἡμῶν, οὐ τὴν ἐν Θεράπνῃ
Μεσσηΐδα καλεῖσθαι τὸ ἀρχαῖον· ἡ δὲ Πολυδεύκειά ἐστιν
αὐτή τε ἡ κρήνη καὶ Πολυδεύκους ἱερὸν ἐν δεξιᾷ τῆς ἐς
Θεράπνην ὁδοῦ. Θεράπνης δὲ οὐ πόρρω Φοιβαῖον κα- 2
λούμενόν ἐστιν, ἐν δὲ αὐτῷ Διοσκούρων ναός· καὶ οἱ
ἔφηβοι τῷ Ἐνυαλίῳ θύουσιν ἐνταῦθα. 2. τούτου δὲ οὐ
πολὺ Ποσειδῶνος ἀφέστηκεν ἱερὸν ἐπίκλησιν Γαιαόχου.
καὶ ἀπ' αὐτοῦ προελθόντι ὡς ἐπὶ τὸ Ταΰγετον ὀνομά-
ζουσιν Ἀλεσίας χωρίον, Μύλητα τὸν Λέλεγος πρῶτον
ἀνθρώπων μύλην τε εὑρεῖν λέγοντες καὶ ἐν ταῖς Ἀλε-
σίαις ταύταις ἀλέσαι. καί σφισι Λακεδαίμονος τοῦ Ταΰ-
γέτης ἐνταῦθά ἐστιν ἡρῷον. 3. Διαβᾶσι δὲ αὐτόθεν πο- 3
261 ταμὸν Φελλίαν, παρὰ Ἀμύκλας ἰοῦσιν εὐθεῖαν ὡς ἐπὶ
θάλασσαν Φᾶρις πόλις ἐν τῇ Λακωνικῇ ποτὲ ᾠκεῖτο, ἀπο-
τραπομένῳ δὲ ἀπὸ τῆς Φελλίας ἐς δεξιὰν ἡ πρὸς τὸ ὄρος
τὸ Ταΰγετόν ἐστιν ὁδός. ἔστι δὲ ἐν τῷ πεδίῳ Διὸς Μεσ-
σαπέως τέμενος· γενέσθαι δέ οἱ τὴν ἐπίκλησιν ἀπὸ ἀν-
δρὸς λέγουσιν ἱερωσαμένου τῷ θεῷ. 4. Ἐντεῦθέν ἐστιν
ἀπιοῦσιν ἐκ τοῦ Ταϋγέτου χωρίον ἔνθα πόλις ποτὲ
ᾠκεῖτο Βρυσέαι· καὶ Διονύσου τε ναὸς ἐνταῦθα ἔτι
λείπεται καὶ ἄγαλμα ἐν ὑπαίθρῳ. τὸ δὲ ἐν τῷ ναῷ μό-
ναις γυναιξὶν ἔστιν ὁρᾶν· γυναῖκες γὰρ δὴ μόναι καὶ τὰ
ἐς τὰς θυσίας δρῶσιν ἐν ἀπορρήτῳ. 5. Ἄκρα δὲ τοῦ 4
Ταϋγέτου Ταλετὸν ὑπὲρ Βρυσεῶν ἀνέχει. ταύτην Ἡλίου
καλοῦσιν ἱεράν, καὶ ἄλλα τε αὐτόθι Ἡλίῳ θύουσι καὶ
ἵππους· τὸ δὲ αὐτὸ καὶ Πέρσας οἶδα θύειν νομίζοντας.
Ταλετοῦ δὲ οὐ πόρρω καλούμενός ἐστιν Εὔορας, θηρία
καὶ ἄλλα τρέφων καὶ αἶγας μάλιστα ἀγρίας. παρέχεται δὲ
καὶ δι' ὅλου τὸ Ταΰγετον τῶν αἰγῶν τούτων ἄγραν καὶ
ὑῶν, πλείστην δὲ καὶ ἐλάφων καὶ ἄρκτων. Ταλετοῦ δὲ 5
τὸ μεταξὺ καὶ Εὐόρα Θήρας ὀνομάζοντες Λητώ φασιν
ἀπὸ τῶν ἄκρων τοῦ Ταϋγέτου * * * Δήμητρος ἐπίκλησιν

Ἐλευσινίας ἐστὶν ἱερόν· ἐνταῦθα Ἡρακλέα Λακεδαιμό-
νιοι κρυφθῆναί φασιν ὑπὸ Ἀσκληπιοῦ τὸ τραῦμα ἰώμε-
νον. καὶ Ὀρφέως ἐστὶν ἐν αὐτῷ ξόανον, Πελασγῶν, ὥς
φασιν, ἔργον. 6. Καὶ τόδε δὲ ἄλλο δρώμενον ἐνταῦθα
6 οἶδα· ἐπὶ θαλάσσῃ πόλισμα Ἕλος ἦν — οὗ δὴ καὶ Ὅμη-
ρος ἐμνημόνευσεν ἐν καταλόγῳ Λακεδαιμονίων·

οἵ τ' ἄρ' Ἀμύκλας εἶχον Ἕλος τ' ἔφαλον πτολίεθρον.

τοῦτο ᾤκισε μὲν Ἕλειος νεώτατος τῶν Περσέως παίδων,
Δωριεῖς δὲ παρεστήσαντο ὕστερον πολιορκίᾳ. καὶ πρῶ-
τοί τε ἐγένοντο οὗτοι Λακεδαιμονίων δοῦλοι τοῦ κοινοῦ,
καὶ Εἵλωτες ἐκλήθησαν πρῶτοι, καθάπερ γε καὶ ἦσαν· 262
τὸ δὲ οἰκετικὸν τὸ ἐπικτηθὲν ὕστερον, Δωριεῖς Μεσση-
νίους ὄντας, ὀνομασθῆναι καὶ τούτους ἐξενίκησεν Εἵλω-
τας, καθότι καὶ Ἕλληνας τὸ σύμπαν γένος ἀπὸ τῆς ἐν
7 Θεσσαλίᾳ ποτὲ καλουμένης Ἑλλάδος. — ἐκ τούτου δὴ
τοῦ Ἕλους ξόανον Κόρης τῆς Δήμητρος ἐν ἡμέραις ῥη-
ταῖς ἀνάγουσιν ἐς τὸ Ἐλευσίνιον. 7. Πεντεκαίδεκα δὲ
τοῦ Ἐλευσινίου σταδίους ἀφέστηκε Λαπίθαιον καλού-
μενον ἀπὸ ἀνδρὸς ἐγχωρίου Λαπίθου. τοῦτό τε οὖν τὸ
Λαπίθαιόν ἐστιν ἐν τῷ Ταϋγέτῳ, καὶ οὐ πόρρω Δέρειον,
ἔνθα Ἀρτέμιδος ἄγαλμα ἐν ὑπαίθρῳ Δερεάτιδος, καὶ
πηγὴ παρ' αὐτῷ ἣν Ἄνονον ὀνομάζουσι. μετὰ δὲ τὸ
Δέρειον σταδίους προελθόντι ὡς εἴκοσιν ἔστιν Ἅρπλεια
καθήκοντα ἄχρι τοῦ πεδίου.

8 8. Τὴν δὲ ἐπ' Ἀρκαδίας ἰοῦσιν ἐκ Σπάρτης Ἀθηνᾶς
ἕστηκεν ἐπίκλησιν Παρείας ἄγαλμα ἐν ὑπαίθρῳ, μετὰ δὲ
αὐτὸ ἱερόν ἐστιν Ἀχιλλέως· ἀνοίγειν δὲ αὐτὸ οὐ νομί-
ζουσιν· ὁπόσοι δ' ἂν τῶν ἐφήβων ἀγωνιεῖσθαι μέλλω-
σιν ἐν τῷ Πλατανιστᾷ, καθέστηκεν αὐτοῖς τῷ Ἀχιλλεῖ
πρὸ τῆς μάχης θύειν. ποιῆσαι δέ σφισι τὸ ἱερὸν Σπαρ-
τιᾶται λέγουσι Πράκα, ἀπόγονον τρίτον Περγάμου τοῦ
9 Νεοπτολέμου. 9. Προϊοῦσι δὲ Ἵππου καλούμενον μνῆ-

μά ἐστι. Τυνδάρεως γὰρ θύσας ἐνταῦθα ἵππον τοὺς Ἑλένης ἐξώρκου μνηστῆρας, ἱστὰς ἐπὶ τοῦ ἵππου τῶν τομίων· ὁ δὲ ὅρκος ἦν Ἑλένῃ καὶ τῷ γῆμαι προκριθέντι Ἑλένην ἀμύνειν ἀδικουμένοις· ἐξορκώσας δὲ τὸν ἵππον κατώρυξεν ἐνταῦθα. κίονες δὲ ἑπτὰ οἵ τοῦ μνήματος τούτου διέχουσιν οὐ πολὺ * * κατὰ τρόπον οἶμαι τὸν ἀρχαῖον, οὓς ἀστέρων τῶν πλανητῶν φασὶν ἀγάλματα. καὶ Κρανίου τέμενος κατὰ τὴν ὁδὸν ἐπίκλησιν Στεμματίου καὶ Μυσίας ἐστὶν ἱερὸν Ἀρτέμιδος. 10. Τὸ δὲ ἄγαλμα 10
263 τῆς Αἰδοῦς, τριάκοντά που στάδια ἀπέχον τῆς πόλεως, Ἰκαρίου μὲν ἀνάθημα εἶναι, ποιηθῆναι δὲ ἐπὶ λόγῳ φασὶ τοιῷδε. ὅτ' ἔδωκεν Ὀδυσσεῖ Πηνελόπην γυναῖκα Ἰκάριος, ἐπειρᾶτο μὲν κατοικίσαι καὶ αὐτὸν Ὀδυσσέα ἐν Λακεδαίμονι, διαμαρτάνων δὲ ἐκείνου δεύτερα τὴν θυγατέρα ἱκέτευε καταμεῖναι, καὶ ἐξορμωμένης ἐς Ἰθάκην ἐπακολουθῶν τῷ ἅρματι ἐδεῖτο. Ὀδυσσεὺς δὲ τέως μὲν 11
ἠνείχετο, τέλος δὲ ἐκέλευε Πηνελόπην συνακολουθεῖν ἑκοῦσαν ἢ τὸν πατέρα ἑλομένην ἀναχωρεῖν ἐς Λακεδαίμονα. καὶ τὴν ἀποκρίνασθαί φασιν οὐδέν· ἐγκαλυψαμένης δὲ πρὸς τὸ ἐρώτημα Ἰκάριος τὴν μέν, ἅτε δὴ συνιεὶς ὡς βούλεται ἀπιέναι μετὰ Ὀδυσσέως, ἀφίησιν, ἄγαλμα δὲ ἀνέθηκεν Αἰδοῦς· ἐνταῦθα γὰρ τῆς ὁδοῦ προήκουσαν ἤδη τὴν Πηνελόπην λέγουσιν ἐγκαλύψασθαι.

XXI. Προελθόντι δὲ αὐτόθεν σταδίους εἴκοσι τοῦ Εὐρώτα τὸ ῥεῦμα ἐγγυτάτω τῆς ὁδοῦ γίνεται, καὶ Λάδα μνῆμά ἐστιν ὠκύτητι ὑπερβαλλομένου ποδῶν τοὺς ἐπ' αὐτοῦ· καὶ δὴ καὶ Ὀλυμπίασιν ἐστεφανοῦτο δολίχῳ κρατῶν, δοκεῖν δέ μοι κάμνων αὐτίκα μετὰ τὴν νίκην ἐκομίζετο, καὶ συμβάσης ἐνταῦθά οἱ τελευτῆς ὁ τάφος ἐστὶν ὑπὲρ τὴν λεωφόρον. τὸν δὲ ὁμώνυμον τούτῳ, νίκην καὶ αὐτὸν Ὀλυμπίασι, πλὴν οὐ δολίχου, σταδίου δὲ ἀνελόμενον, Ἀχαιὸν ἐξ Αἰγίου φησὶν εἶναι τὰ ἐς τοὺς Ὀλυμ-

2 πιονίκας Ἠλείων γράμματα. 2. Προϊόντι δὲ ὡς ἐπὶ
τὴν Πελλάναν Χαράκωμά ἐστιν ὀνομαζόμενον, καὶ μετὰ
τοῦτο Πελλάνα πόλις τὸ ἀρχαῖον. Τυνδάρεων δὲ οἰκῆσαί
φασιν ἐνταῦθα, ὅτε Ἱπποκόωντα καὶ τοὺς παῖδας ἔφευ-
γεν ἐκ Σπάρτης. θέας δὲ ἄξια αὐτόθι ἰδὼν Ἀσκληπιοῦ
τε οἶδα ἱερὸν καὶ τὴν πηγὴν Πελλανίδα. ἐς ταύτην λέ-
γουσιν ὑδρευομένην ἐσπεσεῖν παρθένον, ἀφανισθείσης
δὲ τὸ κάλυμμα ἀναφανῆναι τὸ ἐπὶ τῆς κεφαλῆς ἐν ἑτέρᾳ
3 πηγῇ Λαγκείᾳ. 3. Πελλάνας δὲ ἑκατὸν στάδια ἀπέχει
Βελεμίνα καλουμένη. τῆς δὲ χώρας τῆς Λακωνικῆς ἡ Βε- 264
λεμίνα μάλιστα ἄρδεσθαι πέφυκεν, ἥντινα διοδεύει μὲν
τοῦ Εὐρώτα τὸ ὕδωρ, παρέχεται δὲ ἀφθόνους καὶ αὐτὴ
πηγάς.

4 4. Ἐπὶ θάλασσάν τε καὶ ἐς Γύθιον καταβαίνοντί ἐστι
Λακεδαιμονίοις ἡ κώμη [καλουμένη] * * Κροκεαῖς. ἡ λι-
θοτομία μία μὲν πέτρα συνεχὴς οὐ διήκουσα, λίθοι δὲ
ὀρύσσονται σχῆμα τοῖς ποταμίοις ἐοικότες, ἄλλως μὲν
δυσεργεῖς, ἢν δὲ ἐπεργασθῶσιν ἐπικοσμήσαιεν ἂν καὶ
θεῶν ἱερά, κολυμβήθραις δὲ καὶ ὕδασι συντελοῦσι μά-
λιστα ἐς κάλλος. Θεῶν δὲ αὐτόθι πρὸ μὲν τῆς κώμης
Διὸς Κροκεάτα λίθου πεποιημένον ἄγαλμα ἕστηκε, Διόσ-
5 κουροι δὲ ἐπὶ τῇ λιθοτομίᾳ χαλκοῖ. 5. Μετὰ δὲ Κρο-
κεὰς ἀποτραπεῖσιν ἐς δεξιὰν ἀπὸ τῆς ἐς Γύθιον εὐθείας
ἐπὶ πόλισμα ἥξεις Αἰγίας· Ὅμηρον δὲ ἐν τοῖς ἔπεσι τὸ
πόλισμα τοῦτο ὀνομάζειν λέγουσιν Αὐγειάς. ἐνταῦθα
ἔστι μὲν λίμνη καλουμένη Ποσειδῶνος, ἔστι δὲ ἐπὶ τῇ
λίμνῃ ναὸς καὶ ἄγαλμα τοῦ θεοῦ. τοὺς δὲ ἰχθῦς δεδοίκα-
σιν ἐξαιρεῖν, τὸν θηρεύσαντα ἁλιέα γίνεσθαι λέγοντες
ἐξ ἀνθρώπου.

6 6. Γύθιον δὲ ἀπέχει μὲν σταδίους τριάκοντα Αἰ-
γιῶν, ἐπὶ θαλάσσῃ δὲ ᾠκισμένον ἔστιν ἤδη τῶν Ἐλευθε-
ρολακώνων, οὓς βασιλεὺς Αὔγουστος δουλείας ἀφῆκε

Λακεδαιμονίων τῶν ἐν Σπάρτῃ κατηκόους ὄντας. θα-
λάσσῃ μὲν δή, πλὴν τοῦ Κορινθίων ἰσθμοῦ, περιέχεται
πᾶσα ἡ Πελοπόννησος· κόχλους δὲ ἐς βαφὴν πορφύρας
παρέχεται τὰ ἐπιθαλάσσια τῆς Λακωνικῆς ἐπιτηδειοτά-
τας μετά γε τὴν Φοινίκων θάλασσαν. Ἀριθμὸς δὲ τῶν 7
Ἐλευθερολακώνων ὀκτὼ πόλεις καὶ δέκα εἰσί, πρώτη μὲν
καταβᾶσιν ἐξ Αἰγιῶν ἐπὶ θάλασσαν Γύθιον, μετὰ δὲ αὐ-
τὴν Τευθρώνη τε καὶ Λᾶς καὶ Πύρριχος, ἐπὶ Ταινάρῳ δὲ
265 Καινήπολις Οἴτυλός τε καὶ Λεῦκτρα καὶ Θαλάμαι, πρὸς
δὲ Ἀλαγονία τε καὶ Γερηνία· τὰ δὲ ἐπέκεινα Γυθίου
πρὸς θαλάσσῃ Ἀσωπός, Ἀκριαί, Βοιαί, Ζάραξ, Ἐπίδαυ-
ρος ἡ Λιμηρά, Βρασιαί, Γερόνθραι, Μαριός. αὗται μὲν
οὖν εἰσὶν αἱ λοιπαὶ τῶν Ἐλευθερολακώνων ἀπὸ τεσσά-
ρων ποτὲ καὶ εἴκοσι πόλεων· τὰς δὲ ἄλλας, ἐφ' ἃς ἂν καὶ
αὐτὰς ὁ λόγος ἐπέλθῃ δή μοι, συντελούσας ἴστω τις ἐς
Σπάρτην καὶ οὐχ ὁμοίως τοῖς προλεχθεῖσιν αὐτονόμους.
7. Γυθεᾶται δὲ τῆς πόλεως ἀνθρώπων μὲν οὐδένα οἰκι- 8
στὴν γενέσθαι λέγουσιν, Ἡρακλέα δὲ καὶ Ἀπόλλωνα
ὑπὲρ τοῦ τρίποδος ἐς ἀγῶνα ἐλθόντας, ὡς διηλλάγησαν,
μετὰ τὴν ἔριν οἰκίσαι κοινῇ τὴν πόλιν· καὶ ἐν τῇ ἀγορᾷ
σφίσιν Ἀπόλλωνος καὶ Ἡρακλέους ἐστὶν ἀγάλματα, πλη-
σίον δὲ αὐτῶν Διόνυσος. ἑτέρωθι δὲ Ἀπόλλων Κάρ-
νειος καὶ ἱερὸν Ἄμμωνος καὶ Ἀσκληπιοῦ χαλκοῦν ἄγαλ-
μά ἐστιν, οὐκ ἐπόντος ὀρόφου τῷ ναῷ, καὶ πηγὴ τοῦ
θεοῦ, καὶ Δήμητρος ἱερὸν ἅγιον, καὶ Ποσειδῶνος ἄγαλμα
Γαιαόχου. 8. Ὃν δὲ ὀνομάζουσι Γυθεᾶται γέροντα, οἰ- 9
κεῖν ἐν θαλάσσῃ φάμενοι, Νηρέα ὄντα εὕρισκον· καί
σφισι τοῦ ὀνόματος τούτου παρέσχεν ἀρχὴν Ὅμηρος ἐν
Ἰλιάδι ἐν Θέτιδος λόγοις,

ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον,
ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρος.

καλοῦνται δὲ ἐνταῦθα καὶ πύλαι Καστορίδες, καὶ ἐν τῇ
ἀκροπόλει ναὸς καὶ ἄγαλμα Ἀθηνᾶς πεποίηται.
XXII. Γυθίου δὲ τρεῖς μάλιστα ἀπέχει σταδίους ἀρ-
γὸς λίθος· Ὀρέστην λέγουσι καθεσθέντα ἐπ' αὐτοῦ παύ-
σασθαι τῆς μανίας· διὰ τοῦτο ὁ λίθος ὠνομάσθη Ζεὺς
Καππώτας κατὰ γλῶσσαν τὴν Δωρίδα. 2. Ἡ δὲ νῆσος ἡ
Κρανάη πρόκειται Γυθίου, καὶ Ὅμηρος Ἀλέξανδρον ἁρ- 266
πάσαντα Ἑλένην ἐνταῦθα ἔφη συγγενέσθαι οἱ πρῶτον.
κατὰ δὲ τὴν νῆσον ἱερόν ἐστιν Ἀφροδίτης ἐν τῇ ἠπείρῳ
Μιγωνίτιδος, καὶ ὁ τόπος οὗτος ἅπας καλεῖται Μιγώνιον.
2 τοῦτο μὲν δὴ τὸ ἱερὸν ποιῆσαι λέγουσιν Ἀλέξανδρον·
Μενέλαος δὲ Ἴλιον ἑλών, καὶ ἔτεσιν ὕστερον ὀκτὼ μετὰ
Τροίας πόρθησιν οἴκαδε ἀνασωθείς, ἄγαλμα Θέτιδος καὶ
θεὰς Πραξιδίκας ἱδρύσατο ἐγγὺς τῆς Μιγωνίτιδος. Διο-
νύσου δὲ ὄρος ἱερὸν Λαρύσιον καλούμενόν ἐστιν ὑπὲρ
τοῦ Μιγωνίου· καὶ ἦρος ἀρχομένου Διονύσῳ τὴν ἑορτὴν
ἄγουσιν, ἄλλα τε ἐς τὰ δρώμενα λέγοντες καὶ ὡς βότρυν
ἐνταῦθα ἀνευρίσκουσιν ὡραῖον.

3 3. Ἐν ἀριστερᾷ δὲ Γυθίου στάδια προελθόντι ὡς
τριάκοντα ἔστιν ἐν τῇ ἠπείρῳ Τρινασοῦ καλουμένης τεί-
χη, φρουρίου ποτὲ ἐμοὶ δοκεῖν καὶ οὐ πόλεως. γενέσθαι
δέ οἱ δοκῶ τὸ ὄνομα ἀπὸ τῶν νησίδων, αἳ ταύτῃ πρόκειν-
ται τῆς ἠπείρου τρεῖς ἀριθμόν. προελθόντι δὲ ἀπὸ Τρι-
νασοῦ στάδια ὡς ὀγδοήκοντα τοῦ Ἕλους τὰ ἐρείπια ὑπό-
4 λοιπα ἦν. 4. καὶ μετὰ ταῦτα τριάκοντα προελθόντι που
σταδίους ἐπὶ θαλάσσης πόλις ἐστὶν Ἀκριαί. θέας δὲ αὐ-
τόθι ἄξια Μητρὸς θεῶν ναὸς καὶ ἄγαλμα λίθου. παλαιό-
τατον δὲ τοῦτο εἶναί φασιν οἱ τὰς Ἀκριὰς ἔχοντες, ὁπόσα
τῆς θεοῦ ταύτης Πελοποννησίοις ἱερά ἐστιν, ἐπεὶ Μα-
γνησί γε, οἳ τὰ πρὸς Βορρᾶν νέμονται τοῦ Σιπύλου,
τούτοις ἐπὶ Κοδδίνου πέτρᾳ Μητρός ἐστι θεῶν ἀρχαιό-
τατον ἁπάντων ἄγαλμα· ποιῆσαι δὲ οἱ Μάγνητες αὐτὸ

Βροτέαν λέγουσι τὸν Ταντάλου. Ἀκριᾶται δὲ καὶ ἄνδρα 5
ποτὲ ὀλυμπιονίκην παρέσχοντο Νικοκλέα, ὀλυμπιάσι
267 δύο ἀνελόμενον δρόμου νίκας πέντε. πεποίηται δὲ καὶ
μνῆμα τῷ Νικοκλεῖ τοῦ τε γυμνασίου μεταξὺ καὶ τοῦ τεί-
χους τοῦ πρὸς τῷ λιμένι. 5. Ἀπὸ θαλάσσης δὲ ἄνω Γε- 6
ρόνθραι σταδίους ἀπέχουσιν εἴκοσι καὶ ἑκατὸν Ἀκριῶν.
ταύτας οἰκουμένας πρὶν Ἡρακλείδας ἐλθεῖν ἐς Πελοπόν-
νησον, ἐποίησαν ἀναστάτους Δωριεῖς οἱ Λακεδαίμονα
ἔχοντες, ἀναστήσαντες δὲ Γερονθρῶν τοὺς Ἀχαιοὺς πα-
ρὰ σφῶν ἐποίκους ἀπέστειλαν. ἐπ' ἐμοῦ δὲ Ἐλευθερολα-
κώνων καὶ οὗτοι μοῖρα ἦσαν. κατὰ μὲν δὴ τὴν ἐξ Ἀκριῶν
ἐς Γερόνθρας ὁδὸν ἔστι Παλαιὰ καλουμένη κώμη, ἐν δὲ
αὐταῖς Γερόνθραις Ἄρεως ναὸς καὶ ἄλσος. ἑορτὴν δὲ 7
ἄγουσι τῷ θεῷ κατὰ ἔτος, ἐν ᾗ γυναιξίν ἐστιν ἀπηγο-
ρευμένον ἐσελθεῖν ἐς τὸ ἄλσος. περὶ δὲ τὴν ἀγοράν σφι-
σιν αἱ πηγαὶ τῶν ποτίμων εἰσὶν ὑδάτων. ἐν δὲ τῇ ἀκρο-
πόλει ναός ἐστιν Ἀπόλλωνος καὶ ἀγάλματος ἐλέφαντος
πεποιημένη κεφαλή· τὰ δὲ λοιπὰ τοῦ ἀγάλματος πῦρ
ἠφάνισεν ὁμοῦ τῷ προτέρῳ ναῷ. 6. Μαριὸς δὲ ἄλλο 8
Ἐλευθερολακώνων πόλισμα, ὃ ἀπὸ Γερονθρῶν στάδια
ἑκατὸν ἀφέστηκεν. ἱερόν ἐστιν αὐτόθι ἀρχαῖον κοινὸν
θεῶν ἁπάντων, καὶ περὶ αὐτὸ ἄλσος παρεχόμενον πη-
γάς· εἰσὶ δὲ καὶ ἐν Ἀρτέμιδος ἱερῷ πηγαί. ὕδωρ δὲ
ἄφθονον, εἴπερ ἄλλο τι χωρίον, παρέχεται καὶ Μαριός.
κώμη δὲ ὑπὲρ τὸ πόλισμά ἐστιν ἐν μεσογαίᾳ καὶ αὐτή,
Γλυππία. καὶ ἐς κώμην ἑτέραν Σελινοῦντα ἐκ Γερον-
θρῶν ἐστὶν ὁδὸς σταδίων εἴκοσι.

Τάδε μὲν ἀπὸ Ἀκριῶν ἄνω πρὸς ἤπειρον· 7. τὰ δὲ 9
πρὸς θαλάσσῃ, πόλις Ἀσωπὸς Ἀκριῶν ἑξήκοντα ἀπέχει
σταδίους. ἐν αὐτῇ δὲ ναὸς Ῥωμαίων βασιλέων, καὶ ἀνω-
τέρω τῆς πόλεως ὅσον τε σταδίους δώδεκα ἱερόν ἐστιν
Ἀσκληπιοῦ· Φιλόλαον τὸν θεὸν ὀνομάζουσι. τὰ δὲ ὀστᾶ

ἐν τῷ γυμνασίῳ τὰ τιμώμενα μεγέθει μὲν ὑπερβάλλοντα,
ἀνθρώπου δὲ ὅμως ἐστί. καὶ Ἀθηνᾶς ἱερόν ἐστιν ἐν τῇ 268
ἀκροπόλει Κυπαρισσίας ἐπίκλησιν. τῆς δὲ ἀκροπόλεως
πρὸς τοῖς ποσὶ πόλεως ἐρείπια καλουμένης Ἀχαιῶν τῶν
10 Παρακυπαρισσίων. Ἔστι δὲ ἐν τῇ γῇ ταύτῃ καὶ ἱερὸν
Ἀσκληπιοῦ στάδια ἀπέχον ὡς πεντήκοντα Ἀσωποῦ· τὸ
δὲ χωρίον ἔνθα τὸ Ἀσκληπιεῖον, Ὑπερτελέατον ὀνομά-
ζουσιν. 8. Ἄκρα δὲ ἀνέχουσα ἐς θάλασσαν ἀφέστηκεν
Ἀσωποῦ διακόσια στάδια· καλοῦσι δὲ Ὄνου γνάθον τὴν
ἄκραν. ἐνταῦθά ἐστιν Ἀθηνᾶς ἱερὸν ἄγαλμα οὐκ ἔχον,
οὐδὲ ὄροφος ἔπεστιν ἐπ᾽ αὐτῷ· λέγεται δὲ ὡς ὑπὸ Ἀγα-
μέμνονος ἐποιήθη. ἔστι δὲ καὶ μνῆμα Κινάδου· νεὼς
11 τῆς Μενελάου καὶ οὗτος κυβερνήτης ἦν. 9. Ἐσέχει
δὲ μετὰ τὴν ἄκραν Βοιατικὸς καλούμενος κόλπος, καὶ
Βοιαὶ πόλις πρὸς τῷ πέρατί ἐστι τοῦ κόλπου. ταύτην
ᾤκισε μὲν Βοιὸς τῶν Ἡρακλειδῶν, συναγαγεῖν δὲ ἄν-
δρας ἀπὸ τριῶν ἐς αὐτὴν λέγεται πόλεων, Ἤτιδος καὶ
Ἀφροδισιάδος καὶ Σίδης. τῶν δὲ πόλεων τῶν ἀρχαίων
τὰς μὲν δύο ἐς Ἰταλίαν φεύγοντα Αἰνείαν καὶ ὑπὸ πνευ-
μάτων ἀπενεχθέντα ἐς τοῦτον τὸν κόλπον οἰκίσαι φασί,
τὴν Ἠτιάδα Αἰνείου θυγατέρα λέγοντες εἶναι· τὴν τρί-
την δὲ κληθῆναι τῶν πόλεων λέγουσιν ἀπὸ τῆς Δαναοῦ
12 Σίδης. Ἀπὸ δὴ τούτων τῶν πόλεων ἀναστάντες ἐζήτουν
ἔνθα οἰκῆσαι σφᾶς χρεὼν εἴη· καί τι καὶ μάντευμα ἦν
αὐτοῖς Ἄρτεμιν ἔνθα οἰκήσουσιν ἐπιδείξειν. ὡς οὖν ἐκ-
βᾶσιν ἐς τὴν γῆν λαγὼς ἐπιφαίνεται, τὸν λαγὼν ἐποιή-
σαντο ἡγεμόνα τῆς ὁδοῦ· καταδύντος δὲ ἐς μυρσίνην
πόλιν τε οἰκίζουσιν ἐνταῦθα οὗπερ ἡ μυρσίνη ἦν, καὶ τὸ
δένδρον ἔτι ἐκείνην σέβουσι τὴν μυρσίνην, καὶ Ἄρτεμιν
13 ὀνομάζουσι Σώτειραν. καὶ Ἀπόλλωνος ναὸς ἐν τῇ Βοια-
τῶν ἀγορᾷ ἐστί, καὶ ἑτέρωθι Ἀσκληπιοῦ καὶ Σαράπιδός
τε καὶ Ἴσιδος. ἐρείπια ἀπέχει μὲν Βοιῶν οὐ πλέον ἢ στα-

δίους ἑπτά, ἰόντι δὲ ἐς αὐτὰ ἄγαλμα Ἑρμοῦ λίθινον ἕστηκεν ἐν ἀριστερᾷ, καὶ ἐν τοῖς ἐρειπίοις ἱερὸν Ἀσκληπιοῦ καὶ Ὑγιείας ἐστὶν οὐκ ἀφανές.

269 XXIII. Κύθηρα δὲ κεῖται μὲν ἀπαντικρὺ Βοιῶν, ἐς δὲ Πλατανιστοῦντα, ἐλάχιστον γὰρ τῆς ἠπείρου ταύτῃ διέστηκεν ἡ νῆσος, ἐς ταύτην τὴν ἄκραν τὸν Πλατανιστοῦντα ἀπὸ ἄκρας τῆς ἠπείρου, καλουμένης δὲ Ὄνου γνάθου, σταδίων πλοῦς τεσσαράκοντά ἐστιν. ἐν Κυθήροις δὲ ἐπὶ θαλάσσης Σκάνδειά ἐστιν ἐπίνειον, Κύθηρα δὲ ἡ πόλις ἀναβάντι ἀπὸ Σκανδείας στάδια ὡς δέκα. τὸ δὲ ἱερὸν τῆς Οὐρανίας ἁγιώτατον καὶ ἱερῶν ὁπόσα Ἀφροδίτης παρ' Ἕλλησίν ἐστιν ἀρχαιότατον· αὐτὴ δὲ ἡ θεὸς ξόανον ὡπλισμένον.

Πλέοντι δὲ ἐκ Βοιῶν τὴν ἐπὶ τὴν ἄκραν τῆς Μαλέας 2
λιμήν ἐστιν ὀνομαζόμενον Νύμφαιον, καὶ Ποσειδῶνος ἄγαλμα ὀρθόν, καὶ σπήλαιον θαλάσσης ἐγγύτατα, ἐν δὲ αὐτῷ γλυκέος ὕδατος πηγή· καὶ ἄνθρωποι περιοικοῦσι πολλοί. 2. Περιπλεύσαντι δὲ τὴν ἄκραν τῆς Μαλέας καὶ ἑκατὸν στάδια ἀποσχόντι ἐπὶ θαλάσσῃ χωρίον ἐν ὅροις Βοιατῶν Ἀπόλλωνος μὲν ἱερόν ἐστιν, Ἐπιδήλιον δὲ ὀνομαζόμενον· τὸ γὰρ τοῦ Ἀπόλλωνος ξόανον, ὃ νῦν ἐστὶν 3
ἐνταῦθα, ἐν Δήλῳ ποτὲ ἵδρυτο. τῆς γὰρ Δήλου τότε ἐμπορίου τοῖς Ἕλλησιν οὔσης καὶ ἄδειαν τοῖς ἐργαζομένοις διὰ τὸν θεὸν δοκούσης παρέχειν, Μηνοφάνης Μιθριδάτου στρατηγὸς εἴτε αὐτὸς ὑπερφρονήσας εἴτε καὶ ὑπὸ Μιθριδάτου προστεταγμένον, ἀνθρώπῳ γὰρ ἀφορῶντι ἐς κέρδος τὰ θεῖα ὕστερα λημμάτων, οὗτος οὖν ὁ Μηνο- 4
φάνης, ἅτε οὔσης ἀτειχίστου τῆς Δήλου καὶ ὅπλα οὐ κεκτημένων ἀνδρῶν, τριήρεσιν ἐσπλεύσας ἐφόνευσε μὲν τοὺς ἐπιδημοῦντας τῶν ξένων, ἐφόνευσε δὲ αὐτοὺς τοὺς Δηλίους, κατασύρας δὲ πολλὰ μὲν ἐμπόρων χρήματα, πάντα δὲ ἀναθήματα, προσεξανδραποδισάμενος δὲ καὶ

γυναῖκας καὶ τέκνα, καὶ αὐτὴν ἐς ἔδαφος κατέβαλε τὴν
Δῆλον. ἅτε δὲ πορθουμένης τε καὶ ἁρπαζομένης, τῶν
τις βαρβάρων ὑπὸ ὕβρεως τὸ ξόανον τοῦτο ἀπέρριψεν ἐς
τὴν θάλασσαν· ὑπολαβὼν δὲ ὁ κλύδων ἐνταῦθα τῆς
Βοιατῶν ἀπήνεγκε, καὶ τὸ χωρίον διὰ τοῦτο Ἐπιδήλιον 270
5 ὀνομάζουσι. 3. Τὸ μέντοι μήνιμα τὸ ἐκ τοῦ θεοῦ διέφυ-
γεν οὔτε Μηνοφάνης οὔτε αὐτὸς Μιθριδάτης, ἀλλὰ Μη-
νοφάνην μὲν παραυτίκα, ὡς ἀνήγετο ἐρημώσας τὴν Δῆ-
λον, λοχήσαντες ναυσὶν οἱ διαπεφευγότες τῶν ἐμπόρων
καταδύουσι, Μιθριδάτην δὲ ὕστερον τούτων ἠνάγκασεν
ὁ θεὸς αὐτόχειρα αὑτοῦ καταστῆναι τῆς τε ἀρχῆς οἱ
καθῃρημένης καὶ ἐλαυνόμενον πανταχόθεν ὑπὸ Ῥω-
μαίων· εἰσὶ δὲ οἵ φασιν αὐτὸν παρά του τῶν μισθοφό-
ρων θάνατον βίαιον ἐν μέρει χάριτος εὕρασθαι. τούτοις
μὲν τοιαῦτα ἀπήντησεν ἀσεβήσασι.

6 4. Τῇ δὲ Βοιατῶν ὅμορος Ἐπίδαυρός ἐστιν ἡ Λι-
μηρά, σταδίους ὡς διακοσίους ἀπέχουσα Ἐπιδηλίου.
φασὶ δὲ οὐ Λακεδαιμονίων, τῶν δὲ ἐν τῇ Ἀργολίδι Ἐπι-
δαυρίων εἶναι, πλέοντες δὲ ἐς Κῶν παρὰ τὸν Ἀσκληπιὸν
ἀπὸ τοῦ κοινοῦ προσσχεῖν τῆς Λακωνικῆς ἐνταῦθα, καὶ
ἐξ ἐνυπνίων γενομένων σφίσι καταμείναντες οἰκῆσαι.
7 λέγουσι δὲ καὶ ὡς οἴκοθεν ἐκ τῆς Ἐπιδαύρου δράκοντα
ἐπαγομένοις αὐτοῖς ἐξέφυγεν ἐκ τῆς νεὼς ὁ δράκων, ἐκ-
φυγὼν δὲ οὐ πόρρω κατέδυ θαλάσσης, καί σφισιν ὁμοῦ
τῶν ὀνειράτων τῇ ὄψει καὶ ἀπὸ τοῦ σημείου τοῦ κατὰ
τὸν δράκοντα ἔδοξεν αὐτόθι καταμείναντας οἰκῆσαι. καὶ
ἔνθα ὁ δράκων κατέδυ, βωμοί τέ εἰσιν Ἀσκληπιοῦ καὶ
8 ἐλαῖαι περὶ αὐτοὺς πεφύκασι. 5. Προελθόντι δὲ ἐν
δεξιᾷ δύο που σταδίους ἔστιν Ἰνοῦς καλούμενον ὕδωρ,
μέγεθος μὲν κατὰ λίμνην μικράν, τῆς γῆς δὲ ἐν βάθει
μᾶλλον. ἐς τοῦτο τὸ ὕδωρ ἐν τῇ ἑορτῇ τῆς Ἰνοῦς ἐμβάλ-
λουσιν ἀλφίτων μάζας. ταύτας ἐπὶ μὲν αἰσίῳ τοῦ ἐμβα-

λόντος καταδεξάμενον ἔχει τὸ ὕδωρ· εἰ δὲ ἀναπέμψαιτο
σφᾶς, πονηρὸν κέκριται σημεῖον. τὸ δὲ αὐτὸ καὶ ἐν Αἴτνῃ 9
δηλοῦσιν οἱ κρατῆρες. καὶ γὰρ χρυσοῦ ἐς αὐτοὺς καὶ ἀρ-
γύρου ποιήματα, ἔτι δὲ καὶ ἱερεῖα τὰ πάντα ἀφιᾶσι·
ταῦτα δὲ ἢν μὲν ὑπολαβὸν ἀπενέγκῃ τὸ πῦρ, οἱ δὲ χαί-
ρουσιν ὡς ἐπὶ πεφηνότι ἀγαθῷ, ἀπωσαμένου δὲ τὰ ἐμ-
βληθέντα συμφορὰν ἔσεσθαι τούτῳ τῷ ἀνδρὶ νομίζουσι.
271 6. Κατὰ δὲ τὴν ὁδὸν τὴν ἐκ Βοιῶν ἐς Ἐπίδαυρον τὴν 10
Λιμηρὰν ἄγουσαν Ἀρτέμιδος ἱερόν ἐστιν ἐν τῇ Ἐπιδαυ-
ρίων Λιμνάτιδος. ἡ πόλις δὲ ἀπέχουσα οὐ πολὺ ἀπὸ θα-
λάσσης ἐπὶ μετεώρῳ μὲν ᾤκισται, θέας δὲ αὐτόθι ἄξια
τὸ μὲν Ἀφροδίτης ἐστὶν ἱερόν, τὸ δὲ Ἀσκληπιοῦ καὶ
ἄγαλμα ὀρθὸν λίθου, καὶ Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει ναός,
πρὸ δὲ τοῦ λιμένος Διὸς ἐπίκλησιν Σωτῆρος. 7. Ἄκρα δὲ 11
ἐς τὸ πέλαγος κατὰ τὴν πόλιν ἀνέχει καλουμένη Μινῴα.
καὶ ὁ μὲν κόλπος οὐδέν τι ἔχει διάφορον ἢ ὅσαι κατὰ τὴν
Λακωνικὴν ἄλλαι θαλάσσης εἰσὶν ἐσβολαί· αἰγιαλὸς δὲ
ὁ ταύτῃ παρέχεται ψηφῖδας σχῆμα εὐπρεπεστέρας καὶ
χρόας παντοδαπῆς.

XXIV. Ἐπιδαύρου δὲ σταδίους ἑκατὸν ἀπέχει Ζά-
ραξ, ἄλλως μὲν εὐλίμενον χωρίον, τῶν δὲ Ἐλευθερολα-
κώνων μάλιστα τοῦτο ἐκτετρύχωται, ἐπεὶ καὶ Κλεώνυμος
ὁ Κλεομένους τοῦ Ἀγησιπόλιδος μόνον τοῦτο τῶν Λα-
κωνικῶν πολισμάτων ἐποίησεν ἀνάστατον· καί μοι τὰ ἐς
τὸν Κλεώνυμον ἑτέρωθί ἐστιν εἰρημένα. ἐν Ζάρακι δὲ
ἄλλο μὲν οὐδέν, πρὸς δὲ τοῦ λιμένος τῷ πέρατι Ἀπόλ-
λωνος ναός ἐστι καὶ ἄγαλμα κιθάραν ἔχον.

2. Προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλασσαν 2
ἕξ που στάδια, καὶ ἐπιστρέψαντι αὐτόθεν ἐς μεσόγαιαν
καὶ ἐπαναβάντι σταδίους ὡς δέκα Κυφάντων καλουμέ-
νων ἐρείπιά ἐστιν, ἐν δὲ αὐτοῖς Στήθαιον ἱερὸν Ἀσκλη-
πιοῦ, λίθου δὲ τὸ ἄγαλμα. ἔστι δὲ καὶ ὕδατος ψυχροῦ

κρουνὸς ἐκβάλλων ἐκ πέτρας· Ἀταλάντην θηρεύουσαν
ἐνταῦθά φασιν, ὡς ἠνιᾶτο ὑπὸ δίψης, παῖσαι τῇ λόγχῃ
3 τὴν πέτραν καὶ οὕτω ῥυῆναι τὸ ὕδωρ. 3. Βρασιαὶ δὲ
ἐσχάτη μὲν ταύτῃ τῶν Ἐλευθερολακώνων πρὸς θαλάσσῃ
ἐστί, Κυφάντων δὲ ἀπέχουσι πλοῦν σταδίων διακοσίων.
οἱ δὲ ἄνθρωποι λέγουσιν οἱ ἐνταῦθα οὐδέσιν ὁμολο-
γοῦντες Ἑλλήνων ὡς Σεμέλη τέκοι τὸν παῖδα ἐκ Διός,
καὶ ὑπὸ τοῦ Κάδμου φωραθεῖσα ἐς λάρνακα αὐτὴ καὶ 272
Διόνυσος ἐμβληθείη· καὶ τὴν λάρνακα ὑπὸ τοῦ κλύδω-
νος ἐκπεσεῖν φασὶν ἐς τὴν σφετέραν, καὶ Σεμέλην μέν,
οὐ γὰρ αὐτὴν περιοῦσαν ἔτι εὑρεῖν, ἐπιφανῶς θάψαι,
4 Διόνυσον δὲ ἀναθρέψαι λέγουσιν. ἐπὶ τούτῳ δὲ αὐτοῖς
καὶ τὴν πόλιν, Ὀρειάτας ἐς ἐκεῖνο ὀνομαζομένας, μετο-
νομασθῆναι Βρασιὰς ἐπὶ τῇ ἐκβολῇ τῇ ἐς τὴν γῆν τῆς
λάρνακος. ὡσαύτως δὲ καὶ ἐφ' ἡμῶν τὰ ὑπὸ τοῦ κλύδω-
νος ἀπωθούμενα ἐς τὴν γῆν ἐκβεβράσθαι καλοῦσιν οἱ
πολλοί. Βρασιᾶται δὲ καὶ τάδε ἐπιλέγουσιν, Ἰνώ σφισιν
ἐς τὴν χώραν ἀφικέσθαι πλανωμένην, ἐλθοῦσαν δὲ ἐθε-
λῆσαι τοῦ Διονύσου γενέσθαι τροφόν. καὶ ἀποφαίνουσι
μὲν τὸ ἄντρον ἔνθα τὸν Διόνυσον ἔθρεψεν Ἰνώ, κα-
5 λοῦσι δὲ καὶ τὸ πεδίον Διονύσου κῆπον. 4. Ἱερὰ δὲ αὐ-
τόθι τὸ μέν ἐστιν Ἀσκληπιοῦ, τὸ δὲ Ἀχιλλέως, καὶ ἑορ-
τὴν κατὰ ἔτος ἄγουσιν Ἀχιλλεῖ. ἄκρα δέ ἐστιν ἐν ταῖς
Βρασιαῖς μικρά, προέχουσα ἠρέμα ἐς τὴν θάλασσαν, καὶ
ἐπ' αὐτῇ χαλκοῖ ποδιαίων ἑστήκασιν οὐ μείζονες, πίλους
ἐπὶ ταῖς κεφαλαῖς ἔχοντες, οὐκ οἶδα εἰ Διοσκούρους σφᾶς
ἢ Κορύβαντας νομίζουσι· τρεῖς δ' οὖν εἰσί, τέταρτον δὲ
6 Ἀθηνᾶς ἄγαλμα. 5. Τὰ δὲ ἐν δεξιᾷ Γυθίου Λᾶς ἐστί,
θαλάσσης μὲν δέκα στάδια, Γυθίου δὲ τεσσαράκοντα
ἀπέχουσα. ᾤκισται δὲ νῦν μὲν Ἰλίου καλουμένου καὶ
Ἀσίας καὶ Κνακαδίου, τῶν ὀρῶν τούτων τὸ μεταξὺ ἐπ-
έχουσα, πρότερον δὲ τῆς Ἀσίας τοῦ ὄρους ἔκειτο ἐπὶ τῇ

κορυφῇ· καὶ νῦν ἔτι τῆς πόλεώς ἐστι τῆς ἀρχαίας ἐρεί-
πια, καὶ πρὸ τῶν τειχῶν ἄγαλμα Ἡρακλέους, καὶ ἀπὸ
τῶν Μακεδόνων τρόπαιον, οἳ μοῖρα τῆς Φιλίππου στρα-
τιᾶς ἦσαν, ἡνίκα ἐς τὴν Λακωνικὴν ἐσέβαλεν, ἀποτρα-
πόμενοι δὲ ἀπὸ τῶν ἄλλων τὰ παραθαλάσσια ἐλεηλάτουν
τῆς χώρας. ἔστι δὲ ἐν τοῖς ἐρειπίοις ναὸς Ἀθηνᾶς ἐπί- 7
κλησιν Ἀσίας, ποιῆσαι δὲ Πολυδεύκην καὶ Κάστορά φα-
σιν ἀνασωθέντας ἐκ Κόλχων· εἶναι γὰρ καὶ Κόλχοις
Ἀθηνᾶς Ἀσίας ἱερόν. μετασχόντας μὲν οὖν οἶδα Ἰάσονι
τοῦ στόλου τοὺς Τυνδάρεω παῖδας· ὅτι δὲ Ἀθηνᾶν
273 Ἀσίαν τιμῶσιν οἱ Κόλχοι, παρὰ Λαῶν ἀκούσας γράφω.
τῆς δὲ ἐφ' ἡμῶν οἰκουμένης πόλεως κρήνη τέ ἐστι πλη-
σίον διὰ τὴν χρόαν τοῦ ὕδατος καλουμένη Γαλακώ, καὶ
πρὸς τῇ κρήνῃ γυμνάσιον· Ἑρμοῦ δὲ ἕστηκεν ἄγαλμα
ἀρχαῖον. Τῶν δὲ ὀρῶν ἐπὶ μὲν τοῦ Ἰλίου Διονύσου τέ 8
ἐστι καὶ ἐπ' ἄκρας τῆς κορυφῆς Ἀσκληπιοῦ ναός, πρὸς δὲ
τῷ Κνακαδίῳ Κάρνειος καλούμενος Ἀπόλλων. 6. Ἀπὸ δὲ
τοῦ Καρνείου σταδίους προελθόντι ὡς τριάκοντά ἐστιν
ἐν χωρίῳ Ὕψοις ἐν ὅροις ἤδη Σπαρτιατῶν ἱερὸν Ἀσκλη-
πιοῦ καὶ Ἀρτέμιδος ἐπίκλησιν Δαφναίας. πρὸς θαλάσσῃ 9
δὲ ἐπὶ ἄκρας ναός ἐστι Δικτύννης Ἀρτέμιδος, καί οἱ κατὰ
ἔτος ἕκαστον ἑορτὴν ἄγουσι. ταύτης δὲ ἐν ἀριστερᾷ τῆς
ἄκρας ποταμὸς ἐκδίδωσιν ἐς θάλασσαν Σμῆνος, ὕδωρ
πιεῖν ἡδὺ εἴπερ ἄλλος τις παρασχόμενος ποταμός· ἔχει
δὲ ἐν τῷ ὄρει τῷ Ταϋγέτῳ τὰς πηγάς, ἀπέχει δὲ τῆς πό-
λεως σταδίους οὐ πλέον πέντε. 7. Ἐν δὲ Ἀραΐνῳ καλου- 10
μένῳ χωρίῳ τάφος Λᾶ, καὶ ἀνδριὰς ἐπὶ τῷ μνήματι ἔπε-
στι. τοῦτον τὸν Λᾶν οἰκιστὴν εἶναι λέγουσιν οἱ ταύτῃ,
καὶ ἀποθανεῖν φασὶν ὑπὸ Ἀχιλλέως, Ἀχιλλέα δὲ κατᾶ-
ραί σφισιν ἐς τὴν χώραν Ἑλένην παρὰ Τυνδάρεω γυ-
ναῖκα αἰτοῦντα. λέγοντι δὲ ἐπ' ἀληθείᾳ Πάτροκλός ἐστιν
ὁ τὸν Λᾶν ἀποκτείνας· οὗτος γὰρ καὶ ὁ μνηστευσάμενός

ἐστιν Ἑλένην. καὶ ὅτι μὲν τῶν Ἑλένης μνηστήρων Ἀχιλ-
λεὺς οὐκ ἔστιν ἐν Καταλόγῳ γυναικῶν, μηδὲν τοῦτο
11 ἔστω τεκμήριον οὐκ αἰτῆσαι Ἑλένην αὐτόν· Ὅμηρος δὲ
ἔγραψε μὲν τῆς ποιήσεως ἀρχόμενος ὡς Ἀχιλλεὺς χαρι-
ζόμενος τοῖς Ἀτρέως παισὶ καὶ οὐκ ἐνεχόμενος τοῖς ὅρκοις
τοῖς Τυνδάρεω παραγένοιτο ἐς Τροίαν, ἐποίησε δὲ ἐν ἄθ-
λοις λέγοντα Ἀντίλοχον ὡς Ὀδυσσεὺς πρεσβύτερός ἐστιν
αὐτοῦ γενεᾷ, τὸν δὲ Ὀδυσσέα πρὸς Ἀλκίνουν περὶ τῶν ἐν
Ἅιδου καὶ ἄλλα διηγούμενον καὶ ὅτι Θησέα ἰδεῖν ἐθελῆσαι 274
καὶ Πειρίθουν προτέρους ἄνδρας ἢ καθ' ἡλικίαν τὴν αὐ-
τοῦ· Θησέα δὲ ἴσμεν ἁρπάσαντα Ἑλένην. οὕτως οὐδὲ ἐγ-
χωροῦν ἐστιν ἀρχὴν Ἑλένης μνηστῆρα Ἀχιλλέα γενέσθαι.

**XXV.** Προελθόντι δὲ ἀπὸ τοῦ μνήματος ἐκδίδωσιν ἐς
θάλασσαν ποταμός, ὄνομα δέ οἱ Σκύρας, ὅτι κατ' αὐτὸν
ἀνώνυμον τέως ὄντα Πύρρος ὁ Ἀχιλλέως ἔσχε ταῖς ναυ-
σίν, ἡνίκα ἐπὶ τὸν Ἑρμιόνης γάμον ἔπλευσεν ἐκ Σκύρου.
διαβάντων δὲ τὸν ποταμὸν ἔστιν ἱερὸν ἀρχαῖον ἀπωτέρω
Διὸς βωμοῦ. 2. τοῦ ποταμοῦ δὲ σταδίους τεσσαράκοντα
ἀπέχει Πύρριχος ἐν μεσογαίᾳ. τὸ δὲ ὄνομα τῇ πόλει γε-
2 νέσθαι φασὶν ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως, οἱ δὲ εἶναι θεὸν
Πύρριχον τῶν καλουμένων Κουρήτων· εἰσὶ δὲ οἳ Σιλη-
νὸν ἐκ Μαλέας ἐλθόντα ἐνταῦθα λέγουσιν οἰκῆσαι. τρα-
φῆναι μεν δὴ τὸν Σιληνὸν ἐν τῇ Μαλέᾳ δηλοῖ καὶ τάδε
ἐξ ᾄσματος Πινδάρου

„Ὁ ζαμενὴς δ' ὁ χοροιτύπος
Ὃν Μαλεάγονος ἔθρεψε Ναΐδος ἀκοίτας
Σιληνός."

Ὡς δὲ καὶ Πύρριχος ὄνομα ἦν αὐτῷ Πινδάρῳ μὲν οὐκ ἔστιν
3 εἰρημένον, λέγουσι δὲ οἱ περὶ τὴν Μαλέαν οἰκοῦντες. Ἔστι
δὲ ἐν τῇ Πυρρίχῳ φρέαρ ἐν τῇ ἀγορᾷ, δοῦναι δέ σφισι τὸν
Σιληνὸν νομίζουσι· σπανίζοιεν δ' ἂν ὕδατος, εἰ τὸ φρέαρ
τοῦτο ἐπιλείποι. θεῶν δὲ ἐν τῇ γῇ σφίσιν ἱερά ἐστιν Ἀρ-

τέμιδός τε ἐπίκλησιν Ἀστρατείας, ὅτι τῆς ἐς τὸ πρόσω
στρατείας ἐνταῦθα ἐπαύσαντο Ἀμαζόνες, καὶ Ἀπόλλων
Ἀμαζόνιος· ξόανα μὲν ἀμφότερα, ἀναθεῖναι δὲ λέγουσιν
αὐτὰ τὰς ἀπὸ Θερμώδοντος γυναῖκας.
3. Ἀπὸ δὲ Πυρρίχου καταβάντι ἐς θάλασσάν ἐστι 4
Τευθρώνη. τὸν δὲ οἰκιστὴν οἱ ταύτῃ Τεύθραντα Ἀθη-
ναῖον ὄντα ἀποφαίνουσι. τιμῶσι δὲ θεῶν μάλιστα Ἰσσω-
ρίαν Ἄρτεμιν, καὶ πηγή σφισίν ἐστι Ναΐα. 4. Τευθρώ-
275 νης δὲ ἀπέχει πεντήκοντα καὶ ἑκατὸν σταδίους ἐς θάλασ-
σαν ἀνέχουσα ἄκρα Ταίναρον, καὶ λιμένες ὅ τε Ἀχίλλειός
ἐστι καὶ Ψαμαθοῦς. ἐπὶ δὲ τῇ ἄκρᾳ ναὸς εἰκασμένος σπη-
λαίῳ, καὶ πρὸ αὐτοῦ Ποσειδῶνος ἄγαλμα. ἐποίησαν δὲ 5
Ἑλλήνων τινὲς ὡς Ἡρακλῆς ἀναγάγοι ταύτῃ τοῦ Ἅιδου
τὸν κύνα, οὔτε ὑπὸ γῆν ὁδοῦ διὰ τοῦ σπηλαίου φερού-
σης, οὔτε ἕτοιμον ὂν πεισθῆναι θεῶν ὑπόγαιον εἶναί
τινα οἴκησιν, ἐς ἣν ἀθροίζεσθαι τὰς ψυχάς. ἀλλὰ Ἑκα-
ταῖος μὲν ὁ Μιλήσιος λόγον εὗρεν εἰκότα, ὄφιν φήσας
ἐπὶ Ταινάρῳ τραφῆναι δεινόν, κληθῆναι δὲ Ἅιδου κύνα,
ὅτι ἔδει τὸν δηχθέντα τεθνάναι παραυτίκα ὑπὸ τοῦ ἰοῦ·
καὶ τοῦτον ἔφη τὸν ὄφιν ὑπὸ Ἡρακλέους ἀχθῆναι παρ'
Εὐρυσθέα. Ὅμηρος δέ, πρῶτος γὰρ ἐκάλεσεν Ἅιδου 6
κύνα ὅντινα Ἡρακλῆς ἦγεν, οὔτε ὄνομα ἔθετο οὐδέν,
οὔτε συνέπλασεν ἐς τὸ εἶδος ὥσπερ ἐπὶ τῇ Χιμαίρᾳ. οἱ
δὲ ὕστερον Κέρβερον ὄνομα ἐποίησαν, καὶ κυνὶ τὰ ἄλλα
εἰκάζοντες κεφαλὰς τρεῖς φασὶν ἔχειν αὐτὸν, οὐδέν τι
μᾶλλον Ὁμήρου κύνα τῷ ἀνθρώπῳ σύντροφον εἰρηκότος
ἢ εἰ δράκοντα ὄντα ἐκάλεσεν Ἅιδου κύνα. 5. Ἀναθή- 7
ματα δὲ ἄλλα τέ ἐστιν ἐπὶ Ταινάρῳ καὶ Ἀρίων ὁ κιθαρῳ-
δὸς χαλκοῦς ἐπὶ δελφῖνος. τὰ μὲν οὖν ἐς αὐτὸν Ἀρίονα
καὶ τὰ ἐπὶ τῷ δελφῖνι Ἡρόδοτος εἶπεν ἀκοὴν ἐν τῇ Λυδίᾳ
συγγραφῇ· τὸν δ' ἐν Ποροσελήνῃ δελφῖνα τῷ παιδὶ σῶ-
στρα ἀποδιδόντα, ὅτι συγκοπέντα ὑπὸ ἁλιέων αὐτὸν

ἰάσατο, τοῦτον τὸν δελφῖνα εἶδον καὶ καλοῦντι τῷ παιδὶ ὑπακούοντα καὶ φέροντα, ὁπότε ἐποχεῖσθαί οἱ βούλοιτο.
8 ἔστι δὲ ἐπὶ Ταινάρῳ καὶ πηγή, νῦν μὲν οὐδὲν ὥστε καὶ θαῦμα εἶναι παρεχομένη, πρότερον δὲ τοῖς ἐνιδοῦσιν ἐς τὸ ὕδωρ τοὺς λιμένας, φασί, καὶ τὰς ναῦς θεάσασθαι παρεῖχε. τοῦτο ἔπαυσε γυνὴ τὸ ὕδωρ μὴ καὶ τοῦ λοιποῦ τοιαῦτα 276
ἐπιδείκνυσθαι, μεμιασμένην ἐναποπλύνασα ἐσθῆτα.
9 6. Ταινάρου δὲ τῆς ἄκρας πλοῦν ὅσον τεσσαράκοντα σταδίων ἀφέστηκε Καινήπολις· ὄνομα δὲ ἦν πάλαι καὶ ταύτῃ Ταίναρον. ἐν αὐτῇ δὲ μέγαρον Δήμητρος καὶ ἐπὶ θαλάσσῃ ναός ἐστιν Ἀφροδίτης καὶ ἄγαλμα ὀρθὸν λίθου. ἐντεῦθεν ἀποσχόντι τριάκοντα σταδίους Θυρίδες ἄκρα Ταινάρου καὶ πόλεως ἐρείπια Ἱππόλας ἐστίν, ἐν δὲ αὐτοῖς Ἀθηνᾶς ἱερὸν Ἱππολαΐτιδος, 7. ὀλίγου δὲ ἀπωτέρω Μέσ-
10 σα πόλις καὶ λιμήν. ἀπὸ τούτου στάδια τοῦ λιμένος πεντήκοντά ἐστι καὶ ἑκατὸν ἐπὶ Οἴτυλον. ὁ δὲ ἥρως ἀφ᾽ οὗ τῇ πόλει τὸ ὄνομα ἐγένετο, Ἀργεῖος τὸ ἀνέκαθεν, Ἀμφιάνακτος υἱὸς ὢν τοῦ Ἀντιμάχου. θέας δὲ ἄξια ἐν Οἰτύλῳ Σαράπιδός ἐστιν ἱερὸν καὶ ἐν τῇ ἀγορᾷ Καρνείου ξόανον Ἀπόλλωνος.

XXVI. Ἐς Θαλάμας δὲ ἐξ Οἰτύλου μῆκος τῆς ὁδοῦ στάδιοι περὶ τοὺς ὀγδοήκοντά εἰσι, κατὰ δὲ τὴν ὁδὸν ἱερόν ἐστιν Ἰνοῦς καὶ μαντεῖον. μαντεύονται μὲν οὖν καθεύδοντες, ὁπόσα δ᾽ ἂν πυθέσθαι δεηθῶσιν, ὀνείρατα δείκνυσί σφισιν ἡ θεός. χαλκᾶ δὲ ἕστηκεν ἀγάλματα ἐν ὑπαίθρῳ τοῦ ἱεροῦ, τῆς τε Πασιφάης καὶ Ἡλίου τὸ ἕτερον· αὐτὸ δὲ τὸ ἐν τῷ ναῷ σαφῶς μὲν οὐκ ἦν ἰδεῖν ὑπὸ στεφανωμάτων, χαλκοῦν δὲ καὶ τοῦτο εἶναι λέγουσι. ῥεῖ δὲ καὶ ὕδωρ ἐκ πηγῆς ἱερᾶς πιεῖν ἡδύ· Σελήνης δὲ ἐπίκλησις, καὶ οὐ Θαλαμάταις ἐπιχώριος δαίμων ἐστὶν ἡ Πασιφάη.
2 2. Θαλαμῶν δὲ ἀπέχει σταδίους εἴκοσιν ὀνομαζομένη

*Πέφνος ἐπὶ θαλάσσῃ. πρόκειται δὲ νησὶς πέτρας τῶν μεγάλων οὐ μείζων, Πέφνος καὶ ταύτῃ τὸ ὄνομα· τεχθῆναι δὲ ἐνταῦθα τοὺς Διοσκούρους φασὶν οἱ Θαλαμᾶται. τοῦτο μὲν δὴ καὶ Ἀλκμᾶνα ἐν ᾄσματι οἶδα εἰπόντα· τραφῆναι δὲ οὐκέτι ἐν τῇ Πέφνῳ φασὶν αὐτούς, ἀλλὰ Ἑρμῆν τὸν ἐς Πελλάναν κομίσαντα εἶναι. ἐν ταύτῃ τῇ νησῖδι* 3
**277** *ἀγάλματα Διοσκούρων χαλκᾶ, μέγεθος ποδιαῖα, ἐν ὑπαίθρῳ τῆς νησῖδός ἐστιν· ταῦτα ἡ θάλασσα ἀποκινεῖν οὐκ ἐθέλει κατακλύζουσα ὥρᾳ χειμῶνος τὴν πέτραν. τοῦτό τε δὴ θαῦμά ἐστι, καὶ οἱ μύρμηκες αὐτόθι λευκότερον ἢ ὡς μυρμήκων τὸ χρῶμα φαίνουσι. τὴν δὲ χώραν οἱ Μεσσήνιοι ταύτην αὑτῶν φασὶν εἶναι τὸ ἀρχαῖον, ὥστε καὶ τοὺς Διοσκούρους μᾶλλόν τι αὑτοῖς καὶ οὐ Λακεδαιμονίοις προσήκειν νομίζουσι.*

3. *Πέφνου δὲ στάδια εἴκοσιν ἀπέχει Λεῦκτρα. ἐφ'* 4
*ὅτῳ μὲν δή ἐστιν ὄνομα τῇ πόλει Λεῦκτρα, οὐκ οἶδα· εἰ δ' ἄρα ἀπὸ Λευκίππου τοῦ Περιήρους, ὡς οἱ Μεσσήνιοί φασι, τούτου μοι δοκοῦσιν ἕνεκα οἱ ταύτῃ θεῶν μάλιστα Ἀσκληπιὸν τιμᾶν, ἅτε Ἀρσινόης παῖδα εἶναι τῆς Λευκίππου νομίζοντες. λίθου δέ ἐστιν Ἀσκληπιοῦ τε ἄγαλμα καὶ Ἰνοῦς ἑτέρωθι. πεποίηται δὲ καὶ Κασσάνδρας τῆς* 5
*Πριάμου ναὸς καὶ ἄγαλμα, Ἀλεξάνδρας ὑπὸ τῶν ἐγχωρίων καλουμένης· καὶ Ἀπόλλωνος Καρνείου ξόανά ἐστι κατὰ ταὐτὰ καθὰ δὴ καὶ Λακεδαιμονίων νομίζουσιν οἱ Σπάρτην ἔχοντες. ἐπὶ δὲ τῆς ἀκροπόλεώς ἐστιν ἱερὸν καὶ ἄγαλμα Ἀθηνᾶς. καὶ Ἔρωτός ἐστιν ἐν Λεύκτροις ναὸς καὶ ἄλσος· ὕδωρ δὲ ὥρᾳ χειμῶνος διαρρεῖ τὸ ἄλσος· τὰ δὲ φύλλα τῷ ἦρι ἀπὸ τῶν δένδρων πίπτοντα οὐκ ἂν ὑπὸ τοῦ ὕδατος οὐδὲ πλεονάσαντος παρενεχθείη.* 4. *Ὃ δὲ* 6
*οἶδα ἐν τῇ πρὸς θαλάσσῃ χώρᾳ τῆς Λευκτρικῆς ἐπ' ἐμοῦ συμβάν, γράφω. ἄνεμος πῦρ ἐς ὕλην ἐνεγκὼν τὰ πολλὰ ἠφάνισε τῶν δένδρων· ὡς δὲ ἀνεφάνη τὸ χωρίον ψιλόν,*

ἄγαλμα ἐνταῦθα ἱδρυμένον εὑρέθη Διὸς Ἰθωμάτα. τοῦ-
το οἱ Μεσσήνιοί φασι μαρτύριον εἶναί σφισι τὰ Λεῦκτρα
τὸ ἀρχαῖον τῆς Μεσσηνίας εἶναι. δύναιτο δ' ἂν καὶ Λα-
κεδαιμονίων τὰ Λεῦκτρα ἐξ ἀρχῆς οἰκούντων ὁ Ἰθωμά-
τας Ζεὺς παρ' αὐτοῖς ἔχειν τιμάς.
7 5. Καρδαμύλη δέ, ἧς καὶ Ὅμηρος μνήμην ἐποιήσατο
ἐν Ἀγαμέμνονος ὑποσχέσεσι δώρων, Λακεδαιμονίων ἐστὶν
ὑπήκοος τῶν ἐν Σπάρτῃ, βασιλέως Αὐγούστου τῆς Μεσ-
σηνίας ἀποτεμομένου. ἀπέχει δὲ Καρδαμύλη θαλάσσης
μὲν ὀκτὼ σταδίους, Λεύκτρων δὲ καὶ ἑξήκοντα. ἐνταῦθα
οὐ πόρρω τοῦ αἰγιαλοῦ τέμενος ἱερὸν τῶν Νηρέως θυγα- 278
τέρων ἐστίν· ἐς γὰρ τοῦτο ἀναβῆναι τὸ χωρίον φασὶν ἐκ
τῆς θαλάσσης αὐτὰς Πύρρον ὀψομένας τὸν Ἀχιλλέως,
ὅτε ἐς Σπάρτην ἐπὶ τὸν Ἑρμιόνης ἀπῄει γάμον. ἐν δὲ τῷ
πολίσματι Ἀθηνᾶς τε ἱερὸν καὶ Ἀπόλλων ἐστὶ Κάρνειος,
καθὰ Δωριεῦσιν ἐπιχώριον.
8 6. Πόλιν δὲ ὀνομαζομένην ἐν τοῖς ἔπεσιν Ἐνόπην
τοῖς Ὁμήρου, Μεσσηνίους ὄντας, ἐς δὲ τὸ συνέδριον συν-
τελοῦντας τὸ Ἐλευθερολακώνων, καλοῦσιν ἐφ' ἡμῶν
Γερηνίαν. ἐν ταύτῃ τῇ πόλει Νέστορα οἱ μὲν τραφῆναι
λέγουσιν, οἱ δὲ ἐς τοῦτο ἐλθεῖν φεύγοντα τὸ χωρίον,
9 ἡνίκα Πύλος ἡλίσκετο ὑπὸ Ἡρακλέους. 7. ἐνταῦθα ἐν
τῇ Γερηνίᾳ Μαχάονος τοῦ Ἀσκληπιοῦ μνῆμα καὶ ἱερόν
ἐστιν ἅγιον, καὶ ἀνθρώποις νόσων ἰάματα παρὰ τῷ Μα-
χάονι ἔστιν εὑρέσθαι. καὶ Ῥόδον μὲν τὸ χωρίον τὸ ἱερὸν
ὀνομάζουσιν, ἄγαλμα δὲ τοῦ Μαχάονος χαλκοῦν ἐστὶν
ὀρθόν· ἐπίκειται δέ οἱ τῇ κεφαλῇ στέφανος, ὃν οἱ Μεσ-
σήνιοι κίφος καλοῦσι τῇ ἐπιχωρίῳ φωνῇ. Μαχάονα δὲ
ὑπὸ Εὐρυπύλου τοῦ Τηλέφου τελευτῆσαί φησιν ὁ τὰ ἔπη
10 ποιήσας τὴν μικρὰν Ἰλιάδα. διὸ καὶ τάδε αὐτὸς οἶδα περὶ
τὸ Ἀσκληπιεῖον τὸ ἐν Περγάμῳ γινόμενα· ἄρχονται μὲν
ἀπὸ Τηλέφου τῶν ὕμνων, προσᾴδουσι δὲ οὐδὲν ἐς τὸν

*Εὐρύπυλον, οὐδὲ ἀρχὴν ἐν τῷ ναῷ θέλουσιν ὀνομάζειν
αὐτόν, οἷα ἐπιστάμενοι φονέα ὄντα Μαχάονος. ἀνασώ-
σασθαι δὲ Νέστορα λέγεται τοῦ Μαχάονος τὰ ὀστᾶ. Πο-
δαλείριον δέ, ὡς ὀπίσω πορθήσαντες Ἴλιον ἐκομίζοντο,
ἁμαρτεῖν τοῦ πλοῦ καὶ ἐς Σύρνον τῆς Καρικῆς ἠπείρου
φασὶν ἀποσωθέντα οἰκῆσαι.*

8. *Τῆς δὲ χώρας τῆς Γερηνίας ὄρος Καλάθιόν ἐστιν,* 11
*** ἐν αὐτῷ Κλαίας καὶ σπήλαιον παρ' αὐτὸ τὸ ἱερόν, ἔσο-
δον μὲν στενήν, τὰ δὲ ἔνδον παρεχόμενον θέας ἄξια.
Γερηνίας δὲ ὡς ἐς μεσόγαιαν ἄνω τριάκοντα ἀπέχει στα-
δίους Ἀλαγονία, καὶ τὸ πόλισμα κατηρίθμησα ἤδη καὶ
τοῦτο ἐν Ἐλευθερολάκωσι. θέας δὲ αὐτόθι ἄξια Διονύ-
σου καὶ Ἀρτέμιδός ἐστιν ἱερά.*

---

## ΜΕΣΣΗΝΙΑΚΑ.

280 I. *Μεσσηνίοις δὲ πρὸς τὴν σφετέραν τὴν ἀπονεμη-
θεῖσαν ὑπὸ τοῦ βασιλέως ἐς τὸ Λακωνικὸν ὅροι κατὰ τὴν
Γερηνίαν εἰσὶν ἐφ' ἡμῶν ὀνομαζομένη Χοίριος νάπη.*
2. *ταύτην τὴν χώραν ἔρημον οὖσαν οὕτω σχεῖν τοὺς πρώ-
τους λέγουσιν οἰκήτορας. ἀποθανόντος Λέλεγος, ὃς ἐβα-
σίλευεν ἐν τῇ νῦν Λακωνικῇ τότε δὲ ἀπ' ἐκείνου Λελεγίᾳ
καλουμένῃ, Μύλης μὲν πρεσβύτερος ὢν τῶν παίδων ἔσχε
τὴν ἀρχήν, Πολυκάων δὲ νεώτερός τε ἦν ἡλικίᾳ καὶ δι'
αὐτὸ ἰδιώτης, ἐς ὃ Μεσσήνην τὴν Τριόπα τοῦ Φόρβαν-
τος ἔλαβε γυναῖκα ἐξ Ἄργους. φρονοῦσα δὲ ἡ Μεσσήνη* 2
*διὰ τὸν πατέρα ἀξιώματι καὶ δυνάμει τῶν τότε προέχον-
τα Ἑλλήνων οὐκ ἠξίου τὸν ἄνδρα ἰδιωτεύειν. ἀθροίσαν-
τες δὲ ἔκ τε Ἄργους δύναμιν καὶ ἐκ Λακεδαίμονος ἀφί-
κοντο ἐς ταύτην τὴν χώραν, καὶ συμπάσῃ μὲν ἐτέθη τῇ*

γῇ Μεσσήνη τὸ ὄνομα ἀπὸ τῆς Πολυκάονος γυναικός,
3. πόλεις δὲ ἄλλαι τε ἐκτίσθησαν καὶ ἔνθα τὰ βασίλεια
3 κατεσκευάσθη σφίσιν, Ἀνδανία. πρὸ δὲ τῆς μάχης ἣν
Θηβαῖοι πρὸς Λακεδαιμονίους ἐμαχέσαντο ἐν Λεύκτροις,
καὶ τοῦ οἰκισμοῦ Μεσσήνης τῆς ἐφ' ἡμῶν ὑπὸ τῇ Ἰθώμῃ,
πόλιν οὐδεμίαν πω κληθῆναι πρότερον δοκῶ Μεσσήνην.
εἰκάζω δὲ οὐχ ἥκιστα Ὁμήρου τοῖς ἔπεσιν. ἐν μὲν γὰρ
καταλόγῳ τῶν ἐς Ἴλιον ἀφικομένων Πύλον καὶ Ἀρήνην
καὶ ἄλλας καταλέγων οὐδεμίαν πόλιν Μεσσήνην ἐκάλε-
σεν· ἐν Ὀδυσσείᾳ δὲ δηλοῖ μὲν καὶ ἐν τῷδε ἔθνος καὶ οὐ
πόλιν τοὺς Μεσσηνίους ὄντας,

μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν,

4 σαφέστερον δὲ ἔτι περὶ τοῦ τόξου λέγων τοῦ Ἰφίτου

τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν,
οἴκῳ ἐν Ὀρτιλόχοιο.

τοῦ γὰρ Ὀρτιλόχου τὸν οἶκον ἐν τῇ Μεσσήνῃ πόλισμα 281
εἴρηκε τὰς Φηράς, καὶ τόδε ἐξηγήσατο αὐτὸς ἐν τῇ Πει-
σιστράτου παρὰ Μενέλαον ἀποδημίᾳ·

ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ δῶμα,
υἱέος Ὀρτιλόχοιο.

5 4. Πρῶτοι δ' οὖν βασιλεύουσιν ἐν τῇ χώρᾳ ταύτῃ Πολυ-
κάων τε ὁ Λέλεγος καὶ Μεσσήνη γυνὴ τοῦ Πολυκάονος.
παρὰ ταύτην τὴν Μεσσήνην τὰ ὄργια κομίζων τῶν μεγά-
λων Θεῶν Καύκων ἦλθεν ἐξ Ἐλευσῖνος ὁ Κελαίνου τοῦ
Φλυοῦ. Φλυὸν δὲ αὐτὸν Ἀθηναῖοι λέγουσι παῖδα εἶναι
Γῆς· ὁμολογεῖ δέ σφισι καὶ ὕμνος Μουσαίου Λυκομί-
6 δαις ποιηθεὶς ἐς Δήμητρα. τὴν δὲ τελετὴν τῶν μεγάλων
Θεῶν Λύκος ὁ Πανδίονος πολλοῖς ἔτεσιν ὕστερον Καύ-
κωνος προήγαγεν ἐς πλέον τιμῆς· καὶ Λύκου δρυμὸν ἔτι
ὀνομάζουσιν ἔνθα ἐκάθηρε τοὺς μύστας. καὶ ὅτι μὲν
δρυμός ἐστιν ἐν τῇ γῇ ταύτῃ Λύκου καλούμενος, Ῥιανῷ
τῷ Κρητί ἐστι πεποιημένον.

*πάρ τε τρηχὺν Ἐλαιὸν ὑπὲρ δρυμόν τε Λύκοιο·*

5. ὡς δὲ ὁ Πανδίονος οὗτος ἦν Λύκος, δηλοῖ τὰ ἐπὶ τῇ εἰ- 7
κόνι ἔπη τῇ Μεθάπου. μετεκόσμησε γὰρ καὶ Μέθαπος τῆς τελετῆς ἔστιν ἅ. ὁ δὲ Μέθαπος γένος μὲν ἦν Ἀθηναῖος, τελετῆς δὲ καὶ ὀργίων παντοίων συνθέτης. οὗτος καὶ Θηβαίοις τῶν Καβείρων τὴν τελετὴν κατεστήσατο.
282 ἀνέθηκε δὲ καὶ ἐς τὸ κλίσιον τὸ Λυκομιδῶν εἰκόνα ἔχουσαν ἐπίγραμμα ἄλλα τε λέγον καὶ ὅσα ἡμῖν ἐς πίστιν συντελεῖ τοῦ λόγου·

*ἥγνισα δ' Ἑρμείαο δόμους * * τε κέλευθα* 8
*Δάματρος καὶ πρωτογόνου Κούρας, ὅθι φασί*
*Μεσσήνην θεῖναι μεγάλαισι Θεαῖσιν ἀγῶνα*
*Φλυάδεω κλεινοῖο γόνου Καυκωνιάδαο.*
*θαύμασα δ' ὡς σύμπαντα Λύκος Πανδιόνιος φῶς*
*Ἀτθίδος ἱερὰ ἔργα παρ' Ἀνδανίῃ θέτο κεδνῇ.*

τοῦτο τὸ ἐπίγραμμα δηλοῖ μὲν ὡς παρὰ τὴν Μεσσήνην 9
ἀφίκοιτο ὁ Καύκων ἀπόγονος ὢν Φλυοῦ, δηλοῖ δὲ καὶ ἐς τὸν Λύκον τά τε ἄλλα καὶ ὡς ἡ τελετὴ τὸ ἀρχαῖον ἦν ἐν Ἀνδανίᾳ. καί μοι καὶ τοῦτο εἰκὸς ἐφαίνετο, τὴν Μεσσήνην μὴ ἑτέρωθι, ἀλλὰ ἔνθα αὐτή τε καὶ Πολυκάων ᾤκουν, καταστήσασθαι τὴν τελετήν.

II. Πυθέσθαι δὲ σπουδῇ πάνυ ἐθελήσας οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφίσιν οὐδὲν πεποιημένον, ἀλλὰ Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα υἱὸν Βούτου λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖταί σφισι. 2. Χρόνῳ δὲ ὕστερον, ὡς ἦν 2
τῶν Πολυκάονος οὐδεὶς ἔτι ἀπογόνων, ἐς γενεὰς πέντε ἐμοὶ δοκεῖν προελθόντων καὶ οὐ πλείονας, Περιήρην τὸν

Αἰόλου βασιλέα ἐπάγονται. παρὰ τοῦτον ἀφίκετο, ὡς οἱ
Μεσσήνιοί φασι, Μελανεύς, τοξεύειν ἀνὴρ ἀγαθὸς καὶ
διὰ τοῦτο Ἀπόλλωνος εἶναι νομιζόμενος· καί οἱ τῆς χώ- 283
ρας τὸ Καρνάσιον, τότε δὲ Οἰχαλίαν κληθεῖσαν ἀπένει-
μεν ὁ Περιήρης ἐνοικῆσαι· γενέσθαι δὲ ὄνομα Οἰχαλίαν
3 τῇ πόλει φασὶν ἀπὸ τοῦ Μελανέως τῆς γυναικός. Θεσ-
σαλοὶ δὲ καὶ Εὐβοεῖς, ἥκει γὰρ δὴ ἐς ἀμφισβήτησιν τῶν
ἐν τῇ Ἑλλάδι τὰ πλείω, λέγουσιν, οἱ μὲν ὡς τὸ Εὐρύ-
τιον, χωρίον δὲ ἔρημον ἐφ' ἡμῶν ἐστὶ τὸ Εὐρύτιον, πό-
λις τὸ ἀρχαῖον ἦν καὶ ἐκαλεῖτο Οἰχαλία· τῷ δὲ Εὐβοέων
λόγῳ Κρεώφυλος ἐν Ἡρακλείᾳ πεποίηκεν ὁμολογοῦντα.
Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐν Σκίῳ μοίρᾳ τῆς Ἐρετρικῆς
ἔγραψεν εἶναι Οἰχαλίαν. ἀλλὰ γὰρ οἱ Μεσσήνιοι τά τε
ἄλλα δοκοῦσί μοι μᾶλλον εἰκότα ἐκείνων λέγειν, καὶ οὐχ
ἥκιστα τῶν ὀστῶν ἕνεκα τῶν Εὐρύτου, ἃ δὴ καὶ ἐν τοῖς
ἔπειτά που ὁ λόγος ἐπέξεισί μοι.

4 3. Περιήρει δὲ ἐγεγόνεσαν ἐκ Γοργοφόνης τῆς Περ-
σέως Ἀφαρεὺς καὶ Λεύκιππος, καὶ ὡς ἀπέθανε Περιή-
ρης, ἔσχον οὗτοι τὴν Μεσσηνίων ἀρχήν· κυριώτερος δὲ
ἔτι Ἀφαρεὺς ἦν. οὗτος βασιλεύσας πόλιν ᾤκισεν Ἀρή-
νην ἀπὸ τῆς Οἰβάλου θυγατρός, αὐτοῦ δὲ γυναικὸς τῆς
αὐτῆς καὶ ἀδελφῆς ὁμομητρίας· καὶ γὰρ Οἰβάλῳ συνῴ-
κησε Γοργοφόνη, καί μοι δὶς ἤδη τὰ ἐς αὐτὴν ὁ λόγος ἔν
τε τῇ Ἀργολίδι ἐδήλωσε καὶ ἐν τῇ Λακωνικῇ συγγραφῇ.
5 ὁ δ' οὖν Ἀφαρεὺς πόλιν τε ἔκτισεν ἐν τῇ Μεσσηνίᾳ τὴν
Ἀρήνην, καὶ Νηλέα τὸν Κρηθέως τοῦ Αἰόλου, Ποσειδῶ-
νος δὲ ἐπίκλησιν, ἀνεψιὸν ὄντα αὐτῷ, φεύγοντα ἐξ Ἰωλ-
κοῦ Πελίαν ἐδέξατο οἴκῳ, καὶ τῆς γῆς οἱ ἔδωκε τὰ ἐπὶ θα-
λάσσῃ, ἐν οἷς ἄλλαι τε ἦσαν πόλεις καὶ ἡ Πύλος, ἔνθα καὶ
6 ᾤκησε καὶ τὸ βασίλειον κατεστήσατο ὁ Νηλεύς. 4. Ἀφί-
κετο δὲ ἐς τὴν Ἀρήνην καὶ Λύκος ὁ Πανδίονος, ὅτε καὶ
αὐτὸς τὸν ἀδελφὸν Αἰγέα ἐξ Ἀθηνῶν ἔφευγε· καὶ τὰ

ὄργια ἐπέδειξε τῶν μεγάλων Θεῶν Ἀφαρεῖ καὶ τοῖς παισὶ καὶ τῇ γυναικὶ Ἀρήνῃ. ταῦτα δέ σφισιν ἐπεδείκνυτο ἀγαγὼν ἐς τὴν Ἀνδανίαν, ὅτι καὶ τὴν Μεσσήνην ὁ Καύκων ἐμύησεν ἐνταῦθα. Ἀφαρεῖ δὲ τῶν παίδων πρε- 7
σβύτερος μὲν καὶ ἀνδρειότερος Ἴδας, νεώτερος δὲ ἦν
284 Λυγκεύς, ὃν ἔφη Πίνδαρος, ὅτῳ πιστά, οὕτως ὀξὺ ὁρᾶν ὡς καὶ διὰ στελέχους θεᾶσθαι δρυός. 5. Λυγκέως μὲν δὴ παῖδα οὐκ ἴσμεν γενόμενον, Ἴδα δὲ Κλεοπάτραν θυγατέρα ἐκ Μαρπήσσης, ἣ Μελεάγρῳ συνῴκησεν. ὁ δὲ τὰ ἔπη ποιήσας τὰ Κύπρια Πρωτεσιλάου φησίν, ὃς ὅτε κατὰ τὴν Τρῳάδα ἔσχον Ἕλληνες ἀποβῆναι πρῶτος ἐτόλμησε, Πρωτεσιλάου τούτου τὴν γυναῖκα Πολυδώραν μὲν τὸ ὄνομα, θυγατέρα δὲ Μελεάγρου φησὶν εἶναι τοῦ Οἰνέως. εἰ τοίνυν ἐστὶν ἀληθές, αἱ γυναῖκες αὗται τρεῖς οὖσαι τὸν ἀριθμόν, ἀπὸ Μαρπήσσης ἀρξάμεναι, προαποθανοῦσι πᾶσαι τοῖς ἀνδράσιν ἑαυτὰς ἐπικατέσφαξαν.

III. Ἐπεὶ δὲ τοῖς Ἀφαρέως παισὶ πρὸς τοὺς Διοσκούρους ἐγένετο ἀνεψιοὺς ὄντας μάχη περὶ τῶν βοῶν, καὶ τὸν μὲν Πολυδεύκης ἀπέκτεινεν, Ἴδαν δὲ ἐπέλαβε τὸ χρεὼν κεραυνωθέντα, ὁ μὲν Ἀφαρέως οἶκος γένους παντὸς ἠρήμωτο τοῦ ἄρρενος, ἐς δὲ Νέστορα τὸν τοῦ Νηλέως περιῆλθε Μεσσηνίων ἡ ἀρχὴ τῶν τε ἄλλων καὶ ὅσων πρότερον ἐβασίλευεν Ἴδας, πλὴν ὅσοι τοῖς Ἀσκληπιοῦ παισὶν αὐτῶν ὑπήκουον. 2. καὶ γὰρ τοὺς Ἀσκλη- 2
πιοῦ παῖδας στρατεῦσαί φασιν ἐς Ἴλιον Μεσσηνίους ὄντας· Ἀρσινόης γὰρ Ἀσκληπιὸν τῆς Λευκίππου καὶ οὐ Κορωνίδος παῖδα εἶναι. καὶ Τρίκκαν τε καλοῦσιν ἔρημον ἐν τῇ Μεσσηνίᾳ χωρίον, καὶ ἔπη τῶν Ὁμήρου καταλέγουσιν ἐν οἷς τὸν Μαχάονα ὁ Νέστωρ τῷ ὀϊστῷ βεβλημένον περιέπων ἐστὶν εὐνοϊκῶς· οὐκ ἂν οὖν αὐτὸν μὴ ἐς γείτονα καὶ ἀνθρώπων βασιλέα ὁμοφύλων προθυμίαν τοσήνδε γε ἐπιδείξασθαι. Τοῖς δὲ καὶ μάλιστα ἤδη βε-

βαιοῦνται τὸν ἐς τοὺς Ἀσκληπιάδας λόγον, ἀποφαίνον-
τες ἐν Γερηνίᾳ Μαχάονος μνῆμα καὶ τὸ ἐν Φαραῖς τῶν
Μαχάονος παίδων ἱερόν.
3 3. Διαπολεμηθέντος δὲ τοῦ πρὸς Ἴλιον πολέμου,
καὶ Νέστορος ὡς ἐπανῆλθεν οἴκαδε τελευτήσαντος, Δω-
ριέων στόλος καὶ ἡ κάθοδος Ἡρακλειδῶν γενομένη δύο 285
γενεαῖς ὕστερον ἐξέβαλε τοὺς Νηλέως ἀπογόνους ἐκ τῆς
Μεσσηνίας. καί μοι ταῦτα ἐγένετο ἤδη τῷ λόγῳ προσ-
θήκη τῷ ἐς Τισαμενόν· πλὴν τοσόνδε ἔτι δηλώσω. Τη-
μένῳ τῶν Δωριέων Ἄργος ἐφέντων ἔχειν, Κρεσφόντης
γῆν σφᾶς ᾔτει τὴν Μεσσηνίαν ἅτε καὶ αὐτὸς Ἀριστοδή-
4 μου πρεσβύτερος. Ἀριστόδημος μὲν οὖν ἐτύγχανεν ἤδη
τεθνεώς, Θήρας δὲ ὁ Αὐτεσίωνος τῷ Κρεσφόντῃ μάλι-
στα ἠναντιοῦτο, τὸ μὲν ἀνέκαθεν Θηβαῖός τε καὶ ἀπόγο-
νος πέμπτος Πολυνείκους τοῦ Οἰδίποδος, τότε δὲ ἐπε-
τρόπευεν Ἀριστοδήμου τοὺς παῖδας θεῖος ὢν πρὸς μη-
τρός· Αὐτεσίωνος γὰρ θυγατέρα Ἀριστόδημος ἔγημεν
ὄνομα Ἀργείαν. Κρεσφόντης δέ, γενέσθαι γάρ οἱ ἤθελε
τὴν Μεσσηνίαν πάντως μοῖραν, Τημένου δεῖται, παρε-
5 σκευασμένος δὲ τοῦτον τῷ κλήρῳ δῆθεν ἐφίησι. Τήμε-
νος δὲ ἐς ὑδρίαν, ἐνόντος ἐν αὐτῇ καὶ ὕδατος, καθίησι
τῶν Ἀριστοδήμου παίδων καὶ Κρεσφόντου τοὺς πάλους
ἐπὶ διειρημένοις, μοῖραν αναιρεῖσθαι τῆς χώρας προτέ-
ρους ὁποτέρων ἂν πάλος ἀνέλθῃ πρότερον. τοὺς μὲν δὴ
πάλους ὁ Τήμενος ἐπεποίητο ἀμφοτέρους, ἀλλὰ γῆς μὲν
Ἀριστοδήμου παισὶ ξηρᾶς ὑπὸ ἡλίου, Κρεσφόντῃ δὲ
ὀπτῆς πυρί· ὅ τε δὴ τῶν Ἀριστοδήμου παίδων πάλος
κατετέτηκτο, καὶ ὁ Κρεσφόντης οὕτω λαχὼν γῆν αἱρεῖται
6 τὴν Μεσσηνίαν. Μεσσηνίων δὲ τῶν ἀρχαίων οὐκ ἐγέ-
νετο ὑπὸ τῶν Δωριέων ὁ δῆμος ἀνάστατος, ἀλλὰ βασι-
λεύεσθαί τε συγχωροῦσιν ὑπὸ Κρεσφόντου καὶ ἀναδά-
σασθαι πρὸς τοὺς Δωριέας τὴν γῆν. ταῦτα δέ σφισιν εἴ-

286 κειν παρίστατο ὑποψίᾳ πρὸς τοὺς βασιλεύοντας, ὅτι
ἦσαν ἐξ Ἰωλκοῦ τὸ ἀνέκαθεν Μινύαι. γυναῖκα δὲ ἔσχε
Κρεσφόντης Μερόπην τὴν Κυψέλου, βασιλεύοντος τότε
Ἀρκάδων, ἀφ' ἧς ἄλλοι τε δὴ παῖδες ἐγένοντο αὐτῷ καὶ
νεώτατος Αἴπυτος. 4. τὰ δὲ βασίλεια, ἔνθα αὐτὸς καὶ οἱ 7
παῖδες ἔμελλον οἰκήσειν, ᾠκοδομήσατο ἐν Στενυκλήρῳ.
τὸ μὲν γὰρ ἀρχαῖον οἱ βασιλεῖς οἵ τε ἄλλοι καὶ ὁ Περιήρης
ᾤκουν ἐν Ἀνδανίᾳ, κτίσαντος δὲ Ἀφαρέως Ἀρήνην αὖ-
θις Ἀφαρεὺς καὶ οἱ παῖδες ἐνταῦθα ᾤκησαν· ἐπὶ δὲ Νέ-
στορος καὶ τῶν ἀπογόνων ἐν Πύλῳ τὰ βασίλεια ἦν·
Κρεσφόντης δὲ ἐν Στενυκλήρῳ τὸν βασιλέα οἰκεῖν κατε-
στήσατο. Διοικούμενον δὲ αὐτὸν τὰ πολλὰ ἐς χάριν τοῦ
δήμου μᾶλλον οἱ τὰ χρήματα ἔχοντες αὐτόν τε Κρεσφόν-
την ἐπαναστάντες καὶ τοὺς υἱοὺς ἀποκτείνουσι τοὺς λοι-
πούς, 5. ὁ δὲ Αἴπυτος, παῖδα γὰρ ἔτι ὄντα ἔτρεφεν αὐ- 8
τὸν ὁ Κύψελος, περιγίνεται μόνος τοῦ οἴκου, καὶ ὡς
ἀνὴρ ἐγένετο, οἱ Ἀρκάδες κατάγουσιν αὐτὸν ἐς Μεσσή-
νην· συγκατήγαγον δὲ καὶ οἱ λοιποὶ βασιλεῖς τῶν Δω-
ριέων, οἵ τε Ἀριστοδήμου παῖδες καὶ Ἴσθμιος ὁ Τημέ-
νου. Αἴπυτος δὲ ὡς ἐβασίλευσεν, ἐτιμωρήσατο μὲν τοῦ
πατρὸς τοὺς φονέας, ἐτιμωρήσατο δὲ καὶ ὅσοι τοῦ φόνου
παραίτιοι καθεστήκεσαν· προσαγόμενος δὲ τοὺς μὲν ἐν
τέλει τῶν Μεσσηνίων θεραπείαις, ὅσοι δὲ ἦσαν τοῦ δή-
μου, δωρεαῖς, ἐς τοσοῦτο προέβη τιμῆς ὡς καὶ τοὺς ἀπο-
γόνους Αἰπυτίδας ἀντὶ Ἡρακλειδῶν κληθῆναι.

Γλαύκῳ δὲ τῷ Αἰπύτου βασιλεύσαντι μετὰ Αἴπυτον 9
τὰ μὲν ἄλλα ἐξήρκεσε μιμήσασθαι τὸν πατέρα ἔν τε τοῖς
287 κοινοῖς καὶ πρὸς τοὺς ἰδιώτας, εὐσεβείᾳ δὲ ἐς πλέον προ-
έβη. καὶ γὰρ τοῦ Διὸς τὸ ἐπὶ τῇ κορυφῇ τῆς Ἰθώμης τέ-
μενος, ἀνέντων Πολυκάονος καὶ Μεσσήνης, οὐκ ἔχον
παρὰ τοῖς Δωριεῦσί πω τιμάς, Γλαῦκος ἦν ὁ καὶ τούτοις
σέβειν καταστησάμενος· καὶ Μαχάονι τῷ Ἀσκληπιοῦ

πρῶτος ἔθυσεν ἐν Γερηνίᾳ, γέρα δὲ ἀπένειμε Μεσσήνῃ
10 τῇ Τριόπα τὰ νομιζόμενα ἥρωσιν. Ἴσθμιος δὲ ὁ Γλαύκου καὶ ἱερὸν τῷ Γοργάσῳ καὶ Νικομάχῳ τὸ ἐν Φαραῖς ἐποίησεν. Ἰσθμίου δὲ γίνεται Δωτάδας, ὃς ἐπίνεια καὶ ἄλλα τῆς Μεσσηνίας παρεχομένης τὸ ἐν Μοθώνῃ κατεσκευάσατο. Συβότας δὲ ὁ Δωτάδα τῷ τε ποταμῷ κατεστήσατο τῷ Παμίσῳ κατὰ ἔτος ἕκαστον θύειν τὸν βασιλεύοντα, καὶ Εὐρύτῳ τῷ Μελανέως ἐναγίζειν ἐν Οἰχαλίᾳ πρὸ τῆς τελετῆς τῶν μεγάλων Θεῶν ἀγομένης ἔτι ἐν Ἀνδανίᾳ.

IV. Ἐπὶ δὲ Φίντα τοῦ Συβότα πρῶτον Μεσσήνιοι τότε τῷ Ἀπόλλωνι ἐς Δῆλον θυσίαν καὶ ἀνδρῶν χορὸν ἀποστέλλουσι. τὸ δέ σφισιν ᾆσμα προσόδιον ἐς τὸν θεὸν ἐδίδαξεν Εὔμηλος, εἶναί τε ὡς ἀληθῶς Εὐμήλου νομίζεται μόνα τὰ ἔπη ταῦτα. ἐγένετο δὲ καὶ πρὸς Λακεδαιμονίους ἐπὶ τῆς Φίντα βασιλείας διαφορὰ πρῶτον, ἀπὸ αἰτίας ἀμφισβητουμένης μὲν καὶ ταύτης, γενέσθαι δὲ οὕτω
2 λεγομένης. 2. Ἔστιν ἐπὶ τοῖς ὅροις τῆς Μεσσηνίας ἱερὸν Ἀρτέμιδος καλουμένης Λιμνάτιδος, μετεῖχον δὲ αὐτοῦ μόνοι Δωριέων οἵ τε Μεσσήνιοι καὶ οἱ Λακεδαιμόνιοι. Λακεδαιμόνιοι μὲν δή φασιν ὡς παρθένους αὐτῶν παραγενομένας ἐς τὴν ἑορτὴν αὐτάς τε βιάσαιντο ἄνδρες τῶν Μεσσηνίων, καὶ τὸν βασιλέα σφῶν ἀποκτείναιεν πειρώ- 288
μενον κωλύειν, Τήλεκλον Ἀρχελάου τοῦ Ἀγησιλάου τοῦ Δορύσσου τοῦ Λαβώτα τοῦ Ἐχεστράτου τοῦ Ἄγιδος. πρός τε δὴ τούτοις τὰς βιασθείσας τῶν παρθένων διερ-
3 γάσασθαι λέγουσιν αὐτὰς ὑπὸ αἰσχύνης. Μεσσήνιοι δὲ τοῖς ἐλθοῦσι σφῶν ἐς τὸ ἱερὸν πρωτεύουσιν ἐν Μεσσήνῃ κατὰ ἀξίωμα, τούτοις φασὶν ἐπιβουλεῦσαι Τήλεκλον, αἴτιον δὲ εἶναι τῆς χώρας τῆς Μεσσηνίας τὴν ἀρετήν, ἐπιβουλεύοντα δὲ ἐπιλέξαι Σπαρτιατῶν ὁπόσοι πω γένεια οὐκ εἶχον, τούτους δὲ ἐσθῆτι καὶ κόσμῳ τῷ λοιπῷ σκευάσαντα ὡς παρθένους ἀναπαυομένοις τοῖς Μεσση-

νίοις ἐπεισαγαγεῖν, δόντα ἐγχειρίδια· καὶ τοὺς Μεσση-
νίους ἀμυνομένους τούς τε ἀγενείους νεανίσκους καὶ
αὐτὸν ἀποκτεῖναι Τήλεκλον· Λακεδαιμονίους δέ, οὐ γὰρ
ἄνευ τοῦ κοινοῦ ταῦτα βουλεῦσαι σφῶν τὸν βασιλέα,
συνειδότας ὡς ἄρξαιεν ἀδικίας, τοῦ φόνου σφᾶς τοῦ Τη-
λέκλου δίκας οὐκ ἀπαιτῆσαι. ταῦτα μὲν ἑκάτεροι λέ-
γουσι, πειθέσθω δὲ ὡς ἔχει τις ἐς τοὺς ἑτέρους σπουδῆς.
3. Γενεᾷ δὲ ὕστερον βασιλεύοντος ἐν Λακεδαίμονι 4
Ἀλκαμένους τοῦ Τηλέκλου, τῆς δὲ οἰκίας τῆς ἑτέρας Θεο-
πόμπου τοῦ Νικάνδρου τοῦ Χαρίλλου τοῦ Πολυδέκτου
τοῦ Εὐνόμου τοῦ Πρυτάνιδος τοῦ Εὐρυπῶντος, Μεσση-
νίων δὲ Ἀντιόχου καὶ Ἀνδροκλέους τῶν Φίντα, Λακε-
δαιμονίων καὶ Μεσσηνίων ἐξήρθη τὸ ἐς ἀλλήλους μῖσος,
καὶ ἦρξαν οἱ Λακεδαιμόνιοι πολέμου ἐπιγενομένης ἀφορ-
μῆς σφίσιν ἐθελέχθρως μὲν ἔχουσι καὶ πολεμῆσαι πάν-
τως ἐγνωκόσιν οὐ μόνον ἀποχρώσης ἀλλὰ καὶ τὰ μάλιστα
εὐπροσώπου· μετὰ δὲ εἰρηνικωτέρας γνώμης κἂν διε-
λύθη δικαστηρίου γνώσει. τὰ δὲ συμβάντα ἔσχεν οὕτω.
4. Πολυχάρης Μεσσήνιος τά τε ἄλλα οὐκ ἀφανὴς καὶ νί- 5
κην Ὀλυμπίασιν ἀνῃρημένος· τετάρτην ὀλυμπιάδα ἦγον
Ἠλεῖοι καὶ ἀγώνισμα ἦν σταδίου μόνον ὅτε ὁ Πολυχάρης
ἐνίκησεν· — τούτῳ τῷ ἀνδρὶ ἐγένοντο βοῦς, καί, οὐ γὰρ
289 ἐκέκτητο ἰδίαν γῆν ὡς νομὰς ταῖς βουσὶν ἱκανὰς εἶναι,
Σπαρτιάτῃ σφᾶς δίδωσιν Εὐαίφνῳ βόσκεσθαί τε ἐν ἐκεί-
νου καὶ μοῖραν εἶναι καὶ Εὐαίφνῳ τοῦ καρποῦ τῶν βοῶν.
ἦν δὲ ἄρα τοιόσδε τις ὁ Εὔαιφνος, κέρδη τε ἄδικα ἐπί- 6
προσθεν ἢ πιστὸς εἶναι ποιούμενος καὶ ἄλλως αἱμύλος·
ὃς καὶ τότε καταπλεύσασιν ἐς τὴν Λακωνικὴν ἐμπόροις
ἀποδόμενος βοῦς τὰς Πολυχάρους ἦλθεν αὐτὸς ὡς Πο-
λυχάρην ἄγγελος, ἐλθὼν δὲ ἀποβάντας ἔλεγεν ἐς τὴν
χώραν λῃστὰς καὶ βιασαμένους αὐτὸν λείαν βοῦς τε ἄγε-
σθαι καὶ βουκόλους. ἕως δὲ οὗτος παρέπειθεν, ἐν τούτῳ

τῶν τις βουκόλων ἀποδιδράσκει τοὺς ἐμπόρους, ἐπανή-
κων δὲ καταλαμβάνει τε αὐτοῦ παρὰ τῷ δεσπότῃ τὸν
7 Εὔαιφνον καὶ Πολυχάρους ἐναντίον ἤλεγχεν. ἁλισκόμε-
νος δὲ καὶ οὐκ ἔχων ἀπαρνήσασθαι, πολλὰ μὲν αὐτὸν
Πολυχάρην, πολλὰ δὲ καὶ τοῦ Πολυχάρους τὸν παῖδα
ἱκέτευε νεῖμαί οἱ συγγνώμην· ἐν γὰρ τῇ ἀνθρωπίνῃ φύ-
σει καὶ ἄλλων ἐνόντων ἐφ' οἷς βιαζόμεθα ἄδικοι γίνε-
σθαι, τὰ κέρδη μεγίστην ἀνάγκην ἔχειν. τιμὴν δὲ ἥντινα
εἰλήφει τῶν βοῶν, λόγῳ τε ἀπέφαινε καὶ τὸν παῖδα ἠξίου
τὸν Πολυχάρους ἕπεσθαί οἱ κομιούμενον. ὡς δὲ προϊόν-
τες ἐγίνοντο ἐν τῇ Λακωνικῇ, ἔργον ἐτόλμησεν Εὔαιφνος
ἀνοσιώτερον τοῦ προτέρου· φονεύει τοῦ Πολυχάρους
8 τὸν υἱόν. Ὁ δὲ ὡς καὶ ταῦτα ἔγνω πεπονθώς, φοιτῶν ἐς
τὴν Λακεδαίμονα τοῖς βασιλεῦσιν ἦν καὶ τοῖς ἐφόροις δι' 290
ὄχλου πολλὰ μὲν τὸν παῖδα ἀνακλαίων, καταριθμούμε-
νος δὲ οἷα ὑπὸ Εὐαίφνου πεπονθὼς ἦν, ὃν αὐτὸς ξένον
ἐποιήσατο καὶ πρὸ πάντων Λακεδαιμονίων ἐπίστευσεν.
ὡς δέ οἱ συνεχῶς ἰόντι ἐπὶ τὰς ἀρχὰς οὐδεμία ἐγίνετο τι-
μωρία, ἐνταῦθα παρετράπη τε ὁ Πολυχάρης ἐκ τοῦ νοῦ,
καὶ τῷ θυμῷ χρώμενος, ἅτε ἔχων ἀφειδῶς ἤδη καὶ αὑ-
τοῦ, πάντα τινὰ ὃν λάβοι Λακεδαιμονίων ἐτόλμα φο-
νεύειν.

V. Λακεδαιμόνιοι μὲν δὴ Πολυχάρους τε ἕνεκα οὐκ
ἐκδοθέντος σφίσι, καὶ διὰ τὸν Τηλέκλου φόνον, καὶ πρό-
τερον ἔτι ὑπόπτως ἔχοντες διὰ τὸ Κρεσφόντου κακούρ-
γημα ἐς τὸν κλῆρον, πολεμῆσαι λέγουσι. Μεσσήνιοι δὲ
περὶ Τηλέκλου ἀντιλέγουσι τὰ εἰρημένα ἤδη μοι, καὶ Αἴ-
πυτον τὸν Κρεσφόντου συγκαταχθέντα ἀποφαίνουσιν
ὑπὸ Ἀριστοδήμου τῶν παίδων, ὃ μήποτ' ἂν ποιῆσαι
2 σφᾶς Κρεσφόντῃ γε ὄντας διαφόρους. Πολυχάρην δὲ ἐκ-
δοῦναι μὲν ἐπὶ τιμωρίᾳ Λακεδαιμονίοις οὔ φασιν, ὅτι
μηδὲ ἐκεῖνοι σφίσιν Εὔαιφνον, ἐθέλειν μέντοι παρὰ Ἀρ-

γείοις συγγενέσιν οὖσιν ἀμφοτέρων ἐν Ἀμφικτυονίᾳ δι-
δόναι δίκας, ἐπιτρέπειν δὲ καὶ τῷ Ἀθήνησι δικαστηρίῳ,
καλουμένῳ δὲ Ἀρείῳ πάγῳ, ὅτι δίκας τὰς φονικὰς τὸ δι-
καστήριον τοῦτο ἐδόκει δικάζειν ἐκ παλαιοῦ. Λακεδαι- 3
μονίους δὲ οὐ διὰ ταῦτα πολεμῆσαί φασιν, ὑπὸ πλεο-
νεξίας δὲ τῇ σφετέρᾳ τε ἐπιβουλεῦσαι καὶ ἄλλα ἐργάσα-
σθαι, προφέροντες μέν σφισι τὰ Ἀρκάδων, προφέροντες
δὲ καὶ τὰ Ἀργείων, ὡς οὔποτε ἐσχήκασι κόρον ἀποτεμνό-
μενοι τῆς χώρας ἀεί τι ἑκατέρων· Κροίσῳ τε αὐτοῖς δῶρα
ἀποστείλαντι γενέσθαι φίλους βαρβάρῳ πρώτους, ἀφ'
οὗ γε τούς τε ἄλλους τοὺς ἐν τῇ Ἀσίᾳ κατεδουλώσατο
Ἕλληνας καὶ ὅσοι Δωριεῖς ἐν τῇ Καρικῇ κατοικοῦσιν
ἠπείρῳ. ἀποφαίνουσι δὲ καὶ ἡνίκα οἱ Φωκέων δυνάσται 4
τὸ ἱερὸν τὸ ἐν Δελφοῖς κατειλήφασιν, ἰδίᾳ τε κατὰ ἄνδρα
τοὺς βασιλεύοντας ἐν Σπάρτῃ καὶ τῶν ἄλλων τοὺς ἐπ'
291 ἀξιώματος καὶ κοινῇ τῶν τε ἐφόρων τὴν ἀρχὴν καὶ τὴν
γερουσίαν μετασχόντας τῶν τοῦ θεοῦ. πρό τε δὴ πάν-
των, ὡς οὐδὲν ἂν τοὺς Λακεδαιμονίους κέρδους ἕνεκα
ὀκνήσαντας, τὴν συμμαχίαν ὀνειδίζουσί σφισι πρὸς
Ἀπολλόδωρον τὸν ἐν Κασσανδρείᾳ τυραννήσαντα. ἀνθ' 5
ὅτου δὲ Μεσσήνιοι τὸ ὄνειδος ἥγηνται τοῦτο οὕτω πι-
κρόν, οὔ μοι τῷ λόγῳ τῷ παρόντι ἦν ἐπεισάγεσθαι· ὅτι
γὰρ μὴ τῶν Μεσσηνίων τὸ εὔψυχον καὶ χρόνου μῆκος
ὃν ἐπολέμησαν διάφορα ἐγένετο τῆς Ἀπολλοδώρου τυ-
ραννίδος, ἔς γε τὰς συμφορὰς οὐ πολλῷ τινὶ ἀποδεῖ ἃ οἱ
Κασσανδρεῖς πεπόνθασι. ταῦτα μὲν δὴ αἴτια ἑκάτεροι
τοῦ πολέμου γενέσθαι λέγουσι.

2. Τότε δὲ πρεσβεία Λακεδαιμονίων ἥκουσα ἐξῄτει 6
Πολυχάρην. οἱ δὲ τῶν Μεσσηνίων βασιλεῖς τοῖς μὲν
πρέσβεσιν ἀπεκρίναντο ὅτι βουλευσάμενοι μετὰ τοῦ δή-
μου τὰ δόξαντα ἐπιστελοῦσιν ἐς Σπάρτην, αὐτοὶ δὲ ἐκεί-
νων ἀπελθόντων ἐς ἐκκλησίαν τοὺς πολίτας συνῆγον. αἱ

*δὲ γνῶμαι διάφοροι παρὰ πολὺ ἐγίνοντο, Ἀνδροκλέους μὲν ἐκδιδόναι Πολυχάρην ὡς ἀνόσιά τε καὶ πέρα δεινῶν εἰργασμένον· Ἀντίοχος δὲ ἄλλα τε ἀντέλεγε καὶ τὸ ἁπάντων οἴκτιστον, εἰ Πολυχάρης ἐν ὀφθαλμοῖς πείσεται τοῖς Εὐαίφνου, καταριθμούμενος ὅσα καὶ οἷα ἦν ἀνάγκη πα-*
7 *θεῖν. τέλος δὲ ἐς τοσοῦτο προήχθησαν οἵ τε Ἀνδροκλεῖ καὶ οἱ τῷ Ἀντιόχῳ συσπεύδοντες ὥστε καὶ τὰ ὅπλα ἔλαβον. οὐ μὴν ἐς μακράν γε προῆλθέ σφισιν ἡ μάχη· περιόντες γὰρ ἀριθμῷ καὶ πολὺ οἱ σὺν Ἀντιόχῳ τόν τε Ἀνδροκλέα καὶ τῶν περὶ αὐτὸν τοὺς λόγου μάλιστα ἀξίους ἀποκτείνουσιν. Ἀντίοχος δὲ βασιλεύων ἤδη μόνος ἔπεμπεν ἐς Σπάρτην ὡς ἐπιτρέπειν ἐθέλοι τοῖς δικαστηρίοις ἃ ἤδη λέλεκταί μοι. Λακεδαιμόνιοι δὲ οὐ λέγονται τοῖς* 292
8 *κομίσασι τὰ γράμματα ἀποκρίνασθαι.* 3. *Μησὶ δὲ οὐ πολλοῖς ὕστερον Ἀντιόχου τελευτήσαντος Εὐφάης ὁ Ἀντιόχου παρέλαβε τὴν ἀρχήν. Λακεδαιμόνιοι δὲ οὔτε κήρυκα ἀποστέλλουσι προεροῦντα Μεσσηνίοις πόλεμον, οὔτε προαπειπάμενοι τὴν φιλίαν, κρύφα δὲ καὶ μάλιστα ὡς ἐδύναντο ἐν ἀπορρήτῳ παρασκευασάμενοι, προομνύουσιν ὅρκον μήτε τοῦ πολέμου μῆκος, ἢν μὴ δι' ὀλίγου κριθῇ, μήτε τὰς συμφοράς, εἰ μεγάλαι πολεμοῦσι γένοιντο, ἀποτρέψειν σφᾶς πρὶν ἢ κτήσαιντο χώραν τὴν*
9 *Μεσσηνίαν δοριάλωτον. ταῦτα προομόσαντες ἔξοδον νύκτωρ ἐποιοῦντο ἐπὶ Ἄμφειαν, Ἀλκαμένην τὸν Τηλέκλου τῆς στρατιᾶς ἡγεμόνα ἀποδείξαντες. ἡ δὲ Ἄμφεια πρὸς τῇ Λακωνικῇ πόλισμα ἦν ἐν τῇ Μεσσηνίᾳ, μεγέθει μὲν οὐ μέγα, ἐπὶ λόφου δὲ ὑψηλοῦ κείμενον, καὶ ὑδάτων πηγὰς εἶχεν ἀφθόνους· ἐδόκει δὲ καὶ ἄλλως ἐς τὸν πάντα πόλεμον ὁρμητήριόν σφισιν ἐπιτήδειον ἡ Ἄμφεια εἶναι. καὶ τό τε πόλισμα αἱροῦσι πυλῶν ἀνεῳγμένων καὶ φυλακῆς οὐκ ἐνούσης, καὶ τῶν Μεσσηνίων τοὺς ἐγκαταληφθέντας φονεύουσι, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς, τοὺς*

δὲ ὡς ᾔσθοντο πρός τε ἱερὰ θεῶν καὶ βωμοὺς καθημέ-
νους ἱκέτας· ὀλίγοι δὲ καὶ οἱ διαφυγόντες ἐγένοντο.
4. Ταύτην Λακεδαιμόνιοι πρώτην ἐπὶ Μεσσηνίους ἔξο- 10
δον ἐποιήσαντο, ἔτει δευτέρῳ τῆς ἐνάτης ὀλυμπιάδος, ἣν
Ξενόδοκος Μεσσήνιος ἐνίκα στάδιον. Ἀθήνησι δὲ οὐκ
ἦσάν πω τότε οἱ τῷ κλήρῳ κατ' ἐνιαυτὸν ἄρχοντες· τοὺς
γὰρ ἀπὸ Μελάνθου, καλουμένους δὲ Μεδοντίδας, κατ'
ἀρχὰς μὲν ἀφείλοντο ὁ δῆμος τῆς ἐξουσίας τὸ πολὺ καὶ
ἀντὶ βασιλείας μετέστησαν ἐς ἀρχὴν ὑπεύθυνον, ὕστε-
ρον δὲ καὶ προθεσμίαν ἐτῶν δέκα ἐποίησαν αὐτοῖς τῆς
ἀρχῆς. τότε δὲ ὑπὸ τὴν κατάληψιν τῆς Ἀμφείας Αἰσιμί-
δης Ἀθηναίοις ἦρχεν ὁ Αἰσχύλου πέμπτον ἔτος.

293 VI. Πρὶν δὲ ἢ συγγράφειν με τὸν πόλεμον καὶ ὁπόσα
πολεμοῦσιν ἑκατέροις ὁ δαίμων παθεῖν ἢ δρᾶσαι παρε-
σκεύασε, διακρῖναί τε καὶ ἡλικίας ἔργα ὅπερ ἠθέλησα
ἀνδρὸς Μεσσηνίου. τὸν γὰρ πόλεμον τοῦτον γενόμενον
μὲν Λακεδαιμονίων καὶ τῶν συμμάχων πρὸς Μεσσηνίους
καὶ τοὺς ἐπικούρους, ὀνομασθέντα δὲ οὐκ ἀπὸ τῶν ἐπι-
στρατευσάντων ὥσπερ γε ὁ Μηδικὸς καὶ ὁ Πελοποννή-
σιος, Μεσσήνιον δὲ ἀπὸ τῶν συμφορῶν, καθὰ δὴ καὶ
τὸν ἐπὶ Ἰλίῳ κληθῆναι Τρωϊκὸν καὶ οὐχ Ἑλληνικὸν ἐξε-
νίκησεν, τοῦτον [γὰρ] τῶν Μεσσηνίων τὸν πόλεμον Ῥια-
νός τε ἐν τοῖς ἔπεσιν ἐποίησεν ὁ Βηναῖος καὶ ὁ Πριηνεὺς
Μύρων· λόγοι δὲ πεζοὶ Μύρωνός ἐστιν ἡ συγγραφή.
συνεχῶς μὲν δὴ τὰ πάντα ἐξ ἀρχῆς ἐς τοῦ πολέμου τὴν 2
τελευτὴν οὐδετέρῳ διήνυσται, μέρος δὲ ᾧ ἑκάτερος ἠρέ-
σκετο, ὁ μὲν τῆς τε Ἀμφείας τὴν ἅλωσιν καὶ τὰ ἐφεξῆς
συνέθηκεν, οὐ πρόσω τῆς Ἀριστοδήμου τελευτῆς, Ῥια-
νὸς δὲ τοῦδε μὲν τοῦ πρώτου τῶν πολέμων οὐδὲ ἥψατο
ἀρχήν, ὁπόσα δὲ χρόνῳ συνέβη τοῖς Μεσσηνίοις ἀποστᾶ-
σιν ἀπὸ Λακεδαιμονίων, ὁ δὲ καὶ ταῦτα μὲν οὐ τὰ πάντα
ἔγραψε, τῆς μάχης δὲ τὰ ὕστερα ἣν ἐμαχέσαντο ἐπὶ τῇ

3 Τάφρῳ τῇ καλουμένῃ μεγάλῃ, 2. ἄνδρα ὅσον οὐ Μεσσήνιον, τούτου γὰρ δὴ ἕνεκα τὸν πάντα ἐποιησάμην Ῥιανοῦ καὶ Μύρωνος λόγον, Ἀριστομένην, ὃς καὶ πρῶτος καὶ μάλιστα τὸ Μεσσήνης ὄνομα ἐς ἀξίωμα προήγαγε, τοῦτον τὸν ἄνδρα ἐπεισήγαγε μὲν ὁ Πριηνεὺς ἐς τὴν συγγραφήν, Ῥιανῷ δὲ ἐν τοῖς ἔπεσιν οὐδὲν Ἀριστομένης ἐστὶν ἀφανέστερος ἢ Ἀχιλλεὺς ἐν Ἰλιάδι Ὁμήρῳ. διάφορα οὖν ἐπὶ τοσοῦτον εἰρηκότων, προσέσθαι μὲν 294
τὸν ἕτερόν μοι τῶν λόγων καὶ οὐχ ἅμα ἀμφοτέρους ὑπελείπετο, Ῥιανὸς δέ μοι ποιῆσαι μᾶλλον ἐφαίνετο εἰκότα
4 ἐς τὴν Ἀριστομένους ἡλικίαν. Μύρωνα δὲ ἐπί τε ἄλλοις καταμαθεῖν ἔστιν οὐ προορώμενον εἰ ψευδῆ τε καὶ οὐ πιθανὰ δόξει λέγειν, καὶ οὐχ ἥκιστα ἐν τῇδε τῇ Μεσσηνίᾳ συγγραφῇ. πεποίηκε γὰρ ὡς ἀποκτείνειε Θεόπομπον τῶν Λακεδαιμονίων τὸν βασιλέα Ἀριστομένης ὀλίγον πρὸ τῆς Ἀριστοδήμου τελευτῆς· Θεόπομπον δὲ οὔτε μάχης γινομένης οὔτε ἄλλως προαποθανόντα ἴσμεν πρὶν ἢ
5 διαπολεμηθῆναι τὸν πόλεμον. οὗτος δὲ ὁ Θεόπομπος ἦν καὶ ὁ πέρας ἐπιθεὶς τῷ πολέμῳ· μαρτυρεῖ δέ μοι καὶ τὰ ἐλεγεῖα τῶν Τυρταίου λέγοντα

ἡμετέρῳ βασιλῆϊ θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον.

ὁ τοίνυν Ἀριστομένης δόξῃ γε ἐμῇ γέγονεν ἐπὶ τοῦ πολέμου τοῦ ὑστέρου, καὶ τὰ ἐς αὐτόν, ἐπειδὰν ἐς τοῦτο ὁ λόγος ἀφίκηται, τηνικαῦτα ἐπέξειμι.

6 Οἱ δὲ Μεσσήνιοι τότε ὡς τὰ περὶ τὴν Ἄμφειαν ἤκουον παρὰ τῶν ἀποσωθέντων ἐκ τῆς ἁλώσεως, συνελέγοντο ἐς Στενύκληρον ἀπὸ τῶν πόλεων. ἀθροισθέντος δὲ ἐς ἐκκλησίαν τοῦ δήμου, καὶ ἄλλοι τῶν ἐν τέλει καὶ τελευταῖος ὁ βασιλεὺς παρεκελεύετο μήτε τῆς Ἀμφείας καταπεπλῆχθαι τὴν πόρθησιν ὡς τὸν πάντα ἤδη κεκριμένον δι' αὐτῆς πόλεμον, μήτε ὡς τῆς σφετέρας κρείσ-

σονα τῶν Λακεδαιμονίων δεδοικέναι τὴν παρασκευήν· μελέτην μὲν γὰρ ἐκείνοις τῶν πολεμικῶν ἐκ χρόνου πλείονος, σφίσι δὲ εἶναι τήν τε ἀνάγκην ἰσχυροτέραν ἀνδράσιν ἀγαθοῖς γίνεσθαι, καὶ τὸ εὐμενέστερον ἔσεσθαι παρὰ τῶν θεῶν ἀμύνουσι τῇ οἰκείᾳ καὶ οὐκ ἀδικίας ἄρχουσι.

295 VII. Τοιαῦτα ὁ Εὐφάης εἰπὼν διέλυε τὸν σύλλογον, τὸ δὲ ἀπὸ τούτου πάντας ἔσχεν ἤδη τοὺς Μεσσηνίους ἐν ὅπλοις, τούς τε οὐκ εἰδότας ἐπαναγκάζων διδάσκεσθαι τὰ πολεμικά, καὶ τοῖς ἐπισταμένοις ἐπιμελεστέραν ἢ πρότερον τὴν ἄσκησιν εἶναι. Λακεδαιμόνιοι δὲ καταδρομὰς ἐποιοῦντο ἐς τὴν Μεσσηνίαν, καὶ τὴν μὲν χώραν οὐκ ἐλυμαίνοντο ἅτε δὴ νομίζοντες οἰκείαν, οὐδὲ δένδρα ἔκοπτον, οὐδὲ οἰκήματα κατέβαλλον· οἱ δὲ λείαν, εἰ περιτύχοιεν, ἤλαυνον καὶ σῖτον καὶ τὸν ἄλλον καρπὸν ἀφῃροῦντο. πρὸς δὲ τὰς πόλεις ποιούμενοι προσβολὰς εἷλον μὲν 2
οὐδεμίαν ἅτε καὶ τείχεσιν ὠχυρωμένας καὶ δι' ἀκριβείας φρουρουμένας, λαμβάνοντες δὲ τραύματα ἀπεχώρουν ἄπρακτοι, καὶ τελευτῶντες οὐκέτι ἀπεπειρῶντο τῶν πόλεων. ἐλῄστευον δὲ καὶ οἱ Μεσσήνιοι τά τε ἐπιθαλάσσια τῆς Λακωνικῆς καὶ ὅσαι γεωργίαι περὶ τὸ Ταΰγετον ἦσαν. 2. Τετάρτῳ δὲ ἔτει μετὰ τῆς Ἀμφείας τὴν ἅλωσιν 3
Εὐφάης τῷ θυμῷ χρήσασθαι τῷ Μεσσηνίων προθυμούμενος ἀκμαζόντων ἐς τοὺς Λακεδαιμονίους ταῖς ὀργαῖς, καὶ ἅμα τὴν ἄσκησιν ἤδη σφίσιν αὐτάρκη νομίζων εἶναι, προεῖπεν ἔξοδον, συνακολουθεῖν δὲ καὶ τοὺς οἰκέτας προσέτασσε φέροντας ξύλα καὶ ἄλλα ὅσα πρόσφορα ἐς ποίησιν χαρακώματος. ἐπυνθάνοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι παρὰ τῶν ἐν Ἀμφείᾳ φρουρῶν τοὺς Μεσσηνίους ἐξιόντας· ἐξεστρατεύοντο οὖν καὶ οὗτοι. καί, ἦν γὰρ ἐν 4
τῇ Μεσσηνίᾳ χωρίον ἄλλως μὲν ἐς ἀγῶνα ἐπιτήδειον, χαράδρα δὲ προεβέβλητο αὐτοῦ βαθεῖα, ἐνταῦθα τοὺς

Μεσσηνίους παρέτασσεν ὁ Εὐφάης, ἀποδείξας στρατη-
γὸν Κλέοννιν· τῆς δὲ ἵππου καὶ τῶν ψιλῶν, οἳ συναμ-
φότεροι ἐλάσσους πεντακοσίων ἦσαν, Πυθάρατος καὶ
5 Ἄντανδρος ἡγοῦντο. ὡς δὲ συνήει τὰ στρατόπεδα, τοῖς
μὲν ὁπλίταις καὶ ἀφειδῶς ὅμως καὶ ἀκρατέστερον ὑπὸ
τοῦ μίσους φερομένοις ἐπὶ ἀλλήλους οὐ παρέσχεν ἐλθεῖν
ἐς χεῖρας ἡ χαράδρα διείργουσα· τὸ δ' ἱππικὸν καὶ οἱ
ψιλοὶ συμμίσγουσι μὲν κατα τὸ ὑπὲρ τὴν χαράδραν, ἦσαν 296
δὲ οὔτε πλῆθος οὔτε ἐμπειρίᾳ διαφέροντες οὐδέτεροι,
6 καὶ διὰ τοῦτο ἰσόρροπος ἡ μάχη σφίσιν ἐγένετο. Ἐν ὅσῳ
δὲ οὗτοι συνεστήκασιν, ἐν τοσούτῳ τοὺς οἰκέτας ἐκέλευεν
ὁ Εὐφάης πρῶτα μὲν τὰ κατὰ νῶτον τοῦ στρατοπέδου
φράξασθαι τοῖς σταυροῖς, μετὰ δὲ τὰ πλευρὰ ἀμφότερα.
ἐπεὶ δὲ ἥ τε νὺξ ἐπέλαβε καὶ ἡ μάχη διελέλυτο, τότε ἤδη
καὶ τὰ πρὸ τοῦ στρατοπέδου κατὰ τὴν χαράδραν ἐφρά-
ξαντο, ὥστε ἐπισχούσης ἡμέρας τῆς τε προνοίας τοῦ Εὐ-
φάους τοῖς Λακεδαιμονίοις ἐπιπίπτει λογισμός, εἶχόν τε
οὔτε ὅπως μάχεσθαι χρὴ πρὸς τοὺς Μεσσηνίους μὴ προϊ-
όντας ἐκ τοῦ χάρακος, προσκαθῆσθαί τε ἀπεγίνωσκον
ἀπαράσκευοι τοῖς πᾶσιν ὁμοίως ὄντες.
7 3. Καὶ τότε μὲν ἀποχωροῦσιν οἴκαδε, ἐνιαυτῷ δὲ
ὕστερον κακιζόντων σφᾶς τῶν γεγηρακότων καὶ δειλίαν
τε ὁμοῦ προφερόντων καὶ τοῦ ὅρκου τὴν ὑπεροψίαν,
οὕτω δευτέραν ἐκ τοῦ προφανοῦς ἐπὶ Μεσσηνίους στρα-
τείαν ἐποιοῦντο. ἡγοῦντο δὲ οἱ βασιλεῖς ἀμφότεροι, Θεό-
πομπός τε ὁ Νικάνδρου καὶ Πολύδωρος ὁ Ἀλκαμένους·
Ἀλκαμένης δὲ οὐκέτι περιῆν. ἀντεστρατοπεδεύοντο δὲ
καὶ οἱ Μεσσήνιοι, καὶ πειρωμένων μάχης τῶν Σπαρτια-
8 τῶν ἄρχειν ἀντεπεξήεσαν. Λακεδαιμονίοις δὲ ἡγεῖτο
Πολύδωρος μὲν κατὰ τὸ κέρας τὸ ἀριστερόν, Θεόπομπος
δὲ ἐπὶ τῷ δεξιῷ, τὸ μέσον δὲ εἶχεν Εὐρυλέων, τὰ μὲν πα-
ρόντα Λακεδαιμόνιος, τὰ ἐξ ἀρχῆς δὲ ἀπὸ Κάδμου καὶ ἐκ

Θηβῶν, Αἰγέως τοῦ Οἰολύκου τοῦ Θήρα τοῦ Αὐτεσίωνος
ἀπόγονος πέμπτος. Τοῖς δὲ Μεσσηνίοις κατὰ μὲν τὸ δε-
ξιὸν τῶν Λακεδαιμονίων ἀντετάσσοντο Ἄντανδρός τε
καὶ Εὐφάης, τὸ δὲ ἕτερον κέρας τὸ κατὰ τὸν Πολύδωρον
Πυθάρατος εἶχε, Κλέοννις δὲ τὸ μέσον. 4. Συνιέναι δὲ 9
ἤδη μελλόντων, ἐπιπαριόντες οἱ βασιλεῖς προέτρεπον
τοὺς ἑαυτῶν. Πρὸς μὲν δὴ τοὺς Λακεδαιμονίους βρα-
χεῖαν κατὰ τὸ ἐπιχώριον τὴν παράκλησιν ἐποιεῖτο ὁ Θεό-
πομπος, τοῦ τε ὅρκου τοῦ κατὰ τῶν Μεσσηνίων ἀναμιμ-
297 νήσκων, καὶ ὡς καλόν σφισι τὸ φιλοτίμημα, τῶν πατέ-
ρων, οἳ τοὺς περιοίκους κατεδουλώσαντο, φανῆναι λαμ-
πρότερα εἰργασμένους καὶ χώραν εὐδαιμονεστέραν προς-
κεκτημένους· Εὐφάης δὲ μακρότερα μὲν εἶπεν ἢ ὁ
Σπαρτιάτης, οὐ πλείω δὲ οὐδ᾽ οὗτος ἢ ἐφιέντα ἑώρα τὸν
καιρόν. οὐ γὰρ περὶ γῆς μόνον οὐδὲ κτημάτων τὸν ἀγῶ- 10
να ἀπέφαινε γενησόμενον, εἰδέναι δὲ ἔφη σαφῶς ἃ νικω-
μένους ἐπιλήψεται· γυναῖκας μὲν γὰρ ἀχθήσεσθαι καὶ
τέκνα ἐν ἀνδραπόδων μέρει, τοῖς δὲ ἐν ἡλικίᾳ τὸ ἐλαφρό-
τατον ἔσεσθαι θάνατον, ἢν μετ᾽ αἰκίας μὴ γένηται, συ-
λήσεσθαι δέ σφισι καὶ τὰ ἱερὰ καὶ τὰς πατρίδας ἐμπρή-
σεσθαι· λέγειν δὲ οὐκ εἰκάζων, μαρτύρια δὲ ἐναργῆ
πᾶσιν εἶναι τῶν ἐγκαταληφθέντων ἐν Ἀμφείᾳ τὰ πάθη.
πρό τε δὴ τηλικούτων κακῶν κέρδος εἶναι καλῶς τινὰ 11
ἀποθανεῖν, πολὺ δὲ εἶναι ῥᾷον ἀηττήτοις οὖσιν ἔτι καὶ
τὰς τόλμας καθεστηκόσιν ἐξ ἴσου προθυμίᾳ τοὺς ἀντιτε-
ταγμένους ὑπερβαλεῖν ἢ προαποβαλόντας τὸ φρόνημα
ἐπανορθοῦσθαι τὰ ἐπταισμένα. τοιαῦτα μὲν ὁ Εὐφάης
εἶπεν.

VIII. Ἐπεὶ δὲ ἑκατέροις ἐσήμηναν οἱ ἡγεμόνες, Μεσ-
σήνιοι μὲν δρόμῳ τε ἐς τοὺς Λακεδαιμονίους ἐχρῶντο
καὶ ἀφειδῶς αὑτῶν εἶχον ἅτε ἄνθρωποι θανατῶντες ὑπὸ
τοῦ θυμοῦ, καὶ αὐτὸς ἕκαστος πρῶτος ἔσπευδεν ἄρξαι

μάχης· ἀντεπήεσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι σπουδῇ καὶ
οὗτοι, πρόνοιαν δὲ ὅμως ἐποιοῦντο μὴ διαλυθῆναί σφισι
2 τὴν τάξιν. ὡς δὲ πλησίον ἐγίνοντο, ἀπειλαῖς ἐχρῶντο τῶν
τε ὅπλων τῇ κινήσει καὶ ἐνορῶντες ἐς ἀλλήλους δεινόν,
ἔς τε λοιδορίας προήγοντο, οἱ μὲν οἰκέτας αὐτῶν ἤδη
τοὺς Μεσσηνίους καὶ οὐδὲν ἐλευθερωτέρους ἀποκαλοῦν-
τες τῶν Εἱλώτων, οἱ δὲ ἐκείνους τῷ τε ἐγχειρήματι ἀνο-
σίους, ἐπεὶ πλεονεξίας ἕνεκα ἐπὶ ἄνδρας συγγενεῖς ἐπίασι,
καὶ θεῶν ἀσεβεῖς ὅσοι Δωριεῦσι πατρῷοι, τῶν τε ἄλλων
καὶ μάλιστα Ἡρακλέους. ἤδη τε ὁμοῦ τοῖς ὀνείδεσι καὶ
ἔργων ἥπτοντο, ἀθρόοι τε πρὸς ἀθρόους ὠθισμῷ χρώ-
μενοι μάλιστα οἱ Λακεδαιμόνιοι, καὶ ἀνὴρ ἀνδρὶ ἐπιόν- 298
3 τες. Τέχνῃ μὲν οὖν ἐς τὰ πολεμικὰ ὁμοῦ καὶ μελέτῃ πολὺ
οἱ Λακεδαιμόνιοι προέσχον, πρὸς δὲ καὶ τῷ πλήθει· τούς
τε γὰρ περιοίκους ὑπηκόους ἤδη καὶ συνακολουθοῦντας
εἶχον, Ἀσιναῖοί τε οἱ Δρύοπες γενεᾷ πρότερον ὑπὸ Ἀρ-
γείων ἐκ τῆς σφετέρας ἀνεστηκότες καὶ ἥκοντες ἐς τὴν
Λακεδαίμονα ἱκέται κατ᾽ ἀνάγκην συνεστρατεύοντο·
πρὸς δὲ τοὺς ψιλοὺς τῶν Μεσσηνίων τοξότας Κρῆτας
4 ἐπήγοντο μισθωτούς. Μεσσηνίοις δὲ ἀπήντα ἐς τὸ ἴσον
ἥ τε ἀπόνοια καὶ τὸ ἐς τὸν θάνατον εὔθυμον, καὶ ὁπόσα
μὲν πάσχοιεν, ἀναγκαῖα μᾶλλον τοῖς πατρίδα σεμνυνοῦ-
σιν ἢ δεινὰ ἐνόμιζον, ἃ δὲ ἔδρων, αὐτοί τε ἡγοῦντο εἰρ-
γάσθαι μειζόνως καὶ τοῖς Λακεδαιμονίοις συμβαίνειν χα-
λεπώτερα. καὶ οἱ μὲν αὐτῶν προεκπηδῶντες τῆς τάξεως
τολμήματα λαμπρὰ ἀπεδείκνυντο, τοῖς δὲ καὶ ἐπικαίρως
τετρωμένοις καὶ ἐμπνέουσιν ὀλίγον ὅμως ἡ ἀπόνοια
5 ἤκμαζε. παρακλήσεις τε ἐγίνοντο, καὶ οἱ μὲν ζῶντες καὶ
ἔτι ἄτρωτοι τοὺς τραυματίας παρώξυνον, πρὶν ἢ τὴν
ἐσχάτην τινὶ ἐφεστηκέναι μοῖραν ἀντιδράσαντα ὅ τι καὶ
δύναιτο, σὺν ἡδονῇ δέχεσθαι τὸ πεπρωμένον· οἱ δὲ ὁπότε
αἴσθοιντο οἱ τραυματίαι τὴν ἰσχὺν σφᾶς ὑπολείπουσαν

καὶ τὸ πνεῦμα οὐ παραμένον, διεκελεύοντο τοῖς ἀτρῶσι
μὴ χείρονας ἢ αὐτοὶ γίνεσθαι μηδὲ ἐς ἀνωφελὲς τῇ πα-
τρίδι καὶ τὴν ἐκείνων τελευτὴν καταστῆσαι. Λακεδαιμό- 6
νιοι δὲ πρότερον τῇ μὲν ἐς ἀλλήλους δεήσει οὐκ ἐχρῶντο,
καὶ ἐς τὰ παράδοξα τῶν τολμημάτων οὐ κατὰ ταὐτὰ ἑτοί-
μως τοῖς Μεσσηνίοις εἶχον· ἅτε δὲ εὐθὺς ἐκ παίδων τὰ
πολεμικὰ ἐπιστάμενοι, βαθυτέρᾳ τε τῇ φάλαγγι ἐχρῶντο,
299 καὶ τοὺς Μεσσηνίους ἤλπιζον οὔτε χρόνον τὸν ἴσον καρ-
τερήσειν ἀντιτεταγμένους οὔτε πρὸς τὸν ἐν τοῖς ὅπλοις
κάματον ἢ τὰ τραύματα ἀνθέξειν. 2. Ἴδια μὲν τοιαῦτα ἐν 7
ἑκατέρῳ τῷ στρατεύματι ἔς τε τὰ ἔργα ἦν καὶ ἐς τὰς γνώ-
μας τῶν μαχομένων· κοινὰ δὲ ἀπ' ἀμφοτέρων, οὔτε
γὰρ ἱκεσίαις οἱ φονευόμενοι καὶ χρημάτων ὑποσχέσεσιν
ἐχρῶντο, τάχα μέν που μὴ πείσειν διὰ τὸ ἔχθος ἀπεγνω-
κότες, τὸ δὲ πλεῖστον ἀπαξιοῦντες, ὡς οὐ τὰ πρότερά γε
κακιοῦσιν· οἵ τε ἀποκτείνοντες ἀπείχοντο καὶ αὐχήμα-
τος ὁμοίως καὶ ὀνειδῶν, οὐκ ἔχοντές πω βεβαίαν οὐδέτε-
ροι τὴν ἐλπίδα εἰ κρατήσουσι. παραδοξότατα δὲ ἀπέ-
θνησκον οἱ τῶν κειμένων σκυλεύειν τινὰ ἐπιχειροῦντες·
ἢ γὰρ τοῦ σώματος γυμνόν τι ὑποφήναντες ἠκοντίζοντο
καὶ ἐτύπτοντο, οὐ προορώμενοι διὰ τὴν ἐν τῷ παρόντι
ἀσχολίαν, ἢ καὶ ὑπὸ τῶν σκυλευομένων ἔτι ἐμπνεόντων
διεφθείροντο. 3. Ἐμάχοντο δὲ καὶ οἱ βασιλεῖς ἀξίως λό- 8
γου, Θεόπομπος δὲ καὶ ἀκρατέστερον ὥρμητο ὡς αὐτὸν
ἀποκτενῶν Εὐφάην. Εὐφάης δὲ ὁρῶν ἐπιόντα εἶπεν ἄρα
πρὸς τὸν Ἄντανδρον οὐδὲν εἶναι τὰ Θεοπόμπου διάφορα
ἢ ὁ πρόγονος αὐτοῦ Πολυνείκης ἐτόλμησε· Πολυνείκην
τε γὰρ στρατιὰν ἐπὶ τὴν πατρίδα ἀγαγόντα ἐξ Ἄργους
ἀποκτεῖναι τὸν ἀδελφὸν αὐτοχειρὶ καὶ ἀποθανεῖν ὑπὸ
ἐκείνου, Θεόπομπόν τε ἐθέλειν ἐς τὸ ἴσον καταστῆσαι
μιάσματος τοῖς ἀπὸ Λαΐου καὶ Οἰδίποδος τὸ Ἡρακλειδῶν
γένος· οὐ μέντοι χαίροντά γε ἀπὸ τῆς μάχης διακριθή-

9 σεσθαι. τοιαῦτα ἐπιλέγων ἀντεπῄει καὶ οὗτος. Ἐνταῦθα
ἥ τε πᾶσα μάχη κεκμηκότων ὅμως ἐς τὸ ἀκμαιότατον αὖ-
θις ἤρθη, καὶ τοῖς τε σώμασιν ἀνερρώννυντο καὶ τὸ ἀφει-
δὲς ἐς τὸν θάνατον παρ᾽ ἀμφοτέρων ηὐξάνετο, ὥστε εἰ-
κάσαι ἄν τις τοῦ ἔργου τότε σφᾶς πρῶτον ἅπτεσθαι. τέ-
λος δὲ οἱ περὶ τὸν Εὐφάην τῆς τε ἀπονοίας τῷ ὑπερβάλ-
λοντι, μανίας ὄντες ἐγγύτατα, καὶ ὑπ᾽ ἀνδραγαθίας, 300
πᾶν γὰρ δὴ τὸ περὶ τὸν βασιλέα οἱ λογάδες τῶν Μεσση-
νίων ἦσαν, βιάζονται τοὺς ἀντιτεταγμένους, καὶ αὐτόν
τε Θεόπομπον ἀπώσαντο καὶ Λακεδαιμονίων τοὺς καθ᾽
10 αὑτοὺς ἐτρέψαντο. Τὸ δὲ ἕτερον κέρας τοῖς Μεσσηνίοις
ἐταλαιπώρει· Πυθάρατός τε γὰρ ὁ στρατηγὸς ἐτεθνήκει,
καὶ αὐτοὶ διὰ τὴν ἀναρχίαν ἀτακτότερον καὶ *** ἀθύ-
μως εἶχον οὐδ᾽ οὗτοι. φεύγουσι δὲ οὔτε τοῖς Μεσσηνίοις
ὁ Πολύδωρος οὔτε οἱ περὶ τὸν Εὐφάην τοῖς Λακεδαιμο-
νίοις ἠκολούθησαν. Εὐφάει γὰρ καὶ τοῖς περὶ αὐτὸν αἱ-
ρετώτερα ἐφαίνετο ἀμύνειν τοῖς ἡττωμένοις· οὐ μέντοι
Πολυδώρῳ γε οὐδὲ τοῖς περὶ αὐτὸν συμμίσγουσιν· ἐν
11 σκότῳ γὰρ ἤδη τὰ γινόμενα ἦν, καὶ τοὺς Λακεδαιμονίους
ἅμα εἶργε μὴ πρόσω τοῖς ἀποχωροῦσιν ἐπακολουθεῖν οὐχ
ἥκιστα καὶ ἡ ἀπειρία τῶν τόπων· ἦν δὲ αὐτοῖς καὶ ἄλλως
πάτριον σχολαιοτέρας τὰς διώξεις ποιεῖσθαι, μὴ διαλῦ-
σαι τὴν τάξιν πλείονα ἔχοντες πρόνοιαν ἤ τινα ἀποκτεῖ-
ναι φεύγοντα. τὰ δὲ μέσα ἀμφοτέροις, ἧ Λακεδαιμονίων
ὁ Εὐρυλέων, Μεσσηνίοις δὲ Κλέοννις ἡγεῖτο, ἰσοπαλῶς
μὲν ἠγωνίζοντο, διέλυσε δὲ ἀπ᾽ ἀλλήλων καὶ τούτους
ἐπελθοῦσα ἡ νύξ.
12 4. Ταύτην τὴν μάχην παρ᾽ ἀμφοτέρων ἢ μόνα ἢ μά-
λιστα ἐμαχέσαντο τὰ ὁπλιτικά. οἱ δὲ ἐπὶ τῶν ἵππων ὀλί-
γοι τε ἦσαν, καὶ οὐδὲν ὥστε καὶ μνημονευθῆναι διεπρά-
ξαντο· οὐ γάρ τι ἀγαθοὶ τότε ἱππεύειν ἦσαν οἱ Πελοπον-
νήσιοι. τῶν δὲ Μεσσηνίων οἱ ψιλοὶ καὶ οἱ παρὰ Λακεδαι-

μονίοις Κρῆτες οὐδὲ συνέμιξαν ἀρχήν· τῷ γὰρ πεζῷ τῷ σφετέρῳ κατὰ τρόπον ἔτι ἑκάτεροι τὸν ἀρχαῖον ἐπετάχθησαν. Ἐς δὲ τὴν ἐπιοῦσαν μάχης μὲν οὐδέτεροι διε- 13
νοοῦντο ἄρχειν οὐδὲ ἱστάναι πρότεροι τρόπαιον, προϊούσης δὲ τῆς ἡμέρας ὑπὲρ ἀναιρέσεως τῶν νεκρῶν ἐπεκηρυκεύοντο, καὶ ἐπειδὴ παρ' ἀμφοτέρων συνεχωρήθη, θάψειν ἔμελλον ἤδη τὸ ἐντεῦθεν.

301 IX. Τοῖς δὲ Μεσσηνίοις μετὰ τὴν μάχην πονηρὰ γίνεσθαι τὰ πράγματα ἤρχετο· δαπάνῃ τε γὰρ χρημάτων ἀπειρήκεσαν, ἃ τῶν πόλεων ἀνήλισκον ἐς τὰς φρουράς, καὶ οἱ δοῦλοι παρὰ τοὺς Λακεδαιμονίους ηὐτομόλουν. τοῖς δὲ καὶ νόσος ἐνέπεσε. καὶ ταραχὰς μὲν παρέσχεν ὡς οὖσα λοιμώδης, οὐ μὴν ἐς ἅπαντάς γε ἐχώρησεν. βουλευομένοις δὲ πρὸς τὰ παρόντα ἐδόκει τὰ μὲν πολλὰ πολίσματα τὰ ἐς μεσόγαιαν πάντα ἐκλείπειν, ἐς δὲ τὸ ὄρος ἀνοικίζεσθαι τὴν Ἰθώμην. ἦν δὲ καὶ πόλισμα αὐτόθι οὐ 2
μέγα, ὃ καὶ Ὅμηρόν φασιν ἔχειν ἐν καταλόγῳ·

καὶ Ἰθώμην κλιμακόεσσαν.

ἐς τοῦτο τὸ πόλισμα ἀνῳκίζοντο, ἐπεκτείνοντες τὸν ἀρχαῖον περίβολον ἔρυμα εἶναι πᾶσιν αὔταρκες. ἦν δὲ τὸ χωρίον καὶ ἄλλως ἐχυρόν· ἡ γὰρ Ἰθώμη μεγέθει τε οὐδενὸς ἀποδεῖ τῶν ὀρῶν ὁπόσα ἐντός ἐστιν Ἰσθμοῦ, καὶ δύσβατος κατὰ τοῦτο μάλιστα ἦν. 2. Ἐδόκει δὲ καὶ θεω- 3
ρὸν πέμψαι σφίσιν ἐς Δελφούς. ἀποστέλλουσιν οὖν Τῖσιν τὸν Ἄλκιδος, καὶ ἀξιώματι οὐδενὸς ὕστερον καὶ ὅτι προσκεῖσθαι μαντικῇ μάλιστα ἐνομίζετο. τοῦτον τὸν Τῖσιν ἐπανιόντα ἐκ Δελφῶν λοχῶσιν ἄνδρες Λακεδαιμονίων ἀπὸ τῆς ἐν Ἀμφείᾳ φρουρᾶς· λοχήσαντες δέ, οὐ γὰρ ὑπεῖκεν αἰχμάλωτος γενέσθαι, περιμένοντα οὖν ἀμύνεσθαι καὶ ἀνθεστηκότα ἐτίτρωσκον, ἐς ὃ γίνεται βοή σφισιν ἐξ ἀφανοῦς „τὸν χρησμοφόρον μέθες.“ καὶ 4
Τῖσις μέν, ὡς ἀπεσώθη τάχιστα ἐς Ἰθώμην καὶ τὴν μαν-

*τείαν παρὰ τὸν βασιλέα ἀνήνεγκε, μετ' οὐ πολὺ ὑπὸ τῶν τραυμάτων τελευτᾷ· τοὺς δὲ Μεσσηνίους ἀθροίσας ὁ Εὐφάης ἐπεδείκνυ τὸν χρησμόν·*

*Κόρην ἄχραντον νερτέροισι δαίμοσι,*
*κλήρῳ λαχοῦσαν Αἰπυτιδῶν ἀφ' αἵματος,*
*θυηπολεῖτε νυκτέροισιν ἐν σφαγαῖς.*
*Ἢν δὲ σφαλῆτε, καὶ παρ' ἀλλοίου τότε* 302
*θύειν, διδόντος ἐς σφαγὴν ἑκουσίως.*

5 3. *Ταῦτα τοῦ θεοῦ δηλώσαντος, αὐτίκα ἐκληροῦντο ὅσαι παρθένοι τοῦ Αἰπυτιδῶν γένους ἦσαν. καί, ἐπελάμβανε γὰρ Λυκίσκου θυγατέρα ὁ κλῆρος, ταύτην Ἐπήβολος ὁ μάντις ἀπηγόρευεν ὡς οὐ δέοι θύειν· οὐ γὰρ εἶναι Λυκίσκου, τὴν δὲ γυναῖκα ἣ Λυκίσκῳ συνῴκησεν, ὡς τεκεῖν οὔκουν οἵα τε ἦν, [ἐν τούτῳ] τὴν παῖδα ὑποβαλέσθαι. ἐν ὅσῳ δὲ οὗτος ἀνεδίδασκε τὰ ἐς αὐτήν, ἐν τοσῷδε ὁ Λυκίσκος, ἀπαγόμενος ἅμα καὶ τὴν παρθένον ηὐτομόλησεν*
6 *ἐς Σπάρτην.* 4. *Ἐχόντων δὲ ἀθύμως τῶν Μεσσηνίων, ὡς Λυκίσκον ἀποδράντα ᾔσθοντο, ἐνταῦθά σφισιν Ἀριστόδημος ἀνὴρ καὶ γένους τοῦ Αἰπυτιδῶν καὶ Λυκίσκου τῇ τε ἄλλῃ δόξῃ καὶ τὰ ἐς πόλεμον ἐπιφανέστερος ἐδίδου τὴν θυγατέρα ἑκὼν θῦσαι. τὰ δὲ ἀνθρώπων καὶ οὐχ ἥκιστα τὸ πρόθυμον ἡ Πεπρωμένη κατὰ ταὐτὰ ἐπικρύπτει καὶ εἰ ψηφῖδα ἐπιλαβοῦσα ἰλὺς ποταμοῦ, ὅπου καὶ τότε Ἀριστοδήμῳ διασώσασθαι Μεσσήνην ἀγώνισμα ποιου-*
7 *μένῳ τὸ ἐμπόδιον ἐπήγαγε τοιόνδε.* 5. *Ἀνὴρ τῶν Μεσσηνίων, τὸ δὲ ὄνομα οὐ λέγουσιν, ἐρῶν ἔτυχε τοῦ Ἀριστοδήμου τῆς θυγατρός, τότε δὲ ἤδη ἔμελλε καὶ γυναῖκα ἄξεσθαι. οὗτος κατ' ἀρχὰς μὲν ἐς ἀμφισβήτησιν Ἀριστοδήμῳ προῆλθεν, ἐκεῖνον μὲν ἐγγυήσαντά οἱ μηκέτι εἶναι κύριον τῆς παιδός, αὐτὸς δὲ ἐγγυησάμενος κυριώτερος ἐκείνου γίνεσθαι. δεύτερα δὲ ὡς τοῦτο οὐχ ἑώρα οἱ κατορθούμενον, ἐπ' ἀναίσχυντον τρέπεται λόγον, ξυγγενέ-*

σθαι τε τῇ παιδὶ καὶ κύειν ἐξ αὐτοῦ. τέλος δὲ ἐς τοσοῦτον 8
Ἀριστόδημον προήγαγεν ὡς ἐκμανέντα ὑπὸ τοῦ θυμοῦ
303 τὴν θυγατέρα ἀποκτεῖναι· μετὰ δὲ ἀνέτεμνε καὶ ἐπεδεί-
κνυεν αὐτὴν οὐκ ἔχουσαν ἐν γαστρί. παρὼν δὲ Ἐπήβο-
λος ἐκέλευεν ἄλλον τινὰ τὸν θυγατέρα ἐπιδώσοντα γενέ-
σθαι· τῆς γὰρ τοῦ Ἀριστοδήμου πλέον εἶναί σφισιν
ἀποθανούσης οὐδέν· φονεῦσαι γὰρ τὸν πατέρα αὐτήν,
θεοῖς δέ, οἷς ἡ Πυθία προσέταξεν, οὐ θῦσαι. τοιαῦτα εἰ- 9
πόντος τοῦ μάντεως, τὸ πλῆθος τῶν Μεσσηνίων ὥρμη-
σεν ἀποκτενοῦντες τὸν μνηστῆρα τῆς παιδός, ὡς Ἀρι-
στοδήμῳ τε μίασμα εἰκαῖον προσάψαντα καὶ σφίσι τῆς
σωτηρίας τὴν ἐλπίδα ἀμφίβολον πεποιηκότα. ἦν δὲ ὁ
ἀνὴρ οὗτος ἐς τὰ μάλιστα τῷ Εὐφάει φίλος. πείθει τοὺς
Μεσσηνίους Εὐφάης τόν τε χρησμὸν ἔχειν τέλος ἀποθα-
νούσης τῆς παιδός, καὶ σφίσιν ἀποχρᾶν τὰ ὑπὸ Ἀριστο-
δήμου πεποιημένα. λέγοντος δὲ ταῦτα, ἔφασαν τὰ ὄντα 10
λέγειν ὅσοι τοῦ Αἰπυτιδῶν γένους ἦσαν· ἀπεῖναι γάρ
σφισι τὸ δέος τὸ ἐπὶ τῇ θυγατρὶ ἕκαστός τις ἔσπευδε. καὶ
οἱ μὲν τοῦ βασιλέως τῇ παραινέσει πειθόμενοι τὴν ἐκ-
κλησίαν διαλύουσι, καὶ ἀπ' αὐτῆς πρός τε θυσίας θεῶν
καὶ ἑορτὴν τρέπονται.

X. Λακεδαιμόνιοι δὲ ἀκούσαντες τὸν γενόμενον Μεσσηνίοις χρησμὸν ἀθύμως διέκειντο καὶ αὐτοὶ καὶ οἱ βασιλεῖς, ἔς τε τὰ λοιπά, καὶ ἄρχειν ὀκνοῦντες μάχης. Ἔτει δὲ ἕκτῳ μετὰ τὸν ἐξ Ἰθώμης Λυκίσκου δρασμὸν οἱ Λακεδαιμόνιοι, τὰ γὰρ ἱερὰ ἐγίνετο αὐτοῖς αἴσια, στρατεύουσιν ἐπὶ τὴν Ἰθώμην· οἱ δὲ Κρῆτες οὐκέτι παρόντες σφίσιν ἔτυχον. ὑστέρησαν δὲ καὶ οἱ τῶν Μεσσηνίων σύμμαχοι. δι' ὑποψίας γὰρ οἱ Σπαρτιᾶται καὶ ἄλλοις ἤδη Πελοποννησίων καὶ Ἀρκάσιν ἦσαν καὶ Ἀργείοις μάλιστα. καὶ οἱ μὲν Ἀργεῖοι κρύφα ἔμελλον τῶν Λακεδαιμονίων ἀφίξεσθαι, καὶ ἰδίᾳ δὴ μᾶλλον ἢ μετὰ δόγματος κοι-

νοῦ· τοῖς δὲ Ἀρκάσιν ἡ στρατεία μὲν ἀνείρητο ἐκ του φανεροῦ, παρέτυχον δὲ οὐδ᾽ οὗτοι. τοὺς γὰρ Μεσση- 304
νίους καὶ ἄνευ συμμάχων κινδυνεῦσαι προήγαγεν ἡ
2 δόξα τοῦ χρησμοῦ. 2. Τὰ μὲν οὖν πολλὰ οὐδέν τι ἐγένετο διάφορα ἢ καὶ ἐπὶ τῆς προτέρας μάχης, ἥ τε ἡμέρα καὶ τότε μαχομένους προαπέλιπεν· οὐ μέντοι βιασθῆναί γε οὐδέτερον κέρας ἢ καὶ λόχον μνημονεύουσιν, ἐπεὶ μηδὲ τὴν τάξιν, ὡς ἀπ᾽ ἀρχῆς ἐτάχθησαν, συμμεῖναί φασιν, ἀλλ᾽ ἀφ᾽ ἑκατέρων τοὺς ἀρίστους συνελθόντας ἐς τὸ
3 μεσαίτατον ἐνταῦθα τὸν πάντα ἔχειν πόνον. Ὁ γὰρ Εὐφάης πλέον τι ἢ βασιλέα εἰκὸς ἦν προθυμούμενος, καὶ ἀφειδῶς τοῖς περὶ τὸν Θεόπομπον ἐγκείμενος, τραύματα πολλά τε καὶ οὐκ ἰάσιμα λαμβάνει. λιποψυχήσαντα δὲ αὐτὸν καὶ πεσόντα οἱ Λακεδαιμόνιοι καὶ ὀλίγον ὅμως ἐμπνέοντα ἐποιοῦντο παρ᾽ αὑτοὺς ἑλκύσαι σπουδήν. ἐπήγειρε δὲ καὶ τοὺς Μεσσηνίους ἥ τε ἐς τὸν Εὐφάην προϋπάρχουσα εὔνοια καὶ τὰ ὀνείδη τὰ μέλλοντα· φονευομένοις τε ὑπὲρ τοῦ βασιλέως ἄμεινόν σφισιν ἐφαίνετο προΐεσθαι τὰς ψυχὰς ἢ ἐκεῖνον προεμένων ἀποσωθῆναί
4 τινα. 3. Τότε μὲν δὴ πεσὼν ὁ Εὐφάης τήν τε μάχην ἐπεμήκυνε, καὶ προήγαγεν ἐς πλέον παρὰ ἑκατέρων τὰ τολμήματα· ὕστερον δὲ ἀνήνεγκε μὲν καὶ ᾔσθετο ὅτι οὐκ ἔλαττον ἐσχήκασιν ἐν τῷ ἔργῳ, ἡμέραις δὲ οὐ πολλαῖς ἀποθνήσκει, βασιλεύσας Μεσσηνίων τρία ἔτη καὶ δέκα καὶ πολεμήσας Λακεδαιμονίοις τὸν πάντα τῆς βασιλείας
5 χρόνον. 4. Εὐφάει δὲ οὐκ ὄντων παίδων, τὸν αἱρεθέντα ὑπὸ τοῦ δήμου κατελείπετο ἔχειν τὴν ἀρχήν, Κλέοννίς τε καὶ Δᾶμις ἐς ἀμφισβήτησιν Ἀριστοδήμῳ προῆλθον, τά τε ἄλλα καὶ τὰ ἐς πόλεμον διαφέρειν νομιζόμενοι· τὸν δὲ Ἄντανδρον οἱ πολέμιοι κατειργάσαντο ἐν τῇ μάχῃ προκινδυνεύοντα Εὐφάους. ἦσαν δὲ καὶ τῶν μάντεων αἱ γνῶμαι κατὰ ταὐτὰ ἀμφοτέρων, Ἐπηβόλου καὶ Ὀφιο-

νέως, μὴ σφᾶς ἀνδρὶ ἐναγεῖ καὶ θυγατρὸς μίασμα ἐπι-
κειμένῳ δοῦναι τὴν Αἰπύτου καὶ τῶν ἀπογόνων τιμήν.
ᾑρέθη δὲ ὅμως καὶ ἐβασίλευσεν Ἀριστόδημος. Ὁ δὲ 6
305 Ὀφιονεὺς οὗτος ὁ τῶν Μεσσηνίων μάντις τυφλὸς ὢν
εὐθὺς ἐκ γενετῆς μαντικήν τινα εἶχε τοιαύτην· πυνθα-
νόμενος τὰ γινόμενα ἑκάστοις ἰδίᾳ τε καὶ ἐν κοινῷ προέ-
λεγεν οὕτω τὰ μέλλοντα. οὗτος μὲν τρόπον ἐμαντεύετο
τὸν εἰρημένον, Ἀριστόδημος δὲ βασιλεύσας τῷ τε δήμῳ
διέμενε τὰ εἰκότα χαρίζεσθαι προθυμούμενος, καὶ τοὺς
ἐν τέλει τούς τε ἄλλους καὶ μάλιστα Κλέοννιν καὶ Δᾶμιν
ἦγεν ἐν τιμῇ. διὰ θεραπείας δὲ εἶχε καὶ τὰ τῶν συμμά-
χων, Ἀρκάδων τε τοῖς δυνατοῖς καὶ ἐς Ἄργος καὶ Σι-
κυῶνα ἀποστέλλων δῶρα. Τὸν δὲ πόλεμον ἐπὶ τῆς Ἀρι- 7
στοδήμου βασιλείας ἐπολέμουν λῃστείαις τε κατ' ὀλίγους
ἀεὶ καὶ περὶ τὴν ὡραίαν καταδρομαῖς ἐς τὴν ἀλλήλων
χρώμενοι. συνεσέβαλλον δὲ καὶ παρὰ τῶν Ἀρκάδων τοῖς
Μεσσηνίοις ἐς τὴν Λακωνικήν. Ἀργεῖοι δὲ προαναφῆναι
μὲν τὸ ἐς τοὺς Λακεδαιμονίους ἔχθος οὐκ ἠξίουν, γινο-
μένου δὲ ἀγῶνος παρεσκευάζοντο ὡς μεθέξοντες.

XI. Πέμπτῳ δὲ ἔτει τῆς Ἀριστοδήμου μελλόντων ἐκ
προρρήσεως συμβολὴν ποιήσεσθαι, τῷ τε γὰρ μήκει τοῦ
πολέμου καὶ τοῖς δαπανήμασιν ἀπειρήκεσαν, οὕτω παρε-
γένοντο ἀμφοτέροις καὶ οἱ σύμμαχοι, Λακεδαιμονίοις
μὲν Κορίνθιοι Πελοποννησίων μόνοι, τοῖς δὲ Μεσση-
νίοις οἵ τε Ἀρκάδες πανστρατιᾷ καὶ Ἀργείων καὶ Σι-
κυωνίων λογάδες. Λακεδαιμόνιοι μὲν οὖν Κορινθίοις
καὶ τοῖς Εἵλωσι καὶ ὅσοι περίοικοι συνεστρατεύοντο τὸ
μέσον ἐπιτρέψαντες, ἐπὶ τοῖς κέρασιν αὐτοί τε καὶ οἱ βα-
σιλεῖς ἐτάσσοντο, βαθείᾳ τε ὡς οὔπω πρότερον καὶ
πυκνῇ τῇ φάλαγγι. τῷ δὲ Ἀριστοδήμῳ καὶ τοῖς περὶ αὐ- 2
τὸν διετάχθη τὰ ἐς τὴν μάχην οὕτως. ὅσοι τῶν Ἀρκά-
δων ἢ τῶν Μεσσηνίων τὰ μὲν σώματα ἦσαν ἐρρωμένοι

καὶ ἀγαθοὶ τὰς ψυχάς, ὅπλα δὲ οὐκ εἶχον ἰσχυρά, τού-
τοις τῶν ὅπλων τὰ χρησιμώτατα ἐπέλεξε, καὶ ὡς τὸ ἔρ-
γον ἤπειγεν, ὁμοῦ τοῖς Ἀργείοις καὶ Σικυωνίοις καὶ
τούτους ἔτασσε· τὴν δὲ φάλαγγα ἐπὶ πλέον ἥπλωσεν, 306
ὡς μὴ κυκλωθεῖεν ὑπὸ τῶν ἐναντίων. προείδετο δὲ καὶ
ὅπως τεταγμένοις σφίσι τὸ ὄρος ἡ Ἰθώμη κατὰ νώτου
γίνοιτο. καὶ τούτοις μὲν Κλέοννιν ἐπέταξεν ἡγεμόνα·
3 αὐτὸς δὲ καὶ ὁ Δᾶμις ὑπέμενον ἔχοντες τοὺς ψιλούς,
σφενδονήτας μὲν ἢ τοξότας ὀλίγους, ὁ δὲ ὄχλος ὁ πο-
λὺς τοῖς τε σώμασιν ἦσαν ἐς τὰς ἐπιδρομὰς καὶ ἀνα-
χωρήσεις ἐπιτήδειοι καὶ τῇ ὁπλίσει κοῦφοι· θώρακα γὰρ
ἢ ἀσπίδα εἶχεν ἕκαστος, ὅσοι δὲ ἠπόρουν τούτων, περι-
εβέβληντο αἰγῶν νάκας καὶ προβάτων, οἱ δὲ καὶ θηρίων
δέρματα, καὶ μάλιστα οἱ ὀρεινοὶ τῶν Ἀρκάδων λύκων τε
4 καὶ ἄρκτων. ἀκόντια δὲ ἕκαστος πολλά, οἱ δὲ καὶ λόγχας
αὐτῶν ἔφερον. 2. καὶ οὗτοι μὲν ἐλόχων τῆς Ἰθώμης ἔνθα
ἔμελλον ἥκιστα ἔσεσθαι σύνοπτοι, οἱ δὲ ὁπλῖται τῶν
Μεσσηνίων καὶ συμμάχων τήν τε ἔφοδον τὴν πρώτην
τῶν Λακεδαιμονίων ὑπέμειναν, καὶ μετὰ τοῦτο ἦσαν ἤδη
καὶ τὰ ἄλλα ἀνδρεῖοι. ἀριθμῷ μὲν δὴ τῶν ἐναντίων ἀπε-
λείποντο, λογάδες δὲ ὄντες ἐμάχοντο πρὸς δῆμον καὶ οὐχ
ὁμοίως πρὸς κρείττους, ᾗ καὶ μᾶλλον τῇ τε ἄλλῃ προθυ-
5 μίᾳ καὶ ταῖς ἐμπειρίαις ἐπὶ πολὺ ἀντεῖχον. ἐνταῦθα καὶ
ὁ στρατὸς τῶν Μεσσηνίων ὁ εὔζωνος, ἀφ᾽ οὗ καὶ τούτοις
ἤρθη τὰ σημεῖα, ἐχρῶντο ἐπὶ τοὺς Λακεδαιμονίους δρό-
μῳ καὶ περιστάντες ἠκόντιζον ἐς τὰ πλάγια· ὅσοις δὲ καὶ
ἐπὶ πλέον μετῆν τόλμης, προσέθεόν τε καὶ ἔτυπτον ἐκ
χειρός. οἱ δὲ Λακεδαιμόνιοι κίνδυνόν σφισι δεύτερον ἐν
τῷ αὐτῷ καὶ οὕτως ἀνέλπιστον ὁρῶντες παρόντα, ὅμως
οὔτε ἐταράχθησαν, ἐπιστρεφόμενοί τε ἐς τοὺς ψιλοὺς
ἀμύνεσθαι μὲν ἐπειρῶντο, διὰ δὲ τὴν κουφότητα οὐ χα-
λεπῶς ἀποφευγόντων ἀπορία τοῖς Λακεδαιμονίοις καὶ

ἀπ᾽ αὐτῆς ἤδη καὶ ὀργὴ γίνεται. πεφύκασι δέ πως οἱ ἄν- 6
θρωποι μάλιστα ἔχειν ἀκρατῶς πρὸς τὰ παρ᾽ ἀξίαν. καὶ
δὴ καὶ τότε οἵ τε ἤδη τραύματα τῶν Σπαρτιατῶν εἰληφό-
307 τες, καὶ ὅσοι κειμένων τῶν παραστατῶν ἐγίνοντο πρὸς
τὴν ἔφοδον τῶν ψιλῶν πρῶτοι, προεξέθεόν τε, ὁπότε
ἴδοιεν ἐπιφερομένους τοὺς ψιλούς, καὶ ὑπὸ θυμοῦ μα-
κροτέρας τὰς διώξεις ἐποιοῦντο ἀποχωρούντων. οἱ δὲ
ψιλοὶ τῶν Μεσσηνίων ὡς τὸ πρῶτον ἤρξαντο, κατὰ χώ-
ραν τε μένοντας ἔτυπτον καὶ ἐσηκόντιζον, καὶ διωκόν-
των ἔφθανον ἀποφεύγοντες, καὶ πειρωμένοις ἀναστρέ-
φειν αὖθις ἐπῄεσαν. ταῦτα δὲ ἔδρων σποράδην καὶ ἄλλοι 7
κατ᾽ ἄλλο τῆς τῶν ἐναντίων τάξεως· οἵ τε ὁπλῖται τῶν
Μεσσηνίων καὶ συμμάχων θρασύτερον ἐν τῷ τοιῷδε τοῖς
κατὰ στόμα αὐτῶν ἐπέκειντο. 3. Τέλος δὲ οἱ Λακεδαιμό-
νιοι τῷ τε χρόνῳ καὶ τοῖς τραύμασιν ἀπαγορεύοντες, καὶ
ἅμα παρὰ τὸ εἰωθὸς ὑπὸ τῶν ψιλῶν ταρασσόμενοι, δια-
λύουσι τὴν τάξιν. τραπέντων δέ, ἐνταῦθά σφισι πλείω
παρεῖχον κακὰ οἱ ψιλοί. τοὺς δὲ τῶν Λακεδαιμονίων δια- 8
φθαρέντας ἐν τῇ μάχῃ συλλαβεῖν μὲν οὐχ οἷά τε ἦν ἀριθ-
μῷ, πείθομαι δὲ εἶναι καὶ αὐτὸς πολλούς. ἡ δὲ οἴκαδε
ἀναχώρησις τοῖς μὲν ἄλλοις καθ᾽ ἡσυχίαν, Κορινθίοις
δὲ ἔμελλεν ἔσεσθαι χαλεπή· διὰ πολεμίας γὰρ ἐγίνετο
ὁμοίως διά τε τῆς Ἀργείας πειρωμένοις καὶ παρὰ Σικῶνα
ἀνασωθῆναι.

XII. Λακεδαιμονίους δὲ ἐλύπει μὲν καὶ τὸ γεγονὸς
πταῖσμα, τεθνεώτων ἐν τῇ μάχῃ πολλῶν τε καὶ ἀξίων λό-
γου· παρίστατο δὲ καὶ ἐς τὴν πᾶσαν ἐλπίδα τοῦ πολέμου
σφίσιν ἀθύμως ἔχειν, καὶ διὰ τοῦτο θεωροὺς ἀποστέλ-
λουσιν ἐς Δελφούς. τούτοις ἐλθοῦσιν ἡ Πυθία χρᾷ τάδε·

Οὔ σε μάχης μόνον ἔργ᾽ ἐφέπειν χερὶ Φοῖβος ἄνωγεν,
ἀλλ᾽ ἀπάτῃ μὲν ἔχει γαῖαν Μεσσηνίδα λαός,
308 ταῖς δ᾽ αὐταῖς τέχναισιν ἁλώσεται αἷσπερ ὑπῆρξεν.

2 πρὸς ταῦτα τοῖς βασιλεῦσι καὶ τοῖς ἐφόροις τέχνας μὲν προθυμουμένοις οὐκ ἐγίνετο ἀνευρεῖν, οἱ δὲ Ὀδυσσέως τῶν ἔργων ἀπομιμούμενοι τὸ ἐπὶ Ἰλίῳ, πέμπουσιν ἄνδρας ἑκατὸν ἐς Ἰθώμην συνιδόντας ἃ μηχανῶνται, λόγῳ δὲ αὐτομόλους· ἦν δὲ καὶ φυγὴ τῶν ἀνδρῶν ἐκ τοῦ φανεροῦ κατεγνωσμένη. τούτους ἥκοντας ἀπέπεμπεν αὐτίκα Ἀριστόδημος, Λακεδαιμονίων φήσας τὰ ἀδικήματα
3 καινὰ εἶναι, τὰ δὲ σοφίσματα ἀρχαῖα. 2. Ἁμαρτόντες δὲ οἱ Λακεδαιμόνιοι τοῦ ἐγχειρήματος δεύτερα ἐπειρῶντο τῶν Μεσσηνίων διαλῦσαι τὸ συμμαχικόν· ἀντειπόντων δὲ τῶν Ἀρκάδων, παρὰ γὰρ τούτους πρότερον ἀφίκοντο οἱ πρέσβεις, οὕτω τὴν ἐπ' Ἄργος ἐπέσχον πορείαν. 3. Ἀριστόδημος δὲ πυνθανόμενος τὰ πρασσόμενα ὑπὸ τῶν Λακεδαιμονίων πέμπει καὶ αὐτὸς ἐρησομένους τὸν θεόν· ἡ δὲ Πυθία σφίσιν ἔχρησε·

4 Κῦδός σοι πολέμοιο διδοῖ θεός· ἀλλ' ἀπάταισι
φράζου μὴ Σπάρτης δόλιος λόχος ἐχθρὸς ἀνέλθῃ
κρείσσων· εἰ γὰρ Ἄρης κείνων εὐήρεα τεύχη,
καί τε χορῶν στεφάνωμα πικροὺς οἰκήτορας ἕξει,
τῶν δύο συντυχίαις κρυπτὸν λόχον ἐξαναδύντων.
οὐ πρόσθεν δὲ τέλος τόδ' ἐπόψεται ἱερὸν ἦμαρ,
πρὶν τὰ παραλλάξαντα φύσιν τὸ χρεὼν ἀφίκηται. 309

τότε μὲν δὴ Ἀριστόδημος καὶ οἱ μάντεις ἀπείρως εἶχον συμβαλέσθαι τὸ εἰρημένον· ἔτεσι δὲ ὕστερον οὐ πολλοῖς ἀναφαίνειν τε καὶ ἐς τέλος ἄξειν ἔμελλεν ὁ θεός.

5 4. Ἕτερα δὲ ἐν τῷ τοτε τοῖς Μεσσηνίοις συνέβαινε τοιαῦτα. Λυκίσκου μετοικοῦντος ἐν Σπάρτῃ τὴν θυγατέρα ἐπέλαβεν ἀποθανεῖν, ἣν ἅμα ἀγόμενος ἔφυγεν ἐκ Μεσσήνης. πολλάκις δὲ αὐτὸν φοιτῶντα ἐπὶ τὸ μνῆμα τῆς παιδὸς λοχήσαντες ἱππεῖς τῶν Ἀρκάδων αἱροῦσιν. ἀναχθεὶς δὲ ἐς τὴν Ἰθώμην καὶ ἐς ἐκκλησίαν καταστὰς ἀπελογεῖτο ὡς οὐ προδιδοὺς τὴν πατρίδα ἀποχωρῆσαι,

πειθόμενος δὲ τοῖς ῥηθεῖσιν ὑπὸ τοῦ μάντεως ἐς τὴν παῖδα ὡς οὖσαν οὐ γνησίαν. ταῦτα ἀπολογούμενος οὐ 6
πρότερον ἔδοξεν ἀληθῆ λέγειν, πρὶν ἢ παρῆλθεν ἐς τὸ θέατρον ἡ τὴν ἱερωσύνην τότε τῆς Ἥρας ἔχουσα. αὕτη δὲ τεκεῖν τε τὴν παῖδα ὡμολόγει, καὶ τῇ Λυκίσκου γυναικὶ ὑποβαλέσθαι δοῦναι· νῦν δέ, ἔφη, τό τε ἀπόρρητον ἐκφαίνουσα ἥκω καὶ παύσουσα ἐμαυτὴν ἱερωμένην. ταῦτα δὲ ἔλεγεν, ὅτι ἦν ἐν τῇ Μεσσήνῃ καθεστηκός, ἢν γυναικὸς ἱερωμένης ἢ καὶ ἀνδρὸς προαποθάνῃ τις τῶν παίδων, ἐς ἄλλον τὴν ἱερωσύνην μεταχωρεῖν. νομίζοντες οὖν τὴν γυναῖκα ἀληθῆ λέγειν, τῇ θεῷ τε εἵλοντο ἱερατευσομένην ἀντ' ἐκείνης, καὶ Λυκίσκου συγγνωστὰ ἔφασαν εἰργάσθαι.

5. Μετὰ δὲ ταῦτα ἐδόκει σφίσι, καὶ γὰρ εἰκοστὸν 7
ἔτος ἐπῄει τῷ πολέμῳ, πέμπειν αὖθις ἐς Δελφοὺς ἐρησομένους ὑπὲρ νίκης. ἐρομένοις δὲ ἔχρησεν ἡ Πυθία·

Τοῖς τρίποδας περὶ βωμὸν Ἰθωμάτᾳ Διὶ πρώτοις
310 στήσασιν δεκάδων ἀριθμὸν δὶς πέντε δίδωσι
σὺν κύδει πολέμου γαῖαν Μεσσηνίδα δαίμων.
Ζεὺς γὰρ ἔνευσ' οὕτως. ἀπάτη δέ σε πρόσθε τίθησιν,
ἡ δ' ὀπίσω τίσις ἐστί, καὶ οὐ θεὸν ἐξαπατῴης.
ἕρδ' ὅππῃ τὸ χρεών. ἄτη δ' ἄλλοισι πρὸ ἄλλων.

ταῦτ' ἀκούσαντες γεγονέναι τε ἡγοῦντο ὑπὲρ αὐτῶν τὴν 8
μαντείαν, καὶ σφίσι διδόναι τοῦ πολέμου κράτος· οὐ γὰρ αὐτῶν γε ἐχόντων ἐντὸς τείχους τοῦ Ἰθωμάτα τὸ ἱερὸν Λακεδαιμονίους προτέρους ἀναθέντας φθήσεσθαι. καὶ οἱ μὲν ξυλίνους κατασκευάσασθαι τρίποδας ἔμελλον· οὐ γάρ σφισι περιῆν χρήματα ὡς χαλκοῦς ποιήσασθαι· 6. τῶν δέ τις Δελφῶν τὸν χρησμὸν ἐξήγγειλεν ἐς Σπάρτην. πυθομένοις δὲ ἐν κοινῷ μὲν οὐδέν σφισιν ἐξεγένετο ἀνευρεῖν σοφόν, Οἴβαλος δὲ τὰ μὲν ἄλλα οὐ τῶν ἐπιφα- 9
νῶν, γνώμην δὲ ὡς ἐδήλωσεν ἀγαθός, ποιησάμενος ὡς

ἔτυχε πηλοῦ τρίποδας ἑκατόν, τούτους τε ἀποκεκρυμμέ-
νους ἐν πήρᾳ καὶ δίκτυα ἅμα αὐτοῖς ἔφερεν ὡς ἀνὴρ θη-
ρευτής. ἅτε δὲ ὢν ἀγνὼς καὶ Λακεδαιμονίων τοῖς πολ-
λοῖς, ῥᾷον Μεσσηνίους ἐλάνθανεν. ἀναμίξας δὲ αὑτὸν
ἀνδράσιν ἀγροίκοις ἐσῆλθέ τε μετ' αὐτῶν ἐς τὴν Ἰθώ-
μην, καὶ ὡς νὺξ τάχιστα ἐπελάμβανεν, ἀναθεὶς τοὺς τρί-
ποδας τῷ θεῷ τούτους δὴ τοὺς πηλίνους, αὖθις ἐς Σπάρ-
10 την ἀπαγγέλλων Λακεδαιμονίοις ᾤχετο. Μεσσηνίους δέ,
ὡς εἶδον, ἐτάραξε μὲν μεγάλως, καὶ εἴκαζον, ὥσπερ ἦν,
παρὰ Λακεδαιμονίων εἶναι· παρεμυθεῖτο δὲ ὅμως αὐ-
τοὺς ὁ Ἀριστόδημος λέγων ἄλλα τε ἃ ἐν τοῖς παροῦσιν
εἰκὸς ἦν, καὶ τοὺς ξυλίνους τρίποδας, ἐπεποίηντο γὰρ
ἤδη, περὶ τοῦ Ἰθωμάτα τὸν βωμὸν ἔστησε. 7. Συνέβη
δὲ καὶ Ὀφιονέα τὸν μάντιν τοῦτον, τὸν ἐκ γενετῆς τυ-
φλόν, ἀναβλέψαι παραλόγως δὴ μάλιστα ἀνθρώπων·
ἐπέλαβε γὰρ τῆς κεφαλῆς ἄλγημα αὐτὸν ἰσχυρόν, καὶ
ἀνέβλεψεν ἀπ' αὐτοῦ.

XIII. Τὰ δὲ ἐντεῦθεν, ἔρρεπε γὰρ ἤδη τὸ χρεὼν ἐς 311
ἅλωσιν τῶν Μεσσηνίων, προεσήμαινεν αὐτοῖς τὰ μέλ-
λοντα ὁ θεός. τό τε γὰρ τῆς Ἀρτέμιδος ἄγαλμα, ὃν χαλ-
κοῦν καὶ αὐτὸ καὶ τὰ ὅπλα, παρῆκε τὴν ἀσπίδα· καὶ Ἀρι-
στοδήμου τῷ Διὶ τῷ Ἰθωμάτᾳ θύειν μέλλοντος τὰ ἱερεῖα
οἱ κριοὶ ἐπὶ τὸν βωμὸν αὐτόματοι καὶ βίᾳ τὰ κέρατα ἐν-
ράξαντες ἀποθνήσκουσιν ὑπὸ τῆς πληγῆς. τρίτον δὲ ἄλλο
συνέβη σφίσιν· οἱ κύνες συνιόντες ἐς τὸ αὐτὸ ἀνὰ πᾶ-
σαν νύκτα ὠρύοντο, τέλος δὲ καὶ ἀπεχώρησαν ἀθρόοι
2 πρὸς τὸ τῶν Λακεδαιμονίων στρατόπεδον. ταῦτά τε δὴ
τὸν Ἀριστόδημον ἐτάρασσε καὶ ὀνείρατος ὄψις ἐπιγενο-
μένη τοιάδε. ἔδοξεν ἐξιέναι οἱ μέλλοντι ἐς μάχην καὶ
ὡπλισμένῳ τῶν ἱερείων τὰ σπλάγχνα ἐπὶ τραπέζῃ προ-
κεῖσθαι, τὴν δέ οἱ θυγατέρα ἐπιφανῆναι μέλαιναν ἐσθῆτα
ἔχουσαν καὶ φαίνουσαν τό τε στέρνον καὶ τὴν γαστέρα

ἀνατετμημένα, ἀναφανεῖσαν δὲ ἀπορρῖψαι μὲν τὰ ἐπὶ
τῆς τραπέζης, ἀφελέσθαι δὲ αὐτοῦ τὰ ὅπλα, ἀντὶ τούτων
δὲ στέφανον ἐπιθεῖναι χρυσοῦν καὶ ἱμάτιον ἐπιβαλεῖν
λευκόν. ἔχοντος δὲ Ἀριστοδήμου τά τε ἄλλα ἀθύμως καὶ 3
τὸν ὄνειρον ἡγουμένου προλέγειν οἱ τοῦ βίου τελευτήν,
ὅτι οἱ Μεσσήνιοι τῶν ἐπιφανῶν τὰς ἐκφορὰς ἐποιοῦντο
ἐστεφανωμένων καὶ ἱμάτια ἐπιβεβλημένων λευκά, ἀπαγ-
γέλλει τις Ὀφιονέα τὸν μάντιν οὐχ ὁρᾶν ἔτι, ἀλλ' ἐξαί-
φνης γενέσθαι τυφλόν, ὥσπερ γε καὶ ἦν τὸ ἐξ ἀρχῆς.
συνιᾶσι δὴ καὶ τοῦ χρησμοῦ τότε, ὡς τοὺς ἀναδύντας
δύο ἐκ τοῦ λόχου καὶ ἐς τὸ χρεὼν αὖθις ἐλθόντας τοῦ
Ὀφιονέως τοὺς ὀφθαλμοὺς εἶπεν ἡ Πυθία. 2. Ἐνταῦθα 4
Ἀριστόδημος τά τε οἰκεῖα ἀναλογιζόμενος, ὡς οὐδὲν ὠφέ-
λιμον γένοιτο φονεὺς θυγατρός, καὶ τῇ πατρίδι οὐχ
ὁρῶν ἔτι ὑποῦσαν σωτηρίας ἐλπίδα, ἐπικατέσφαξεν ἑαυ-
τὸν τῆς παιδὸς τῷ τάφῳ, τὰ μὲν ἐς ἀνθρώπου λογισμὸν
ἥκοντα Μεσσηνίους σώσας, τῆς τύχης δὲ ἐς τὸ μηδὲν
312 ἀγαγούσης τά τε ἔργα αὐτοῦ καὶ τὰ βουλεύματα. ἀπέ-
θανε δὲ βασιλεύσας ἔτη τε ἓξ καὶ ἐκ τοῦ ἑβδόμου μῆνας
ἐπιλαβὼν οὐ πολλούς. τοῖς δὲ Μεσσηνίοις ἀπεγνωκέναι 5
τὰ πράγματα παρίστατο, ὥστε καὶ ὥρμησαν ἱκεσίαν ἐς
τοὺς Λακεδαιμονίους ἀποστέλλειν· οὕτω σφόδρα κατέ-
πληξεν αὐτοὺς ἡ τοῦ Ἀριστοδήμου τελευτή. καὶ τοῦτο
μὲν ὁ θυμὸς ἐπέσχεν αὐτοὺς μὴ ποιῆσαι· 3. συλλεγέν-
τες δὲ ἐς ἐκκλησίαν βασιλέα μὲν οὐδένα, Δᾶμιν δὲ στρα-
τηγὸν αὐτοκράτορα εἵλοντο. ὁ δὲ Κλέοννίν τε αὐτῷ καὶ
Φυλέα ἑλόμενος συνάρχοντας παρεσκευάζετο ὡς καὶ ἐκ
τῶν παρόντων συνάψων μάχην· ἐπηνάγκαζε γὰρ ἥ τε
πολιορκία καὶ οὐχ ἥκιστα ὁ λιμὸς καὶ [τὸ] ἀπ' αὐτοῦ δέος,
μὴ καὶ προδιαφθαρῶσιν ὑπὸ ἐνδείας. ἀρετῇ μὲν δὴ καὶ 6
τολμήμασιν οὐδὲ τότε ἀπεδέησε τὰ τῶν Μεσσηνίων· ἀπέ-
θανον δὲ οἵ τε στρατηγοί σφισιν ἅπαντες καὶ τῶν ἄλλων

οἱ λόγου μάλιστα ἄξιοι. τὸ δὲ ἀπὸ τούτου μῆνας μέν που
πέντε μάλιστα ἀντέσχον, 4. περὶ δὲ τὸν ἐνιαυτὸν λήγον-
τα ἐξέλιπον τὴν Ἰθώμην, πολεμήσαντες ἔτη τὰ πάντα εἴ-
κοσι, καθὰ δὴ καὶ Τυρταίῳ πεποιημένα ἐστίν·

εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

7 5. Ὁ δὲ πόλεμος ἔλαβεν οὗτος τέλος ἔτει πρώτῳ τῆς τε-
τάρτης καὶ δεκάτης ὀλυμπιάδος, ἣν Δάσμων Κορίνθιος
ἐνίκα στάδιον, Ἀθήνησι Μεδοντιδῶν τὴν ἀρχὴν ἔτι
ἐχόντων τὴν δεκέτιν, καὶ ἔτους Ἱππομένει τετάρτου τῆς
ἀρχῆς ἠνυσμένου.

XIV. Μεσσηνίων δὲ ὅσοις μὲν ἔτυχον ἐν Σικυῶνι
οὖσαι καὶ ἐν Ἄργει προξενίαι καὶ παρὰ τῶν Ἀρκάδων
τισίν, οὗτοι μὲν ἐς ταύτας τὰς πόλεις ἀπεχώρησαν, ἐς
Ἐλευσῖνα δὲ οἱ τοῦ γένους τῶν ἱερέων καὶ Θεαῖς ταῖς με-
γάλαις τελοῦντες τὰ ὄργια. ὁ δὲ ὄχλος ὁ πολὺς κατὰ τὰς 313
2 πατρίδας ἕκαστοι τὰς ἀρχαίας ἐσκεδάσθησαν. 2. Λακε-
δαιμόνιοι δὲ πρῶτα μὲν τὴν Ἰθώμην καθεῖλον ἐς ἔδα-
φος, ἔπειτα καὶ τὰς λοιπὰς πόλεις ἐπιόντες ᾕρουν. ἀνέ-
θεσαν δὲ καὶ ἀπὸ τῶν λαφύρων τῷ Ἀμυκλαίῳ τρίποδας
χαλκοῦς· Ἀφροδίτης ἄγαλμά ἐστιν ἑστηκὸς ὑπὸ τῷ τρί-
ποδι τῷ πρώτῳ, Ἀρτέμιδος δὲ ὑπὸ τῷ δευτέρῳ, Κόρης
3 δὲ τῆς Δήμητρος ὑπὸ τῷ τρίτῳ. ταῦτα μὲν δὴ ἀνέθεσαν
ἐνταῦθα, τῆς δὲ γῆς τῆς Μεσσηνίας Ἀσιναίοις μὲν ἀνε-
στηκόσιν ὑπὸ Ἀργείων διδόασιν ἐπὶ θαλάσσῃ ταύτην ἣν
καὶ νῦν ἔτι οἱ Ἀσιναῖοι νέμονται· τοῖς δὲ Ἀνδροκλέους
ἀπογόνοις, ἦν γὰρ δὴ καὶ θυγάτηρ Ἀνδροκλεῖ καὶ παῖδες
τῆς θυγατρός, φεύγοντες δὲ ὑπὸ τὴν τελευτὴν τοῦ Ἀν-
δροκλέους ᾤχοντο ἐς Σπάρτην, τούτοις τὴν Ὑαμείαν κα-
4 λουμένην ἀπονέμουσι. 3. Τὰ δὲ ἐς αὐτοὺς Μεσσηνίους
παρὰ Λακεδαιμονίων ἔσχεν οὕτως. πρῶτον μὲν αὐτοῖς
ἐπάγουσιν ὅρκον μήτε ἀποστῆναί ποτε ἀπ' αὐτῶν μήτε

ἄλλο ἐργάσασθαι νεώτερον μηδέν· δεύτερα δὲ φόρον μὲν οὐδένα ἐπέταξαν εἰρημένον, οἱ δὲ τῶν γεωργουμένων [τροφῶν] σφίσιν ἀπέφερον ἐς Σπάρτην πάντων τὰ τὰ ἡμίσεα. προείρητο δὲ καὶ ἐπὶ τὰς ἐκφορὰς τῶν βασιλέων καὶ ἄλλων τῶν ἐν τέλει καὶ ἄνδρας ἐκ τῆς Μεσσηνίας καὶ τὰς γυναῖκας ἐν ἐσθῆτι ἥκειν μελαίνῃ· καὶ τοῖς
παραβᾶσιν ἐπέκειτο ποινή. ἐς τιμωρίας δὲ ἃς ὕβριζον ἐς 5
τοὺς Μεσσηνίους, Τυρταίῳ πεποιημένα ἐστίν·

ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὑπὸ λυγρῆς
ἥμισυ πάντος ὅσον καρπὸν ἄρουρα φέρει.

ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη, δεδήλωκεν ἐν τῷδε·

δεσπότας οἰμώζοντες, ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

314 4. Τοιούτων οὖν οἱ Μεσσήνιοι κατειληφότων, καὶ 6
ἅμα ἐς τὰ μέλλοντα οὐδὲν ὁρῶντες παρὰ τῶν Λακεδαιμονίων φιλάνθρωπον, πρό τε δὴ τῶν παρόντων τεθνάναι μαχομένους ἢ καὶ τὸ παράπαν ἐκ Πελοποννήσου φεύγοντας οἴχεσθαι νομίζοντες αἱρετώτερα, ἀφίστασθαι πάντως ἐγίνωσκον. ἐνῆγον δὲ οὐχ ἥκιστα ἐς τοῦτο καὶ οἱ νεώτεροι, πολέμου μὲν ἔτι ἀπείρως ἔχοντες, λαμπροὶ δὲ ὄντες τὰ φρονήματα καὶ ἀποθανεῖν προτιμῶντες ἐν ἐλευθέρᾳ τῇ πατρίδι, εἰ καὶ τὰ ἄλλα εὐδαιμόνως δουλεύειν παρείη.
5. Ἐπετράφη δὲ νεότης καὶ ἀλλαχοῦ τῆς Μεσσηνίας, οἱ 7
δὲ ἄριστοι καὶ ἀριθμὸν πλεῖστοι περὶ τὴν Ἀνδανίαν, ἐν δὲ αὐτοῖς καὶ Ἀριστομένης, ὃς καὶ νῦν ἔτι ὡς ἥρως ἔχει παρὰ Μεσσηνίοις τιμάς. καί οἱ καὶ τὰ τῆς γενέσεως ἐπιφανέστερα ὑπάρξαι νομίζουσι· Νικοτελείᾳ γὰρ τῇ μητρὶ αὐτοῦ δαίμονα ἢ θεὸν δράκοντι εἰκασμένον συγγενέσθαι λέγουσι. τοιαῦτα δὲ καὶ Μακεδόνας ἐπὶ Ὀλυμπιάδι καὶ ἐπὶ Ἀριστοδάμᾳ Σικυωνίους οἶδα εἰρηκότας. διάφορα

8 δὲ τοσόνδε ἦν· Μεσσήνιοι γὰρ οὐκ ἐσποιοῦσιν Ἀριστο-
μένην Ἡρακλεῖ παῖδα ἢ Διί, ὥσπερ Ἀλέξανδρον Ἄμμωνι
οἱ Μακεδόνες καὶ Ἄρατον Ἀσκληπιῷ Σικυώνιοι· Ἀρι-
στομένει δὲ πατέρα Ἑλλήνων μὲν οἱ πολλοὶ Πύρρον φα-
σὶν εἶναι, Μεσσηνίους δὲ οἶδα αὐτοὺς ἐπὶ ταῖς σπονδαῖς
Ἀριστομένην Νικομήδους καλοῦντας. οὗτος μὲν οὖν
ἀκμάζων ἡλικίᾳ καὶ τόλμῃ καὶ ἄλλοι τῶν ἐν τέλει παρώ-
ξυνον ἐπὶ τὴν ἀπόστασιν. ἐπράσσετο δὲ ταῦτα οὐκ εὐθὺς
ἐκ τοῦ φανεροῦ, κρύφα δὲ ἐς Ἄργος καὶ παρὰ τοὺς Ἀρ-
κάδας ἀπέστελλον, εἴ σφισιν ἀπροφασίστως καὶ μηδὲν
ἐνδεεστέρως ἢ ἐπὶ τοῦ πολέμου τοῦ προτέρου ἀμῦναι θε-
λήσουσιν.

**XV.** Ὡς δὲ τά τε ἄλλα ἐς τὸν πόλεμον ἕτοιμα ἦν αὐ- 315
τοῖς καὶ τὰ ἀπὸ τῶν συμμάχων προθυμότερα ἢ προσεδό-
κων, καὶ γὰρ Ἀργείοις ἤδη καὶ Ἀρκάσι λαμπρῶς τὸ ἐς
τοὺς Λακεδαιμονίους ἔχθος ἐξῆπτο, οὕτως ἀπέστησαν
ἔτει τριακοστῷ μὲν καὶ ἐνάτῳ μετὰ Ἰθώμης ἅλωσιν, τε-
τάρτῳ δὲ τῆς τρίτης ὀλυμπιάδος καὶ εἰκοστῆς, ἣν Ἴκαρος
Ὑπερησιεὺς ἐνίκα στάδιον. Ἀθήνησι δὲ οἱ κατ' ἐνιαυτὸν
ἦσαν ἤδη τότε ἄρχοντες, καὶ Ἀθηναίοις Τλησίας ἦρχεν.
2 ἐν δὲ Λακεδαίμονι οἵ τινες τηνικαῦτα ἔτυχον βασιλεύον-
τες, Τυρταῖος μὲν τὰ ὀνόματα οὐκ ἔγραψε, Ῥιανὸς δ'
ἐποίησεν ἐν τοῖς ἔπεσι Λεωτυχίδην βασιλέα ἐπὶ τοῦδε εἶ-
ναι τοῦ πολέμου. Ῥιανῷ μὲν οὖν ἔγωγε οὐδαμῶς κατά γε
τοῦτο συνθήσομαι· Τυρταῖον δὲ καὶ οὐ λέγοντα ὅμως
εἰρηκέναι τις ἂν ἐν τῷδε ἡγοῖτο. ἐλεγεῖα γὰρ ἐς τὸν πρό-
τερόν ἐστιν αὐτῷ πόλεμον·

ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννέα καὶ δέκ' ἔτη
νωλεμέως, αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες,
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες.

3 δῆλα οὖν ἐστιν ὡς ὕστερον τρίτῃ γενεᾷ τὸν πόλεμον οἱ
Μεσσήνιοι τόνδε ἐπολέμησαν, ἀποδείκνυσί τε τοῦ χρό-

νου τὸ συνεχὲς βασιλεύοντας τηνικαῦτα ἐν Σπάρτῃ Ἀνάξανδρον Εὐρυκράτους τοῦ Πολυδώρου, τῆς δὲ οἰκίας τῆς ἑτέρας Ἀναξίδαμον Ζευξιδάμου τοῦ Ἀρχιδάμου τοῦ Θεοπόμπου. κατέβην δὲ ἐς ἀπόγονον Θεοπόμπου τέταρτον, ὅτι Ἀρχίδαμος ὁ Θεοπόμπου προαπέθανε τοῦ πατρὸς καὶ ἐς Ζευξίδαμον υἱιδοῦν ὄντα ἡ Θεοπόμπου περιῆλθεν ἀρχή. Λεωτυχίδης δὲ μετὰ Δημάρατον βασιλεύσας φαί-
316 νεται τὸν Ἀρίστωνος· Θεοπόμπου δὲ Ἀρίστων ἀπόγονος ἕβδομος.

2. Τότε δὲ οἱ Μεσσήνιοι Λακεδαιμονίοις συμβάλ- 4
λουσιν ἐν Δέραις καλουμέναις τῆς σφετέρας, ἔτει πρώτῳ μετὰ τὴν ἀπόστασιν· ἀπῆσαν δὲ ἀμφοτέροις οἱ σύμμαχοι. καὶ νίκη μὲν ἐγένετο οὐδετέρων σαφής, Ἀριστομένην δὲ ἔργα φασὶν ἀποδείξασθαι πλέον τι ἢ ἄνδρα ἕνα εἰκὸς ἦν, ὥστε καὶ βασιλέα μετὰ τὴν μάχην ᾑροῦντο αὐτόν, ἦν γὰρ καὶ γένους τῶν Αἰπυτιδῶν, παραιτουμένου δὲ οὕτω στρατηγὸν αὐτοκράτορα εἵλοντο. Ἀριστομένει δὲ παρί- 5
στατο μηδ' ἂν ἄλλον ἀπαξιῶσαι παθεῖν τι ἐν πολέμῳ δράσαντα ἄξια μνήμης· αὑτῷ μέντοι καὶ πρὸ παντὸς ἐνόμιζεν εἶναι ἔτι ἀρχομένου τοῦ πολέμου Λακεδαιμονίους καταπλήξαντα φαίνεσθαι καὶ ἐς τὰ μέλλοντά σφισι φοβερώτερον. ἅτε δὲ οὕτως ἔχων, ἀφικόμενος νύκτωρ ἐς τὴν Λακεδαίμονα ἀνατίθησιν ἀσπίδα πρὸς τὸν τῆς Χαλκιοίκου ναόν· ἐπεγέγραπτο δὲ Ἀριστομένην ἀπὸ Σπαρτιατῶν διδόναι τῇ θεῷ.

3. Ἐγένετο δὲ καὶ Λακεδαιμονίοις μάντευμα ἐκ Δελ- 6
φῶν τὸν Ἀθηναῖον ἐπάγεσθαι σύμβουλον. ἀποστέλλουσιν οὖν παρὰ τοὺς Ἀθηναίους τόν τε χρησμὸν ἀπαγγελοῦντας καὶ ἄνδρα αἰτοῦντας παραινέσοντα ἃ χρή σφισιν. Ἀθηναῖοι δὲ οὐδέτερα θέλοντες, οὔτε Λακεδαιμονίους ἄνευ μεγάλων κινδύνων προσλαβεῖν μοῖραν τῶν ἐν Πελοποννήσῳ τὴν ἀρίστην, οὔτε αὐτοὶ παρακοῦσαι

τοῦ θεοῦ, πρὸς ταῦτα ἐξευρίσκουσι, καί, ἦν γὰρ Τυρταῖος διδάσκαλος γραμμάτων νοῦν τε ἥκιστα ἔχειν δοκῶν καὶ τὸν ἕτερον τῶν ποδῶν χωλός, τοῦτον ἀποστέλλουσιν 317
ἐς Σπάρτην. ὁ δὲ ἀφικόμενος ἰδίᾳ τε τοῖς ἐν τέλει, καὶ συναγαγὼν ὁπόσους τύχοι, καὶ τὰ ἐλεγεῖα καὶ τὰ ἔπη
7 σφίσι τὰ ἀνάπαιστα ᾖδεν. 4. Ἐνιαυτῷ δὲ ὕστερον τοῦ περὶ τὰς Δέρας ἀγῶνος, ἡκόντων ἀμφοτέροις καὶ τῶν συμμάχων, παρεσκευάζοντο ὡς μάχην συνάψοντες ἐπὶ τῷ καλουμένῳ Κάπρου σήματι. Μεσσηνίοις μὲν οὖν Ἠλεῖοι καὶ Ἀρκάδες, ἔτι δὲ ἐξ Ἄργους ἀφίκετο καὶ Σικυῶνος βοήθεια. παρῆσαν δὲ καὶ ὅσοι πρότερον τῶν Μεσσηνίων ἔφευγον ἑκουσίως, ἐξ Ἐλευσῖνός τε οἷς πάτριον δρᾶν τὰ ὄργια τῶν μεγάλων Θεῶν, καὶ οἱ Ἀνδροκλέους ἀπόγονοι· καὶ γὰρ οἱ συσπεύσαντες μάλιστά σφι-
8 σιν ἦσαν οὗτοι. Λακεδαιμονίοις δὲ ἦλθον Κορίνθιοι συμμαχήσοντες, καὶ Λεπρεατῶν τινὲς κατὰ ἔχθος τὸ Ἠλείων. Ἀσιναίοις δὲ ὅρκοι πρὸς ἀμφοτέρους ἦσαν. τὸ δὲ χωρίον τοῦτο, Κάπρου σῆμα, ἔστι μὲν ἐν Στενυκλήρῳ τῆς Μεσσηνίας, Ἡρακλέα δὲ αὐτόθι ὅρκον ἐπὶ τομίων κάπρου τοῖς Νηλέως παισὶ δοῦναι καὶ λαβεῖν παρὰ ἐκείνων λέγουσιν.

XVI. Ὡς δὲ ἀμφοτέροις προεθύσαντο οἱ μάντεις, Λακεδαιμονίοις μὲν Ἕκας ἀπόγονός τε καὶ ὁμώνυμος Ἕκα τοῦ σὺν τοῖς Ἀριστοδήμου παισὶν ἐλθόντος ἐς Σπάρτην, τοῖς δὲ Μεσσηνίοις Θέοκλος· ἐγεγόνει δὲ ὁ Θέοκλος οὗτος ἀπὸ Εὐμάντιδος, Εὔμαντιν δὲ ὄντα Ἠλεῖον τῶν Ἰαμιδῶν Κρεσφόντης ἐπηγάγετο ἐς Μεσσήνην· τότε δὲ παρόντων καὶ τῶν μάντεων σὺν φρονήματι
2 ἀμφότεροι μᾶλλον ἠπείγοντο ἐς τὴν μάχην. καὶ ἦν μὲν καὶ τὰ τῶν ἄλλων πρόθυμα, ὡς ἡλικίας ἕκαστος εἶχεν ἢ ῥώμης, μάλιστα δὲ Ἀνάξανδρός τε ὁ τῶν Λακεδαιμονίων βασιλεὺς καὶ οἱ περὶ αὐτὸν τῶν Σπαρτιατῶν· παρὰ Μεσ-

318 σηνίων δὲ οἱ Ἀνδροκλέους ἀπόγονοι Φίντας καὶ Ἀνδρο-
κλῆς καὶ οἱ συντεταγμένοι σφίσιν ἐπειρῶντο ἄνδρες ἀγα-
θοὶ γίνεσθαι. Τυρταῖος δὲ καὶ οἱ τῶν Θεῶν ἱεροφάν-
ται τῶν μεγάλων ἔργου μὲν ἥπτοντο οὐδενός, τοὺς τε-
λευταίους δὲ τῆς ἑαυτῶν ἑκάτεροι στρατιᾶς ἐπήγειρον.
2. Κατὰ δὲ αὐτὸν Ἀριστομένην εἶχεν οὕτω. λογάδες περὶ 3
αὐτὸν ὀγδοήκοντα ἦσαν Μεσσηνίων, ἡλικίαν τε γεγονό-
τες ἐκείνῳ τὴν αὐτήν, καὶ ἕκαστος προτετιμῆσθαι μεγά-
λως νομίζων ὅτι ἠξίωτο Ἀριστομένει συντετάχθαι· ἦσαν
δὲ καὶ αἰσθέσθαι δι' ὀλίγου δεινοὶ τά τε παρ' ἀλλήλων
καὶ μάλιστα ἐκείνου καὶ ἀρχομένου τι δρᾶν καὶ ἔτι μέλ-
λοντος. οὗτοι μὲν πρῶτοι καὶ αὐτοὶ καὶ Ἀριστομένης
πόνον εἶχον πολὺν κατ' Ἀνάξανδρον καὶ τῶν Λακεδαι-
μονίων τεταγμένοι τοὺς ἀρίστους. λαμβάνοντες δὲ τραύ-
ματα ἀφειδῶς καὶ ἐς πᾶν προϊόντες ἀπονοίας τῷ τε χρόνῳ
καὶ τοῖς τολμήμασιν ἐτρέψαντο τοὺς περὶ Ἀνάξανδρον.
τούτοις μὲν δὴ φεύγουσι διώκειν ἐπέταξεν ὁ Ἀριστομέ- 4
νης ἕτερον τῶν Μεσσηνίων λόχον· αὐτὸς δὲ ὁρμήσας
πρὸς τὸ μάλιστα ἀνθεστηκός, ὡς ἐβιάσατο καὶ τούτους,
ἐπ' ἄλλους ἐτράπετο αὖθις. ταχὺ δὲ καὶ τούτους ὠσάμε-
νος ἑτοιμότερον ἤδη πρὸς τοὺς ὑπομένοντας ἐπεφέρετο,
ἐς ὃ πᾶσαν τῶν Λακεδαιμονίων τὴν τάξιν καὶ αὐτῶν καὶ
τῶν συμμάχων συνέχεε· καὶ οὐχὶ σὺν αἰδοῖ φευγόντων
οὐδὲ ἀναμένειν θελόντων ἔτι ἀλλήλους, ἐπέκειτό σφισι
φοβερώτερος ἢ κατὰ ἀνδρὸς ἑνὸς εἶναι μανίαν. ἔνθα δὴ 5
καὶ παρ' ἀχράδα πεφυκυῖάν που τοῦ πεδίου, παρὰ ταύ-
την Ἀριστομένην οὐκ εἴα παραθεῖν ὁ μάντις Θέοκλος·
καθέζεσθαι γὰρ τοὺς Διοσκούρους ἔφασκεν ἐπὶ τῇ ἀχράδι.
Ἀριστομένης δὲ εἴκων τῷ θυμῷ καὶ οὐκ ἀκροώμενος τὰ
πάντα τοῦ μάντεως ὡς κατὰ τὴν ἀχράδα ἐγίνετο, ἀπόλ-
λυσι τὴν ἀσπίδα, Λακεδαιμονίοις τε τὸ ἁμάρτημα τοῦ
319 Ἀριστομένους παρέσχεν αὐτῶν ἀποσωθῆναί τινας ἐκ

*τῆς φυγῆς· διέτριψε γὰρ τὴν ἀσπίδα ἀνευρεῖν πειρώμενος.*

6 *Λακεδαιμονίων δὲ ἐχόντων ἀθύμως μετὰ τὴν πληγὴν καὶ ὡρμημένων καταθέσθαι τὸν πόλεμον, Τυρταῖός τε ἐλεγεῖα ᾄδων μετέπειθεν αὐτούς, καὶ ἐς τοὺς λόχους ἀντὶ τῶν τεθνεώτων κατέλεγεν ἄνδρας ἐκ τῶν Εἱλώτων.*

4. *Ἀριστομένει δέ, ὡς ἀνέστρεψεν ἐς τὴν Ἀνδανίαν, ταινίας αἱ γυναῖκες καὶ τὰ ὡραῖα ἐπιβάλλουσαι τῶν ἀνθῶν ἐπέλεγον ᾆσμα τὸ καὶ ἐς ἡμᾶς ἔτι ᾀδόμενον*

*ἔς τε μέσον πεδίον Στενυκλήριον ἔς τ' ὄρος ἄκρον*
*εἵπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.*

7 *ἀνεσώσατο δὲ καὶ τὴν ἀσπίδα ἐκείνην ἔς τε Δελφοὺς ἀφικόμενος καί, ὥς οἱ προσέταξεν ἡ Πυθία, καταβὰς ἐς τὸ ἄδυτον ἱερὸν τοῦ Τροφωνίου τὸ ἐν Λεβαδείᾳ. ὕστερον δὲ τὴν ἀσπίδα ἀνέθηκεν ἐς Λεβάδειαν φέρων, ἣν δὴ καὶ αὐτὸς εἶδον ἀνακειμένην· ἐπίθημα δέ ἐστιν αὐτῆς ἀετὸς τὰ πτερὰ ἑκατέρωθεν ἐκτετακὼς ἐς ἄκραν τὴν ἴτυν.*

5. *Τότε δὲ Ἀριστομένης ὡς ἐπανῆκεν ἐκ Βοιωτίας εὑρών τε παρὰ τῷ Τροφωνίῳ καὶ κομισάμενος τὴν ἀσπίδα, αὐ-*
8 *τίκα ἔργων μειζόνων ἥπτετο. Συλλέξας δὲ ἄλλους τε τῶν Μεσσηνίων καὶ τοὺς περὶ ἑαυτὸν ἅμα ἔχων λογάδας, φυλάξας τε ** μετὰ ἑσπέραν ἦλθεν ἐπὶ πόλιν τῆς Λακωνικῆς, τὸ μὲν ἀρχαῖον ὄνομα καὶ ἐν Ὁμήρου καταλόγῳ Φᾶριν, ὑπὸ δὲ τῶν Σπαρτιατῶν καὶ προσοίκων καλουμένην Φαράς. ἐπὶ ταύτην ἀφικόμενος τούς τε πειρωμένους ἀμύνεσθαι διέφθειρε καὶ λείαν περιβαλόμενος ἀπήλαυνεν ἐς τὴν Μεσσήνην. Λακεδαιμονίων δὲ ὁπλιτῶν καὶ Ἀναξάνδρου τοῦ βασιλέως ἐπιθεμένων καθ' ὁδόν, ἐτρέψατό τε καὶ τούτους καὶ διώκειν τὸν Ἀνάξανδρον ὥρμητο. βληθεὶς δὲ ἀκοντίῳ τὸν γλουτὸν τὴν δίωξιν* 320
*ἐπέσχεν, οὐ μέντοι τὴν λείαν γε ἣν ἤλαυνεν ἀφῃρέθη.*

9 *Διαλιπὼν δὲ ὅσον ἀκεσθῆναι τὸ τραῦμα, ἐς μὲν αὐτὴν*

*Σπάρτην ἔσοδον ποιούμενος νύκτωρ, ἀπετράπετο ὑπὸ φασμάτων Ἑλένης καὶ Διοσκούρων, τὰς δ᾽ ἐν Καρύαις παρθένους χορευούσας τῇ Ἀρτέμιδι ἐλόχησε μεθ᾽ ἡμέραν, καὶ συνέλαβεν ὅσαι χρήμασιν αὐτῶν καὶ ἀξιώματι πατέρων προεῖχον, ἀγαγὼν δὲ ἐς κώμην τῆς Μεσσηνίας τὴν νύκτα ἀνεπαύετο, ἀνδράσι τῶν ἐκ τοῦ λόχου τὴν φρουρὰν ἐπιτρέψας τῶν παρθένων. ἐνταῦθα ὑπὸ μέθης οἱ νεανίσκοι δοκεῖν ἐμοὶ καὶ ἄλλως ἀκρατῶς ἔχοντες λογισμοῦ πρὸς βίαν ἐτρέποντο τῶν παρθένων, Ἀριστομένους δὲ ἀπείργοντος οὐ νομιζόμενα Ἕλλησι δρῶντας οὐδένα ἐποιοῦντο λόγον, ὥστε ἠναγκάσθη καὶ ἀποκτεῖναι τοὺς παροινοῦντας μάλιστα ἐξ αὐτῶν. τὰς δὲ αἰχμαλώτους λαβὼν ἀπέλυσε χρημάτων πολλῶν παρθένους, ὥσπερ γε καὶ εἷλεν.*

**XVII.** *Ἔστι δὲ Αἴγιλα τῆς Λακωνικῆς, ἔνθα ἱερὸν ἵδρυται ἅγιον Δήμητρος. ἐνταῦθα ἐπιστάμενος ὁ Ἀριστομένης καὶ οἱ σὺν αὐτῷ τὰς γυναῖκας ἀγούσας ἑορτὴν ** ἀμύνεσθαι τῶν γυναικῶν οὐκ ἄνευ τῆς θεοῦ προαχθεισῶν λαμβάνουσιν οἱ πολλοὶ τῶν Μεσσηνίων τραύματα μαχαίραις τε, αἷς τὰ ἱερεῖα αἱ γυναῖκες ἔθυον, καὶ ὀβελοῖς, οἷς τὰ κρέα ἔπειρον ὀπτῶσαι· τὸν δὲ Ἀριστομένην τύπτουσαι ταῖς δᾳσὶ ζῶντα αἱροῦσιν. ἀπεσώθη δὲ ὅμως τῆς αὐτῆς ἐκείνης νυκτὸς ἐς τὴν Μεσσηνίαν. ἀφεῖναι δὲ αὐτὸν ἱέρεια τῆς Δήμητρος αἰτίαν ἔσχεν Ἀρχιδάμεια. ἀφῆκε δὲ οὐκ ἐπὶ χρήμασιν, ἀλλὰ ἐρῶσα ἔτυχεν αὐτοῦ πρότερον ἔτι, προὐφασίζετο δὲ ὡς Ἀριστομένης διακαύσας τὰ δεσμὰ ἀποδρὰς οἴχοιτο.*

2. *Τρίτῳ δὲ ἔτει τοῦ πολέμου μελλούσης γίνεσθαι* 2
321 *συμβολῆς ἐπὶ τῇ καλουμένῃ μεγάλῃ Τάφρῳ, καὶ Μεσσηνίοις Ἀρκάδων βεβοηθηκότων ἀπὸ πασῶν τῶν πόλεων, Ἀριστοκράτην τὸν Ἱκέτα Τραπεζούντιον, βασιλέα τῶν Ἀρκάδων καὶ στρατηγὸν ὄντα ἐν τῷ τότε, διαφθείρουσιν*

οἱ Λακεδαιμόνιοι χρήμασι. πρῶτοι γὰρ ὧν ἴσμεν Λακε-
δαιμόνιοι πολεμίῳ ἀνδρὶ δῶρα ἔδοσαν, καὶ ὤνιον πρῶ-
3 τοι κατεστήσαντο εἶναι τὸ κράτος τὸ ἐν τοῖς ὅπλοις. πρὶν
δὲ ἢ παρανομῆσαι Λακεδαιμονίους ἐς τὸν Μεσσηνίων
πόλεμον καὶ Ἀριστοκράτους τοῦ Ἀρκάδος τὴν προδο-
σίαν, ἀρετῇ τε οἱ μαχόμενοι καὶ τύχαις ἐκ τοῦ θεοῦ διε-
κρίνοντο. φαίνονται δὲ οἱ Λακεδαιμόνιοι καὶ ὕστερον,
ἡνίκα ἐπὶ Αἰγὸς ποταμοῖς ταῖς Ἀθηναίων ναυσὶν ἀν-
θώρμουν, ἄλλους τε τῶν στρατηγούντων Ἀθηναίοις καὶ
4 Ἀδείμαντον ἐξωνησάμενοι. 3. Περιῆλθε μέντοι καὶ αὐ-
τοὺς Λακεδαιμονίους ἀνὰ χρόνον ἡ Νεοπτολέμειος κα-
λουμένη τίσις. Νεοπτολέμῳ γὰρ τῷ Ἀχιλλέως ἀποκτεί-
ναντι Πρίαμον ἐπὶ τῇ ἐσχάρᾳ τοῦ Ἑρκείου συνέπεσε καὶ
αὐτὸν ἐν Δελφοῖς πρὸς τῷ βωμῷ τοῦ Ἀπόλλωνος ἀπο-
σφαγῆναι, καὶ ἀπὸ τούτου τὸ παθεῖν ὁποῖόν τις καὶ
5 ἔδρασε Νεοπτολέμειον τίσιν ὀνομάζουσι. τοῖς οὖν Λακε-
δαιμονίοις, ὅτε δὴ μάλιστα ἤνθησαν καὶ Ἀθηναίων τε
τὸ ναυτικὸν καθῃρήκεσαν καὶ Ἀγησίλαος κεχείρωτο τὰ
πολλὰ ἤδη τῆς Ἀσίας, τότε σφίσι τὴν ἀρχὴν πᾶσαν οὐκ
ἐξεγένετο ἀφελέσθαι τὸν Μῆδον, ἀλλὰ σφᾶς ὁ βάρβαρος
περιῆλθε τῷ ἐκείνων εὑρήματι, ἐς Κόρινθον καὶ Ἄργος
καὶ ἐς Ἀθήνας τε καὶ Θήβας χρήματα ἀποστείλας, ὅ τε
ὀνομαζόμενος Κορινθιακὸς πόλεμος ἀπὸ τούτων ἐξήφθη
τῶν χρημάτων, ὡς ἀπολείπειν Ἀγησίλαον ἀναγκασθῆναι
6 τὰ ἐν τῇ Ἀσίᾳ. Λακεδαιμονίοις μὲν τὸ ἐς Μεσσηνίους
σόφισμα ὁ δαίμων ἔμελλεν αὐτοῖς ἀποφανεῖν συμφοράν·
4. Ἀριστοκράτης δὲ ὡς τὰ χρήματα ἐδέξατο ἐκ Λακεδαί- 322
μονος, τὸ μὲν παραυτίκα ἔκρυπτεν ἐς τοὺς Ἀρκάδας οἷα
ἐπεβούλευε, μελλόντων δὲ ἐς χεῖρας ἤδη συνέρχεσθαι,
τηνικαῦτα ἐξεφόβησεν αὐτοὺς ὡς ἐν δυσχωρίᾳ τέ εἰσιν
ἀπειλημμένοι καὶ ἀναχώρησις οὐκ ἔσται αὐτοῖς, ἢν κρα-
τηθῶσιν· τά τε ἱερά σφισιν οὐκ ἔφη γεγονέναι κατὰ

γνώμην. ἐκέλευεν οὖν πάντα τινά, ἐπειδὰν αὐτὸς ση-
μήνῃ, φυγῇ χρῆσθαι. ὡς δὲ οἱ Λακεδαιμόνιοι συνέμισγον 7
καὶ ἦσαν ἐς τὸ κατ' αὐτοὺς οἱ Μεσσήνιοι τετραμμένοι,
ἐνταῦθα Ἀριστοκράτης ἀρχομένης τῆς μάχης ἀπῆγε τοὺς
Ἀρκάδας, καὶ τοῖς Μεσσηνίοις τό τε ἀριστερὸν καὶ μέσον
ἠρήμωτο· οἱ γὰρ Ἀρκάδες σφίσιν εἶχον ἀμφότερα ἅτε
ἀπόντων μὲν Ἠλείων τῆς μάχης, ἀπόντων δὲ Ἀργείων
καὶ Σικυωνίων. προσεξειργάσθη δὲ καὶ ἄλλο τῷ Ἀριστο-
κράτει· διὰ γὰρ Μεσσηνίων ἐποιεῖτο τὴν φυγήν. οἱ δὲ 8
πρὸς τὸ ἀνέλπιστον τῶν παρόντων ἐγένοντο ἔκφρονες,
καὶ ἅμα ὑπὸ τῆς διεξόδου τῆς κατὰ σφᾶς τῶν Ἀρκάδων
ἐταράσσοντο, ὥστε αὐτῶν ἐδέησαν οἱ πολλοὶ καὶ ἐπιλα-
θέσθαι τῶν ἐν χερσίν· ἀντὶ γὰρ τῶν Λακεδαιμονίων ἐπι-
φερομένων ἤδη πρὸς τοὺς Ἀρκάδας ἀφεώρων φεύγον-
τας, καὶ οἱ μὲν παραμεῖναί σφισιν ἱκέτευον, οἱ δὲ καὶ
λοιδορίαις ἐς αὐτοὺς ὡς ἐς ἄνδρας προδότας καὶ οὐ δι-
καίους ἐχρῶντο. 5. Λακεδαιμονίοις δὲ ἥ τε κύκλωσις τῶν 9
Μεσσηνίων μονωθέντων ἐγένετο οὐ χαλεπή, καὶ νίκην
ἑτοιμοτάτην πασῶν καὶ ἀπονώτατα ἀνείλοντο. Ἀριστο-
μένης δὲ καὶ οἱ σὺν αὐτῷ συνέμειναν μὲν καὶ τῶν Λακε-
δαιμονίων τοὺς μάλιστα ἐγκειμένους ἀνείργειν ἐπειρῶν-
το, ὀλίγοι δὲ ὄντες οὐ μεγάλα ὠφέλουν. τῶν δὲ Μεσση-
νίων τοῦ μὲν δήμου τοσοῦτον πλῆθος ἀνηλώθησαν, ὡς
τὰ πρῶτα Λακεδαιμονίων δεσπότας ἀντὶ δούλων ἔσεσθαι
νομίζοντας τότε μηδὲ ἐς τὴν σωτηρίαν αὐτὴν ἔτι ἔχειν
ἐλπίδα. ἀπέθανον δὲ καὶ τῶν πρωτευόντων ἄλλοι τε καὶ
Ἀνδροκλῆς καὶ Φίντας, καὶ λόγου μάλιστα ἀξίως ἀγωνι-
323 σάμενος Φάνας, ὃς πρότερον τούτων ἔτι δολίχου νίκην
Ὀλυμπίασιν ἦν ἀνῃρημένος. 6. Ἀριστομένης δὲ μετὰ 10
τὴν μάχην τοὺς διαπεφευγότας τῶν Μεσσηνίων συνή-
θροιζε, καὶ Ἀνδανίαν μὲν καὶ εἴ τι ἄλλο ἐν μεσογαίᾳ πό-
λισμα ἔπεισε τὰ πολλὰ ἐκλείπειν, ἐς δὲ τὴν Εἶραν τὸ ὄρος

ἀνοικίζεσθαι. συνεληλαμένοις δὲ ἐς τοῦτο τὸ χωρίον προσεκάθηντο οἱ Λακεδαιμόνιοι πολιορκίᾳ σφᾶς αὐτίκα ἐξαιρήσειν νομίζοντες. ἀντήρκεσαν δὲ ὅμως οἱ Μεσσήνιοι καὶ μετὰ τὴν ἐν τῇ Τάφρῳ συμφορὰν ἑνί τε καὶ δέκα
11 ἔτεσιν ἀμυνόμενοι. τὸν δὲ χρόνον τῆς πολιορκίας γενέσθαι τοσοῦτον δηλοῖ καὶ τάδε ἔπη Ῥιανοῦ πεποιημένα ἐς τοὺς Λακεδαιμονίους·

οὔρεος ἀργεννοῖο περὶ πτύχας ἐστρατόωντο
χείματά τε ποίας τε δύω καὶ εἴκοσι πάσας.

χειμῶνας γὰρ καὶ θέρη κατέλεξε, πόας εἰπὼν τὸν χλωρὸν σῖτον ἢ ὀλίγον πρὸ ἀμητοῦ.

XVIII. Μεσσήνιοι δὲ ὡς ἐς τὴν Εἶραν * * τῆς τε ἄλλης ἐξείργοντο, πλὴν ὅσον σφίσιν οἱ Πύλιοι τὰ ἐπὶ θαλάσσῃ καὶ οἱ Μοθωναῖοι διέσωζον, ἐλῄστευον τήν τε Λακωνικὴν καὶ τὴν σφετέραν, πολεμίαν ἤδη καὶ ταύτην νομίζοντες. ἄλλοι τε δὴ συνίσταντο ἐς τὰς καταδρομάς, ὡς ἕκαστοι τύχοιεν, καὶ Ἀριστομένης δὲ τοὺς περὶ αὐτὸν
2 λογάδας ἐς τριακοσίων ἀριθμὸν προήγαγεν. ἦγον μὲν δὴ τὰ Λακεδαιμονίων καὶ ἔφερον, ὅ τι καὶ δύναιτο αὐτῶν ἕκαστος· ἑλόντες δὲ σῖτον καὶ βοσκήματα καὶ οἶνον ἀνήλισκον, ἔπιπλα δὲ καὶ ἀνθρώπους ἀπεδίδοσαν χρημάτων· ὥστε καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἴρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προσεχῆ, ἕως ἂν
3 πολεμῶσιν, ἐᾶν ἄσπορον. 2. Καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετο ἐν Σπάρτῃ καὶ ὁμοῦ τῇ σιτοδείᾳ στάσις· οὐ γὰρ ἠνείχοντο οἱ ταύτῃ τὰ κτήματα ἔχοντες τὰ σφέτερα ἀργὰ εἶναι, καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τυρταῖος·
3. Ἀριστομένης δὲ ἔχων τοὺς λογάδας τὴν μὲν ἔξοδον 324
περὶ βαθεῖαν ἐποιήσατο ἑσπέραν, ἔφθη δὲ ὑπὸ τάχους τὴν ἐς Ἀμύκλας ἀνύσας πρὸ ἀνίσχοντος ἡλίου, καὶ Ἀμύκλας τὸ πόλισμα εἷλέ τε καὶ διήρπασε, καὶ τὴν ἀποχώρη-

σιν ἐποιήσατο πρὶν ἢ τοὺς ἐκ τῆς Σπάρτης προσβοηθῆ-
σαι. κατέτρεχε δὲ καὶ ὕστερον τὴν χώραν, ἐς ὃ Λακεδαι- 4
μονίων λόχοις πλέον ἢ τοῖς ἡμίσεσι καὶ τοῖς βασιλεῦσιν
ἀμφοτέροις συμβαλὼν ἄλλα τε ἔσχεν ἀμυνόμενος τραύ-
ματα, καὶ πληγέντι ὑπὸ λίθου τὴν κεφαλὴν αὐτῷ σκοτο-
δινιῶσιν οἱ ὀφθαλμοί, καὶ πεσόντα ἀθρόοι τῶν Λακεδαι-
μονίων ἐπιδραμόντες ζῶντα αἱροῦσιν· ἥλωσαν δὲ καὶ
τῶν περὶ αὐτὸν ἐς πεντήκοντα. τούτους ἔγνωσαν οἱ Λα-
κεδαιμόνιοι ῥῖψαι πάντας ἐς τὸν Κεάδαν· ἐμβάλλουσι δὲ
ἐνταῦθα οὓς ἂν ἐπὶ μεγίστοις τιμωρῶνται. 4. Οἱ μὲν δὴ 5
ἄλλοι Μεσσηνίων ἐσπίπτοντες ἀπώλλυντο αὐτίκα· Ἀρι-
στομένην δὲ ἔς τε τὰ ἄλλα θεῶν τις καὶ δὴ καὶ τότε ἐφύ-
λασσεν. οἱ δὲ ἀποσεμνύνοντες τὰ κατ' αὐτὸν Ἀριστομέ-
νει φασὶν ἐμβληθέντι ἐς τὸν Κεάδαν ὄρνιθα τὸν ἀετὸν
ὑποπέτεσθαι καὶ ἀνέχειν ταῖς πτέρυξιν, ἐς ὃ κατήνεγκεν
αὐτὸν ἐς τὸ πέρας οὔτε πηρωθέντα οὐδὲν τοῦ σώματος
οὔτε τραῦμά τι λαβόντα. ἔμελλε δὲ ἄρα καὶ αὐτόθεν ὁ
δαίμων ἔξοδον ἀποφαίνειν αὐτῷ. καὶ ὁ μὲν ὡς ἐς τὸ τέρ- 6
μα ἦλθε τοῦ βαράθρου, κατεκλίθη τε καὶ ἐφελκυσάμενος
τὴν χλαμύδα ἀνέμενεν ὡς πάντως οἱ ἀποθανεῖν πεπρω-
μένον· τρίτῃ δὲ ὕστερον ἡμέρᾳ ψόφου τε αἰσθάνεται,
καὶ ἐκκαλυψάμενος, ἐδύνατο δὲ ἤδη διὰ τοῦ σκότους διο-
ρᾶν, ἀλώπεκα εἶδεν ἁπτομένην τῶν νεκρῶν. ὑπονοήσας
δὲ ἔσοδον εἶναι τῷ θηρίῳ ποθέν, ἀνέμενεν ἐγγύς οἱ τὴν
ἀλώπεκα γενέσθαι, γενομένης δὲ λαμβάνεται· τῇ δὲ ἑτέρᾳ
χειρί, ὁπότε ἐς αὐτὸν ἐπιστρέφοιτο, τὴν χλαμύδα προὔ-
βαλλέν οἱ καὶ δάκνειν παρεῖχε. τὰ μὲν δὴ πλείω θεούσῃ
συνέθει, τὰ δὲ ἄγαν δυσέξοδα καὶ ἐφείλκετο ὑπ' αὐτῆς.
ὀψὲ δέ ποτε ὀπήν τε εἶδεν ἀλώπεκι ἐς διάδυσιν ἱκανὴν
καὶ φέγγος δι' αὐτῆς. καὶ τὴν μέν, ὡς ἀπὸ τοῦ Ἀριστο- 7
μένους ἠλευθερώθη, τὸ φωλίον ἔμελλεν ὑποδέξεσθαι·
Ἀριστομένης δέ, οὐ γάρ τι ἡ ὀπὴ καὶ τούτῳ παρέχειν

ἐδύνατο ἔξοδον, εὐρυτέραν τε ταῖς χερσὶν ἐποίησε καὶ οἴκαδε ἐς τὴν Εἶραν ἀποσώζεται, παραδόξῳ μὲν τῇ τύχῃ καὶ ἐς τὴν ἅλωσιν χρησάμενος, τὸ γάρ οἱ φρόνημα ἦν καὶ τὰ τολμήματα μείζονα ἢ ὡς ἐλπίσαι τινὰ Ἀριστομένην αἰχμάλωτον ἂν γενέσθαι, παραδοξοτέρα δέ ἐστι καὶ πάντων προδηλότατα οὐκ ἄνευ θεοῦ ἡ ἐκ τοῦ Κεάδα σωτηρία.

**XIX.** Λακεδαιμονίοις δὲ παραυτίκα μὲν ὑπὸ ἀνδρῶν ἀπηγγέλλετο αὐτομόλων ὡς Ἀριστομένης ἐπανήκοι σῶς· νομιζομένου δὲ ἀπίστου κατὰ ταὐτὰ ἢ εἴ τινα τεθνεῶτα ἐλέγετο ἀναβιῶναι, παρ' αὐτοῦ τοιόνδε Ἀριστομένους ὑπῆρξεν ἐς πίστιν. Κορίνθιοι Λακεδαιμονίοις δύναμιν
2 ὡς συνεξαιρήσοντας τὴν Εἶραν ἀποστέλλουσι. τούτους παρὰ τῶν κατασκόπων πυνθανόμενος ὁ Ἀριστομένης τῇ πορείᾳ τε ἀτακτότερον χρῆσθαι καὶ ταῖς στρατοπεδείαις ἀφυλάκτως, ἐπιτίθεται νύκτωρ σφίσι· καὶ τῶν τε ἄλλων καθευδόντων ἔτι ἐφόνευσε τοὺς πολλούς, καὶ τοὺς ἡγεμόνας Ὑπερμενίδην καὶ Ἀχλαδαῖον καὶ Λυσίστρατον καὶ Σίδεκτον ἀποκτίννυσι. διαρπάσας δὲ καὶ τὴν σκηνὴν τὴν στρατηγίδα, παρέστησεν εὖ εἰδέναι Σπαρτιάταις ὡς Ἀριστομένης καὶ οὐκ ἄλλος Μεσσηνίων ἐστὶν ὁ ταῦτα εἰρ-
3 γασμένος. 2. Ἔθυσε δὲ καὶ τῷ Διὶ τῷ Ἰθωμάτᾳ τὴν θυσίαν ἣν Ἑκατομφόνια ὀνομάζουσιν. αὕτη δὲ καθεστήκει 326
μὲν ἐκ παλαιοτάτου, θύειν δὲ αὐτὴν Μεσσηνίων ἐνομίζετο ὁπόσοι πολεμίους ἄνδρας κατεργάσαιντο ἑκατόν. Ἀριστομένει δέ, ὅτε ἐπὶ Κάπρου σήματι ἐμαχέσατο, θύσαντι Ἑκατομφόνια πρῶτον, δεύτερα ἤδη θῦσαι καὶ ὁ ἐν τῇ νυκτὶ τῶν Κορινθίων παρέσχε φόνος. τοῦτον μὲν δὴ λέγουσι καὶ ἐπὶ ταῖς ὕστερον θῦσαι καταδρομαῖς θυσίαν
4 τρίτην· 3. Λακεδαιμόνιοι δέ, ἐπῄει γὰρ Ὑακίνθια, πρὸς τοὺς ἐν τῇ Εἴρᾳ τεσσαράκοντα ἐποιήσαντο ἡμερῶν σπονδάς καὶ αὐτοὶ μὲν ἀναχωρήσαντες οἴκαδε ἑώρταζον,

Κρῆτες δὲ τοξόται, μετεπέμψαντο γὰρ ἔκ τε Λύκτου καὶ ἑτέρων πόλεων μισθωτούς, οὗτοί σφισιν ἀνὰ τὴν Μεσσηνίαν ἐπλανῶντο. Ἀριστομένην οὖν, ἅτε ἐν σπονδαῖς ἀπωτέρω τῆς Εἴρας γενόμενον καὶ προϊόντα ἀδεέστερον, ἑπτὰ ἄνδρες ἀπὸ τῶν τοξοτῶν τούτων ἐλόχησαν, συλλαβόντες δὲ τοῖς ἱμᾶσιν οἷς εἶχον ἐπὶ ταῖς φαρέτραις δέουσιν· ἑσπέρα γὰρ ἐπῄει. δύο μὲν οὖν ἐς Σπάρτην ἀπ' αὐ- 5
τῶν ἐλθόντες Λακεδαιμονίοις Ἀριστομένην εὐηγγελίζοντο ἡλωκέναι· οἱ λοιποὶ δὲ ἀποχωροῦσιν ἐς ἀγρὸν τῶν ἐν τῇ Μεσσηνίᾳ. 4. Ἐνταῦθα ᾤκει κόρη σὺν μητρὶ παρθένος, πατρὸς ὀρφανή. τῇ δὲ προτέρᾳ νυκτὶ εἶδεν ὄψιν ἡ παῖς· λέοντα ἐς τὸν ἀγρὸν λύκοι σφίσιν ἤγαγον δεδεμένον καὶ οὐκ ἔχοντα ὄνυχας, αὐτὴ δὲ τοῦ δεσμοῦ τὸν λέοντα ἀπέλυσε καὶ ἀνευροῦσα ἔδωκε τοὺς ὄνυχας, οὕτω τε διασπασθῆναι τοὺς λύκους ἔδοξεν ὑπὸ τοῦ λέοντος.
τότε δὲ ὡς τὸν Ἀριστομένην ἐσάγουσιν οἱ Κρῆτες, συν- 6
εφρόνησεν ἡ παρθένος ὕπαρ ἥκειν τὸ ἐν τῇ νυκτί οἱ πεφηνός, καὶ ἀνηρώτα τὴν μητέρα ὅστις εἴη· μαθοῦσα δὲ ἐπερρώσθη τε καὶ ἀπιδοῦσα ἐς αὐτὸν τὸ προσταχθὲν
327 συνῆκεν. οἶνον οὖν τοῖς Κρησὶν ἐγχέουσα ἀνέδην, ὡς σφᾶς ἡ μέθη κατελάμβανεν, ὑφαιρεῖται τοῦ μάλιστα ὑπνωμένου τὸ ἐγχειρίδιον. τὰ μὲν δὴ δεσμὰ τοῦ Ἀριστομένους ἔτεμεν ἡ παρθένος· ὁ δὲ παραλαβὼν τὸ ξίφος διειργάσατο. ταύτην τὴν παρθένον λαμβάνει γυναῖκα Γόργος Ἀριστομένους· ἐδίδου δὲ Ἀριστομένης τῇ παιδὶ ἐκτίνων σῶστρα, ἐπεὶ Γόργῳ οὐκ ἦν πω δέκατον καὶ ὄγδοον ἔτος, ὅτε ἔγημεν.

XX. Ἑνδεκάτῳ δὲ ἔτει τῆς πολιορκίας τήν τε Εἶραν ἐπέπρωτο ἁλῶναι καὶ ἀναστάτους γενέσθαι Μεσσηνίους, καὶ δή σφισιν ἐπετέλεσεν ὁ θεὸς Ἀριστομένει καὶ Θεόκλῳ χρησθέν τι. τούτοις γὰρ ἐλθοῦσιν ἐς Δελφοὺς μετὰ

τὴν ἐπὶ τῇ Τάφρῳ πληγὴν καὶ ἐπερομένοις ὑπὲρ σωτη-
ρίας τοσόνδε εἶπεν ἡ Πυθία·

Εὖτε τράγος πίνῃσι Νέδης ἑλικόρροον ὕδωρ,
οὐκέτι Μεσσήνην ῥύομαι· σχεδόθεν γὰρ ὄλεθρος.

2 Εἰσὶ δὲ αἱ πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Λυκαίῳ· προελ-
θὼν δὲ ὁ ποταμὸς διὰ τῆς Ἀρκάδων, καὶ ἐπιστρέψας αὖ-
θις ἐς τὴν Μεσσηνίαν, ὁρίζει τὰ ἐπὶ θαλάσσῃ Μεσσηνίοις
καὶ Ἠλείοις τὴν γῆν. τότε δὲ οἱ μὲν τοὺς αἶγας τοὺς ἄρ-
ρενας ἐδεδοίκεσαν μὴ πίνωσιν ἀπὸ τῆς Νέδας· τοῖς δὲ
ἄρα ὁ δαίμων προεσήμαινε τοιόνδε. τὸ δένδρον τὸν ἐρι-
νεόν εἰσιν Ἑλλήνων οἳ καλοῦσιν ὀλύνθην, Μεσσήνιοι δὲ
αὐτοὶ τράγον. τότε οὖν πρὸς τῇ Νέδᾳ πεφυκὼς ἐρινεὸς
οὐκ ἐς εὐθὺ ηὔξητο, ἀλλὰ ἔς τε τὸ ῥεῦμα ἐπέστρεφε καὶ
3 τοῦ ὕδατος ἄκροις τοῖς φύλλοις ἐπέψαυε. Θεασάμενος
δὲ ὁ μάντις Θέοκλος συνεβάλετο ὡς τὸν τράγον τὸν πί-
νοντα ἐκ τῆς Νέδας προεῖπεν ἡ Πυθία τὸν ἐρινεὸν τοῦ-
τον καὶ ὡς ἤδη Μεσσηνίοις ἥκει τὸ χρεών· καὶ ἐς μὲν 328
τοὺς ἄλλους εἶχεν ἐν ἀπορρήτῳ, Ἀριστομένην δὲ πρός τε
τὸν ἐρινεὸν ἤγαγε, καὶ ἀνεδίδασκεν ὡς τῆς σωτηρίας ἐξή-
κοι σφίσιν ὁ χρόνος. Ἀριστομένης δὲ ἔχειν οὕτω πείθε-
ται καὶ ἀναβολὴν οὐκέτι εἶναί σφισι, προενοήσατο δὲ καὶ
4 ἐκ τῶν παρόντων· 2. καί, ἦν γάρ τι ἐν ἀπορρήτῳ τοῖς
Μεσσηνίοις, ἔμελλε δὲ ἀφανισθὲν ὑποβρύχιον τὴν Μεσ-
σήνην κρύψειν τὸν πάντα αἰῶνα, φυλαχθὲν δὲ οἱ Λύκου
τοῦ Πανδίονος χρησμοὶ Μεσσηνίους ἔλεγον χρόνῳ ποτὲ
ἀνασώσεσθαι τὴν χώραν, τοῦτο δὴ ὁ Ἀριστομένης, ἅτε
ἐπιστάμενος τοὺς χρησμούς, ἐπεὶ νὺξ ἐγίνετο ἐκόμιζε·
παραγενόμενος δὲ ἔνθα τῆς Ἰθώμης ἦν τὸ ἐρημότατον,
κατώρυξεν ἐς Ἰθώμην τὸ ὄρος, καὶ Δία Ἰθώμην ἔχοντα
καὶ θεοὺς οἳ Μεσσηνίους ἐς ἐκεῖνο ἔσωζον φύλακας μεῖ-
ναι τῆς παρακαταθήκης αἰτούμενος, μηδὲ ἐπὶ Λακεδαι-
μονίοις ποιῆσαι τὴν μόνην καθόδου Μεσσηνίοις ἐλπίδα.

3. Μετὰ δὲ τοῦτο τοῖς Μεσσηνίοις ἤρχετο, καθὸ καὶ Τρω- 5
σὶν ἔτι πρότερον, γίνεσθαι κακὰ ἀπὸ μοιχείας. ἐπεκρά-
τουν μὲν αὐτοὶ τοῦ τε ὄρους καὶ τοῦ πρὸς τὴν Εἶραν ἄχρι
τῆς Νέδας, ἦσαν δὲ οἰκήσεις καὶ ἔξω πυλῶν ἐνίοις. αὐ-
τόμολος δὲ ἐς αὐτοὺς ἐκ τῆς Λακωνικῆς ἄλλος μὲν ἀφί-
κετο οὐδείς, οἰκέτης δὲ Ἐμπεράμου βουκόλος ἐλαύνων
τοῦ δεσπότου τὰς βοῦς· ὁ δὲ Ἐμπέραμος ἦν ἀνὴρ ἐν
329 Σπάρτῃ δόκιμος. οὗτος ὁ βουκόλος ἔνεμεν οὐ πόρρω τῆς 6
Νέδας. ἀνδρὸς οὖν τῶν Μεσσηνίων τῶν οὐκ ἐντὸς τεί-
χους ἐχόντων οἴκησιν γυναῖκα εἶδεν ἐφ' ὕδωρ ἐλθοῦσαν·
ἐρασθεὶς δὲ διαλεχθῆναί τε ἐτόλμησε, καὶ δοὺς δῶρα
συγγίνεται. καὶ ἀπὸ τούτου τὸν ἄνδρα παρεφύλασσεν
αὐτῆς, ὁπότε ἀποχωρήσειεν ἐς τὴν φρουράν. ἀνὰ μέρος
δὲ τοῖς Μεσσηνίοις τῆς ἀκροπόλεως ἐπήγετο ἡ φυλακή·
ταύτῃ γὰρ τοὺς πολεμίους μάλιστα ἐδεδοίκεσαν μὴ ὑπερ-
βῶσιν αὐτοῖς ἐς τὴν πόλιν. ὁπότε οὖν οὗτος ἀποχωρή-
σειε, τηνικαῦτα ὁ βουκόλος ἐφοίτα παρὰ τὴν γυναῖκα.
καί ποτε ἔτυχε σὺν ἄλλοις ἐς ἐκεῖνον περιήκουσα ἐν τῇ 7
νυκτὶ ἡ φυλακή, ἔτυχε δὲ καὶ ὕειν πολλῷ τὸν θεόν. καὶ
ἐκλείπουσιν οἱ Μεσσήνιοι τὴν φρουράν· τὸ γὰρ ὕδωρ
ἐβιάζετο σφᾶς ἀθρόον ἐκ τοῦ οὐρανοῦ καταχεόμενον,
οὔτε ἐπάλξεων ἐνῳκοδομημένων οὔτε πύργων ὑπὸ σπου-
δῆς τοῦ τειχισμοῦ, καὶ ἅμα οὐδὲ κινήσεσθαι τοὺς Λακε-
δαιμονίους ἤλπιζον ἐν ἀσελήνῳ νυκτὶ καὶ οὕτω χειμερίῳ.
Ἀριστομένης δὲ οὐ πολλαῖς πρότερον ἡμέραις Κεφαλ- 8
λῆνα ἔμπορον, ἑαυτῷ ξένον καὶ ἐσάγοντα ἐς τὴν Εἶραν
ὁπόσων ἐδέοντο, ἑαλωκότα ὑπὸ Λακεδαιμονίων καὶ το-
ξοτῶν Ἀπτεραίων, ὧν ἦρχεν Εὐρύαλος Σπαρτιάτης,
τοῦτον τὸν Κεφαλλῆνα ἀφαιρούμενος ἐκεῖνον μὲν καὶ τὰ
χρήματα ὁπόσα ἦγεν ἀπέσωσεν, αὐτὸς δὲ ἐτέτρωτο, καὶ
οὐκ ἐδύνατο ἐπιφοιτᾶν τοῖς φυλάσσουσι, καθάπερ εἰώ-
θει. τοῦτο μάλιστα αἴτιον ἐγένετο ἐκλειφθῆναι τὴν

9 ἀκρόπολιν. τῶν τε δὴ ἄλλων ἕκαστος ἀνεχώρησεν ἀπὸ
τῆς φρουρᾶς καὶ τῆς ὑπὸ τοῦ βουκόλου μοιχευομένης ὁ
ἀνήρ. ἡ δὲ τηνικαῦτα ἔνδον εἶχε τὸν βουκόλον, αἰσθάνε-
ταί τε τοῦ ἀνδρὸς ἐπιόντος, καὶ αὐτίκα ὡς τάχους εἶχεν
ἀποκρύπτει τὸν ἄνθρωπον. ἐσελθόντα δὲ τὸν ἄνδρα ἐφι-
λοφρονεῖτο ὡς οὔπω πρότερον, καὶ ἠρώτα καθ' ἥν τινα
αἰτίαν ἥκοι. ὁ δὲ οὔτε μεμοιχευμένην εἰδὼς οὔτε ἔνδον
ὄντα τὸν βουκόλον ἐχρῆτο τῷ ἀληθεῖ λόγῳ, καὶ αὐτός 330
τε διὰ τοῦ ὄμβρου τὸ βίαιον καὶ τῶν ἄλλων ἕκαστον
10 ἔφασκεν ἀπολελοιπέναι τὴν φρουράν. ἐπηκροᾶτο δὲ λέ-
γοντος ὁ βουκόλος, καὶ ὡς ἀκριβῶς ἐπύθετο ἕκαστα, αὖ-
θις ἐκ τῶν Μεσσηνίων ἐς τοὺς Λακεδαιμονίους ἀφίκετο
αὐτόμολος. Λακεδαιμονίοις δὲ οἱ μὲν βασιλεῖς ἀπὸ στρα-
τοπέδου τηνικαῦτα ἀπῆσαν, πολεμαρχῶν δὲ τότε Ἐμπέ-
ραμος ὁ τοῦ βουκόλου δεσπότης προσεκάθητο τῇ Εἴρᾳ.
ἀφικόμενος οὖν ἐς τοῦτον πρῶτα μὲν τὸ ἐπὶ τῷ δρασμῷ
παρῃτεῖτο ἁμάρτημα, δεύτερα δὲ ἀνεδίδασκεν ὡς τὴν Εἶ-
ραν ἐν τῷ παρόντι μάλιστα αἱρήσουσιν, αὐτὰ ἕκαστα
ὁπόσα ᾔσθετο τοῦ Μεσσηνίου διηγούμενος.

XXI. Ἔδοξέ τε δὴ λέγειν πιστά, καὶ ἡγεῖτο Ἐμπε-
ράμῳ καὶ τοῖς Σπαρτιάταις. ἦν δὲ ἡ πορεία χαλεπή σφι-
σιν ἅτε ἐν σκότῳ καὶ οὐκ ἀνιέντος τοῦ ὑετοῦ· ὅμως δὲ
ὑπὸ προθυμίας ἤνυσαν, καὶ ὡς κατὰ τὴν ἀκρόπολιν τῆς
Εἴρας ἐγένοντο, ὑπερέβαινον κλίμακάς τε προστιθέν-
τες καὶ ὅτῳ τις ἐδύνατο ἄλλῳ τρόπῳ. Τοῖς δὲ Μεσση-
νίοις παρείχετο μὲν τοῦ παρόντος κακοῦ καὶ ἄλλα αἴσθη-
σιν, μάλιστα δὲ οἱ κύνες οὐ κατὰ τὰ εἰωθότα ὑλακτοῦν-
τες, ἀλλὰ συνεχεστέρᾳ καὶ βιαιοτέρᾳ τῇ κραυγῇ χρώμε-
νοι. γνόντες οὖν τον ὕστατον ὁμοῦ καὶ ἀναγκαιότατον
σφᾶς ἀγῶνα ἐπειληφότα, οὐδὲ τὰ ὅπλα ἅπαντα ἀνελάμ-
βανον, ἀλλ' ὅτῳ προχείρῳ μάλιστα ἐντύχοι τις, ἁρπά-
ζοντες ἤμυνον τῇ πατρίδι, ἣ μόνη σφίσιν ἐλείπετο ἐκ τῆς

Μεσσηνίας πάσης. Πρῶτοι δὲ ᾔσθοντο ἔνδον τῶν πολε- 2
μίων ὄντων, καὶ ἐβοήθουν ἐπ' αὐτοὺς πρῶτοι, Γόργος
τε ὁ Ἀριστομένους καὶ Ἀριστομένης αὐτὸς Θέοκλός τε ὁ
μάντις καὶ Μάντικλος ὁ Θεόκλου, σὺν δὲ αὐτοῖς Εὐερ-
γετίδας ἀνὴρ καὶ ἄλλως ἐν Μεσσήνῃ τιμώμενος καὶ διὰ
τὴν γυναῖκα ἐπὶ πλέον ἀξιώματος ἥκων· ἀδελφὴν γὰρ
εἶχεν Ἀριστομένους Ἁγναγόραν. τότε δὲ οἱ μὲν ἄλλοι
συνιέντες ὡς ἐν δικτύοις εἰσὶν ἐσχημένοι, ὅμως καὶ ἐκ
τῶν παρόντων εἶχόν τινα ἐλπίδα· 2. Ἀριστομένης δὲ καὶ 3
331 ὁ μάντις ἠπίσταντο μὲν οὐδεμίαν ἔτι ἀναβολὴν ὀλέθρου
Μεσσηνίοις οὖσαν, ἅτε εἰδότες καὶ τὸν χρησμὸν ὃν ᾐνί-
ξατο ἐς τὸν τράγον ἡ Πυθία, ἐπέκρυπτον δὲ οὐδὲν ἧσ-
σον, καὶ ἦν σφίσιν ἐς τοὺς ἄλλους ἀπόρρητον. ἐπιόντες
δὲ τὴν πόλιν σπουδῇ καὶ ἐπὶ πάντας ἐρχόμενοι τοῖς τε ἐν-
τυγχάνουσιν, ὁπότε αἰσθάνοιντο ὄντας Μεσσηνίους,
παρεκελεύοντο ἄνδρας ἀγαθοὺς εἶναι, καὶ ἐκ τῶν οἰ-
κιῶν ἀνεκάλουν τοὺς ἔτι ὑπολειπομένους. 3. Ἐν μὲν δὴ 4
νυκτὶ οὐδὲν ἄξιον ἐπράχθη λόγου παρ' οὐδετέρων· τοῖς
μὲν γὰρ ἡ ἀπειρία τῶν τόπων καὶ ἡ τόλμα τοῦ Ἀριστομέ-
νους παρεῖχε μελλησμόν, τοῖς δὲ Μεσσηνίοις οὔτε παρὰ
τῶν στρατηγῶν σύνθημα ἐγεγόνει φθάνοντας εἰληφέναι,
τάς τε δᾷδας ἢ εἴ τινα λαμπτῆρα ἀλλοῖον ἅψαιτό τις, ὕων
ἂν ἐσβέννυεν ὁ θεός. Ἐπειδὴ δὲ ἡμέρα τε ἦν καὶ ἀλλή- 5
λους καθορᾶν ἐδύναντο, ἐνταῦθα Ἀριστομένης καὶ Θέο-
κλος ἐπειρῶντο ἐς πᾶσαν ἀπόνοιαν προάγειν τοὺς Μεσ-
σηνίους, ἄλλα τε ὁπόσα εἰκὸς ἦν διδάσκοντες, καὶ Σμυρ-
ναίων τὰ τολμήματα ἀναμιμνήσκοντες, ὡς Ἰώνων μοῖρα
ὄντες Γύγην τὸν Δασκύλου καὶ Λυδοὺς ἔχοντας σφῶν
τὴν πόλιν ὑπὸ ἀρετῆς καὶ προθυμίας ἐκβάλοιεν. 4. Οἱ 6
Μεσσήνιοι δὲ ἀκούοντες ἀπονοίας τε ἐνεπίμπλαντο, καὶ
συνιστάμενοι καθ' ὁπόσους ἕκαστοι τύχοιεν ἐφέροντο ἐς
τοὺς Λακεδαιμονίους. ὥρμησαν δὲ καὶ γυναῖκες τῷ κε-

ράμφ καὶ ὅτῳ δύναιτο ἑκάστη τοὺς πολεμίους βάλλειν.
Τοῦτο μὲν δὴ μὴ δρᾶσαι σφᾶς μηδὲ ἐπιβῆναι τῶν τεγῶν
τοῦ ὄμβρου τὸ βίαιον ἐπεκώλυε· λαβεῖν δὲ ὅπλα ἐτόλμη-
σαν καὶ τοῖς ἀνδράσιν ἐπὶ πλέον αὗται τὴν τόλμαν ἐξῆ-
ψαν, ὁπότε καὶ τὰς γυναῖκας ἑώρων προτιμώσας συναπο-
λέσθαι τῇ πατρίδι ἢ ἀχθῆναι δούλας ἐς Λακεδαίμονα,
7 ὥστε κἂν παρελθεῖν ἐδυνήθησαν τὸ πεπρωμένον. ἀλλὰ
ὁ θεὸς τὸ ὕδωρ ἐπήγαγεν ἀθρόον μᾶλλον μετὰ ἰσχυροῦ
τῶν βροντῶν τοῦ ψόφου, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν
ἐναντίαις ταῖς ἀστραπαῖς ἐξέπλησσε. Τοῖς δὲ Λακεδαιμο-
νίοις ταῦτα πάντα παρίστη φρόνημα, καὶ αὐτὸν ἀμύνειν
σφίσιν ἔφασαν τὸν θεόν. καί, ἤστραπτε γὰρ τούτοις κατὰ
δεξιά, ἀπέφαινεν Ἕκας ὁ μάντις ὡς αἴσιον εἴη τὸ ση-
8 μεῖον. 5. Οὗτος δὲ καὶ στρατήγημα ἐξεῦρε τοιόνδε. 332
ἀριθμῷ καὶ πολὺ οἱ Λακεδαιμόνιοι περιῆσαν· ἅτε δὲ οὐκ
ἐν εὐρυχωρίᾳ σφίσιν οὐδὲ κατὰ σύνταγμα ἐγγινομένης
τῆς μάχης, ἄλλων δὲ ἐν ἄλλῳ τῆς πόλεως ποιουμένων
τὸν ἀγῶνα, ἀχρείους ἀπὸ ἑκάστης τάξεως συνέβαινεν εἶ-
ναι τοὺς τελευταίους. τούτους ἐκέλευεν ἀποχωρήσαντας
ἐς τὸ στρατόπεδον σιτίων μεταλαβεῖν καὶ ὕπνου, καὶ αὖ-
θις πρὸ ἑσπέρας ἥκειν τοῖς ὑπομένουσιν αὐτῶν διαδεξο-
9 μένους τὸν πόνον. 6. Καὶ οἱ μὲν ἀναπαυόμενοί τε καὶ
ἀνὰ μέρος μαχόμενοι μᾶλλον ἀντήρκουν, τοῖς δὲ Μεσση-
νίοις πανταχόθεν παρίστατο ἀπορία· μεθ' ἡμέραν γὰρ
ἀεὶ καὶ νύκτα συνεχῶς οἱ αὐτοὶ τρίτην ἠμύνοντο. ἤδη τε
ἡμέρα ἦν, καὶ ἥ τε ἀϋπνία καὶ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ
τε καὶ ῥῖγος ἐπίεζε σφᾶς, ὅ τε λιμὸς καὶ ἡ δίψα ἐπέκειτο.
μάλιστα δὲ αἱ γυναῖκες ἀηθείᾳ τε πολέμου καὶ τῇ συνε-
10 χείᾳ τῆς ταλαιπωρίας ἀπειρήκεσαν. 7. Παραστὰς οὖν ὁ
μάντις Θέοκλος πρὸς Ἀριστομένην εἶπε· τί μάτην τόνδε
ἔχεις τὸν πόνον; ἁλῶναι Μεσσήνην πάντως ἐστὶ πεπρω-
μένον, συμφορὰν δὲ τὴν ἐν ὀφθαλμοῖς πάλαι τε ἡμῖν

προεσήμαινεν ἡ Πυθία καὶ ἔναγχος ὁ ἐρινεὸς ἔδειξεν.
ἐμοὶ μὲν οὖν ὁ θεὸς αὐτῷ κοινὴν πρὸς τὴν πατρίδα ἐπά-
γει τὴν τελευτήν· σὺ δὲ σώζειν μέν, ὡς δυνάμεως ἥκεις,
Μεσσηνίους, σώζειν δὲ καὶ σαυτόν. Ἐπεὶ δὲ εἶπε πρὸς
τοῦτον, ἐπὶ τοὺς πολεμίους ἔθει· καί οἱ καὶ ἐς τοὺς Λα-
κεδαιμονίους ἔπεισιν ἐκβοῆσαι τοσόνδε· ἀλλ᾽ οὔ τοι τὸν
πάντα γε χρόνον χαίροντες καρπώσεσθε τὰ Μεσσηνίων.
Μετὰ τοῦτο τοῖς καθ᾽ αὐτὸν ἀνθεστηκόσιν ἐμπεσὼν ἐκεί- 11
νους τε ἔκτεινε καὶ αὐτὸς ἐτιτρώσκετο, προεμπλήσας δὲ
τὸν θυμὸν τῷ φόνῳ τῶν ἐχθρῶν ἀφίησι τὴν ψυχήν.
8. Ἀριστομένης δὲ ἀπὸ τῆς μάχης ὀπίσω τοὺς Μεσση-
νίους ἀνεκάλει, πλὴν ὅσοι κατὰ ἀνδραγαθίαν αὐτῶν
προεμάχοντο· τούτους δὲ εἴα κατὰ χώραν μένειν. τοῖς δὲ
λοιποῖς προσέταξε τὰς γυναῖκας καὶ τὰ τέκνα ἐντὸς τῆς
τάξεως ἔχοντας ἐπακολουθεῖν, ᾗπερ ἂν αὐτὸς παρέχηται
διέξοδον. καὶ τούτων μὲν τοῖς τελευταίοις Γόργον καὶ 12
333 Μάντικλον ἐπέστησεν ἄρχοντας· αὐτὸς δὲ ἀναδραμὼν ἐς
τοὺς προτεταγμένους, τῆς τε κεφαλῆς τῷ νεύματι καὶ
τοῦ δόρατος τῇ κινήσει δῆλος ἦν διέξοδόν τε αἰτούμενος
καὶ ἀποχωρεῖν ἤδη βεβουλευμένος. τῷ τε οὖν Ἐμπεράμῳ
καὶ Σπαρτιατῶν τοῖς παροῦσι διεῖναι τοὺς Μεσσηνίους
ἤρεσκε, μηδὲ λυσσῶντας ἀνθρώπους καὶ ἐς τὸ ἔσχατον
ἀπονοίας ἥκοντας ἐξαγριᾶναι πέρα· καὶ ἅμα οὕτω σφᾶς
ποιεῖν Ἕκας ὁ μάντις ἐκέλευεν.

XXII. Οἱ δὲ Ἀρκάδες παραυτίκα τε τὴν κατάληψιν
ἐπυνθάνοντο τῆς Εἴρας, καὶ αὐτίκα τὸν Ἀριστοκράτην
ἐκέλευον σφᾶς ἄγειν ὡς ἢ σώσοντας Μεσσηνίους ἢ σὺν
αὐτοῖς ἀπολουμένους. ὁ δὲ ἅτε ἐκ τῆς Λακεδαίμονος δε-
δεγμένος δῶρα οὔτε ἄγειν ἤθελεν, εἰδέναι τε ἔφασκεν
οὐδένα ἔτι Μεσσηνίων ὅτῳ καὶ ἀμυνοῦσιν ὄντα ὑπόλοι-
πον. τότε δὲ ὡς σαφέστερον ᾐσθάνοντο περιόντας καὶ 2
ἐκλείπειν τὴν Εἶραν βεβιασμένους, αὐτοὶ μὲν περὶ τὸ

ὄρος σφᾶς τὸ Λύκαιον ἔμελλον ὑποδέξασθαι, προετοιμα-
σάμενοι καὶ ἐσθῆτα καὶ σιτία, ἄνδρας δὲ τῶν ἐν τέλει
πέμπουσι παραμυθεῖσθαί τε τοὺς Μεσσηνίους καὶ ἡγε-
μόνας ἅμα τῆς πορείας γενέσθαι. καὶ τοὺς μέν, ὡς ἐς τὸ
Λύκαιον ἀνεσώθησαν, ἐξένιζον καὶ τὰ ἄλλα εὐνοϊκῶς
περιεῖπον οἱ Ἀρκάδες, κατανέμειν τε ἐς τὰς πόλεις ἤθε-
3 λον καὶ ἀναδάσασθαι δι' ἐκείνους τὴν γῆν· 2. Ἀριστο-
μένει δὲ ὅ τε οἶκτος διαρπαζομένης τῆς Εἴρας καὶ τὸ μῖ-
σος τὸ ἐς τοὺς Λακεδαιμονίους βούλευμα παρίστησι
τοιόνδε. Πεντακοσίους τῶν Μεσσηνίων, οὓς μάλιστα
ἠπίστατο αὐτῶν ἀφειδῶς ἔχοντας, ἀποκρίνας ἀπὸ τοῦ
πλήθους, ἤρετο σφᾶς ἐν ἐπηκόῳ τῶν τε ἄλλων Ἀρκάδων
καὶ Ἀριστοκράτους, ἅτε ὄντα προδότην οὐκ εἰδώς —
ἀνανδρίᾳ γὰρ καὶ ὑπὸ δειλίας φυγεῖν τότε ἤδη Ἀριστο-
κράτην τῆς μάχης καὶ οὐ διὰ κακίαν οὐδεμίαν ἐδόξαζεν
αὐτόν, ὥστε ἐναντίον καὶ τούτου τοὺς πεντακοσίους
ἤρετο, εἰ τιμωροῦντες τῇ πατρίδι ἀποθνήσκειν σὺν αὐ-
4 τῷ ἐθελήσουσι. φαμένων δὲ ἐθέλειν ἀπεγύμνου τὸ πᾶν,
ὡς πάντως τῆς ἐπιούσης ἑσπέρας ἐπὶ τὴν Σπάρτην ἄγειν
μέλλοι· Λακεδαιμονίων γὰρ τότε δὴ μάλιστα ἐς τὴν Εἴ- 334
ραν ἀπῆσαν οἱ πολλοί, καὶ ἄλλοι τε ἐπεφοίτων φέροντες
καὶ ἄγοντες τὰ Μεσσηνίων. καὶ ἢν μὲν ἑλεῖν τὴν Σπάρ-
την καὶ κατασχεῖν δυνηθῶμεν, ἔφασκεν ὁ Ἀριστομένης,
ἔστιν ἡμῖν ἀποδόντας Λακεδαιμονίοις τὰ ἐκείνων κομί-
σασθαι τὰ οἰκεῖα· ἁμαρτάνοντες δὲ ὁμοῦ ἀποθανούμεθά
5 γε, μνήμης καὶ τοῖς ἔπειτα ἄξια ἐργασάμενοι. Ταῦτα εἰ-
πόντος τῶν Ἀρκάδων ὅσον τριακόσιοι μετέχειν καὶ αὐ-
τοὶ τοῦ τολμήματος ἤθελον. καὶ τότε μὲν ἐπεῖχον τῆς
ἐξόδου, τὰ γὰρ ἱερὰ ἐγίνετο αὐτοῖς οὐ κατὰ γνώμην,
3. τῇ δὲ ἐπιούσῃ τό τε ἀπόρρητον ἔγνωσαν σφῶν τοὺς
Λακεδαιμονίους προπεπυσμένους καὶ αὐτοὶ δεύτερον
ὑπὸ Ἀριστοκράτους προδεδομένοι. Τὰ γὰρ τοῦ Ἀρι-

*στομένους βουλεύματα αὐτίκα ὁ Ἀριστοκράτης ἐγγράψας βιβλίῳ, καὶ τὸ βιβλίον ἐπιθεὶς τῶν οἰκετῶν ὃν ἠπίστατο ὄντα εὐνούστατον, παρὰ Ἀνάξανδρον ἀπέστελλεν ἐς Σπάρτην. Ἐπανιόντα δὲ τὸν οἰκέτην λοχῶσιν ἄνδρες* 6
*τῶν Ἀρκάδων διάφοροι καὶ πρότερον τῷ Ἀριστοκράτει, σχόντες δέ τι καὶ ὕποπτον τότε ἐς αὐτόν. λοχήσαντες δὲ τόν τε οἰκέτην ἐπανάγουσιν ἐς τοὺς Ἀρκάδας, καὶ ἐπεδείκνυον ἐς τὸν δῆμον τὰ ἀντεπεσταλμένα ἐκ Λακεδαίμονος· ἐπέστελλε δὲ ὁ Ἀνάξανδρος, φυγήν τε αὐτῷ τὴν πρότερον ἀπὸ τῆς μεγάλης Τάφρου φάμενος οὐκ ἀνόνητον ἐκ Λακεδαιμονίων γενέσθαι, προσέσεσθαι δέ οἱ χάριν καὶ τῶν ἐν τῷ παρόντι μηνυμάτων. 4. Ὡς δὲ ἀπηγ-* 7
*γέλθη ταῦτα ἐς ἅπαντας, αὐτοί τε τὸν Ἀριστοκράτην ἔβαλλον οἱ Ἀρκάδες καὶ τοῖς Μεσσηνίοις διεκελεύοντο· οἱ δὲ ἐς τὸν Ἀριστομένην ἀπέβλεπον. καὶ ὁ μὲν ἐς τὴν γῆν ἀφορῶν ἔκλαιε· τὸν δὲ Ἀριστοκράτην οἱ Ἀρκάδες καταλιθώσαντες τὸν μὲν τῶν ὅρων ἐκτὸς ἐκβάλλουσιν ἄταφον, στήλην δὲ ἀνέθεσαν ἐς τὸ τέμενος τοῦ Λυκαίου λέγουσαν*

335 *Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ,*
*εὗρε δὲ Μεσσήνης σὺν Διὶ τὸν προδότην*
*ῥηϊδίως. χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον.*
*χαῖρε Ζεῦ βασιλεῦ, καὶ σάω Ἀρκαδίαν.*

XXIII. *Τῶν δὲ Μεσσηνίων ὁπόσοι περὶ τὴν Εἶραν ἢ καὶ ἑτέρωθί που τῆς Μεσσηνίας ἐγκατελήφθησαν, τούτους μὲν οἱ Λακεδαιμόνιοι προσένειμαν ἐς τὸ Εἱλωτικόν· Πύλιοι δὲ καὶ Μοθωναῖοι καὶ ὅσοι τὰ παραθαλάσσια ᾤκουν, ναυσὶν ὑπὸ τὴν ἅλωσιν τῆς Εἴρας ἀπαίρουσιν ἐς Κυλλήνην τὸ ἐπίνειον τὸ Ἠλείων. ἐκεῖθεν δὲ παρὰ τοὺς ἐν Ἀρκαδίᾳ Μεσσηνίους ἀπέστελλον, ἐθέλοντες κοινῷ στόλῳ χώραν ἔνθα οἰκήσουσιν ἀναζητεῖν, καὶ Ἀριστομένην ἐκέλευον ἡγεῖσθαί σφισιν ἐς ἀποικίαν. Ὁ δὲ αὐτὸς* 2

*μὲν ἕως ἂν περιῇ, πολεμήσειν Λακεδαιμονίοις ἔφασκεν,
ἐπίστασθαι δὲ ἀκριβῶς ὡς ἀεί τι ἀναφύσεται τῇ Σπάρτῃ
δι' αὐτοῦ κακόν· ἐκείνοις δὲ Γόργον καὶ Μάντικλον
ἔδωκεν ἡγεμόνας. ὁ δὲ Εὐεργετίδας ἐς μὲν τὸ Λύκαιον
σὺν τοῖς ἄλλοις Μεσσηνίοις καὶ αὐτὸς ἀπεχώρησεν· ἐκεῖ-
θεν δέ, ὡς ἑώρα τὸ βούλευμα διαπεπτωκὸς τῷ Ἀριστο-
μένει τὸ ἐς τὴν κατάληψιν τῆς Σπάρτης, ἀναπείσας τῶν
Μεσσηνίων ὡς πεντήκοντα ἐπάνεισιν ἐπὶ τοὺς Λακεδαι-
3 μονίους ἐς τὴν Εἷραν, καὶ ἐντυχὼν διαρπάζουσιν ἔτι τὰ
ἐπινίκια πένθος σφίσιν ἐποίησε. καὶ τὸν μὲν ἐνταῦθα
ἐπιλαμβάνει τὸ χρεών, Ἀριστομένης δὲ ὡς τοὺς ἡγεμό-
νας τοῖς Μεσσηνίοις ἐπέταξεν ἐς Κυλλήνην, ὅστις ἐθέλοι
μετέχειν τῆς ἀποικίας. καὶ μετέσχον ἅπαντες, πλὴν εἰ
γῆράς τινα ἀπεῖργεν ἢ μηδὲ εὐπορῶν ἔτυχεν ἐς τὴν ἀπο-
δημίαν· οὗτοι δὲ αὐτοῦ κατέμειναν παρὰ τοῖς Ἀρκάσιν.
4 2. Ἑάλω δὲ ἡ Εἷρα καὶ ὁ πόλεμος ὁ δεύτερος Λακε-* 336
*δαιμονίων καὶ Μεσσηνίων τέλος ἔσχεν Ἀθηναίοις ἄρχον-
τος Αὐτοσθένους, ἔτει πρώτῳ τῆς ὀγδόης τε καὶ εἰκοστῆς
ὀλυμπιάδος, ἣν ἐνίκα Χίονις Λάκων.
5 Ὡς δὲ ἐς τὴν Κυλλήνην οἱ Μεσσήνιοι συνελέχθησαν,
τὸν μὲν παρόντα χειμῶνα ἔδοξεν αὐτοῦ χειμάζειν, καὶ
τὴν ἀγοράν σφισι καὶ χρήματα οἱ Ἠλεῖοι παρεῖχον· ἅμα
δὲ τῷ ἦρι ἐβουλεύοντο ποῖ χρὴ σταλῆναι. γνῶμαι δὲ ἦσαν
Γόργου μὲν Ζάκυνθον τὴν ὑπὲρ Κεφαλληνίας καταλα-
βόντας, καὶ νησιώτας ἀντὶ ἠπειρωτῶν γενομένους, ναυ-
σὶν ἐς τὰ παραθαλάσσια τῆς Λακωνικῆς ἐπιπλέοντας κα-
κοῦν τὴν γῆν· Μάντικλος δὲ ἐκέλευε Μεσσήνης μὲν καὶ
τοῦ Λακεδαιμονίων ἔχθους λαβεῖν λήθην, πλεύσαντας
δὲ ἐς Σαρδὼ κτήσασθαι μεγίστην τε νῆσον καὶ εὐδαιμο-
6 νίᾳ πρώτην. 3. Ἐν τοσούτῳ δὲ Ἀναξίλας παρὰ τοὺς
Μεσσηνίους ἀπέστειλεν ἐς Ἰταλίαν καλῶν. ὁ δὲ Ἀναξί-
λας ἐτυράννει μὲν Ῥηγίου, τέταρτος δὲ ἀπόγονος ἦν*

Ἀλκιδαμίδου· μετῴκησε δὲ Ἀλκιδαμίδας ἐκ Μεσσήνης
ἐς Ῥήγιον μετὰ τὴν Ἀριστοδήμου τοῦ βασιλέως τελευ-
τὴν καὶ Ἰθώμης τὴν ἅλωσιν. οὗτος οὖν ὁ Ἀναξίλας τοὺς
Μεσσηνίους μετεπέμπετο, ἐλθοῦσί τε ἔλεγεν ὡς Ζαγ-
κλαῖοι διάφοροι μέν εἰσιν αὐτῷ, χώραν δὲ εὐδαίμονα καὶ
πόλιν ἐν καλῷ τῆς Σικελίας ἔχουσιν, ἃ δὴ σφίσιν ἐθέλειν
ἔφη συγκατεργασάμενος δοῦναι. προσεμένων δὲ τὸν λό-
γον, οὕτως Ἀναξίλας διεβίβασεν ἐς Σικελίαν αὐτούς.
Ζάγκλην δὲ τὸ μὲν ἐξ ἀρχῆς κατέλαβον λῃσταί, καὶ ἐν 7
ἐρήμῳ τῇ γῇ τειχίσαντες ὅσον περὶ τὸν λιμένα ὁρμητη-
ρίῳ πρὸς τὰς καταδρομὰς καὶ ἐς τοὺς ἐπίπλους ἐχρῶντο·
ἡγεμόνες δὲ ἦσαν αὐτῶν Κραταιμένης Σάμιος καὶ Περιή-
ρης ἐκ Χαλκίδος. Περιήρει δὲ ὕστερον καὶ Κραταιμένει
καὶ ἄλλους ἐπαγαγέσθαι τῶν Ἑλλήνων ἔδοξεν οἰκήτορας.
4. Τότε δὲ τοὺς Ζαγκλαίους ὅ τε Ἀναξίλας ναυσὶν ἀντα- 8
337 ναγομένους ἐνίκησε καὶ οἱ Μεσσήνιοι μάχῃ πεζῇ. Ζαγ-
κλαῖοι δὲ κατὰ γῆν τε ὑπὸ Μεσσηνίων καὶ ναυσὶν ἅμα ἐκ
θαλάσσης ὑπὸ Ῥηγίνων πολιορκούμενοι, [καὶ] ἁλισκομέ-
νου σφίσιν ἤδη τοῦ τείχους, ἐπί τε βωμοὺς θεῶν καὶ
πρὸς τὰ ἱερὰ καταφεύγουσιν. Ἀναξίλας μὲν οὖν τοῖς
Μεσσηνίοις παρεκελεύετο τούς τε ἱκετεύοντας Ζαγ-
κλαίων ἀποκτείνειν καὶ τοὺς λοιποὺς γυναιξὶν ὁμοῦ καὶ
παισὶν ἀνδραποδίσασθαι· Γόργος δὲ καὶ Μάντικλος 9
παρῃτοῦντο Ἀναξίλαν μὴ σφᾶς ὑπὸ συγγενῶν ἀνδρῶν
πεπονθότας ἀνόσια, ὅμοια αὐτοὺς ἐς ἀνθρώπους Ἕλ-
ληνας ἀναγκάσαι δρᾶσαι. Μετὰ δὲ τοῦτο ἤδη τοὺς Ζαγ-
κλαίους ἀνίστασαν ἀπὸ τῶν βωμῶν, καὶ ὅρκους δόντες
καὶ αὐτοὶ παρ' ἐκείνων λαβόντες ᾤκησαν ἀμφότεροι
κοινῇ· ὄνομα δὲ τῇ πόλει μετέθεσαν Μεσσήνην ἀντὶ
Ζάγκλης καλεῖσθαι. 5. Ταῦτα δὲ ἐπὶ τῆς ὀλυμπιάδος 10
ἐπράχθη τῆς ἐνάτης καὶ εἰκοστῆς, ἣν Χίονις Λάκων τὸ
δεύτερον ἐνίκα, Μιλτιάδου παρ' Ἀθηναίοις ἄρχοντος.

Μάντικλος δὲ καὶ τὸ ἱερὸν Μεσσηνίοις τοῦ Ἡρακλέους ἐποίησε, καὶ ἔστιν ἐκτὸς τείχους ὁ θεὸς ἱδρυμένος, Ἡρακλῆς καλούμενος Μάντικλος, καθάπερ γε καὶ Ἄμμων ἐν Λιβύῃ καὶ ὁ ἐν Βαβυλῶνι Βῆλος, ὁ μὲν ἀπὸ ἀνδρὸς Αἰγυπτίου Βήλου τοῦ Λιβύης ὄνομα ἔσχεν, Ἄμμων δὲ ἀπὸ τοῦ ἱδρυσαμένου ποιμένος. Μεσσηνίοις μὲν οὖν τοῖς φεύγουσιν ἐγεγόνει πέρας τῆς ἄλης.

XXIV. Ἀριστομένης δὲ ὡς τὴν ἡγεμονίαν ἀπείπατο τῶν ἐς τὴν ἀποικίαν στελλομένων, τὰς θυγατέρας τὴν πρεσβυτάτην καὶ τὴν ἐπὶ ταύτῃ καὶ Ἀγναγόραν τὴν ἀδελφήν, τὴν μὲν Θάρυκι ἐς Φιγαλίαν, Δαμοθοΐδᾳ δὲ Λεπρεάτῃ καὶ Ἡραιεῖ Θεοπόμπῳ τὰς θυγατέρας συνῴκισεν· αὐτὸς δὲ ἀφικόμενος ἐς Δελφοὺς ἐχρῆτο τῷ θεῷ. καὶ τὸ μὲν τῷ Ἀριστομένει γενόμενον μάντευμα οὐ λέ-
2 γεται· Δαμαγήτῳ δὲ Ῥοδίῳ βασιλεύοντι ἐν Ἰαλυσῷ, τότε δὲ ἥκοντι παρὰ τὸν Ἀπόλλωνα καὶ ἐρωτῶντι ὁπόθεν ἀγαγέσθαι χρὴ γυναῖκα, ἔχρησεν ἡ Πυθία θυγατέρα 338
ἀνδρὸς τῶν Ἑλλήνων τοῦ ἀρίστου λαβεῖν. ὁ δέ, ἦν γὰρ καὶ τρίτη τῷ Ἀριστομένει θυγάτηρ, γαμεῖ ταύτην, Ἑλλήνων τῶν τότε ἐκεῖνον μακρῷ δή τινι ἄριστον νομίζων. Ἀριστομένης δὲ ἐς μὲν τὴν Ῥόδον ἀφίκετο σὺν τῇ θυγατρί, ἐκεῖθεν δὲ ἔς τε Σάρδεις ἐνενόει παρὰ Ἄρδυν τὸν Γύγου καὶ ἐς Ἐκβάτανα τὰ Μηδικὰ ἀναβῆναι παρὰ τὸν
3 βασιλέα Φραόρτην· ἀλλὰ γὰρ πρότερον τούτων συνέπεσεν ἀποθανεῖν αὐτῷ νοσήσαντι· οὐ γὰρ ἔδει συμφορὰν οὐδεμίαν Λακεδαιμονίοις ἔτι ἐξ Ἀριστομένους γενέσθαι. τελευτήσαντι δὲ αὐτῷ Δαμάγητος καὶ οἱ Ῥόδιοι μνῆμά τε ἐπιφανὲς ἐποίησαν καὶ ἔνεμον ἀπὸ ἐκείνου τιμάς. τὰ μὲν δὴ λεγόμενα ἐς τοὺς Διαγορίδας καλουμένους ἐν Ῥόδῳ, γεγονότας δὲ ἀπὸ Διαγόρου τοῦ Δαμαγήτου τοῦ Δωριέως τοῦ Δαμαγήτου τε καὶ τῆς Ἀριστομένους θυγατρός, παρῆκα, μὴ οὐ κατὰ καιρὸν δοκοίην γράφειν.

2. Λακεδαιμόνιοι δὲ τότε ὡς ἐπεκράτησαν τῆς Μεσ- 4
σηνίας, τὴν μὲν ἄλλην πλὴν τῆς Ἀσιναίων αὐτοὶ διελάγ-
χανον, Μοθώνην δὲ Ναυπλιεῦσιν ἐδίδοσαν ἐκπεπτωκό-
σιν ἐκ Ναυπλίας ἔναγχος ὑπὸ Ἀργείων.

Μεσσηνίων δὲ τοὺς ἐγκαταληφθέντας ἐν τῇ γῇ, συν- 5
τελοῦντας κατὰ ἀνάγκην ἐς τοὺς Εἵλωτας, ἐπέλαβεν ἀπὸ
Λακεδαιμονίων ὕστερον ἀποστῆναι κατὰ τὴν ἐνάτην
ὀλυμπιάδα καὶ ἑβδομηκοστήν, ἣν Κορίνθιος ἐνίκα Ξενο-
φῶν, Ἀρχιμήδους Ἀθήνῃσιν ἄρχοντος. ἀπέστησαν δὲ
καιρὸν τοιόνδε εὑρόντες. Λακεδαιμονίων ἄνδρες ἀπο-
θανεῖν ἐπὶ ἐγκλήματι ὅτῳ δὴ καταγνωσθέντες ἱκέται
καταφεύγουσιν ἐς Ταίναρον· ἐντεῦθεν δὲ ἡ ἀρχὴ τῶν
ἐφόρων ἀπὸ τοῦ βωμοῦ σφᾶς ἀποσπάσασα ἀπέκτεινε.
Σπαρτιάταις δὲ ἐν οὐδενὶ λόγῳ θεμένοις τοὺς ἱκέτας 6
ἀπήντησεν ἐκ Ποσειδῶνος μήνιμα, καί σφισιν ἐς ἔδαφος
339 τὴν πόλιν πᾶσαν κατέβαλεν ὁ θεός. ἐπὶ δὲ τῇ συμφορᾷ
ταύτῃ καὶ τῶν Εἱλώτων ὅσοι Μεσσήνιοι τὸ ἀρχαῖον ἦσαν,
ἐς τὸ ὄρος τὴν Ἰθώμην ἀπέστησαν. Λακεδαιμόνιοι δὲ
ἄλλα τε μετεπέμποντο συμμαχικὰ ἐπ᾽ αὐτοὺς καὶ Κίμωνα
τὸν Μιλτιάδου πρόξενόν σφισιν ὄντα καὶ Ἀθηναίων δύ-
ναμιν. ἀφικομένους δὲ τοὺς Ἀθηναίους ὑποπτεῦσαι δο-
κοῦσιν ὡς τάχα νεωτερίσοντας, καὶ ὑπὸ τῆς ὑποψίας
ἀποπέμψασθαι μετ᾽ οὐ πολὺ ἐξ Ἰθώμης. 3. Ἀθηναῖοι δὲ 7
τὴν ἐς αὐτοὺς τῶν Λακεδαιμονίων ὑπόνοιαν συνέντες
Ἀργείοις τε φίλοι δι᾽ αὐτὸ ἐγένοντο καὶ Μεσσηνίων τοῖς
ἐν Ἰθώμῃ πολιορκουμένοις ἐκπεσοῦσιν ὑποσπόνδοις
ἔδοσαν Ναύπακτον, ἀφελόμενοι Λοκροὺς τοὺς πρὸς Αἰ-
τωλίᾳ καλουμένους Ὀζόλας. τοῖς δὲ Μεσσηνίοις παρέσχεν
ἀπελθεῖν ἐξ Ἰθώμης τοῦ τε χωρίου τὸ ἐχυρόν, καὶ ἅμα
Λακεδαιμονίοις προεῖπεν ἡ Πυθία ἦ μὴν εἶναί σφισι δί-
κην ἁμαρτοῦσιν ἐς τοῦ Διὸς τοῦ Ἰθωμάτα τὸν ἱκέτην.

ὑπόσπονδοι μὲν ἐκ Πελοποννήσου τούτων ἕνεκα ἀφείθησαν.

XXV. Ἐπεὶ δὲ ἔσχον τὴν Ναύπακτον, οὐκ ἀπέχρη πόλιν τε αὐτοῖς καὶ χώραν εἰληφέναι παρ᾽ Ἀθηναίων, ἀλλὰ σφᾶς πόθος εἶχεν ἰσχυρὸς χερσὶ ταῖς αὐτῶν φανῆναι λόγου τι κεκτημένους ἄξιον. καί, ἠπίσταντο γὰρ Οἰνιάδας Ἀκαρνάνων γῆν τε ἔχοντας ἀγαθὴν καὶ Ἀθηναίοις διαφόρους τὸν πάντα ὄντας χρόνον, στρατεύουσιν ἐπ᾽ αὐτούς. ὄντες δὲ ἀριθμῷ μὲν οὐ πλείους, ἀρετῇ δὲ καὶ πολὺ ἀμείνονες ὄντες τῇ σφετέρᾳ νικῶσι, καὶ ἐπο-
2 λιόρκουν κατακεκλειμένους ἐς τὸ τεῖχος. τὸ δὲ ἐντεῦθεν, οὐ γάρ τι τῶν τοῖς ἀνθρώποις εὑρημένων ἐς πολιορκίαν οἱ Μεσσήνιοι παρίεσαν, ἀλλὰ καὶ κλίμακας προστιθέντες ἐπειρῶντο ὑπερβαίνειν ἐς τὴν πόλιν, καὶ ὑπώρυσσον κάτωθεν τὸ τεῖχος, μηχανήματά τε, ὁποῖα ἐνῆν δι᾽ ὀλίγου παρασκευάσασθαι, προσαγαγόντες ἀεί τι ἤρειπον. δείσαντες δὲ οἱ ἔνδον μὴ ἁλούσης τῆς πόλεως αὐτοί τε ἀπόλωνται καὶ αἱ γυναῖκές σφισι καὶ οἱ παῖδες ἐξανδρα-
3 ποδισθῶσιν, εἵλοντο ἀπελθεῖν ὑπόσπονδοι. καὶ ἐνιαυτὸν μὲν μάλιστα οἱ Μεσσήνιοι κατέσχον τὴν πόλιν καὶ ἐνέμοντο τὴν χώραν· 2. τῷ δὲ ἔτει τῷ ὑστέρῳ δύναμιν οἱ 340
Ἀκαρνᾶνες ἀπὸ πασῶν συλλέξαντες τῶν πόλεων ἐβουλεύοντο ἐπὶ τὴν Ναύπακτον στρατεύειν. καὶ τοῦτο μὲν ἀπέδοξεν αὐτοῖς, τήν τε πορείαν ὁρῶσιν, ὅτι ἔσεσθαι δι᾽ Αἰτωλῶν ἔμελλε πολεμίων ἀεί ποτε ὄντων, καὶ ἅμα τοὺς Ναυπακτίους κεκτῆσθαί τι ναυτικὸν ὑπώπτευον, ὥσπερ γε καὶ εἶχον· ἐπικρατούντων δὲ ἐκείνων τῆς θαλάσσης οὐκ ἐνεῖναι κατεργάσασθαι μέγα οὐδὲν στρατῷ πεζῷ.
4 μετεβεβούλευτό τε δή σφισιν αὐτίκα καὶ ἐπὶ Μεσσηνίους τρέπονται τοὺς ἐν Οἰνιάδαις. καὶ οἱ μὲν ὡς πολιορκήσοντες παρεσκευάζοντο· οὐ γάρ ποτε ὑπελάμβανον ἄνδρας οὕτως ὀλίγους ἐς τοσοῦτον ἀπονοίας ἥξειν ὡς

μαχέσασθαι πρὸς τὴν Ἀκαρνάνων ἁπάντων στρατιάν. οἱ
δὲ Μεσσήνιοι προητοιμασμένοι μὲν καὶ σῖτον καὶ τὰ ἄλλα
ἦσαν ὁπόσα εἰκὸς ἦν, πολιορκίας πειράσεσθαι μακροτέ-
ρας ἐλπίζοντες· παρίστατο δέ σφισι πρὸ τῆς μελλούσης 5
πολιορκίας ἀγῶνα ἐκ τοῦ φανεροῦ ποιήσασθαι, μηδὲ ὄν-
τας Μεσσηνίους, οἳ μηδὲ Λακεδαιμονίων ἀνδρίᾳ, τύχῃ
δὲ ἠλαττώθησαν, καταπεπλῆχθαι τὸν ἥκοντα ὄχλον ἐξ
Ἀκαρνανίας. τό τε Ἀθηναίων ἐν Μαραθῶνι ἔργον ἀνε-
μιμνήσκοντο, ὡς μυριάδες τριάκοντα ἐφθάρησαν τῶν
Μήδων ὑπὸ ἀνδρῶν οὐδὲ ἐς μυρίους ἀριθμόν. 3. Καθί- 6
σταντό τε δὴ τοῖς Ἀκαρνᾶσιν ἐς ἀγῶνα, καὶ ὁ τρόπος λέ-
γεται τῆς μάχης γενέσθαι τοιόσδε. οἱ μέν, ἅτε πλήθει
προέχοντες πολύ, οὐ χαλεπῶς περιέβαλον τοὺς Μεσση-
νίους, πλὴν ὅσον αἱ πύλαι τε ἀπεῖργον κατὰ νώτου τοῖς
Μεσσηνίοις γινόμεναι καὶ οἱ ἀπὸ τοῦ τείχους τοῖς σφετέ-
ροις προθύμως ἀμύνοντες. ταύτῃ μὲν δὴ μὴ περισχεθῆ-
ναι σφᾶς ἐκώλυε· τὰ δὲ πλευρὰ ἀμφότερα ἐκυκλώσαντο
αὐτῶν οἱ Ἀκαρνᾶνες, καὶ ἐσηκόντιζον πανταχόθεν. Οἱ 7
δὲ Μεσσήνιοι συνεστραμμένοι μετ' ἀλλήλων, ὁπότε
ἀθρόοι τοῖς Ἀκαρνᾶσιν ἐμπέσοιεν, ἐτάρασσον μὲν τοὺς
κατὰ τοῦτο ἑστηκότας, καὶ ἐφόνευόν τε αὐτῶν καὶ ἐτί-
τρωσκον πολλούς, τελέαν δὲ οὐκ ἐδύναντο ἐργάσασθαι
φυγήν· ὅπου γὰρ τῆς τάξεως αἴσθοιντό τι οἱ Ἀκαρ-
341 νᾶνες τῆς αὐτῶν ὑπὸ τῶν Μεσσηνίων διασπώμενον,
κατὰ τοῦτο ἀμύνοντες τοῖς βιαζομένοις αὐτῶν ἀνεῖργον
τοὺς Μεσσηνίους ἐπικρατοῦντες τῷ πλήθει. οἱ δὲ ὁπότε 8
ἀνακοπεῖεν, κατ' ἄλλο αὖθις πειρώμενοι διακόψαι τὴν
Ἀκαρνάνων φάλαγγα τὸ αὐτὸ ἂν ἔπασχον· ὅτῳ μὲν προσ-
βάλλοιεν, διέσειόν τε καὶ τροπὴν ἐπὶ βραχὺ ἐποίουν,
ἐπιρρεόντων δὲ αὖθις κατὰ τοῦτο σπουδῇ τῶν Ἀκαρνά-
νων ἀπετρέποντο ἄκοντες. 4. Γενομένου δὲ ἰσορρόπου
τοῦ ἀγῶνος ἄχρι ἑσπέρας, καὶ Ἀκαρνᾶσιν ὑπὸ τὴν ἐπι-

οὖσαν νύκτα ἐπελθούσης δυνάμεως ἀπὸ τῶν πόλεων,
9 οὕτω τοῖς Μεσσηνίοις περιειστήκει πολιορκία. καὶ ἁλῶναι μὲν κατὰ κράτος τὸ τεῖχος ἢ ὑπερβάντων τῶν Ἀκαρνάνων ἢ καὶ ἀπολιπεῖν βιασθεῖσιν αὐτοῖς τὴν φρουρὰν δέος ἦν οὐδέν· τὰ δὲ ἐπιτήδειά σφισι πάντα ὁμοίως ὀγδόῳ μηνὶ ἐξανήλωτο. ἐς μὲν τοὺς Ἀκαρνᾶνας ἐχρῶντο ἀπὸ τοῦ τείχους χλευασίᾳ μὴ σφᾶς τὰ σιτία προδοῦναί
10 ποτε ἂν μηδὲ ἐς ἔτος δέκατον πολιορκουμένους· αὐτοὶ δὲ περὶ ὕπνον πρῶτον ἐξελθόντες ἐκ τῶν Οἰνιαδῶν, καὶ γενομένης τοῦ δρασμοῦ σφῶν τοῖς Ἀκαρνᾶσιν αἰσθήσεως ἐς μάχην ἀναγκασθέντες ἀφικέσθαι, περὶ τριακοσίους μὲν ἀποβάλλουσι, καὶ πλείονας ἔτι αὐτοὶ τῶν ἐναντίων κατεργάζονται, τὸ δὲ πολὺ αὐτῶν διεκπίπτουσι διὰ τῶν Ἀκαρνάνων, καὶ ἐπιλαμβανόμενοι τῆς Αἰτωλῶν ἐχόντων σφίσιν ἐπιτηδείως ἐς τὴν Ναύπακτον ἀνασῴζονται.

XXVI. Τὸ δὲ ἀπὸ τούτου τόν τε ἄλλον χρόνον ἐνέκειτό σφισι τὸ ἐς Λακεδαιμονίους μῖσος, καὶ τὴν ἔχθραν ἐς αὐτοὺς μάλιστα ἐπεδείξαντο ἐπὶ τοῦ γενομένου Πελοποννησίοις πρὸς Ἀθηναίους πολέμου· τήν τε γὰρ Ναύπακτον ὁρμητήριον ἐπὶ τῇ Πελοποννήσῳ παρείχοντο, καὶ τοὺς ἐν τῇ Σφακτηρίᾳ Σπαρτιατῶν ἀποληφθέντας Μεσσηνίων σφενδονῆται τῶν ἐκ Ναυπάκτου συνεξεῖλον.
2 2. ἐπεὶ δὲ τὸ πταῖσμα ἐγένετο τὸ Ἀθηναίων ἐν Αἰγὸς ποταμοῖς, οὕτω καὶ ἐκ Ναυπάκτου τοὺς Μεσσηνίους ἐκβάλλουσιν οἱ Λακεδαιμόνιοι ναυσὶν ἐπικρατοῦντες, οἳ ἐς 349
Σικελίαν τε παρὰ τοὺς συγγενεῖς καὶ ἐς Ῥήγιον ἐστάλησαν, τὸ πλεῖστον δὲ αὐτῶν ἔς τε Λιβύην ἀφίκετο καὶ Λιβύης ἐς Εὐεσπερίτας· οἱ γὰρ Εὐεσπερῖται πολέμῳ κακωθέντες ὑπὸ βαρβάρων προσοίκων πάντα τινὰ Ἕλληνα ἐπεκαλοῦντο σύνοικον. ἐς τούτους τῶν Μεσσηνίων τὸ πολὺ ἀπεχώρησεν· ἡγεμὼν δέ σφισιν ἦν Κόμων, ὃς καὶ περὶ τὴν Σφακτηρίαν ἐστρατήγησεν αὐτοῖς.

3. Ἐνιαυτῷ δὲ πρότερον ἢ κατορθῶσαι Θηβαίους τὰ 3
ἐν Λεύκτροις, προεσήμαινεν ὁ δαίμων Μεσσηνίοις τὴν
ἐς Πελοπόννησον κάθοδον. τοῦτο μὲν γὰρ ἐν Μεσσήνῃ
τῇ πρὸς τῷ πορθμῷ τὸν ἱερέα τοῦ Ἡρακλέους λέγουσιν
ὀνείρατος ἰδεῖν ὄψιν· τὸν Ἡρακλέα ἔδοξε κληθῆναι τὸν
Μάντικλον ἐπὶ ξενίᾳ ἐς Ἰθώμην ὑπὸ τοῦ Διός. τοῦτο δὲ
ἐν Εὐεσπερίταις Κόμων συγγενέσθαι νεκρᾷ τῇ μητρὶ
ἐδόκει, συγγενομένου δέ, αὖθίς οἱ τὴν μητέρα ἀναβιῶ-
ναι. καὶ ὁ μὲν ἐπήλπιζεν Ἀθηναίων δυνηθέντων ναυ-
τικῷ κάθοδον ἔσεσθαί σφισιν ἐς Ναύπακτον· τὸ δὲ ἄρα
ἐδήλου τὸ ὄνειρον ἀνασώσεσθαι Μεσσήνην. Ἐγένετό τε 4
οὐ μετὰ πολὺ ἐν Λεύκτροις Λακεδαιμονίων τὸ ἀτύχημα
ὀφειλόμενον ἐκ παλαιοῦ· Ἀριστοδήμῳ γὰρ τῷ βασιλεύ-
σαντι Μεσσηνίων ἐπὶ τελευτῇ τοῦ χρησμοῦ τοῦ δοθέν-
τος ἐστὶν

ἔρδ' ὅππῃ τὸ χρεών· ἄτη δ' ἄλλοισι πρὸ ἄλλων·

ὡς ἐν μὲν τῷ παρόντι ἐκεῖνον δέον καὶ Μεσσηνίους κα-
κῶς πρᾶξαι, χρόνῳ δὲ ὕστερον καὶ Λακεδαίμονα ἐπιλη-
ψομένης τῆς ἄτης. 4. Τότε δὲ ἐν Λεύκτροις οἱ Θηβαῖοι 5
νενικηκότες ἀγγέλους ἐς Ἰταλίαν τε καὶ Σικελίαν καὶ πα-
ρὰ τοὺς Εὐεσπερίτας ἀπέστελλον, ἔκ τε τῆς ἄλης, εἴ πού
τις Μεσσηνίων εἴη, πανταχόθεν ἀνεκάλουν ἐς Πελοπόν-
νησον. οἱ δὲ θᾶσσον ἢ ὡς ἄν τις ἤλπισε συνελέχθησαν
343 γῆς τε τῆς πατρίδος πόθῳ καὶ διὰ τὸ ἐς Λακεδαιμονίους
μῖσος παραμεῖναν ἀεί σφισιν. 5. Ἐπαμεινώνδᾳ δὲ οὔτε 6
ἄλλως ἐφαίνετο ῥᾴδια ἀξιόμαχον πόλιν ἐποικίσαι Λακε-
δαιμονίοις, οὔτε ὅπου χρὴ κτίσαι τῆς χώρας ἐξευρίσκειν·
τὴν γὰρ Ἀνδανίαν οἱ Μεσσήνιοι καὶ Οἰχαλίαν οὐκ ἔφα-
σαν ἀνοικιεῖν, ὅτι αἱ συμφοραί σφισιν ἐγεγόνεσαν ἐν-
ταῦθα οἰκοῦσιν. ἀποροῦντι οὖν αὐτῷ πρεσβύτην ἄνδρα,
ἱεροφάντῃ μάλιστα εἰκασμένον, νύκτωρ φασὶν ἐπιστάντα
εἰπεῖν· σοὶ μὲν δῶρά ἐστι παρ' ἐμοῦ κρατεῖν ὅτῳ ἂν μεθ'

ὅπλων ἐπέρχῃ· καὶ ἢν ἐξ ἀνθρώπων γένῃ, ἐγώ σε ὦ Θηβαῖε ποιήσω μή ποτε ἀνώνυμον μηδὲ ἄδοξον γενέσθαι. σὺ δὲ Μεσσηνίοις γῆν τε πατρίδα καὶ πόλεις ἀπόδος, ἐπειδὴ καὶ τὸ μήνιμα ἤδη σφίσι πέπαυται τὸ Διοσκού-
7 ρων. 6. Ἐπαμεινώνδᾳ μὲν ταῦτα ἔλεγεν, Ἐπιτέλει δὲ τῷ Αἰσχίνου τάδε ἐμήνυε· στρατηγεῖν δὲ αὐτὸν οἱ Ἀργεῖοι τὸν Ἐπιτέλην καὶ Μεσσήνην ἀνοικίζειν ᾕρηντο. τοῦτον οὖν τὸν ἄνδρα ἐκέλευεν ὁ ὄνειρος, ἔνθα ἂν τῆς Ἰθώμης εὕρῃ πεφυκυῖαν σμίλακα καὶ μυρσίνην, τὸ μέσον ὀρύξαντα αὐτῶν ἀνασῶσαι τὴν γραῦν· κάμνειν γὰρ ἐν τῷ χαλκῷ καθειργμένην θαλάμῳ καὶ ἤδη λιποψυχεῖν αὐτήν. Ὁ δὲ Ἐπιτέλης, ὡς ἐπελάμβανεν ἡμέρα παραγενόμενος ἐς τὸ εἰρημένον χωρίον ἐπέτυχεν ὀρύσσων ὑδρίᾳ χαλκῇ,
8 καὶ αὐτίκα παρὰ τὸν Ἐπαμεινώνδαν κομίσας τό τε ἐνύπνιον ἐξηγεῖτο, καὶ αὐτὸν ἐκεῖνον τὸ πῶμα ἀφελόντα ἐκέλευεν ὅ τι ἐνείη σκοπεῖσθαι. ὁ δὲ θύσας καὶ εὐξάμενος τῷ πεφηνότι ὀνείρατι ἤνοιγε τὴν ὑδρίαν, ἀνοίξας δὲ εὗρε κασσίτερον ἐληλασμένον ἐς τὸ λεπτότατον· ἐπείλικτο δὲ ὥσπερ τὰ βιβλία. ἐνταῦθα τῶν μεγάλων Θεῶν 344
ἐγέγραπτο ἡ τελετή, καὶ τοῦτο ἦν ἡ παρακαταθήκη τοῦ Ἀριστομένους. τοῦτον τὸν ἐπελθόντα τῷ Ἐπιτέλει καὶ Ἐπαμεινώνδᾳ καθεύδουσι Καύκωνα εἶναι λέγουσιν, ὃς ἀφίκετο ἐξ Ἀθηνῶν ἐς Ἀνδανίαν παρὰ Μεσσήνην τὴν Τριόπα.

XXVII. Τὸ δὲ τῶν Τυνδάρεω παίδων μήνιμα ἐς τοὺς Μεσσηνίους ἤρξατο μὲν πρὸ τῆς ἐν Στενυκλήρῳ μάχης, γενέσθαι δὲ αὐτὸ δι' αἰτίαν τοιάνδε εἰκάζω. μειράκια ὡραῖα ἐξ Ἀνδανίας, Πάνορμος καὶ Γώνιππος, τά τε ἄλλα οἰκείως εἶχον ἀλλήλοις καὶ κοινὰς ἐπὶ τὰς μάχας ἐξόδους
2 καὶ καταδρομὰς ἐποιοῦντο ἐς τὴν Λακωνικήν. Λακεδαιμονίων δὲ ἐπὶ στρατοπέδου Διοσκούροις ἑορτὴν ἀγόντων καὶ ἤδη πρὸς πότον καὶ παιδιὰς τετραμμένων μετὰ τὸ

ἄριστον, ὁ Γώνιππος καὶ ὁ Πάνορμος χιτῶνας λευκοὺς καὶ χλαμύδας πορφυρᾶς ἐνδύντες, ἐπί τε ἵππων τῶν καλλίστων ὀχούμενοι καὶ ἐπὶ ταῖς κεφαλαῖς πίλους, ἐν δὲ ταῖς χερσὶ δόρατα ἔχοντες, ἐπιφαίνονται Λακεδαιμονίοις. οἱ δὲ ὡς εἶδον, προσεκύνουν τε καὶ εὔχοντο, ἀφῖχθαι 3
δοκοῦντες σφίσιν αὐτοὺς ἐς τὴν θυσίαν τοὺς Διοσκούρους. οἱ νεανίσκοι δὲ ὡς ἅπαξ ἀνεμίχθησαν, διεξήλαυνον διὰ πάντων παίοντες τοῖς δόρασι, καὶ ἤδη κειμένων πολλῶν ἀποχωροῦσιν ἐς Ἀνδανίαν, καθυβρίσαντες τῶν Διοσκούρων τῇ θυσίᾳ. τοῦτο ἐμοὶ δοκεῖν προήγαγε τοὺς Διοσκούρους ἐς τὸ ἔχθος τὸ Μεσσηνίων. τότε δέ, ὡς ἐδήλου τῷ Ἐπαμεινώνδᾳ τὸ ὄνειρον, οὐκ ἦν ἔτι τοῖς Διοσκούροις ἀκούσιος τῶν Μεσσηνίων ἡ κάθοδος. 2. Μά- 4
λιστα δὲ τὸν Ἐπαμεινώνδαν ἐς τὸν οἰκισμὸν οἱ Βάκιδος ἐνῆγον χρησμοί. Βάκιδι γὰρ μανέντι ἐκ Νυμφῶν ἐς ἄλλους τέ ἐστιν Ἑλλήνων καὶ ἐς τὴν Μεσσηνίων κάθοδον προειρημένα·

Καὶ τότε δὴ Σπάρτης μὲν ἀπ' ἀγλαὸν ἄνθος ὀλεῖται,
Μεσσήνη δ' αὖτις οἰκήσεται ἤματα πάντα.

345 ἐγὼ δὲ καὶ περὶ τῆς Εἴρας, ὅντινα ἁλώσοιτο τρόπον, Βάκιν ἐφώρασα εἰρηκότα· καί οἱ καὶ τόδε ἐστὶ τῶν χρησμῶν,

οἵ τ' ἀπὸ Μεσσήνης πατάγῳ κρουνοῖς τε δαμείσης.

Ὡς δὲ ἡ τελετή σφισιν ἀνεύρητο, ταύτην μὲν ὅσοι τοῦ 5
γένους τῶν ἱερέων ἦσαν κατετίθεντο ἐς βίβλους· 3. Ἐπαμεινώνδας δέ, ὡς οἱ τὸ χωρίον, ἔνθα νῦν ἔχουσιν οἱ Μεσσήνιοι τὴν πόλιν, μάλιστα ἐς οἰκισμὸν ἐφαίνετο ἐπιτήδειον, ἐκέλευεν ἀνασκοπεῖσθαι τοῖς μάντεσιν εἰ βουλήσεται ταύτῃ καὶ τὰ τῶν θεῶν ἐπιχωρῆσαι. φαμένων δὲ καὶ τούτων εἶναι τὰ ἱερὰ αἴσια, οὕτω παρεσκευάζετο ἐς τὸν οἰκισμόν, λίθους τε ἄγεσθαι κελεύων καὶ ἄνδρας μεταπεμπόμενος, οἷς τέχνη στενωποὺς κατατέμνεσθαι

καὶ οἰκίας καὶ ἱερὰ οἰκοδομεῖσθαι καὶ τείχη περιβάλλε-
6 σθαι. 4. ὡς δὲ ἐγεγόνει τὰ πάντα ἐν ἑτοίμῳ, τὸ ἐντεῦ-
θεν, ἱερεῖα γὰρ παρεῖχον οἱ Ἀρκάδες, αὐτὸς μὲν Ἐπα-
μεινώνδας καὶ οἱ Θηβαῖοι Διονύσῳ καὶ Ἀπόλλωνι ἔθυον
Ἰσμηνίῳ τὸν νομιζόμενον τρόπον, Ἀργεῖοι δὲ τῇ τε Ἥρᾳ
τῇ Ἀργείᾳ καὶ Νεμείῳ Διί, Μεσσήνιοι δὲ Διί τε Ἰθω-
μάτᾳ καὶ Διοσκούροις, οἱ δέ σφισιν ἱερεῖς Θεαῖς ταῖς με-
γάλαις καὶ Καύκωνι. ἐπεκαλοῦντο δὲ ἐν κοινῷ καὶ ἥρωάς
σφισιν ἐπανήκειν συνοίκους, Μεσσήνην μὲν τὴν Τριόπα
μάλιστα, ἐπὶ ταύτῃ δὲ Εὔρυτον καὶ Ἀφαρέα τε καὶ τοὺς
παῖδας, παρὰ δὲ Ἡρακλειδῶν Κρεσφόντην τε καὶ Αἴπυ-
τον· πλείστη δὲ καὶ παρὰ πάντων ἀνάκλησις ἐγίνετο
7 Ἀριστομένους. καὶ τὴν μὲν τότε ἡμέραν πρὸς θυσίαις τε
καὶ εὐχαῖς ἦσαν, ταῖς δὲ ἐφεξῆς τοῦ τείχους τὸν περίβο-
λον ἤγειρον καὶ ἐντὸς οἰκίας καὶ τὰ ἱερὰ ἐποιοῦντο. εἰρ-
γάζοντο δὲ καὶ ὑπὸ μουσικῆς ἄλλης μὲν οὐδεμιᾶς, αὐλῶν
δὲ Βοιωτίων καὶ Ἀργείων· τά τε Σακάδα καὶ Προνόμου
μέλη τότε δὴ προήχθη μάλιστα ἐς ἅμιλλαν. αὐτῇ μὲν δὴ 346
τῇ πόλει Μεσσήνην ἔθεντο ὄνομα, ἀνῴκιζον δὲ καὶ ἄλλα
8 πολίσματα. Ναυπλιεῖς δὲ ἐκ Μοθώνης οὐκ ἀνέστησαν·
κατὰ χώραν δὲ καὶ Ἀσιναίους μένειν εἴασαν, τούτοις μὲν
καὶ εὐεργεσίαν ἀπομνημονεύοντες, πολεμῆσαι μετὰ Λα-
κεδαιμονίων πρὸς σφᾶς οὐ θελήσασι. Ναυπλιεῖς δὲ κατ-
ιοῦσιν ἐς Πελοπόννησον Μεσσηνίοις τε δῶρα ἤγαγον
ὁποῖα εἶχον, καὶ ἅμα μὲν ὑπὲρ καθόδου τῆς ἐκείνων
συνεχέσιν ἐς τὸ θεῖον ταῖς εὐχαῖς, ἅμα δὲ ὑπὲρ σωτηρίας
τῆς σφετέρας δεήσεσιν ἐς ἐκείνους ἐχρῶντο.

9 5. Κατῆλθον δὲ ἐς Πελοπόννησον οἱ Μεσσήνιοι καὶ
ἀνεσώσαντο τὴν αὑτῶν ἑπτὰ καὶ ὀγδοήκοντα καὶ διακο-
σίοις ἔτεσιν ὕστερον μετὰ Εἴρας ἅλωσιν, Δυσκινήτου
μὲν Ἀθήνησιν ἄρχοντος, τρίτῳ δὲ ἔτει τῆς δευτέρας καὶ
ἑκατοστῆς ὀλυμπιάδος, ἣν Δάμων Θούριος τὸ δεύτερον

ἐνίκα. Οὐκ ὀλίγος μὲν οὖν ὁ χρόνος καὶ Πλαταιεῦσιν
ἐγένετο, ἐφ' ὅσον καὶ ἐκεῖνοι τὴν αὐτῶν ἔφευγον, καὶ
Δηλίοις, ἡνίκα ᾤκησαν Ἀδραμύττιον ἐκβληθέντες ἐκ τῆς
σφετέρας ὑπὸ Ἀθηναίων. [καὶ] Ὀρχομένιοι δὲ οἱ Μι- 10
νύαι μετὰ τὴν μάχην τὴν ἐν Λεύκτροις ἐκπεσόντες ὑπὸ
Θηβαίων ἐξ Ὀρχομενοῦ κατήχθησαν ἐς Βοιωτίαν ὑπὸ
Φιλίππου τοῦ Ἀμύντου, καὶ οὗτοι καὶ οἱ Πλαταιεῖς. Θη-
βαίων δὲ αὐτῶν ἐρημώσαντος Ἀλεξάνδρου τὴν πόλιν,
αὖθις ἔτεσιν οὐ πολλοῖς ὕστερον Κάσσανδρος Ἀντιπά-
τρου τὰς Θήβας ἔκτισεν. φαίνεται μὲν δὴ τῶν κατει-
λεγμένων ἐπὶ μακρότατον ἡ Πλαταϊκὴ φυγὴ συμβᾶσα,
οὐ μέντοι περαιτέρω γε ἢ ἐπὶ δύο ἐγένετο οὐδ' αὐτὴ γε-
νεάς. Μεσσήνιοι δὲ ἐκτὸς Πελοποννήσου τριακόσια ἔτη 11
μάλιστα ἠλῶντο, ἐν οἷς οὔτε ἐθῶν εἰσὶ δῆλοι παραλύσαν-
τές τι τῶν οἴκοθεν, οὔτε τὴν διάλεκτον τὴν Δωρίδα
347 μετεδιδάχθησαν, ἀλλὰ καὶ ἐς ἡμᾶς ἔτι τὸ ἀκριβὲς αὐτῆς
Πελοποννησίων μάλιστα ἐφύλασσον.

XXVIII. Κατελθοῦσι δὲ αὐτοῖς κατ' ἀρχὰς μὲν ἀπὸ
Λακεδαιμονίων δεινὸν ἦν οὐδέν· κατεχόμενοι γὰρ οἱ
Λακεδαιμόνιοι φόβῳ τῶν Θηβαίων Μεσσήνης τε ἠνεί-
χοντο ἐποικιζομένης καὶ Ἀρκάδων ἐς μίαν ἠθροισμένων
πόλιν. ὡς δὲ ὁ πόλεμος ὁ Φωκικός, καλούμενος δὲ ὁ αὐ-
τὸς [οὗτος] καὶ ἱερός, ἀπήγαγεν ἐκ Πελοποννήσου Θη-
βαίους, ἀνεθάρρησάν τε οἱ Λακεδαιμόνιοι καὶ τῶν Μεσ-
σηνίων οὐκέτι ἐδύναντο ἀπέχεσθαι. 2. Μεσσήνιοι δὲ 2
αὐτοί τε μετὰ Ἀργείων καὶ Ἀρκάδων ἀντεῖχον τῷ πολέ-
μῳ, καὶ Ἀθηναίων ἀμῦναί σφισιν ἐδεήθησαν· οἱ δὲ ἐς
μὲν τὴν Λακωνικὴν οὔποτε μετὰ ἐκείνων ἐσβαλεῖν ἔφα-
σαν, ἀρχόντων δὲ Λακεδαιμονίων πολέμου καὶ ἐπιστρα-
τευόντων τῇ Μεσσηνίᾳ παρέσεσθαι καὶ αὐτοί σφισιν
ἐπηγγέλλοντο. τέλος δὲ οἱ Μεσσήνιοι Φιλίππῳ σύμμαχοι
τῷ Ἀμύντου καὶ Μακεδόσιν ἐγένοντο, καὶ τοῦτο σφᾶς

*λέγουσιν ἀποκωλῦσαι τοῦ συμβάντος τοῖς Ἕλλησιν ἀγῶ-*
*νος ἐν Χαιρωνείᾳ μὴ μετασχεῖν· οὐ μὴν οὐδὲ τοῖς Ἕλλη-*
3 *σιν ἐναντία θέσθαι τὰ ὅπλα ἠθέλησαν. Ἀλεξάνδρου δὲ*
*ἀποθανόντος καὶ τῶν Ἑλλήνων πόλεμον δεύτερον τότε*
*ἀνῃρημένων πρὸς Μακεδόνας, μετέσχον καὶ οἱ Μεσσή-*
*νιοι τοῦ πολέμου, καθὰ καὶ πρότερον ἐδήλωσα ἐν τῇ Ἀτ-*
*θίδι συγγραφῇ. Γαλάταις δὲ μεθ' Ἑλλήνων οὐκ ἐμαχέ-* 348
*σαντο, Κλεωνύμου καὶ Λακεδαιμονίων σπείσασθαι σπον-*
*δάς σφισιν οὐ θελησάντων.*
4 3. *Οὐ πολλῷ δὲ ὕστερον ἔσχον Ἦλιν Μεσσήνιοι,*
*σοφίᾳ τε ὁμοῦ χρησάμενοι καὶ τολμήματι. Ἠλεῖοι γὰρ τὰ*
*μὲν παλαιότατα εὐνομώτατοι Πελοποννησίων ἦσαν· Φι-*
*λίππου δὲ τοῦ Ἀμύντου τά τε ἄλλα ὁπόσα εἴρηται κα-*
*κουργήσαντος τὴν Ἑλλάδα, καὶ Ἠλείων τοὺς δυνατοὺς*
*διαφθείραντος χρήμασι, στασιάζουσι πρῶτον τότε Ἠλεῖοι*
5 *καὶ ἐς ὅπλα, ὥς λέγουσι, χωροῦσι. τὸ δὲ ἀπὸ τούτου*
*ῥᾷον ἔτι ἔμελλον ἀπεχθήσεσθαι πρὸς ἀλλήλους, οἷς γε*
*καὶ Λακεδαιμονίων ἕνεκα διέστη τὰ βουλεύματα καὶ ἐς*
*ἔμφυλον προῆλθον πόλεμον. Πυνθανόμενοι δὲ ταῦτα οἱ*
*Λακεδαιμόνιοι παρεσκευάζοντο ὡς Ἠλείων τοῖς φρο-*
*νοῦσι τὰ σφέτερα ἀμυνοῦντες. καὶ οἱ μὲν κατὰ τέλη τε*
*ἐτάσσοντο καὶ διενέμοντο ἐς τοὺς λόχους· τῶν δὲ Μεσ-*
*σηνίων λογάδες χίλιοι φθάνουσιν ἀφικόμενοι πρὸς τὴν*
6 *Ἦλιν, σημεῖα ἐπὶ ταῖς ἀσπίσι Λακωνικὰ ἔχοντες. ὡς δὲ*
*τὰς ἀσπίδας ἐθεάσαντο ὅσοι τοῖς Σπαρτιάταις εὖνοι τῶν*
*Ἠλείων ἦσαν, συμμαχίαν τε ἀφῖχθαί σφισιν ἤλπισαν καὶ*
*τοὺς ἄνδρας ἐδέχοντο ἐς τὸ τεῖχος. ἐσελθόντες δὲ τρόπον*
*οἱ Μεσσήνιοι τὸν εἰρημένον τοὺς τὰ Λακεδαιμονίων φρο-*
*νοῦντας ἐδίωξαν, καὶ ἐπιτρέπουσι τοῖς στασιώταις τοῖς*
7 *αὐτῶν τὴν πόλιν.* 4. *Ἔστι μὲν δὴ τὸ σόφισμα Ὁμήρου,*
*φαίνονται δὲ αὐτὸ ἐν δέοντι μιμησάμενοι καὶ οἱ Μεσσή-*
*νιοι, ἐπεὶ Πάτροκλόν γε ἐποίησεν ἐν Ἰλιάδι Ὅμηρος* 349

Ἀχιλλέως τὰ ὅπλα ἐνδύντα, καὶ ἐγγενέσθαι τε ἔφη τοῖς βαρβάροις δόξαν ὡς Ἀχιλλεὺς ἐπίοι, καὶ τοὺς προτεταγμένους αὐτῶν ταραχθῆναι. εὕρηται δὲ καὶ ἄλλα Ὁμήρῳ στρατηγήματα, δύο τε παρὰ τῶν Ἑλλήνων κατασκόπους ἐν τῇ νυκτὶ ἀνθ' ἑνὸς ἐς τοὺς Τρῶας ἀφικέσθαι, καὶ ἄνδρα ὕστερον λόγῳ μὲν αὐτόμολον, ἔργῳ δὲ τὰ ἀπόρρητα πολυπραγμονήσοντα ἐς τὸ Ἴλιον ἐσελθεῖν. ἔτι δὲ τοὺς 8
διὰ νεότητα ἐν τοῖς Τρωσὶν ἢ γῆρας οὐχ ὡραίους μάχεσθαι, τούτους μὲν τὸ τεῖχος φρουρεῖν ἔταξε τῶν ἐν ἡλικίᾳ τοῖς Ἕλλησιν ἐπηυλισμένων· Ἑλλήνων δὲ οἱ τὰ τραύματα ἔχοντες ὁπλίζουσιν αὐτῷ τὸ μάχιμον, ἵνα μηδὲ αὐτοὶ παντάπασιν ἀργοῖεν. τὰ Ὁμήρου μὲν οὖν ὠφέλιμα ἐγένετο ἐς ἅπαντα ἀνθρώποις.

XXIX. Μετὰ δὲ οὐ πολὺν χρόνον τοῦ ἔργου τοῦ πρὸς Ἤλιδι Μακεδόνες καὶ Δημήτριος ὁ Φιλίππου τοῦ Δημητρίου Μεσσήνην καταλαμβάνουσι. τὰ μὲν δὴ πολλὰ ἔς τε αὐτὸν Φίλιππον καὶ τὰ ἐς Δημήτριον τὸν Φιλίππου τολμηθέντα ἐκ Περσέως ἐν τοῖς Σικυωνίοις ἔγραψα ἤδη λόγοις· τὰ δὲ ἐς τὴν κατάληψιν τὴν Μεσσήνης ἔσχεν οὕτω. Χρημάτων ἐσπανίζετο Φίλιππος, καί, ἔδει γὰρ 2
πάντως οἱ γενέσθαι χρήματα, ἀποστέλλει Δημήτριον ναυσὶν ἐς Πελοπόννησον. Δημήτριος δὲ κατήγετό που τῆς Ἀργείας ἐς λιμένα τῶν ἐρημοτέρων· αὐτίκα δὲ ὡς
350 εἶχε διὰ τῶν ἐπιτομωτάτων τῆς χώρας τὴν στρατιὰν ἦγεν ἐπὶ Μεσσήνης. προτάξας δὲ ὅσον ἦν τῶν τε ὅπλων τῇ σκευῇ κοῦφον καὶ τῆς ἐς τὴν Ἰθώμην εἶχεν ὁδοῦ οὐκ ἀπείρως, λανθάνει περὶ ὄρθρον μάλιστα ὑπερβὰς τὸ τεῖχος, καθὸ τῆς τε πόλεως μεταξὺ ἦν καὶ ἄκρας τῆς Ἰθώμης. ὡς δὲ ἡμέρα τε ἐπέσχε καὶ ἤδη τοῖς ἔνδον αἴσθησις 3
ἐγεγόνει τοῦ κατειληφότος κινδύνου, τὸ μὲν πρῶτον αὐτοὺς ἐσῆλθεν ὑπόνοια ὡς οἱ Λακεδαιμόνιοι σὺν ὅπλοις παρέλθοιεν αὐτῶν ἐς τὴν πόλιν, ὥστε καὶ ὥρμησαν ἐπ'

αὐτοὺς ἀφειδέστερον διὰ τὸ μῖσος τὸ ἐξ ἀρχῆς. Ἐπεὶ δὲ
ἔκ τε τῶν ὅπλων καὶ τῆς φωνῆς Μακεδόνας καὶ Δημή-
τριον τὸν Φιλίππου γνωρίζουσιν ὄντας, δεῖμα ἰσχυρὸν
παρέστη σφίσι λογιζομένοις τήν τε ἐς τὰ πολεμικὰ τῶν
Μακεδόνων μελέτην καὶ τύχην ᾗ πρὸς ἅπαντας ἑώρων
4 χρωμένους αὐτούς. ὅμως δὲ τοῦ τε παρόντος κακοῦ τὸ
μέγεθος ἐδίδασκεν ἀνδρίαν τινὰ καὶ πέρα τοῦ δυνατοῦ
γίνεσθαι, καὶ ἅμα τὰ ἀμείνω παρίστατο αὐτοῖς ἐλπίζειν·
οὐ γὰρ δὴ ἄνευ θεοῦ διὰ τοσούτου σφίσιν ὑπάρξαι τὴν
ἐς Πελοπόννησον κάθοδον. Οἵ τε οὖν ἐκ τῆς πόλεως
Μεσσήνιοι θυμῷ παντὶ ἐς τοὺς Μακεδόνας ἐχώρουν, καὶ
οἱ φρουροῦντες τὴν ἀκρόπολιν ἐπέκειντο ἐξ ὑπερδεξίων.
5 ὡσαύτως δὲ καὶ οἱ Μακεδόνες ὑπό τε ἀρετῆς καὶ ἐμπει-
ρίας τὸ κατ' ἀρχὰς ἠμύνοντο ἐρρωμένως· ἅτε δὲ ὁδοι-
πορίᾳ προαπειρηκότες, καὶ ὁμοῦ τῶν τε ἀνδρῶν σφίσιν
ἐγκειμένων καὶ ὑπὸ τῶν γυναικῶν κεράμῳ καὶ λίθοις
βαλλόμενοι, σὺν οὐδενὶ ἔφευγον κόσμῳ. καὶ τὸ μὲν πολὺ
αὐτῶν ἀπώλετο ὠθούμενοι κατὰ τῶν κρημνῶν, ἀπότο-
μος γὰρ δὴ ταύτῃ μάλιστά ἐστιν ἡ Ἰθώμη, ὀλίγοι δέ τινες
καὶ ῥίψαντες τὰ ὅπλα ἀπεσώθησαν.

6 2. Ἐς δὲ τὸ συνέδριον οἱ Μεσσήνιοι τὸ Ἀχαιῶν ἐπὶ
τῷδε οὔ μοι δοκοῦσιν ἐσελθεῖν κατ' ἀρχάς. Λακεδαιμο-
νίοις αὐτεπάγγελτοι βοηθήσοντες ἀφίκοντο ὑπὸ Πύρρου
τοῦ Αἰακίδου πολεμουμένοις, καί σφισιν ἀπὸ τῆς εὐερ- 351
γεσίας ταύτης ἤδη τὰ ἐκ τῆς Σπάρτης εἰρηνικώτερα ὑπ-
ῆρχεν. οὔκουν ἀνακινῆσαι τὸ ἔχθος ἐβούλοντο ἐς τὸ
συνέδριον συγχωρήσαντες, οἳ Λακεδαιμονίων μάλιστα
7 πολέμιοι ἐκ τοῦ φανεροῦ καθεστήκεσαν. Ὃ δὲ οὐ λέλη-
θεν ἐμέ, οὐδὲ Μεσσηνίους ἐλελήθει δήπου, καὶ μὴ συν-
τελοῦσιν αὐτοῖς ἐς τὸ συνέδριον ὡς ἐπὶ Λακεδαιμονίους
τὰ Ἀχαιῶν ὑπάρχοι· ἐν γὰρ δὴ τοῖς Ἀχαιοῖς καὶ Ἀργεῖοι
καὶ τὸ Ἀρκαδικὸν οὐκ ἐλαχίστη μοῖρα ἦσαν. ἀνὰ χρόνον

μέντοι προσεχώρησαν ἐς τὸ Ἀχαϊκόν. 3. οὐ πολλῷ δὲ
ὕστερον Κλεομένης ὁ Λεωνίδου τοῦ Κλεωνύμου Μεγά-
λην πόλιν εἷλεν Ἀρκάδων ἐν σπονδαῖς. τῶν δὲ οἱ κατα- 8
ληφθέντες οἱ μὲν ἀπώλοντο ὑπὸ τὴν ἅλωσιν, Φιλοποί-
μενα δὲ τὸν Κραύγιδος καὶ ὅσοι μετὰ Φιλοποίμενος ἀπε-
χώρησαν, γενέσθαι δὲ τῶν Μεγαλοπολιτῶν τὸ διαφυγὸν
καὶ ὑπὲρ τὰς δύο μοίρας λέγουσι, τούτους ὑπεδέξαντο οἱ
Μεσσήνιοι τῶν τε ἀρχαίων ἔργων ἕνεκα, ὁπόσα ἐπὶ Ἀρι-
στομένους ὑπῆρκτο Ἀρκάσι, καὶ ὕστερον ἐπὶ τοῦ οἰ-
κισμοῦ τοῦ Μεσσήνης, ἀποδιδόντες σφίσι τὴν ὁμοίαν.
Πέφυκε δὲ ἄρα ὡς ἐπίπαν μεταπίπτειν τὰ ἀνθρώπινα, εἰ 9
δὴ Μεσσηνίοις Ἀρκάδας τε ἀντισῶσαι καὶ τὸ ἀδοκητότε-
ρον ἔτι ἑλεῖν Σπάρτην ὁ δαίμων ἔδωκεν. Κλεομένει γὰρ
περὶ Σελλασίαν ἐμαχέσαντο ἐναντία, καὶ τὴν Σπάρτην
Ἀράτῳ καὶ Ἀχαιοῖς συγκαθεῖλον. 4. Λακεδαιμονίοις δὲ 10
ἀπηλλαγμένοις Κλεομένους ἐπανίσταται τύραννος Μα-
χανίδας· ἐκείνου δὲ ἀποθανόντος Νάβις ἀνέφυ σφίσιν
352 αὖθις τύραννος. ἅτε δὲ οὐ τὰ ἀνθρώπων ἀναρπάζοντι
αὐτῷ μόνον, ἀλλὰ καὶ ἱερὰ συλῶντι, ἐν οὐ πολλῷ χρόνῳ
χρήματά τε ἄφθονα καὶ ἀπ᾽ αὐτῶν στρατιὰ συνείλεκτο.
τούτου τοῦ Νάβιδος Μεσσήνην καταλαβόντος Φιλοποί-
μην καὶ οἱ Μεγαλοπολῖται νυκτὸς ἀφίκοντο τῆς αὐτῆς.
καὶ ὁ μὲν Σπαρτιάτης τύραννος ἀπῆλθεν ὑπόσπονδος· 11
5. Ἀχαιοὶ δὲ ὕστερον τούτων, μεμφόμενοί τι Μεσσηνίοις,
στρατεύουσιν ἐπ᾽ αὐτοὺς παρασκευῇ τῇ πάσῃ, καὶ τὰ
πολλὰ ἔτεμον τῆς χώρας. καὶ οἱ μὲν αὖθις περὶ ἀκμὴν σί-
του συνελέγοντο ὡς ἐς τὴν Μεσσηνίαν ἐσβαλοῦντες·
Δεινοκράτης δὲ δήμου τε προεστηκὼς καὶ Μεσσηνίων
ἄρχειν ἐν τῷ τότε ᾑρημένος Λυκόρταν μὲν καὶ τὴν σὺν
αὐτῷ στρατιὰν ἀναχωρῆσαι παρεσκεύασεν ἄπρακτον, τὰς
ἐς τὴν Μεσσηνίαν ἐκ τῆς Ἀρκαδίας παρόδους προλαβὼν
τοῖς τε ἐκ τῆς πόλεως Μεσσηνίοις καὶ ὅσοι τῶν περιοίκων

12 σφίσιν ἤμυναν· Φιλοποίμενος δὲ σὺν ἱππεῦσιν ὀλίγοις ἀφικομένου πολὺ ὕστερον ἢ ὁ μετὰ Λυκόρτα στρατός, πυθέσθαι δὲ οὐδέν πω τῶν ἐς αὐτοὺς δεδυνημένου, νικῶσιν οἱ Μεσσήνιοι γινομένης σφίσιν ἐξ ὑπερδεξίων τῆς μάχης, καὶ ζῶντα αἱροῦσι Φιλοποίμενα. τρόπον δὲ ὅντινα ὁ Φιλοποίμην ἑάλω καὶ ὡς ἐτελεύτησε, τάδε μὲν ἡμῖν καὶ ὕστερον ὁ Ἀρκαδικὸς λόγος ἐπέξεισι· Μεσσηνίων δὲ οἵ τε Φιλοποίμενι αἴτιοι τῆς τελευτῆς ἔδοσαν δίκας, καὶ ἡ Μεσσήνη συνετέλεσεν αὖθις ἐς τὸ Ἀχαϊκόν.

13 Ἄχρι μὲν δὴ τοῦδε ὁ λόγος ἐπῆλθέ μοι Μεσσηνίων τὰ πολλὰ παθήματα, καὶ ὡς ὁ δαίμων σφᾶς ἐπί τε γῆς τὰ ἔσχατα καὶ ἐπὶ τὰ πορρώτατα Πελοποννήσου σκεδάσας ὕστερον χρόνῳ καὶ ἐς τὴν οἰκείαν ἀνέσωσε· τὸ δὲ ἀπὸ τούτου τῆς χώρας καὶ πόλεων τραπώμεθα ἐς ἀφήγησιν.

XXX. Ἔστιν ἐφ' ἡμῶν ἐν τῇ Μεσσηνίᾳ τῆς νάπης 353
τῆς Χοιρίου στάδια εἴκοσι μάλιστα ἀπέχουσα Ἀβία ἐπὶ θαλάσσῃ πόλις. ταύτην Ἴρην καλεῖσθαι πάλαι καὶ τῶν ἑπτά φασιν εἶναι πόλεων, ἃς Ἀχιλλεῖ πεποίηκεν Ὅμηρος Ἀγαμέμνονα ὑπισχνούμενον. Ὕλλου δὲ καὶ Δωριέων μάχῃ κρατηθέντων ὑπὸ Ἀχαιῶν, ἐνταῦθα Ἀβίαν Γλήνου τοῦ Ἡρακλέους τροφὸν ἀποχωρῆσαι λέγουσιν ἐς τὴν Ἴρην, καὶ οἰκῆσαί τε αὐτόθι καὶ Ἡρακλέους ἱερὸν ἱδρύσασθαι, καί οἱ διὰ ταῦτα ὕστερον Κρεσφόντην ἄλλα τε γέρα νεῖμαι καὶ τῇ πόλει μεταθέσθαι τὸ ὄνομα ἀπὸ τῆς Ἀβίας. Ἡράκλειον δὲ ἦν αὐτόθι ἐπιφανὲς καὶ Ἀσκληπιεῖον.

2 2. Φαραὶ δὲ ἀφεστήκασιν Ἀβίας σταδίους ἑβδομήκοντα· καὶ ὕδωρ κατὰ τὴν ὁδόν ἐστιν ἁλμυρόν. βασιλεὺς δὲ Αὔγουστος τοὺς ἐν Φαραῖς Μεσσηνίους συντελεῖν ἀπέταξεν ἐς τὸ Λακωνικόν. τὸν δὲ οἰκιστὴν Φᾶριν Ἑρμοῦ τε καὶ Φυλοδαμείας λέγουσιν εἶναι τῆς Δαναοῦ. Φάρει δὲ ἄρρενας μὲν οὔ φασι γενέσθαι, θυγατέρα δὲ

Τηλεγόνην. τοὺς δὲ ἐφεξῆς ἐγενεαλόγησεν Ὅμηρος ἐν Ἰλιάδι, διδύμους Κρήθωνα καὶ Ὀρτίλοχον εἶναι Διοκλεῖ, Διοκλέα δὲ αὐτὸν Ὀρτιλόχου τοῦ Ἀλφειοῦ. τὰ δὲ ἐς Τηλεγόνην παρεῖδεν· αὕτη γὰρ λόγῳ τῷ Μεσσηνίων ἐστὶν ἡ τεκοῦσα Ἀλφειῷ τὸν Ὀρτίλοχον. Καὶ τάδε ἄλλα ἤκουσα 3
ἐν Φαραῖς, Διοκλεῖ θυγατέρα ἐπὶ τοῖς διδύμοις παισὶν Ἀντίκλειαν γενέσθαι, τῆς δὲ Νικόμαχόν τε εἶναι καὶ Γόργασον, πατρὸς δὲ Μαχάονος τοῦ Ἀσκληπιοῦ· τού-
354 τους καταμεῖναί τε αὐτοῦ, καὶ ὡς ὁ Διοκλῆς ἐτελεύτησε, τὴν βασιλείαν ἐκδέξασθαι. διαμεμένηκε δὲ αὐτοῖς καὶ ἐς τόδε ἔτι νοσήματά τε καὶ τοὺς πεπηρωμένους τῶν ἀνθρώπων ἰᾶσθαι· καί σφισιν ἀντὶ τούτων θυσίας ἐς τὸ ἱερὸν καὶ ἀναθήματα ἄγουσιν. ἔστι δὲ καὶ Τύχης ναὸς Φαραιάταις καὶ ἄγαλμα ἀρχαῖον. 3. Πρῶτος δὲ ὧν οἶδα 4
ἐποιήσατο ἐν τοῖς ἔπεσιν Ὅμηρος Τύχης μνήμην. ἐποιήσατο δὲ ἐν ὕμνῳ τῷ ἐς τὴν Δήμητρα, ἄλλας τε τῶν Ὠκεανοῦ θυγατέρας καταριθμούμενος, ὡς ὁμοῦ Κόρῃ τῇ Δήμητρος παίζοιεν, καὶ Τύχην ὡς Ὠκεανοῦ καὶ ταύτην παῖδα οὖσαν· καὶ οὕτως ἔχει τὰ ἔπη·

Ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,
Λευκίππη Φαινώ τε καὶ Ἠλέκτρη καὶ Ἰάνθη
Μηλόβοσίς τε Τύχη τε καὶ Ὠκυρόη καλυκῶπις.

πέρα δὲ ἐδήλωσεν οὐδὲν ἔτι, ὡς ἡ θεός ἐστιν αὕτη μεγί- 5
στη θεῶν ἐν τοῖς ἀνθρωπίνοις πράγμασι καὶ ἰσχὺν παρέχεται πλείστην, ὥσπερ γε ἐν Ἰλιάδι ἐποίησεν Ἀθηνᾶν μὲν καὶ Ἐνυὼ πολεμούντων ἡγεμονίαν ἔχειν, Ἄρτεμιν δὲ γυναικῶν ὠδῖσιν εἶναι φοβεράν, Ἀφροδίτῃ δὲ τὰ ἔργα
355 μέλειν τῶν γάμων. ἀλλ' οὗτος μὲν οὐδὲν ἄλλο ἐποίησεν
ἐς τὴν Τύχην· 4. Βούπαλος δέ, ναούς τε οἰκοδομήσα- 6
σθαι καὶ ζῷα ἀνὴρ ἀγαθὸς πλάσαι, Σμυρναίοις ἄγαλμα ἐργαζόμενος Τύχης πρῶτος ἐποίησεν ὧν ἴσμεν πόλον τε ἔχουσαν ἐπὶ τῇ κεφαλῇ καὶ τῇ ἑτέρᾳ χειρὶ τὸ καλούμενον

*Ἀμαλθείας κέρας ὑπὸ Ἑλλήνων. οὗτος μὲν ἐπὶ τοσοῦτον ἐδήλωσε τῆς θεοῦ τὰ ἔργα· ᾖσε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην, καὶ δὴ καὶ Φερέπολιν ἀνεκάλεσεν αὐτήν.*

XXXI. *Ὀλίγον δὲ ἀπωτέρω Φαρῶν Ἀπόλλωνος ἄλσος ἐστὶ Καρνείου, καὶ ὕδατος ἐν αὐτῷ πηγή· θαλάσσης δὲ ἕξ που στάδια ἀπέχουσιν αἱ Φαραί.* 2. *ἐντεῦθεν πρὸς μεσόγαιαν τῆς Μεσσηνίας σταδίους προελθόντι ὀγδοήκοντά ἐστιν ἡ Θουριατῶν πόλις· Ἄνθειαν δὲ αὐτὴν ἐν τοῖς ἔπεσιν ὠνομάσθαι τοῖς Ὁμήρου λέγουσι. Λακεδαιμονίοις δὲ ἔχειν τοῖς ἐν Σπάρτῃ τὴν Θουρίαν ἔδωκεν Αὔγουστος. Αὐγούστῳ γὰρ βασιλεύοντι Ῥωμαίων ἐπολέμησεν Ἀντώνιος, γένει καὶ οὗτος Ῥωμαῖος· καί οἱ τῶν ἐν τῇ Ἑλλάδι ἄλλοι τε καὶ οἱ Μεσσήνιοι προσέθεντο,*
2 *ὅτι ἐφρόνουν Λακεδαιμόνιοι τὰ Αὐγούστου. καὶ ὁ μὲν τούτων ἕνεκα Μεσσηνίοις καὶ τῶν ἄλλων τῶν ἀντιταξαμένων τοῖς μὲν αὐτῶν ἔλαττον, τοῖς δὲ καὶ ἐς πλέον ἐπεξῆλθε· Θουριᾶται δὲ ἐκ τῆς πόλεως ἐν μετεώρῳ τὸ ἀρχαῖον οἰκουμένης ἐς τὸ πεδίον κατελθόντες οἰκοῦσιν. οὐ μὴν παντάπασί γε οὐδὲ τὴν ἄνω πόλιν ἐκλελοίπασιν, ἀλλὰ καὶ τείχους ἐρείπια καὶ ἱερόν ἐστιν αὐτόθι ὀνομαζόμενον θεοῦ Συρίας. τὴν δὲ ἐν τῷ πεδίῳ πόλιν ποταμὸς καλούμενος Ἄρις παρέξεισιν.*
3 3. *Ἔστι δὲ ἐν τῇ μεσογαίῳ κώμη Καλάμαι καὶ Λίμναι* 356
*χωρίον· ἐν δὲ αὐτῷ Λιμνάτιδος ἱερόν ἐστιν Ἀρτέμιδος, ἔνθα Τηλέκλῳ βασιλεύοντι ἐν Σπάρτῃ τὴν τελευτὴν*
4 *συμβῆναι λέγουσιν. Ἰόντι δὲ ἐκ Θουρίας ὡς ἐπὶ Ἀρκαδίας εἰσὶν αἱ πηγαὶ τοῦ Παμίσου· καὶ ἐπ᾿ αὐταῖς παισὶ μικροῖς ἀκέσματα γίνεται.* 4. *Ἰοῦσι δὲ ἀπὸ τῶν πηγῶν ἐν ἀριστερᾷ καὶ προελθόντι ὡς τεσσαράκοντα στάδιά ἐστι Μεσσηνίοις ἡ ὑπὸ τῇ Ἰθώμῃ πόλις· περιέχεται δὲ οὐ τῇ Ἰθώμῃ μόνον, ἀλλὰ καὶ τὰ ἐπὶ τὸν Πάμισον τετραμμένα*

ὑπὸ τῆς Εὔας. τὸ δὲ ὄνομα γενέσθαι τῷ ὄρει φασὶ Βακχι-
κόν τι ἐπίφθεγμα εὐοῖ Διονύσου πρῶτον ἐνταῦθα αὐτοῦ
τε εἰπόντος καὶ τῶν ὁμοῦ τῷ Διονύσῳ γυναικῶν. 5. Περὶ 5
δὲ τὴν Μεσσήνην τεῖχος, κύκλος μὲν πᾶς λίθου πεποίη-
ται, πύργοι δὲ καὶ ἐπάλξεις εἰσὶν ἐνῳκοδομημένοι. τὰ
μὲν οὖν Βαβυλωνίων ἢ τὰ Μεμνόνεια τὰ ἐν Σούσοις
τείχη τοῖς Περσικοῖς οὔτε εἶδον οὔτε ἄλλων περὶ αὐτῶν
357 ἤκουσα αὐτοπτούντων· τὰ δὲ ἐν Ἀμβρώσῳ τῇ Φωκικῇ
ἔν τε Βυζαντίῳ καὶ Ῥόδῳ, ταῦτα γὰρ δὴ τετείχισται τὰ
χωρία ἄριστα, τούτων Μεσσηνίοις ἐστὶν ἐχυρώτερον.
Μεσσηνίοις δὲ ἐν τῇ ἀγορᾷ Διός ἐστιν ἄγαλμα Σωτῆρος 6
καὶ Ἀρσινόη κρήνη· τὸ μὲν δὴ ὄνομα ἀπὸ τῆς Λευκίπ-
που θυγατρὸς εἴληφεν, ὑπορρεῖ δὲ ἐς αὐτὴν ὕδωρ ἐκ πη-
γῆς καλουμένης Κλεψύδρας. Θεῶν δὲ ἱερὰ Ποσειδῶνος,
τὸ δὲ Ἀφροδίτης ἐστί. καὶ οὗ μάλιστα ἄξιον ποιήσασθαι
μνήμην, ἄγαλμα Μητρὸς θεῶν, λίθου Παρίου, Δαμο-
φῶντος δὲ ἔργον, ὃς καὶ τὸν Δία ἐν Ὀλυμπίᾳ διεστηκό-
τος ἤδη τοῦ ἐλέφαντος συνήρμοσεν ἐς τὸ ἀκριβέστατον,
καί οἱ δεδομέναι τιμαὶ παρὰ Ἠλείων εἰσί. 6. Δαμοφῶν- 7
τος δέ ἐστι τούτου καὶ ἡ Λαφρία καλουμένη παρὰ Μεσ-
σηνίοις. σέβεσθαι δέ σφισιν ἀπὸ τοιοῦδε αὐτὴν καθέ-
στηκε. Καλυδωνίοις ἡ Ἄρτεμις, ταύτην γὰρ θεῶν μάλι-
στα ἔσεβον, ἐπίκλησιν εἶχε Λαφρία· Μεσσηνίων δὲ οἱ
λαβόντες Ναύπακτον παρὰ Ἀθηναίων, τηνικαῦτα γὰρ
Αἰτωλίας ἐγγύτατα ᾤκουν, παρὰ Καλυδωνίων ἔλαβον.
τὸ σχῆμα ἑτέρωθι δηλώσω. τὸ μὲν δὴ τῆς Λαφρίας ἀφί-
κετο ὄνομα ἔς τε Μεσσηνίους καὶ ἐς Πατρεῖς Ἀχαιῶν μό-
νους· Ἐφεσίαν δὲ Ἄρτεμιν πόλεις τε νομίζουσιν αἱ πᾶ- 8
σαι καὶ ἄνδρες ἰδίᾳ θεῶν μάλιστα ἄγουσιν ἐν τιμῇ. τὰ δὲ
αἴτια ἐμοὶ δοκεῖν ἐστὶν Ἀμαζόνων τε κλέος, αἳ φήμην
τὸ ἄγαλμα ἔχουσιν ἱδρύσασθαι, καὶ ὅτι ἐκ παλαιοτάτου
τὸ ἱερὸν τοῦτο ἐποιήθη. τρία δὲ ἄλλα ἐπὶ τούτοις συνε-

τέλεσεν ἐς δόξαν, μέγεθός τε τοῦ ναοῦ τὰ παρὰ πᾶσιν
ἀνθρώποις κατασκευάσματα ὑπερηρκότος, καὶ Ἐφεσίων
τῆς πόλεως ἡ ἀκμή, καὶ ἐν αὐτῇ τὸ ἐπιφανὲς τῆς θεοῦ. 358
9 7. Πεποίηται δὲ καὶ Εἰλειθυίας Μεσσηνίοις ναὸς καὶ
ἄγαλμα λίθου. πλησίον δὲ Κουρήτων μέγαρον, ἔνθα ζῷα
τὰ πάντα ὁμοίως καθαγίζουσιν· ἀρξάμενοι γὰρ ἀπὸ βοῶν
τε καὶ αἰγῶν καταβαίνουσιν ἐς τοὺς ὄρνιθας ἀφιέντες ἐς
τὴν φλόγα. καὶ Δήμητρος ἱερὸν Μεσσηνίοις ἐστὶν ἅγιον,
καὶ Διοσκούρων ἀγάλματα φέροντες τὰς Λευκίππου.
καί μοι καὶ ταῦτα ἐν τοῖς προτέροις ἐστὶν ἤδη δεδηλω-
μένα, ὡς οἱ Μεσσήνιοι τοὺς Τυνδάρεω παῖδας ἀμφισβη-
10 τοῦσιν αὑτοῖς καὶ οὐ Λακεδαιμονίοις προσήκειν. 8. πλεῖ-
στα δέ σφισι καὶ θέας μάλιστα [ἀγάλματα] ἄξια τοῦ
Ἀσκληπιοῦ παρέχεται τὸ ἱερόν. χωρὶς μὲν γὰρ τοῦ θεοῦ
καὶ τῶν παίδων ἐστὶν ἀγάλματα, χωρὶς δὲ Ἀπόλλωνος
καὶ Μουσῶν καὶ Ἡρακλέους, πόλις τε ἡ Θηβαίων καὶ
Ἐπαμεινώνδας ὁ Κλεόμμιδος, Τύχη τε καὶ Ἄρτεμις Φωσ-
φόρος. τὰ μὲν δὴ τοῦ λίθου Δαμοφῶντος ὅς εἰργάσατο,
Μεσσηνίων δὲ ὅτι μὴ τοῦτον ἄλλον γε οὐδένα λόγου
ποιήσαντα ἀξίως οἶδα ἀγάλματα· ἡ δὲ εἰκὼν τοῦ Ἐπα-
μεινώνδου ἐκ σιδήρου τέ ἐστι καὶ ἔργον ἄλλου, οὐ τού-
11 του. 9. Ἔστι δὲ καὶ Μεσσήνης τῆς Τριόπα ναὸς καὶ
ἄγαλμα χρυσοῦ καὶ λίθου Παρίου· γραφαὶ δὲ κατὰ τοῦ
ναοῦ τὸ ὄπισθεν οἱ βασιλεύσαντές εἰσι Μεσσήνης, πρὶν
μὲν ἢ στόλον ἀφικέσθαι τὸν Δωριέων ἐς Πελοπόννησον
Ἀφαρεὺς καὶ οἱ παῖδες, κατελθόντων δὲ Ἡρακλειδῶν
Κρεσφόντης ἐστίν, ἡγεμὼν καὶ οὗτος τοῦ Δωρικοῦ, τῶν
δὲ οἰκησάντων ἐν Πύλῳ Νέστωρ καὶ Θρασυμήδης καὶ
Ἀντίλοχος, προτετιμημένοι παίδων τῶν Νέστορος ἡλικίᾳ
12 καὶ ἐπὶ Τροίαν μετεσχηκότες τῆς στρατείας. Λεύκιππός
τε Ἀφαρέως ἀδελφὸς καὶ Ἱλάειρά ἐστι καὶ Φοίβη, σὺν δέ
σφισιν Ἀρσινόη. γέγραπται δὲ καὶ Ἀσκληπιός, Ἀρσι-

νόης ὧν λόγῳ τῷ Μεσσηνίων, καὶ Μαχάων καὶ Ποδαλείριος, ὅτι ἔργου τοῦ πρὸς Ἰλίῳ καὶ τούτοις μέτεστι. ταύτας τὰς γραφὰς ἔγραψεν Ὀμφαλίων Νικίου τοῦ Νικομήδους μαθητής· οἱ δὲ αὐτὸν καὶ δουλεῦσαι παρὰ τῷ Νικίᾳ καὶ παιδικὰ γενέσθαι φασὶν αὐτοῦ.

359 XXXII. Τὸ δὲ ὀνομαζόμενον παρὰ Μεσσηνίων ἱεροθύσιον ἔχει μὲν θεῶν ἀγάλματα ὁπόσους νομίζουσιν Ἕλληνες, ἔχει δὲ χαλκῆν εἰκόνα Ἐπαμεινώνδου. κεῖνται δὲ καὶ ἀρχαῖοι τρίποδες· ἀπύρους αὐτοὺς καλεῖ Ὅμηρος. τὰ δὲ ἀγάλματα τὰ ἐν τῷ γυμνασίῳ ποιήματά ἐστιν ἀνδρῶν Αἰγυπτίων, Ἑρμῆς τε καὶ Ἡρακλῆς καὶ Θησεύς. τούτους μὲν δὴ τοῖς πᾶσιν Ἕλλησι καὶ ἤδη τῶν βαρβάρων πολλοῖς περί τε γυμνάσια καὶ ἐν παλαίστραις καθέστηκεν ἔχειν ἐν τιμῇ· 2. *** δὲ ἐμαυτοῦ πρεσβύτερον ὄντα 2
εὕρισκον, γενομένῳ δὲ οἱ χρήμασιν οὐκ ἀδυνάτῳ τιμαὶ παρὰ Μεσσηνίων ὑπάρχουσιν ἅτε ἥρωϊ. εἰσὶ δὲ τῶν Μεσσηνίων οἳ τῷ Αἰθίδᾳ χρήματα μὲν γενέσθαι πολλὰ ἔλεγον, οὐ μέντοι τοῦτόν γε εἶναι τὸν ἐπειργασμένον τῇ στήλῃ, πρόγονον δὲ καὶ ὁμώνυμον ἄνδρα τῷ Αἰθίδᾳ. Αἰθίδαν δὲ τὸν πρότερον ἡγήσασθαι τοῖς Μεσσηνίοις φασίν, ἡνίκα ἐν τῇ νυκτὶ Δημήτριός σφισιν ὁ Φιλίππου μηδαμῶς ἐλπίσασιν αὐτός τε καὶ ἡ στρατιὰ λανθάνουσιν ἐσελθόντες ἐς τὴν πόλιν.

3. Καὶ Ἀριστομένους δὲ μνῆμά ἐστιν ἐνταῦθα· οὐ 3
κενὸν δὲ εἶναι τὸ μνῆμα λέγουσιν. ἀλλ᾽ ἐρομένου μου τρόπον τε ὅντινα καὶ ὁπόθεν Ἀριστομένους κομίσαιντο τὰ ὀστᾶ, μεταπέμψασθαι μὲν ἐκ Ῥόδου φασί, τὸν δὲ ἐν Δελφοῖς θεὸν τὸν κελεύσαντα εἶναι. πρός τε δὴ τούτοις ἐδίδασκόν με ὁποῖα ἐπὶ τῷ τάφῳ δρῶσι. ταῦρον ὅντινα ἐναγίζειν μέλλουσιν, ἀγαγόντες ἐπὶ τὸ μνῆμα ἔδησαν πρὸς τὸν ἑστηκότα ἐπὶ τῷ τάφῳ κίονα· ὁ δὲ ἅτε ἄγριος καὶ ἀήθης δεσμῶν οὐκ ἐθέλει μένειν· θορυβουμένῳ δέ

οἱ καὶ σκιρτῶντι ἣν ὁ κίων κινηθῇ, Μεσσηνίοις ἐστὶν αἴ-
σιον, οὐ κινηθέντος δὲ ἀσύμφορα ἐπαγγέλλει τὸ σημεῖον.
4 4. Παραγενέσθαι δὲ Ἀριστομένην καὶ τῷ περὶ Λεῦκτρα
ἀγῶνι ἐθέλουσιν οὐ μετὰ ἀνθρώπων ἔτι ὄντα, καὶ ἀμῦναί
τε αὐτόν φασι Θηβαίοις, καὶ μάλιστα γενέσθαι τοῦ ἀτυ-
χήματος Λακεδαιμονίοις αἴτιον. ἐγὼ δὲ Χαλδαίους καὶ 360
Ἰνδῶν τοὺς μάγους πρώτους οἶδα εἰπόντας ὡς ἀθάνατός
ἐστιν ἀνθρώπου ψυχή· καί σφισι καὶ Ἑλλήνων ἄλλοι τε
ἐπείσθησαν καὶ οὐχ ἥκιστα Πλάτων ὁ Ἀρίστωνος. εἰ δὲ
ἀποδέχεσθαι καὶ οἱ πάντες ἐθελήσουσιν, ἐκεῖνό γε ἀντει-
πεῖν οὐκ ἔνεστι, μὴ οὐ τὸν πάντα αἰῶνα Ἀριστομένει τὸ
5 μῖσος τὸ ἐς Λακεδαιμονίους ἐνεστάχθαι. 5. Ἃ δὲ αὐτὸς
ἤκουσα ἐν Θήβαις, εἰκὸς μέν τι παρείχετο ἐς τὸν Μεσση-
νίων λόγον, οὐ μὴν παντάπασί γέ ἐστιν αὐτοῖς ὡμολογη-
κότα. φασὶ δὲ οἱ Θηβαῖοι μελλούσης τῆς μάχης ἔσεσθαί
σφισιν ἐν Λεύκτροις ἐς ἄλλα τε ἀποστεῖλαι χρηστήρια καὶ
ἐρησομένους τὸν ἐν Λεβαδείᾳ θεόν. λέγεται μὲν οὖν καὶ
τὰ παρὰ τοῦ Ἰσμηνίου καὶ τοῦ Πτῴου, πρὸς δὲ τὰ ἐν
Ἄβαις τε χρησθέντα καὶ τὰ ἐν Δελφοῖς. Τροφώνιον [δέ]
φασιν εἰπεῖν ἑξαμέτρῳ·

Πρὶν δορὶ συμβαλέειν ἐχθροῖς, στήσασθε τρόπαιον,
ἀσπίδα κοσμήσαντες ἐμήν, τὴν εἴσατο νηῷ
θοῦρος Ἀριστομένης Μεσσήνιος. αὐτὰρ ἐγώ τοι
ἀνδρῶν δυσμενέων φθίσω στρατὸν ἀσπιστάων.

6 ἀφικομένου δὲ τοῦ χρησμοῦ δεηθῆναι Ξενοκράτους λέ-
γουσιν Ἐπαμεινώνδαν· ὁ δὲ τήν τε ἀσπίδα μεταπέμπεται
τοῦ Ἀριστομένους, καὶ ἐκόσμησεν ἀπ᾽ αὐτῆς τρόπαιον,
ὅθεν τοῖς Λακεδαιμονίοις ἔσεσθαι σύνοπτον ἔμελλεν.
ᾔδεσαν δὲ ἄρα τὴν ἀσπίδα οἱ μὲν αὐτῶν ἐν Λεβαδείᾳ καθ᾽
ἡσυχίαν ἑωρακότες, ἀκοῇ δὲ καὶ πάντες. ὡς δὲ ἐγένετο ἡ
νίκη Θηβαίοις, ἀποδιδόασιν αὖθις τῷ Τροφωνίῳ τὸ ἀνά-
θημα. Ἀριστομένους δὲ καὶ χαλκοῦς ἀνδριάς ἐστιν ἐν τῷ

Μεσσηνίων σταδίῳ. Τοῦ θεάτρου δὲ οὐ πόρρω Σαράπιδός ἐστι καὶ Ἴσιδος ἱερόν.

361 XXXIII. Ἐς δὲ τὴν κορυφὴν ἐρχομένῳ τῆς Ἰθώμης, οὗ δὴ Μεσσηνίοις ἐστὶν ἀκρόπολις, πηγὴ Κλεψύδρα γίνεται. 2. πάντας μὲν οὖν καταριθμήσασθαι καὶ προθυμηθέντι ἄπορον, ὁπόσοι θέλουσι γενέσθαι καὶ τραφῆναι παρὰ σφίσι Δία· μέτεστι δ' οὖν καὶ Μεσσηνίοις τοῦ λόγου· φασὶ γὰρ καὶ οὗτοι τραφῆναι παρὰ σφίσι τὸν θεόν, Ἰθώμην δὲ εἶναι καὶ Νέδαν τὰς θρεψαμένας, κεκλῆσθαι δὲ ἀπὸ μὲν τῆς Νέδας τὸν ποταμόν, τὴν δὲ ἑτέραν τῷ ὄρει τὴν Ἰθώμην δεδωκέναι τὸ ὄνομα. ταύτας δὲ τὰς νύμφας τὸν Δία, κλαπέντα ὑπὸ Κουρήτων διὰ τὸ ἐκ τοῦ πατρὸς δεῖμα, ἐνταῦθα λοῦσαι λέγουσι, καὶ τὸ ὄνομα εἶναι τῷ ὕδατι ἀπὸ τῶν Κουρήτων τῆς κλοπῆς· φέρουσί τε ἀνὰ πᾶσαν ἡμέραν ὕδωρ ἀπὸ τῆς πηγῆς ἐς τοῦ Διὸς τοῦ Ἰθωμάτα τὸ ἱερόν. 3. Τὸ δὲ ἄγαλμα τοῦ Διὸς Ἀγελάδα μέν 2
ἐστιν ἔργον, ἐποιήθη δὲ ἐξ ἀρχῆς τοῖς οἰκήσασιν ἐν Ναυπάκτῳ Μεσσηνίων. ἱερεὺς δὲ αἱρετὸς κατὰ ἔτος ἕκαστον ἔχει τὸ ἄγαλμα ἐπὶ τῆς οἰκίας. ἄγουσι δὲ καὶ ἑορτὴν ἐπέτειον Ἰθωμαῖα· τὸ δὲ ἀρχαῖον καὶ ἀγῶνα ἐτίθεσαν μουσικῆς. τεκμαίρεσθαι δ' ἔστιν ἄλλοις τε καὶ Εὐμήλου τοῖς ἔπεσιν· ἐποίησε γοῦν καὶ τάδε ἐν τῷ προσοδίῳ τῷ ἐς Δῆλον·

Τῷ γὰρ Ἰθωμάτᾳ καταθύμιος ἔπλετο μοῖσα
ἁ καθαρὰ καὶ ελευθερα σάμβαλ' ἔχοισα.

οὐκοῦν ποιῆσαί μοι δοκεῖ τὰ ἔπη καὶ μουσικῆς ἀγῶνα ἐπιστάμενος τιθέντας.

4. Ἰόντι δὲ τὴν ἐπ' Ἀρκαδίας ἐς Μεγάλην πόλιν ἐστὶν 3
ἐν ταῖς πύλαις Ἑρμῆς τέχνης τῆς Ἀττικῆς· Ἀθηναίων γὰρ τὸ σχῆμα τὸ τετράγωνόν ἐστιν ἐπὶ τοῖς Ἑρμαῖς, καὶ παρὰ τούτων μεμαθήκασιν οἱ ἄλλοι. Σταδίους δὲ καταβάντι ἀπὸ τῶν πυλῶν τριάκοντα τὸ ῥεῦμά ἐστι τῆς Βα-

λύρας. γενέσθαι δὲ τὸ ὄνομα τῷ ποταμῷ λέγουσι Θαμύ- 362
ριδος τὴν λύραν ἐνταῦθα ἀποβαλόντος ἐπὶ τῇ πηρώσει· παῖδα δὲ αὐτὸν Φιλάμμωνος καὶ Ἀργιόπης τῆς νύμφης εἶναι. τὴν δὲ Ἀργιόπην τέως μὲν περὶ τὸν Παρνασὸν οἰκεῖν, ἐπεὶ δὲ εἶχεν ἐν γαστρί, ἐς Ὀδρύσας λέγουσι μετοικῆσαι· Φιλάμμωνα γὰρ οὐκ ἐθέλειν ἐς τὸν οἶκον αὐτὴν ἄγεσθαι. καὶ Θάμυριν μὲν Ὀδρύσην τε καὶ Θρᾷκα ἐπὶ τούτῳ καλοῦσιν· ἡ δὲ Λευκασία καὶ Ἄμφιτος συμβάλλουσιν ἐς τὸ αὐτὸ τὰ ῥεύματα.

4 5. Διαβάντι δὲ τούτους πεδίον ἐστὶν ὀνομαζόμενον Στενυκληρικόν· εἶναι δὲ ἥρωα Στενύκληρον λέγουσι. τοῦ πεδίου δέ ἐστιν ἀπαντικρὺ καλουμένη τὸ ἀρχαῖον Οἰχαλία, τὸ δὲ ἐφ' ἡμῶν Καρνάσιον ἄλσος, κυπαρίσσων μάλιστα πλῆρες. θεῶν δὲ ἀγάλματα Ἀπόλλωνός ἐςτι Καρνείου καὶ Ἑρμῆς φέρων κριόν. ἡ δὲ Ἁγνὴ Κόρης τῆς Δήμητρός ἐστιν ἐπίκλησις· ὕδωρ δὲ ἄνεισιν ἐκ πηγῆς παρὰ τὸ ἄγαλμα. τὰ δὲ ἐς τὰς Θεὰς τάς μεγάλας, δρῶσι γὰρ καὶ ταύταις ἐν Καρνασίῳ τὴν τελετὴν, ἀπόρρητα ἔστω μοι· δεύτερα γάρ σφισι νέμω σεμνότητος μετά γε Ἐλευσίνια. ὅτι δ' ὑδρία τε ἡ χαλκῆ τὸ εὕρημα τοῦ Ἀργείου στρατηγοῦ, καὶ Εὐρύτου τοῦ Μελανέως τὰ ὀστᾶ ἐφυλάσσετο ἐνταῦθα δηλῶσαί με καὶ ἐς ἅπαντας οὐκ ἀπεῖργε τὸ ὄνειρον. ῥεῖ δὲ ποταμὸς παρὰ τὸ Καρνάσιον

6 Χάραδρος, 6. καὶ προελθόντι ἐν ἀριστερᾷ σταδίους ὀκτὼ μάλιστα ἐρείπιά ἐστιν Ἀνδανίας. καὶ ὅτι μὲν τῇ πόλει τὸ ὄνομα ἀπὸ γυναικὸς γέγονεν Ἀνδανίας, ὁμολογεῖται ὑπὸ
τῶν ἐξηγητῶν· οὐ μὴν τά γε ἐς τοὺς γονέας αὐτῆς, οὐδ' 363
ὅτῳ συνῴκησεν, ἔχω λέγειν. Ἰόντων δὲ ὡς ἐπὶ Κυπαρισσιὰς ἀπὸ Ἀνδανίας Πολίχνη τέ ἐστι καλουμένη, καὶ ποταμὸς Ἠλέκτρα καὶ Κοῖος ῥέουσι. τάχα δ' ἄν τινα καὶ λόγον ἐς Ἠλέκτραν τὴν Ἄτλαντος λέγοιεν καὶ ἐς Κοῖον

τὸν Λητοῦς πατέρα, ἢ καὶ τῶν ἐπιχωρίων ἡρώων εἶεν Ἠλέκτρα τε καὶ Κοῖος.

7. Διαβάντων δὲ Ἠλέκτραν Ἀχαΐα τε ὀνομαζομένη 7
πηγὴ καὶ πόλεώς ἐστιν ἐρείπια Δωρίου. πεποίηκε δὲ Ὅμηρος μὲν Θαμύριδι ἐνταῦθα ἐν τῷ Δωρίῳ γενέσθαι τὴν συμφοράν, ὅτι καὶ αὐτὰς Μούσας νικήσειν ἔφασκεν ᾀδούσας· Πρόδικος δὲ Φωκαεύς, εἰ δὴ τούτου τὰ ἐς τὴν Μινυάδα ἔπη, προσκεῖσθαί φησι Θαμύριδι ἐν Ἅιδου δίκην τοῦ ἐς τὰς Μούσας αὐχήματος. διεφθάρη δὲ ὁ Θάμυρις, ἐμοὶ δοκεῖν, ὑπὸ νόσου τοὺς ὀφθαλμούς. τὸ δὲ αὐτὸ καὶ Ὁμήρῳ συνέπεσεν ὕστερον. ἀλλ' ὁ μὲν καὶ ἐς ἅπαν διετέλει ποιῶν, οὐ γάρ τι εἶκε τῇ συμφορᾷ, Θάμυρις δὲ καὶ τὴν ᾠδὴν ὑπὸ κακοῦ τοῦ παρόντος ἐξέλιπεν.

**XXXIV.** Ἐκ δὲ Μεσσήνης ἐπὶ τοῦ Παμίσου τὸ στόμα ὁδὸς μὲν σταδίων ἐστὶν ὀγδοήκοντα, ῥεῖ δὲ ὁ Πάμισος διά τε ἀρουμένης καὶ καθαρός, καὶ ἀναπλεῖται ναυσὶν ἐκ θαλάττης ἐπὶ δέκα που σταδίους. ἀναθέουσι δὲ ἐς αὐτὸν καὶ οἱ θαλάσσιοι τῶν ἰχθύων, περὶ ὥραν μάλιστα τοῦ ἦρος. τὸ δὲ αὐτὸ ἐς Ῥῆνόν τε καὶ ἐς τὸν Μαίανδρον ποιοῦσιν οἱ ἰχθῦς· μάλιστα δὲ ἀνὰ τὸ ῥεῦμα τὸ Ἀχελῴου
νήχονται τοῦ ἐκδιδόντος κατὰ νήσους τὰς Ἐχινάδας. διά- 2
φοροι δὲ τὸ εἶδος μάλιστα ἰχθῦς ἀναθέουσιν ἐς τὸν Πά-
364 μισον, ἅτε ἐς ὕδωρ καθαρὸν καὶ οὐ κατὰ τὰ αὐτὰ τοῖς κατειλεγμένοις ποταμοῖς ἰλυῶδες. οἱ κέφαλοι δέ, ἅτε ἰχθύων ὄντες τῶν πηλαίων, ποταμῶν φίλοι τῶν θολερωτέρων εἰσί. θηρία δὲ ἐς ὄλεθρον ἀνθρώπων οὐ πεφύκασιν οἱ Ἑλλήνων ποταμοὶ φέρειν, καθάπερ γε Ἰνδὸς καὶ Νεῖλος ὁ Αἰγύπτιος, ἔτι δὲ Ῥῆνος καὶ Ἴστρος Εὐφράτης τε καὶ Φᾶσις. οὗτοι γὰρ δὴ θηρία ὁμοίως τοῖς μάλιστα ἀνδροφάγα αὔξουσι, ταῖς ἐν Ἕρμῳ καὶ Μαιάνδρῳ γλάνισιν ἐοικότα ἰδέας, πλὴν χρόας τε μελαντέρας καὶ ἀλκῆς·
ταῦτα δὲ αἱ γλάνεις ἀποδέουσιν. ὁ δὲ Ἰνδὸς καὶ ὁ Νεῖλος 3

κροκοδείλους μὲν ἀμφότεροι, Νεῖλος δὲ παρέχεται καὶ
ἵππους, οὐκ ἔλασσον ἢ ὁ κροκόδειλος κακὸν ἀνθρώποις.
οἱ δὲ Ἑλλήνων ποταμοὶ δείματα ὡς ἀπὸ θηρίων εἰσὶν
οὐδέν, ἐπεὶ καὶ Ἀώῳ τῷ διὰ τῆς Θεσπρωτίδος ῥέοντι
ἠπείρου θηρία οὐ ποτάμια οἱ κύνες, ἀλλὰ ἐπήλυδές εἰσιν
ἐκ θαλάσσης.
4 2. Κορώνη δέ ἐστι πόλις ἐν δεξιᾷ τοῦ Παμίσου, πρὸς
θαλάσσῃ τε καὶ ὑπὸ τῷ ὄρει τῇ Μαθίᾳ. κατὰ δὲ τὴν ὁδὸν
ταύτην ἐστὶν ἐπὶ θαλάσσῃ χωρίον, ὃ Ἰνοῦς ἱερὸν εἶναι
νομίζουσιν· ἐπαναβῆναι γὰρ ἐνταῦθα ἐκ θαλάσσης φασὶν
αὐτὴν θεόν τε ἤδη νομιζομένην καὶ Λευκοθέαν καλου-
μένην ἀντὶ Ἰνοῦς. προελθόντων δὲ οὐ πολὺ Βίας ἐκδί-
δωσιν ἐς θάλασσαν ποταμός· γενέσθαι δέ αὐτῷ λέγουσι
τὸ ὄνομα ἀπὸ Βίαντος τοῦ Ἀμυθάονος. καὶ Πλατανιστῶνος
δὲ ἡ πηγὴ στάδια μέν εἴκοσίν ἐστιν ἀπωτέρω τῆς ὁδοῦ,
ῥεῖ δὲ ἐκ πλατάνου τὸ ὕδωρ πλατείας καὶ τὰ ἐντὸς κοίλης·
κατὰ σπήλαιον μάλιστά που μικρὸν τὸ εὖρός ἐστι τοῦ
δένδρου, καὶ τὸ ὕδωρ αὐτόθεν ἐς Κορώνην τὸ πότιμον 365
5 κάτεισι. 3. τὸ μὲν δὴ ὄνομα τὸ ἀρχαῖον εἶχεν Αἴπεια·
ἐπεὶ δὲ ὑπὸ Θηβαίων κατήχθησαν ἐς Πελοπόννησον, Ἐπι-
μηλίδην φασὶν ἀποσταλέντα οἰκιστὴν καλέσαι Κορώνειαν,
εἶναι γὰρ αὐτὸν ἐκ Κορωνείας τῆς Βοιωτῶν, τοὺς δὲ
Μεσσηνίους ἐξ ἀρχῆς τε οὐ κατορθοῦν περὶ τὸ ὄνομα, καὶ
μᾶλλον ἔτι ἀνὰ χρόνον ἐκνικῆσαι τὸ ἐκείνων ἁμάρτημα.
λέγεται δὲ καὶ ἕτερος λόγος, ὡς τοῦ τείχους τὰ θεμέλια
6 ὀρύσσοντες ἐπιτύχοιεν κορώνῃ χαλκῇ. Θεῶν δέ ἐστιν ἐν-
ταῦθα Ἀρτέμιδός τε καλουμένης Παιδοτρόφου καὶ Διο-
νύσου καὶ Ἀσκληπιοῦ ναός. τῷ μὲν δὴ Ἀσκληπιῷ καὶ
Διονύσῳ λίθου, Διὸς δὲ Σωτῆρος χαλκοῦν ἄγαλμα ἐπὶ
τῆς ἀγορᾶς πεποίηται. χαλκοῦν δὲ καὶ ἐν ἀκροπόλει τῆς
Ἀθηνᾶς τὸ ἄγαλμά ἐστιν ἐν ὑπαίθρῳ, κορώνην ἐν τῇ

χειρὶ ἔχουσα. εἶδον δὲ καὶ τοῦ Ἐπιμηλίδου μνῆμα. ἐφ' ὅτῳ δὲ τὸν λιμένα Ἀχαιῶν καλοῦσιν, οὐκ οἶδα.

4. Ἐκ Κορώνης δὲ ὡς ὀγδοήκοντα σταδίους προελ- 7
θόντι Ἀπόλλωνός ἐστιν ἱερὸν πρὸς θαλάσσῃ τιμὰς ἔχον· ἀρχαιότατόν τε γὰρ λόγῳ τῷ Μεσσηνίων ἐστί, καὶ νοσήματα ὁ θεὸς ἰᾶται· Κόρυδον δὲ Ἀπόλλωνα ὀνομάζουσι. τοῦτο μὲν δὴ ξόανον, τοῦ Ἀργεώτα δὲ χαλκοῦν ἐστὶ τὸ ἄγαλμα· ἀναθεῖναι δέ φασι τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας.
5. Τῇ Κορωναίων δὲ πόλει ἐστὶν ὅμορος Κολωνίδες. οἱ 8
δὲ ἐνταῦθα οὐ Μεσσήνιοί φασιν εἶναι, ἀλλὰ ἐκ τῆς Ἀττικῆς ἀγαγεῖν σφᾶς Κόλαινον λέγουσι, Κολαίνῳ δὲ κόρυδον τὴν ὄρνιθα ἐκ μαντεύματος ἐς τὴν ἀποικίαν ἡγήσασθαι. ἔμελλον δὲ ἄρα διάλεκτόν τε ἀνὰ χρόνον καὶ ἔθη μεταμαθήσεσθαι τὰ Δωριέων. κεῖται δὲ τὸ πόλισμα αἱ Κολωνίδες ἐπὶ ὑψηλοῦ, μικρὸν ἀπὸ θαλάσσης.

6. Ἀσιναῖοι δὲ τὸ μὲν ἐξ ἀρχῆς Λυκωρείταις ὅμοροι 9
366 περὶ τὸν Παρνασὸν ᾤκουν· ὄνομα δὲ ἦν αὐτοῖς, ὃ δὴ καὶ ἐς Πελοπόννησον διεσώσαντο, ἀπὸ τοῦ οἰκιστοῦ Δρύοπες. γενεᾷ δὲ ὕστερον τρίτῃ, βασιλεύοντος Φύλαντος, μάχῃ τε οἱ Δρύοπες ὑπὸ Ἡρακλέους ἐκρατήθησαν καὶ τῷ Ἀπόλλωνι ἀνάθημα ἤχθησαν ἐς Δελφούς. ἀναχθέντες δὲ ἐς Πελοπόννησον χρήσαντος Ἡρακλεῖ τοῦ θεοῦ, πρῶτα μὲν τὴν πρὸς Ἑρμιόνι Ἀσίνην ἔσχον, ἐκεῖθεν δὲ ἐκπεσόντες ὑπὸ Ἀργείων οἰκοῦσιν ἐν τῇ Μεσσηνίᾳ Λακεδαιμονίων δόντων, καὶ ὡς ἀνὰ χρόνον οἱ Μεσσήνιοι κατήχθησαν οὐ γενομένης σφίσιν ὑπ' αὐτῶν ἀναστάτου τῆς πόλεως.
Ἀσιναῖοι δὲ αὐτοὶ περὶ σφῶν οὕτω λέγουσι. κρατηθῆναι 10
μὲν ὑπὸ Ἡρακλέους μάχῃ συγχωροῦσιν, ἁλῶναί τε τὴν ἐν τῷ Παρνασῷ πόλιν· αἰχμάλωτοι δὲ γενέσθαι καὶ ἀχθῆναι παρὰ τὸν Ἀπόλλωνα οὔ φασιν, ἀλλ' ὡς ἡλίσκετο ὑπὸ τοῦ Ἡρακλέους τὸ τεῖχος, ἐκλιπεῖν τὴν πόλιν καὶ ἀναφυγεῖν ἐς τὰ ἄκρα τοῦ Παρνασοῦ· διαβάντες δὲ ὕστε-

ρον ναυσὶν ἐς Πελοπόννησον γενέσθαι φασὶν Εὐρυσ-
θέως ἱκέται, καὶ σφίσιν Εὐρυσθέα ἅτε ἀπεχθανόμενον
11 τῷ Ἡρακλεῖ δοῦναι τὴν ἐν τῇ Ἀργολίδι Ἀσίνην. Μόνοι
δὲ τοῦ γένους τοῦ Δρυόπων οἱ Ἀσιναῖοι σεμνύνονται καὶ
ἐς ἡμᾶς ἔτι τῷ ὀνόματι, οὐδὲν ὁμοίως καὶ Εὐβοέων οἱ
Στύρα ἔχοντες. εἰσὶ γὰρ καὶ οἱ Στυρεῖς Δρύοπες τὸ ἐξ
ἀρχῆς, ὅσοι τῆς πρὸς τὸν Ἡρακλέα οὐ μετέσχον μάχης ἀπω-
τέρω τῆς πόλεως ἔχοντες τὰς οἰκήσεις. ἀλλὰ οἱ μὲν Στυ-
ρεῖς καλεῖσθαι Δρύοπες ὑπερφρονοῦσι, καθάπερ γε καὶ
οἱ Δελφοὶ πεφεύγασιν ὀνομάζεσθαι Φωκεῖς· Ἀσιναῖοι δὲ
Δρύοπές τε τὰ μάλιστα χαίρουσι καλούμενοι, καὶ τῶν ἱε-
ρῶν τὰ ἁγιώτατά εἰσι δῆλοι κατὰ μνήμην πεποιημένοι
τῶν ποτὲ ἐν Παρνασῷ σφίσιν ἱδρυμένων. τοῦτο μὲν γὰρ
Ἀπόλλωνός ἐστιν αὐτοῖς ναός, τοῦτο δὲ Δρύοπος ἱερὸν
καὶ ἄγαλμα ἀρχαῖον. ἄγουσι καὶ παρὰ ἔτος αὐτῷ τελετήν, 367
12 παῖδα τὸν Δρύοπα Ἀπόλλωνος εἶναι λέγοντες. 7. Κεῖται
δὲ ἐπὶ θαλάσσῃ καὶ αὐτὴ κατὰ τὰ αὐτὰ τῇ ποτὲ ἐν μοίρᾳ
τῇ Ἀργολίδι Ἀσίνῃ· σταδίων δὲ τεσσαράκοντά ἐστιν ἐκ
Κολωνίδων ἐς αὐτὴν ὁδός, τοσαύτη δὲ καὶ ἐκ τῆς Ἀσίνης
πρὸς τὸν Ἀκρίταν καλούμενον. ἀνέχει δὲ ἐς θάλασσαν ὁ
Ἀκρίτας, καὶ νῆσος Θηγανοῦσσά ἐστιν ἔρημος πρὸ αὐτοῦ.
μετὰ δὲ τὸν Ἀκρίταν λιμήν τε Φοινικοῦς καὶ νῆσοι κατ᾽
αὐτὸν Οἰνοῦσσαι.

**XXXV.** Μοθώνη δὲ πρὶν ἢ τὴν στρατιὰν ἐς Τροίαν ἀθροισθῆναι καὶ ἐπὶ τοῦ πρὸς Ἰλίῳ πολέμου καλουμένη Πήδασος μεταβέβληκεν ὕστερον τὸ ὄνομα, ὡς μὲν αὐτοὶ Μοθωναῖοι λέγουσιν, ἀπὸ τῆς Οἰνέως θυγατρός· Οἰνεῖ γὰρ τῷ Πορθάονος μετὰ ἅλωσιν Ἰλίου μετὰ Διομήδους ἀναχωρήσαντι ἐς Πελοπόννησον θυγατέρα φασὶν ἐκ παλλακῆς Μοθώνην γενέσθαι· δόξῃ δὲ ἐμῇ δέδωκε τῷ χωρίῳ τὸ ὄνομα ὁ Μόθων λίθος. οὗτος δέ σφισι καὶ ὁ ποιῶν τὸν λιμένα ἐστί· τόν τε γὰρ ἔσπλουν στενώτερον ταῖς

ναυσὶν ἐργάζεται παρήκων ὕφαλος, καὶ ἅμα μὴ ἐκ βυθοῦ
ταράσσεσθαι τὸν κλύδωνα ἔρυμα ἕστηκεν. 2. Ἐδήλωσα 2
δὲ καὶ ἐν τοῖς ἔμπροσθεν λόγοις ὅτι Ναυπλιεῦσιν ἐπὶ λα-
κωνισμῷ διωχθεῖσι Δαμοκρατίδα βασιλεύοντος ἐν Ἄργει
Μοθώνην Λακεδαιμόνιοι διδόασι, καὶ ὡς οὐδὲ ἐκ τῶν
Μεσσηνίων κατελθόντων ἐγένετο οὐδὲν ἐς αὐτοὺς νεώ-
τερον. ἦσαν δὲ οἱ Ναυπλιεῖς, ἐμοὶ δοκεῖν, Αἰγύπτιοι τὰ
παλαιότερα· παραγενόμενοι δὲ ὁμοῦ Δαναῷ ναυσὶν ἐς
τὴν Ἀργολίδα ὕστερον γενεαῖς τρισὶν ὑπὸ Ναυπλίου τοῦ
Ἀμυμώνης κατῳκίσθησαν ἐν Ναυπλίᾳ. Μοθωναίοις δὲ 3
βασιλεὺς μὲν Τραϊανὸς ἔδωκεν ἐλευθέρους ὄντας ἐν αὐ-
τονομίᾳ πολιτεύεσθαι· 3. Τὰ δὲ ἔτι παλαιότερα μόνοις
σφίσι Μεσσηνίων τῶν ἐπὶ θαλάσσῃ τοιόνδε ἀτύχημα ἰδίᾳ
συνέβη γενέσθαι. τὰ ἐν Ἠπείρῳ τῇ Θεσπρωτίδι ὑπὸ ἀναρ-
368 χίας ἐφθάρη. Δηϊδαμείᾳ γὰρ τῇ Πύρρου παῖδες οὐκ ἐγέ-
νοντο, ἀλλὰ ὡς τελευτᾶν ἔμελλεν, ἐπιτρέπει τῷ δήμῳ τὰ
πράγματα. Θυγάτηρ δὲ ἦν Πύρρου τοῦ Πτολεμαίου τοῦ
Ἀλεξάνδρου τοῦ Πύρρου· τὰ δὲ ἐς Πύρρον τὸν Αἰακίδου 4
πρότερον ἔτι ἐν τῷ λόγῳ τῷ ἐς Ἀθηναίους ἐδήλωσα. Προ-
κλῆς δὲ ὁ Καρχηδόνιος τύχης μὲν χρηστῆς ἕνεκα καὶ διὰ
λαμπρότητα ἔργων ἔνεμεν Ἀλεξάνδρῳ τῷ Φιλίππου
πλέον, τάξαι δὲ ὁπλίτας τε καὶ ἱππικὸν καὶ στρατηγήματα
ἐπὶ ἄνδρας πολεμίους εὑρεῖν Πύρρον ἔφασκεν ἀμείνονα
γενέσθαι. Ἠπειρῶται δὲ ὡς ἐπαύσαντο βασιλεύεσθαι, 5
τά τε ἄλλα ὁ δῆμος ὕβριζε καὶ ἀκροᾶσθαι τῶν ἐν ταῖς
ἀρχαῖς ὑπερεώρων· καὶ σφᾶς οἱ Ἰλλυριοὶ τὰ πρὸς τοῦ
Ἰονίου τὴν Ἤπειρον ὑπεροικοῦντες παρεστήσαντο ἐξ ἐπι-
δρομῆς. οὐ γάρ πω δημοκρατίᾳ ἴσμεν ἄλλους γε ἢ Ἀθη-
ναίους αὐξηθέντας· Ἀθηναῖοι δὲ προήχθησαν ἐπὶ μέγα
ἀπ' αὐτῆς· συνέσει γὰρ οἰκείᾳ τὸ Ἑλληνικὸν ὑπερεβάλ-
λοντο, καὶ νόμοις τοῖς καθεστηκόσιν ἐλάχιστα ἠπείθουν.
369 4. Οἱ δὲ Ἰλλυριοὶ ἀρχῆς τε γεγευμένοι καὶ ἐπιθυμοῦντες 6

*ἀεὶ τοῦ πλείονος ναῦς τε ἐπήξαντο καὶ ἐληΐζοντο ἄλλους*
*τε ὡς ἑκάστους τύχοιεν, καὶ ἐς τὴν Μοθωναίαν σχόντες*
*ὡρμίσαντο οἷα ἐς φιλίαν, στείλαντες δὲ ἄγγελον ἐς την*
*πόλιν ἄγειν σφίσιν οἶνον ἐπὶ τὰ πλοῖα ἐδεήθησαν. ὡς δὲ*
*ἄγοντες ἀφίκοντο ἄνδρες οὐ πολλοί, τόν τε οἶνον ὠνοῦντο*
*ἐπιτιμώντων τῶν Μοθωναίων, καὶ αὐτοί σφισιν ἐπί-*
7 *πρασκον ὧν ἐπήγοντο. Ἐς δὲ τὴν ἐπιοῦσαν ἀφικομένων*
*ἐκ τῆς πόλεως πλειόνων παρέχουσι καὶ τοῖσδε κερδᾶναι.*
*τέλος δὲ γυναῖκες καὶ ἄνδρες κατίασιν ἐπὶ τὰ πλοῖα οἶνόν*
*τε ἀποδόσθαι καὶ ἐκ τῶν βαρβάρων ἀντιληψόμενοι. ἔνθα*
*νῦν ἀποτολμήσαντες οἱ Ἰλλυριοὶ καὶ ἄνδρας πολλοὺς καὶ*
*ἔτι πλείονας τῶν γυναικῶν ἁρπάζουσιν· ἐσθέμενοι δὲ ἐς*
*τὰς ναῦς ἔπλεον τὴν ἐπὶ Ἰονίου, Μοθωναίων ἐρημώσαν-*
*τες τὸ ἄστυ.*

8 5. *Ἐν Μοθώνῃ δὲ ναός ἐστιν Ἀθηνᾶς Ἀνεμώτιδος·*
*Διομήδην δὲ τὸ ἄγαλμα ἀναθεῖναι καὶ τὸ ὄνομα τῇ θεῷ*
*φασὶ θέσθαι. βιαιότεροι γὰρ καὶ οὐ κατὰ καιρὸν πνέον-*
*τες ἐλυμαίνοντο οἱ ἄνεμοι τὴν χώραν· Διομήδους δὲ εὐ-*
*ξαμένου τῇ Ἀθηνᾷ, τὸ ἀπὸ τούτου συμφορά σφισιν οὐδε-*
*μία ἀνέμων γε ἕνεκα ἦλθεν ἐς τὴν γῆν.* 6. *καὶ Ἀρτέμιδος*
*δ' ἱερόν ἐστιν ἐνταῦθα, καὶ ὕδωρ ἐν φρέατι κεκραμένον*
*πίσσῃ, Κυζικηνῷ μύρῳ μάλιστα ἰδεῖν ἐμφερές. παρά-*
9 *σχοιτο δ' ἂν πᾶσαν καὶ χρόαν ὕδωρ καὶ ὀσμήν. Γλαυκό-*
*τατον μὲν οἶδα ὕδωρ θεασάμενος τὸ ἐν Θερμοπύλαις,*
*οὔτι που πᾶν, ἀλλ' ὅσον κάτεισιν ἐς τὴν κολυμβήθραν*
*ἥντινα ὀνομάζουσιν οἱ ἐπιχώριοι Χύτρους γυναικείους.* 370
*ξανθὸν δὲ ὕδωρ, οὐδέν τι ἀποδέον τὴν χρόαν αἵματος,*
*Ἑβραίων ἡ γῆ παρέχεται πρὸς Ἰόππῃ πόλει· θαλάσσης*
*μὲν ἐγγυτάτω τὸ ὕδωρ ἐστί, λόγον δὲ ἐς τὴν πηγὴν λέγου-*
*σιν οἱ ταύτῃ, Περσέα ἀνελόντα τὸ κῆτος ᾧ τὴν παῖδα προ-*
*κεῖσθαι τοῦ Κηφέως, ἐνταῦθα τὸ αἷμα ἀπονίψασθαι.*
10 *Ὕδωρ δὲ ἀπὸ πηγῶν ἀνερχόμενον μέλαν ἰδὼν οἶδα ἐν*

Ἀστύροις· τὰ δὲ Ἄστυρα ἀπαντικρὺ Λέσβου λουτρά ἐστι
θερμὰ ἐν τῷ Ἀταρνεῖ καλουμένῳ. τὸ δὲ χωρίον ἐστὶν ὁ
Ἀταρνεὺς ὁ Χίων μισθός, ὃν παρὰ τοῦ Μήδου λαμβά-
νουσιν ἄνδρα ἐκδόντες ἱκέτην, Πακτύην τὸν Λυδόν.
τοῦτο μὲν δὴ μελαίνεται, Ῥωμαίοις δὲ ὑπὲρ τὴν πόλιν,
διαβάντων τὸν Ἄνιον ὀνομαζόμενον ποταμόν, ὕδωρ λευ-
κόν ἐστιν· ἀνδρὶ δὲ ἐσβάντι ἐς αὐτὸ τὸ μὲν παραυτίκα
ψυχρόν τε πρόσεισι καὶ ἐμποιεῖ φρίκην, ἐπισχόντι δὲ ὀλί-
γον ἅτε φάρμακον θερμαίνει τὸ πυρωδέστατον. καὶ ὅσαις 11
μὲν πηγαῖς θαῦμα ἰδεῖν καὶ ἰδόντι, τοσαύτας θεασάμε-
νος οἶδα, τὰς γὰρ δὴ ἐλάσσονος θαύματος ἐπιστάμενος
παρίημι· ἁλμυρὸν δὲ ὕδωρ καὶ στρυφνὸν οὐ μέγα θαῦμα
ἐξευρεῖν. δύο δὲ ἀλλοῖα· τὸ μὲν τῆς Καρίας ἐν πεδίῳ κα-
λουμένῳ Λευκῷ θερμόν ἐστιν ὕδωρ παρὰ κώμην ὀνομα-
371 ζομένην Δασκύλου, πιεῖν καὶ γάλακτος ἥδιον· τὸν δὲ 12
Ἡρόδοτον οἶδα εἰπόντα ὡς ἐς τὸν ποταμὸν τὸν Ὕπανιν
ἐκδίδωσιν ὕδατος πικροῦ πηγή. πῶς δ' ἂν οὐκ ἀποδεξαί-
μεθα ἀληθεύειν αὐτῷ τὸν λόγον, ὅπου γε καὶ ἐφ' ἡμῶν
ἐν Δικαιαρχίᾳ τῇ Τυρρηνῶν ἐξεύρηται ὕδωρ σφίσι θερ-
μόν, οὕτω δή τι ὀξὺ ὥστε τὸν μόλυβδον, διεξήει γὰρ διὰ
μολύβδου ῥέον, ἔτεσι κατέτηξεν οὐ πολλοῖς.

XXXVI. Ἔστι δὲ ἐκ Μοθώνης ὁδὸς σταδίων μάλιστα
ἑκατὸν ἐπὶ τὴν ἄκραν τὸ Κορυφάσιον· ἐπ' αὐτῇ δὲ ἡ Πύλος
κεῖται. ταύτην ᾤκισε Πύλος ὁ Κλήσωνος, ἀγαγὼν ἐκ τῆς
Μεγαρίδος τοὺς ἔχοντας τότε αὐτὴν Λέλεγας. καὶ τῆς
μὲν οὐκ ὤνατο, ὑπὸ Νηλέως καὶ τῶν ἐξ Ἰωλκοῦ Πελασ-
γῶν ἐκβληθείς· ἀποχωρήσας δὲ ἐς τήν ὅμορον ἔσχεν
ἐνταῦθα Πύλον τὴν ἐν τῇ Ἠλείᾳ. Νηλεὺς δὲ βασιλεύσας
ἐς τοσοῦτο προήγαγεν ἀξιώματος τὴν Πύλον ὡς καὶ Ὅμη-
ρον ἐν τοῖς ἔπεσιν ἄστυ ἐπονομάσαι Νηλήϊον. 2. Ἐνταῦθα 2
ἱερόν ἐστιν Ἀθηνᾶς ἐπίκλησιν Κορυφασίας καὶ οἶκος
καλούμενος Νέστορος· ἐν δὲ αὐτῷ καὶ ὁ Νέστωρ γέγραπ-

ται· καὶ μνῆμα ἐντὸς τῆς πόλεώς ἐστιν αὐτῷ, τὸ δε ὀλίγον ἀπωτέρω τῆς Πύλου Θρασυμήδους φασὶν εἶναι.
**3.** καὶ σπήλαιόν ἐστιν ἐντὸς τῆς πόλεως· βοῦς δὲ ἐνταῦθα τὰς Νέστορος καὶ ἔτι πρότερον Νηλέως φασὶν αὐλίζεσ-
3 θαι. εἴη δ' ἂν Θεσσαλικὸν τὸ γένος τῶν βοῶν τούτων, Ἰφίκλου ποτὲ τοῦ Πρωτεσιλάου πατρός· ταύτας γὰρ δὴ τὰς βοῦς Νηλεὺς ἕδνα ἐπὶ τῇ θυγατρὶ ᾔτει τοὺς μνωμέ- 372
νους, καὶ τούτων ἕνεκα ὁ Μελάμπους χαριζόμενος τῷ ἀδελφῷ Βίαντι ἀφίκετο ἐς τὴν Θεσσαλίαν, καὶ ἐδέθη μὲν ὑπὸ τῶν βουκόλων τοῦ Ἰφίκλου, λαμβάνει δὲ μισθὸν ἐφ' οἷς αὐτῷ δεηθέντι ἐμαντεύσατο. Ἐσπουδάκεσαν δὲ ἄρα οἱ τότε πλοῦτόν τινα συλλέγεσθαι τοιοῦτον, ἵππων καὶ βοῶν ἀγέλας, εἰ δὴ Νηλεύς τε γενέσθαι οἱ βοῦς ἐπεθύμησε τὰς Ἰφίκλου, καὶ Ἡρακλεῖ κατὰ δόξαν τῶν ἐν Ἰβηρίᾳ βοῶν προσέταξεν Εὐρυσθεὺς ἐλάσαι τῶν Γηρυόνου
4 βοῶν τὴν ἀγέλην. Φαίνεται δὲ καὶ Ἔρυξ τότε ἐν Σικελίᾳ δυναστεύων δριμὺν οὕτως ἔχων ἐς τὰς βοῦς τὰς ἐξ Ἐρυθείας ἔρωτα, ὥστε καὶ ἐπάλαισε πρὸς τὸν Ἡρακλέα ἆθλα ἐπὶ τῇ πάλῃ καταθέμενος τάς τε βοῦς ταύτας καὶ ἀρχὴν τὴν ἑαυτοῦ. πεποίηκε δὲ καὶ Ὅμηρος ἐν Ἰλιάδι ὡς Ἰφιδάμας ὁ Ἀντήνορος τὰ πρῶτα τῶν ἕδνων ἑκατὸν βοῦς τῷ πενθερῷ δοίη. ταῦτα μὲν τὸν λόγον μοι βεβαιοῖ, βουσὶ
5 τοὺς τότε χαίρειν μάλιστα ἀνθρώπους. Ἐνέμοντο δέ, ἐμοὶ δοκεῖν, αἱ τοῦ Νηλέως βοῦς ἐν τῇ ὑπερορίᾳ τὰ πολλά· ὑπόψαμμός τε γάρ ἐστιν ὡς ἐπίπαν ἡ τῶν Πυλίων χώρα, καὶ πόαν βουσὶν οὐχ ἱκανὴ τοσαύτην παρασχέσθαι. μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος ἐν μνήμῃ Νέστορος ἐπιλέγων ἀεὶ βασιλέα αὐτὸν ἠμαθόεντος εἶναι Πύλου.

6 **4.** Τοῦ λιμένος δὲ ἡ Σφακτηρία νῆσος προβέβληται, καθάπερ τοῦ ὅρμου τοῦ Δηλίων ἡ Ῥήνεια. ἐοίκασι δὲ αἱ ἀνθρώπειαι τύχαι καὶ χωρία τέως ἄγνωστα ἐς δόξαν προηχέναι. Καφηρέως τε γάρ ἐστιν ὄνομα τοῦ ἐν Εὐβοίᾳ

373 τοῖς σὺν Ἀγαμέμνονι Ἕλλησιν ἐπιγενομένου χειμῶνος
ἐνταῦθα, ὡς ἐκομίζοντο ἐξ Ἰλίου· Ψυττάλειάν τε τὴν
ἐπὶ Σαλαμῖνι ἴσμεν ἀπολομένων ἐν αὐτῇ τῶν Μήδων.
ὡσαύτως δὲ καὶ τὴν Σφακτηρίαν τὸ ἀτύχημα τὸ Λακεδαι-
μονίων γνώριμον τοῖς πᾶσιν ἐποίησεν. Ἀθηναῖοι δὲ καὶ
Νίκης ἀνέθηκαν ἄγαλμα ἐν ἀκροπόλει χαλκοῦν ἐς μνή-
μην τῶν ἐν τῇ Σφακτηρίᾳ.

5. Ἀφικομένων δὲ ἐς Κυπαρισσιὰς ἐκ Πύλου σφίσι 7
πηγὴ ὑπὸ τῇ πόλει πλησίον θαλάσσης ἐστί· ῥυῆναι δὲ
Διονύσῳ τὸ ὕδωρ λέγουσι θύρσῳ πλήξαντι ἐς τὴν γῆν,
καὶ ἐπὶ τούτῳ Διονυσιάδα ὀνομάζουσι τὴν πηγήν. ἔστι
δὲ καὶ Ἀπόλλωνος ἐν Κυπαρισσιαῖς ἱερὸν καὶ Ἀθηνᾶς
ἐπίκλησιν Κυπαρισσίας. ἐν δὲ Αὐλῶνι καλουμένῳ ναὸς
Ἀσκληπιοῦ καὶ ἄγαλμά ἐστιν Αὐλωνίου. κατὰ τοῦτο ὁ
ποταμὸς ἡ Νέδα μεταξὺ τῆς τε Μεσσηνίας ἤδη καὶ τῆς
Ἠλείας διέξεισιν.

---

## ΗΛΙΑΚΩΝ Α.

374 I. Ὅσοι δὲ Ἑλλήνων Πελοποννήσου πέντε εἶναι μοί-
ρας καὶ οὐ πλείονάς φασιν, ἀνάγκη σφᾶς ὁμολογεῖν ὡς
ἐν τῇ Ἀρκάδων οἰκοῦσιν Ἠλεῖοι καὶ Ἀρκάδες, δευτέρα
δὲ Ἀχαιῶν, τρεῖς δὲ ἐπὶ ταύταις αἱ Δωριέων. γένη δὲ οἰ-
κεῖ Πελοπόννησον Ἀρκάδες μὲν αὐτόχθονες καὶ Ἀχαιοί.
375 καὶ οἱ μὲν ὑπὸ Δωριέων ἐκ τῆς σφετέρας ἀνέστησαν, οὐ
μέντοι Πελοποννήσου γε ἐξεχώρησαν, ἀλλὰ ἐκβαλόντες
Ἴωνας νέμονται τὸν Αἰγιαλὸν τὸ ἀρχαῖον, νῦν δὲ ἀπὸ
τῶν Ἀχαιῶν τούτων καλούμενον· οἱ δὲ Ἀρκάδες διατε- 2
λοῦσιν ἐξ ἀρχῆς καὶ ἐς τόδε τὴν ἑαυτῶν ἔχοντες. τὰ δὲ
λοιπὰ ἐπηλύδων ἐστὶν ἀνθρώπων. Κορίνθιοι μὲν γὰρ οἱ

νῦν νεώτατοι Πελοποννησίων εἰσί, καί σφισιν, ἀφ' οὗ
τὴν γῆν παρὰ βασιλέως ἔχουσιν, εἴκοσιν ἔτη καὶ διακόσια
τριῶν δέοντα ἦν ἐς ἐμέ· Δρύοπες δὲ καὶ Δωριεῖς, οἱ
μὲν ἐκ Παρνασοῦ, Δωριεῖς δὲ ἐκ τῆς Οἴτης ἐς Πελοπόν-
νησόν εἰσιν ἀφιγμένοι.
3 2. Τοὺς Ἠλείους ἴσμεν ἐκ Καλυδῶνος διαβεβηκότας
καὶ Αἰτωλίας τῆς ἄλλης. τὰ δὲ ἔτι παλαιότερα ἐς αὐτοὺς
τοιάδε εὕρισκον. βασιλεῦσαι πρῶτον ἐν τῇ γῇ ταύτῃ
λέγουσιν Ἀέθλιον, παῖδα δὲ αὐτὸν Διός τε εἶναι καὶ
Πρωτογενείας τῆς Δευκαλίωνος, Ἀεθλίου δὲ Ἐνδυμίωνα
4 γενέσθαι. τούτου τοῦ Ἐνδυμίωνος Σελήνην φασὶν ἐρα-
σθῆναι, καὶ ὡς θυγατέρες αὐτῷ γένοιντο ἐκ τῆς θεοῦ πεν-
τήκοντα. οἱ δὲ δὴ μᾶλλόν τι εἰκότα λέγοντες Ἐνδυμίωνι
λαβόντι Ἀστεροδίαν γυναῖκα, οἱ δὲ τὴν Ἰτώνου τοῦ Ἀμ-
φικτυόνος Χρομίαν, ἄλλοι δὲ Ὑπερίππην τὴν Ἀρκάδος,
γενέσθαι δ' οὖν φασὶν αὐτῷ Παίονα καὶ Ἐπειόν τε καὶ
Αἰτωλὸν καὶ θυγατέρα ἐπ' αὐτοῖς Εὐρυκύδαν. 3. Ἔθηκε 376
δὲ καὶ ἐν Ὀλυμπίᾳ δρόμου τοῖς παισὶν ἀγῶνα Ἐνδυμίων
ὑπὲρ τῆς ἀρχῆς, καὶ ἐνίκησε καὶ ἔσχε τὴν βασιλείαν
Ἐπειός, καὶ Ἐπειοὶ πρῶτον τότε ὧν ἦρχεν ὠνομάσθησαν.
5 τῶν δὲ ἀδελφῶν οἱ τὸν μὲν καταμεῖναί φασιν αὐτοῦ,
Παίονα δὲ ἀχθόμενον τῇ ἥσσῃ φυγεῖν ὡς πορρωτάτω,
καὶ τὴν ὑπὲρ Ἀξιοῦ ποταμοῦ χώραν ἀπ' αὐτοῦ Παιονίαν
ὀνομασθῆναι. 4. Τὰ δὲ ἐς τὴν Ἐνδυμίωνος τελευτὴν οὐ
κατὰ τὰ αὐτὰ Ἡρακλεῶταί τε οἱ πρὸς Μιλήτῳ καὶ Ἠλεῖοι
λέγουσιν, ἀλλὰ Ἠλεῖοι μὲν ἀποφαίνουσιν Ἐνδυμίωνος
μνῆμα, Ἡρακλεῶται δὲ ἐς Λάτμον τὸ ὄρος ἀποχωρῆσαί
φασιν αὐτόν, ***μουσι, καὶ ἄδυτον Ἐνδυμίωνός ἐστιν
6 ἐν τῷ Λάτμῳ. Ἐπειῷ δὲ γήμαντι Ἀναξιρόην τὴν Κορώνου
θυγάτηρ μὲν Ὑρμίνα, ἄρσεν δὲ οὐκ ἐγένετο αὐτῷ γένος.
5. καὶ τάδε ἄλλα συνέβη κατ' Ἐπειὸν βασιλεύοντα. Οἰ-
νόμαος ὁ Ἀλξίωνος, Ἄρεως δὲ καθὰ ποιηταί τε ἐπεφήμι-

σαν καὶ τῶν πολλῶν ἐστὶν ἐς αὐτὸν λόγος, οὗτος δυνα-
στεύων περὶ τὴν Πισαίαν καλουμένην ὁ Οἰνόμαος ἐπαύθη
τῆς ἀρχῆς διαβάντος Πέλοπος τοῦ Λυδοῦ ἐκ τῆς Ἀσίας.
Πέλοψ δὲ ἀποθανόντος Οἰνομάου τήν τε Πισαίαν ἔσχε 7
καὶ Ὀλυμπίαν, ἀποτεμόμενος τῆς Ἐπειοῦ χώρας ὅμορον
οὖσαν τῇ Πισαίᾳ. Ἑρμοῦ τε ἐν Πελοποννήσῳ ναὸν ἱδρύ-
σασθαι καὶ θῦσαι τῷ θεῷ Πέλοπα ἔλεγον οἱ Ἠλεῖοι πρῶ-
τον, ἀποτρεπόμενον τὸ ἐπὶ τῷ Μυρτίλου θανάτῳ μήνιμα
ἐκ τοῦ θεοῦ.

6. Αἰτωλῷ δὲ μετὰ Ἐπειὸν βασιλεύσαντι συνέπεσεν 8
ἐκ Πελοποννήσου φυγεῖν, ὅτι αὐτὸν οἱ Ἄπιδος παῖδες
ἐφ' αἵματι ἀκουσίῳ δίκην εἷλον· Ἆπιν γὰρ τὸν Ἰάσονος
ἐκ Παλλαντίου τοῦ Ἀρκάδων ἀπέκτεινεν Αἰτωλὸς ἐπελά-
σας τὸ ἅρμα τεθέντων ἐπὶ Ἀζᾶνι ἄθλων. ἀπὸ μὲν Αἰτω-
λοῦ τοῦ Ἐνδυμίωνος οἱ περὶ τὸν Ἀχελῷον οἰκοῦντες
ἐκλήθησαν, φυγόντος ἐς ταύτην τὴν ἤπειρον· τὴν δὲ
Ἐπειῶν ἔσχεν ἀρχὴν Ἠλεῖος Εὐρυκύδας τε τῆς Ἐνδυ-
μίωνος καί, ὅτῳ πιστά, πατρὸς ὢν Ποσειδῶνος. καὶ τὸ
ὄνομα οἱ ἄνθρωποι τὸ νῦν ἀντὶ Ἐπειῶν ἀπὸ τοῦ Ἠλείου
377 μεταβεβλήκασιν.

7. Ἠλείου δὲ ἦν Αὐγέας· οἱ δὲ ἀποσεμνύνοντες τὰ 9
ἐς αὐτόν, παρατρέψαντες τοῦ Ἠλείου τὸ ὄνομα, Ἡλίου
φασὶν Αὐγέαν παῖδα εἶναι. τούτῳ βοῦς τῷ Αὐγέᾳ καὶ
αἰπόλια τοσαῦτα ἐγένετο ὡς καὶ τῆς χώρας αὐτῷ τὰ πολλὰ
ἤδη διατελεῖν ἀργὰ ὄντα ὑπὸ τῶν βοσκημάτων τῆς κόπρου.
Ἡρακλέα οὖν, εἴτε ἐπὶ μοίρᾳ τῆς Ἠλείας εἴτε ἐφ' ὅτῳ δὴ
καὶ ἄλλῳ μισθῷ, πείθει οἱ καθῆραι τῆς κόπρου τὴν γῆν.
καὶ ὁ μὲν καὶ τοῦτο ἐξειργάσατο ἐκτρέψας τοῦ Μηνίου 10
τὸ ῥεῦμα ἐς τὸν κόπρον· Αὐγέας δέ, ὅτι τῷ Ἡρακλεῖ σο-
φίᾳ πλέον καὶ οὐ σὺν πόνῳ τὸ ἔργον ἤνυστο, αὐτός τε
ἀποδοῦναί οἱ τὸν μισθὸν ἀπηξίου, καὶ τῶν παίδων τῶν
ἀρσένων τὸν πρεσβύτερον Φυλέα ἐξέβαλεν ἀντειπόντα

ὡς οὐ δίκαια ποιοῖ πρὸς ἄνδρα εὐεργέτην. αὐτὸς δὲ τά τε ἄλλα παρεσκευάζετο ὡς τὸν Ἡρακλέα ἀμυνούμενος, ἣν ἐπὶ τὴν Ἦλιν στρατεύηται, καὶ τοὺς παῖδας τοὺς Ἄκ-
11 τορος καὶ Ἀμαρυγκέα ἐπηγάγετο ἐς φιλίαν· 8. Ἦν δὲ ὁ Ἀμαρυγκεὺς ἄλλως μὲν ἀγαθὸς τὰ ἐς τὸν πόλεμον, ὁ δέ οἱ πατὴρ Πυττίος Θεσσαλὸς τὰ ἄνωθεν ἦν καὶ ἐς τὴν Ἠλείαν ἀφίκετο ἐκ Θεσσαλίας. Ἀμαρυγκεῖ μὲν δὴ καὶ ἀρχῆς ἐν Ἠλείᾳ μετέδωκεν ὁ Αὐγέας· Ἄκτορι δὲ καὶ τοῖς παισὶ γένος τε ἦν ἐπιχώριον, βασιλείας τε μετῆν σφίσιν. Ἄκτωρ γὰρ πατρὸς μὲν Φόρβαντος ἦν τοῦ Λαπίθου, μητρὸς δὲ Ὑρμίνης τῆς Ἐπειοῦ· καὶ ᾤκισεν ἀπ' αὐτῆς Ἄκτωρ πόλιν Ὑρμίναν ἐν τῇ Ἠλείᾳ.

II. Τῷ δὲ Ἡρακλεῖ πρὸς τὸν Αὐγέαν πολεμοῦντι οὐδὲν ὑπῆρχεν ἀποδείκνυσθαι λαμπρόν· ἅτε γὰρ καὶ τόλμῃ καὶ ταῖς ἡλικίαις τοῦ Ἄκτορος τῶν παίδων ἀκμαζόντων, ἐτρέπεθ' ὑπ' αὐτῶν ἀεὶ τὸ συμμαχικὸν τοῦ Ἡρακλέους, ἐς ὃ Ἰσθμικὰς σπονδὰς Κορινθίων ἐπαγγειλάντων καὶ θεωρῶν ἐς τὸν ἀγῶνα ἐρχομένων τῶν υἱῶν τοῦ Ἄκτορος, ἀπέκτεινε σφᾶς λοχήσας ὁ Ἡρακλῆς ἐν Κλεωναῖς. 2. Ἀφα- 378
νοῦς δὲ ὄντος τοῦ εἰργασμένου τὸν φόνον, μάλιστα ἐποιεῖτο ἡ Μολίνη σπουδὴν τῶν παίδων τὸν αὐτόχειρα
2 ἐξευρεῖν. ὡς δὲ ἔμαθεν, ἐνταῦθα οἱ Ἠλεῖοι δίκας τοῦ φόνου παρὰ Ἀργείων ἀπῄτουν· τηνικαῦτα γὰρ ἔτυχεν Ἡρακλῆς ἐν Τίρυνθι οἰκῶν. μὴ διδόντων δέ σφισι δίκας τῶν Ἀργείων, οἱ δὲ δεύτερα ἐνέκειντο Κορινθίοις, ἔκσπονδον τὸ Ἀργολικὸν πᾶν τοῦ ἀγῶνος γενέσθαι τοῦ Ἰσθμικοῦ. 3. ὡς δὲ ἡμάρτανον καὶ τούτου, Μολίνην θέσθαι φασὶν ἐπὶ τοῖς πολίταις κατάρας, ἢν Ἰσθμίων μὴ θέλωσιν εἴργεσθαι. φυλάσσουσι δὲ τῆς Μολίνης καὶ ἐς τόδε ἔτι τὰς κατάρας, καὶ ὅσοι τὰ σώματα ἀσκοῦσιν Ἠλείων οὔ σφισιν ἐς τὸν ἀγῶνα ἐσελθεῖν καθέστηκε τὸν
3 Ἰσθμικόν. 4. Διάφοροι δὲ τῷ εἰρημένῳ δύο εἰσὶν ἄλλοι

λόγοι. τούτων δὲ ὁ μὲν Κύψελον τὸν τυραννήσαντα Κο-
ρινθίων φησὶν ἄγαλμα ἀναθεῖναι τῷ Διὶ χρυσοῦν ἐς
Ὀλυμπίαν, προαποθανόντος δὲ τοῦ Κυψέλου πρὶν ἐπὶ
τῷ ἀναθήματι τὸ ὄνομα ἐπιγράψαι τὸ αὑτοῦ, τοὺς Κοριν-
θίους παρὰ Ἠλείων αἰτεῖν δοῦναί σφισιν ἐπιγράψαι δη-
μοσίᾳ τὴν πόλιν ἐπὶ τῷ ἀναθήματι, οὐ τυχόντας δὲ ὀργῇ
τε ἐς τοὺς Ἠλείους χρῆσθαι καὶ προειπεῖν σφίσιν Ἰσθ-
μίων εἴργεσθαι. πῶς ἂν οὖν Κορινθίοις αὐτοῖς τοῦ ἀγῶ-
νος μετῆν τοῦ ἐν Ὀλυμπίᾳ, εἰ δὴ ἄκοντάς γε Ἠλείους
ἀπὸ τῶν Ἰσθμίων εἶργον; ὁ δὲ ἕτερος ἔχει τῶν λόγων 4
Προλάῳ παῖδας ἀνδρὶ παρὰ Ἠλείοις δοκίμῳ καὶ τῇ γυ-
ναικὶ αὐτοῦ Λυσίππῃ Φίλανθον καὶ Λάμπον γενέσθαι·
τούτους ἐπὶ τὸν ἀγῶνα ἐλθόντας τῶν Ἰσθμίων παγκρα-
τιάσοντα ἐν παισί, τὸν δὲ αὐτῶν παλαίσοντα, ὑπὸ τῶν
ἀνταγωνιστῶν πρὶν ἢ ἐς τὸν ἀγῶνα ἐσελθεῖν ἀποπνιγῆ-
379 ναι σφᾶς ἢ καὶ ἄλλῳ τῳ τρόπῳ διαχρησθῆναι· καὶ οὕτω
τὰς ἐπὶ τοῖς Ἠλείοις, ἣν Ἰσθμίων μὴ ἑκόντες εἴργωνται,
Λυσίππης ἀρὰς εἶναι. Δείκνυται δὲ καὶ ὅδε εὐήθης ὢν ὁ
λόγος. Τίμωνι γὰρ ἀνδρὶ Ἠλείῳ γεγόνασι πεντάθλου 5
νῖκαι τῶν ἐν Ἕλλησιν ἀγώνων, καί οἱ καὶ εἰκών ἐστιν ἐν
Ὀλυμπίᾳ καὶ ἐλεγεῖον στεφάνους τε ὁπόσους ἀνείλετο ὁ
Τίμων λέγον, καὶ δὴ καὶ αἰτίαν δι' ἥντινα Ἰσθμικῆς οὐ
μέτεστιν αὐτῷ νίκης· καὶ ἔχει τὰ ἐς τοῦτο τὸ ἐλεγεῖον,

Σισυφίαν δὲ μολεῖν χθόν' ἐκώλυεν ἀνέρα νείκη
ἀμφὶ Μολιονιδᾶν οὐλομένῳ θανάτῳ.

III. Τάδε μὲν ἡμῖν ἐς τοσοῦτον ἐξητάσθω, Ἡρακλῆς δὲ εἷλεν ὕστερον καὶ ἐπόρθησεν Ἦλιν, στρατιὰν παρά τε Ἀργείων καὶ ἐκ Θηβῶν ἀθροίσας καὶ Ἀρκάδας. ἤμυναν δὲ καὶ Ἠλείοις οἱ ἐκ Πύλου τοῦ ἐν τῇ Ἠλείᾳ καὶ οἱ Πισαῖοι. καὶ τοὺς μὲν ἐτιμωρήσατο αὐτῶν ὁ Ἡρακλῆς· τῆς δὲ ἐπὶ τοὺς Πισαίους στρατείας αὐτὸν χρησμὸς ἐπέσχεν ἐκ Δελφῶν ἔχων οὕτω·

Πατρὶ μέλει Πίσης, Πυθὼ δ' ἐμοὶ ἐγγυάλιξεν.

τοῦτο μὲν δὴ σωτηρία Πισαίοις τὸ μάντευμα ἐγένετο.
2. Φυλεῖ δὲ ὁ Ἡρακλῆς τήν τε χώραν ἀνέδωκε τὴν Ἠλείαν
καὶ τἆλλα, αἰδοῖ τοῦ Φυλέως μᾶλλον ἢ αὐτὸς ἑκουσίως,
τά τε αἰχμάλωτα ἐφίησιν ἔχειν αὐτῷ καὶ Αὐγέαν μὴ ὑπο-
2 σχεῖν δίκην. 3. Τῶν δὲ Ἠλείων αἱ γυναῖκες, ἅτε τῶν ἐν
ἡλικίᾳ σφίσιν ἠρημωμένης τῆς χώρας, εὔξασθαι τῇ Ἀθηνᾷ
λέγονται κυῆσαι παραυτίκα, ἐπειδὰν μιχθῶσι τοῖς ἀν-
δράσι· καὶ ἥ τε εὐχή σφισιν ἐτελέσθη, καὶ Ἀθηνᾶς ἱερὸν
ἐπίκλησιν Μητρὸς ἱδρύσαντο. ὑπερησθέντες δὲ ἀμφό-
τεροι τῇ μίξει καὶ αἱ γυναῖκες καὶ οἱ ἄνδρες, ἔνθα συνεγέ- 380
νοντο ἀλλήλοις πρῶτον, αὐτό τε τὸ χωρίον Βαδὺ ὀνομά-
ζουσι καὶ ποταμὸν τὸν ῥέοντα ἐνταῦθα ὕδωρ Βαδὺ ἐπι-
χωρίῳ φωνῇ.
3 4. Φυλέως δέ, ὡς τὰ ἐν τῇ Ἤλιδι κατεστήσατο, αὖθις
ἐς Δουλίχιον ἀποχωρήσαντος, Αὐγέαν μὲν τὸ χρεὼν ἐπέ-
λαβε προήκοντα ἐς γῆρας, βασιλείαν δὲ τὴν Ἠλείων
Ἀγασθένης ἔσχεν ὁ Αὐγέου καὶ Ἀμφίμαχός τε καὶ Θάλ-
πιος· Ἄκτορος γὰρ τοῖς παισὶν ἀδελφὰς ἐσαγαγομένοις
διδύμας ἐς τὸν οἶκον, Δεξαμενοῦ θυγατέρας ἐν Ὠλένῳ
βασιλεύοντος, τῷ μὲν ἐκ Θηρονίκης Ἀμφίμαχος, Εὐρύτῳ
4 δὲ ἐκ Θηραιφόνης ἐγεγόνει Θάλπιος. οὐ μὴν οὐδὲ Ἀμα-
ρυγκεὺς οὔτε αὐτὸς διέμεινεν ἰδιωτεύων οὔτε Διώρης
ὁ Ἀμαρυγκέως. ἃ δὴ καὶ Ὅμηρος παρεδήλωσεν ἐν κατα-
λόγῳ τῶν Ἠλείων, τὸν μὲν σύμπαντα αὐτῶν στόλον ποιή-
σας τεσσαράκοντα εἶναι νεῶν, τούτων δὲ τὰς ἡμισείας
ὑπὸ Ἀμφιμάχῳ τετάχθαι καὶ Θαλπίῳ, τῶν λοιπῶν δὲ
εἴκοσι, δέκα μὲν ναυσὶν Διώρην τὸν Ἀμαρυγκέως ἡγεῖ-
σθαι, τοσαύταις δὲ ἑτέραις Πολύξενον τὸν Ἀγασθένους.
Πολυξένῳ δὲ ἀνασωθέντι ἐκ Τροίας ἐγένετο υἱὸς Ἀμφί-
μαχος· τὸ δὲ ὄνομα τῷ παιδὶ ἔθετο ὁ Πολύξενος κατὰ
φιλίαν, ἐμοὶ δοκεῖν, πρὸς Ἀμφίμαχον τὸν Κτεάτου τελευ-

τήσαντα ἐν Ἰλίῳ· Ἀμφιμάχου δὲ Ἠλεῖος· 5. καὶ ἐπὶ Ἠλείου 5
βασιλεύοντος ἐν Ἤλιδι, τηνικαῦτα ὁ Δωριέων στόλος
σὺν τοῖς Ἀριστομάχου παισὶν ἠθροίζετο ἐπὶ καθόδῳ τῇ
ἐς Πελοπόννησον. γίνεται δὲ τοῖς βασιλεῦσιν αὐτῶν λό-
γιον τόδε, ἡγεμόνα τῆς καθόδου ποιεῖσθαι τὸν τριόφ-
θαλμον. ἀποροῦσι δέ σφισιν ὅ τι ὁ χρησμὸς ἐθέλοι συν-
έτυχεν ἐλαύνων ἀνὴρ ἡμίονον, ὁ δὲ ἕτερος διέφθαρτο
τῷ ἡμιόνῳ τῶν ὀφθαλμῶν. Κρεσφόντου δὲ συμφρονή- 6
σαντος ὡς ἐς τοῦτον τὸν ἄνδρα ἔχοι τὸ μάντευμα, οὕτως
ᾠκειώσαντο αὐτὸν οἱ Δωριεῖς. ὁ δὲ σφᾶς ναυσὶν ἐκέλευεν
381 ἐς Πελοπόννησον κατιέναι, μηδὲ στρατῷ πεζῷ διὰ τοῦ
Ἰσθμοῦ πειρᾶσθαι. ταῦτά τε δὴ παρήνεσε, καὶ ἅμα τὸν
ἐς Μολύκριον ἐκ Ναυπάκτου πλοῦν καθηγήσατο αὐτοῖς·
οἱ δὲ ἀντὶ τούτου δεηθέντι τὴν Ἠλείαν γῆν συνέθεντο
αὐτῷ δώσειν. Ὁ δὲ ἀνὴρ ἦν Ὄξυλος ὁ Αἵμονος τοῦ Θόαν-
τος· Θόας δὲ ἦν οὗτος ὃς καὶ τοῖς Ἀτρέως παισὶν ἀρχὴν
συγκαθεῖλε τὴν Πριάμου. γενεαὶ δὲ ἀπὸ Θόαντος ἀνή-
κουσιν ἓξ ἐς Αἰτωλὸν τὸν Ἐνδυμίωνος. Ἦσαν δὲ οἱ Ἡρα- 7
κλεῖδαι συγγενεῖς καὶ ἄλλως τοῖς ἐν Αἰτωλίᾳ βασιλεῦσι,
καὶ ἀδελφαὶ Θόαντι τῷ Ἀνδραίμονος καὶ Ὕλλῳ τῷ
Ἡρακλέους ἦσαν αἱ μητέρες. συνεπεπτώκει δὲ τῷ Ὀξύ-
λῳ φυγάδι ἐξ Αἰτωλίας εἶναι· δισκεύοντα γάρ φασιν
ἁμαρτεῖν αὐτὸν καὶ ἐξεργάσασθαι φόνον ἀκούσιον, τὸν
δὲ ἀποθανόντα ὑπὸ τοῦ δίσκου [τὸν] ἀδελφὸν εἶναι
τοῦ Ὀξύλου Θέρμιον, οἱ δὲ Ἀλκιδόκου τὸν Σκοπίου.

IV. Λέγεται δὲ καὶ ἄλλο ἐπὶ τῷ Ὀξύλῳ τοιόνδε, ὡς
τοὺς παῖδας ὑποπτεύσειε τοῦ Ἀριστομάχου, μὴ τὴν
Ἠλείαν τε ἰδόντες ἀγαθὴν οὖσαν καὶ ἐξειργασμένην διὰ
πάσης οὐκ ἐθελήσωσιν ἔτι αὐτῷ διδόναι τὴν γῆν, καὶ
382 τοῦδε ἕνεκα διὰ τῶν Ἀρκάδων καὶ οὐ διὰ τῆς Ἠλείας τοῖς
Δωριεῦσιν ἡγήσατο. Ὀξύλῳ δὲ σπεύσαντι ἀμαχεὶ λαβεῖν
τὴν Ἠλείων ἀρχὴν Δῖος οὐκ εἶκε, πρόκλησιν δὲ ἐποιεῖτο

μὴ σφᾶς παρασκευῇ τῇ πάσῃ διακινδυνεῦσαι, προκριθῆναι δὲ ἀφ' ἑκατέρων στρατιώτην ἕνα ἐς τὴν μάχην· καί
2 πως συνήρεσε ταῦτα ἀμφοτέροις. οἱ δὲ ἐς τὸ ἔργον προταχθέντες Δέγμενός τε Ἠλεῖος ἦν τοξότης καὶ παρὰ τῶν Αἰτωλῶν Πυραίχμης σφενδόνην δεδιδαγμένος. κρατήσαντος δὲ τοῦ Πυραίχμου τήν τε βασιλείαν ἔσχεν Ὄξυλος, καὶ Ἐπειοὺς τοὺς ἀρχαίους τὰ μὲν ἄλλα εἴασεν ἐπὶ τῆς αὐτῶν μένειν, συνοίκους δέ σφισι τοὺς Αἰτωλοὺς ἐπὶ ἀναδασμῷ τῆς χώρας ἐπεισήγαγε. καὶ Δίῳ τε ἀπένειμε γέρα, καὶ ἥρωσι τοῖς τε ἄλλοις κατὰ τὰ ἀρχαῖα ἐφύλαξε τὰς τιμὰς καὶ Αὐγέᾳ τὰ ἐς τὸν ἐναγισμὸν ἔτι καὶ ἐς ἡμᾶς
3 αὐτῷ καθεστηκότα. λέγεται δὲ ὡς καὶ τοὺς ἀνθρώπους ἐκ τῶν κωμῶν, ὅσοι τοῦ τείχους οὐ πολὺ ἀφεστήκεσαν, κατελθεῖν ἔπεισεν ἐς τὴν πόλιν, καὶ πλήθει τε οἰκητόρων μείζονα καὶ εὐδαιμονεστέραν ἐς τὰ ἄλλα ἀπέφηνε τὴν Ἦλιν. 2. Ἀφίκετο δὲ αὐτῷ καὶ ἐκ Δελφῶν χρησμός, τὸν Πελοπίδην ἐπάγεσθαι συνοικιστήν· Ὄξυλος δὲ τὴν ζήτησιν ἐποιεῖτο σπουδῇ, καὶ ἀναζητῶν εὗρεν Ἀγώριον τὸν Δαμασίου τοῦ Πενθίλου τοῦ Ὀρέστου, καὶ αὐτόν τε ἐξ Ἑλίκης τῆς Ἀχαιῶν καὶ σὺν τῷ Ἀγωρίῳ μοῖραν τῶν
4 Ἀχαιῶν ἐπηγάγετο οὐ πολλήν. τῷ δὲ Ὀξύλῳ Πιερίαν μὲν τῇ γυναικὶ ὄνομα εἶναι λέγουσι, πέρα δὲ τὰ ἐς αὐτὴν οὐ μνημονεύουσιν. Ὀξύλου δὲ γενέσθαι παῖδάς φασιν Αἰτωλὸν καὶ Λαΐαν. προαποθανόντος δὲ Αἰτωλοῦ, θάπτουσιν αὐτὸν οἱ γονεῖς ἐν αὐτῇ ποιησάμενοι τῇ πύλῃ τὸ μνῆμα, ἥτις ἐπ' Ὀλυμπίαν καὶ τὸ ἱερὸν ἄγει τοῦ Διός. ἔθαψαν δὲ αὐτὸν οὕτω κατὰ μαντείαν, ὡς μήτε ἐκτὸς τῆς πόλεως 383
μήτε ἐντὸς γένοιτο ὁ νεκρός. ἐναγίζει δὲ ὁ γυμνασίαρχος ἔτι καὶ ἐς ἐμὲ καθ' ἕκαστον ἔτος τῷ Αἰτωλῷ.

5 3. Μετὰ δὲ Ὄξυλον Λαΐας ἔσχεν ὁ Ὀξύλου τὴν ἀρχήν. οὐ μὴν τούς γε ἀπογόνους αὐτοῦ βασιλεύοντας εὕρισκον, καὶ σφᾶς ἐπιστάμενος ὅμως παρίημι· οὐ γάρ τί

μοι καταβῆναι τὸν λόγον ἠθέλησα ἐς ἄνδρας ἰδιώτας.
4. χρόνῳ δὲ ὕστερον Ἴφιτος, γένος μὲν ὢν ἀπὸ Ὀξύλου,
ἡλικίαν δὲ κατὰ Λυκοῦργον τὸν γράψαντα Λακεδαιμονίοις
τοὺς νόμους, τὸν ἀγῶνα διέθηκεν ἐν Ὀλυμπίᾳ, πανήγυ
ρίν τε Ὀλυμπικὴν αὖθις ἐξ ἀρχῆς καὶ ἐκεχειρίαν κατεστή-
σατο, ἐκλιπόντα ἐπὶ χρόνον, ὁπόσος δὴ οὗτος ἦν. αἰτίαν
δὲ δι' ἥντινα ἐξέλιπε τὰ Ὀλύμπια, ἐν τοῖς ἔχουσιν ἐς
Ὀλυμπίαν τοῦ λόγου δηλώσω. τῷ δὲ Ἰφίτῳ, φθειρομέ- 6
νης τότε δὴ μάλιστα τῆς Ἑλλάδος ὑπὸ ἐμφυλίων στάσεων
καὶ ὑπὸ νόσου λοιμώδους, ἐπῆλθεν αἰτῆσαι τὸν ἐν Δελ-
φοῖς θεὸν λύσιν τῶν κακῶν· καί οἱ προσταχθῆναί φασιν
ὑπὸ τῆς Πυθίας ὡς αὐτόν τε Ἴφιτον δέοι καὶ Ἠλείους
τὸν Ὀλυμπικὸν ἀγῶνα ἀνανεώσασθαι. ἔπεισε δὲ Ἠλείους
Ἴφιτος καὶ Ἡρακλεῖ θύειν, τὸ πρὸ τούτου πολέμιόν σφι-
σιν Ἡρακλέα εἶναι νομίζοντας. Τὸν δὲ Ἴφιτον τὸ ἐπί-
γραμμα τὸ ἐν Ὀλυμπίᾳ φησὶν Αἵμονος παῖδα εἶναι, Ἑλ-
λήνων δὲ οἱ πολλοὶ Πραξωνίδου καὶ οὐχ Αἵμονος εἶναί
φασι· τὰ δὲ Ἠλείων γράμματα ἀρχαῖα ἐς πατέρα ὁμώνυ-
μον ἀνῆγε τὸν Ἴφιτον.

5. Ἠλείοις δὲ μέτεστι μὲν πολέμου τοῦ πρὸς Ἰλίῳ, μέ- 7
τεστι δὲ καὶ ἔργων τῶν κατὰ τὴν Μήδων ἐς τὴν Ἑλλάδα
ἔφοδον. ὑπερβάντων δὲ ὅσοι σφίσιν ἐγένοντο κίνδυνοι
πρὸς Πισαίους τε καὶ Ἀρκάδας ὑπὲρ τῆς διαθέσεως τοῦ
ἀγῶνος τοῦ ἐν Ὀλυμπίᾳ, συνεσέβαλον μὲν Λακεδαιμονί-
οις ἀκουσίως ἐς τὴν Ἀθηναίων, συνέστησαν δὲ μετὰ οὐ
πολὺν χρόνον ἐπὶ Λακεδαιμονίους Μαντινεῦσιν ὁμοῦ καὶ
384 Ἀργείοις, ἐπαγόμενοι καὶ τὸ Ἀττικὸν ἐς τὴν συμμαχίαν. 8
κατὰ δὲ τὴν Ἄγιδος ἐπιστρατείαν ἐς τὴν γῆν καὶ τὴν προ-
δοσίαν τὴν Ξενίου μάχῃ μὲν περὶ Ὀλυμπίαν νικῶσιν
Ἠλεῖοι, καὶ τροπὴν ἐργασάμενοι τῶν Λακεδαιμονίων ἐκ
τοῦ περιβόλου σφᾶς ἐξήλασαν τοῦ ἱεροῦ· χρόνῳ δὲ ὕστε-
ρον ἐπαύθη σφίσιν ὁ πόλεμος κατὰ τὰς συνθήκας ἃς ἐγὼ

πρότερον ἔτι ἐν τῷ λόγῳ τῷ ἐς Λακεδαιμονίους ἐδήλωσα.
9 Φιλίππου δὲ τοῦ Ἀμύντου οὐκ ἐθέλοντος ἀποσχέσθαι τῆς Ἑλλάδος προσεχώρησαν μὲν ἐς τὴν συμμαχίαν τῶν Μακεδόνων οἱ Ἠλεῖοι, στάσει κακωθέντες ὑπὸ ἀλλήλων, μαχεσθῆναι δὲ οὐχ ὑπέμειναν τοῖς Ἕλλησιν ἐναντία ἐν Χαιρωνείᾳ. τῆς δὲ ἐφόδου Φιλίππῳ τῆς ἐπὶ Λακεδαιμονίους μετέσχον κατὰ ἔχθος ἐς αὐτοὺς τὸ ἀρχαῖον. ἀποθανόντος δὲ Ἀλεξάνδρου Μακεδόσι καὶ Ἀντιπάτρῳ μετὰ Ἑλλήνων ἐπολέμησαν.

V. Χρόνῳ δὲ ὕστερον Ἀριστότιμος ὁ Δαμαρέτου τοῦ Ἐτύμονος τυραννίδα ἔσχεν ἐν Ἠλείᾳ, συμπαρασκευάσαντος αὐτῷ τὰ ἐς τὴν ἐπίθεσιν Ἀντιγόνου τοῦ Δημητρίου βασιλεύοντος ἐν Μακεδονίᾳ. τὸν δὲ Ἀριστότιμον μῆνας τυραννήσαντα ἓξ καταλύουσιν ἐπαναστάντες Χίλων καὶ Ἑλλάνικος καὶ Λάμπις τε καὶ Κύλων. οὗτος δὲ καὶ αὐτοχειρίᾳ τὸν τύραννον ἀπέκτεινεν ὁ Κύλων ἐπὶ Διὸς Σωτῆρος βωμὸν καταφυγόντα ἱκέτην. τὰ μὲν δὴ ἐς πόλεμον τοιαῦτα ὑπῆρχεν Ἠλείοις, ὡς περὶ αὐτῶν ἡμῖν ἐν τῷ παρόντι ἀπαριθμῆσαι μετρίως.

2 2. Θαυμάσαι δ' ἄν τις ἐν τῇ γῇ τῇ Ἠλείᾳ τήν τε βύσσον, ὅτι ἐνταῦθα μόνον, ἑτέρωθι δὲ οὐδαμοῦ τῆς Ἑλλάδος φύεται, καὶ ὅτι ἐν τῇ ὑπερορίᾳ καὶ οὐκ ἐντὸς τῆς χώρας αἱ ἵπποι σφίσιν ἐκύϊσκον ἐκ τῶν ὄνων. καὶ τούτου μὲν κατάραν τινὰ ἐλέγετο γενέσθαι τὸ αἴτιον· ἡ 385
δὲ βύσσος ἡ ἐν τῇ Ἠλείᾳ λεπτότητος μὲν ἕνεκα οὐκ ἀποδεῖ τῆς Ἑβραίων, ἔστι δὲ οὐχ ὁμοίως ξανθή.

3 3. Ἰόντι δὲ ἀπὸ τῆς Ἠλείας χωρίον ἐστὶν ἐπὶ θάλασσαν καθῆκον, ὃ ὀνομάζεται μὲν Σαμικόν, ἐν δεξιᾷ δὲ ὑπὲρ αὐτὸ ἥ τε Τριφυλία καλουμένη καὶ πόλις ἐστὶν ἐν τῇ Τριφυλίᾳ Λέπρεος. ἐθέλουσι μὲν δὴ οἱ Λεπρεᾶται μοῖρα εἶναι τῶν Ἀρκάδων, φαίνονται δὲ Ἠλείων κατήκοοι

τὸ ἐξ ἀρχῆς ὄντες· καὶ ὅσοι αὐτῶν Ὀλύμπια ἐνίκησαν,
Ἠλείους ἐκ Λεπρέου σφᾶς ὁ κῆρυξ ἀνεῖπε. καὶ Ἀριστο-
φάνης ἐποίησεν ὡς Λέπρεος εἴη πόλισμα Ἠλείων. ἔστι
δὲ ὁδὸς ἐς Λέπρεον ἀπὸ μὲν Σαμικοῦ τὸν Ἄνιγρον ποτα-
μὸν ἀφέντι ἐν ἀριστερᾷ, ἑτέρα δὲ ἐξ Ὀλυμπίας, τρίτη δὲ
ἐξ Ἤλιδος· ἡμερήσιος δὲ αὐτῶν ἐστὶν ἡ μακροτάτη. 4. Τε- 4
θῆναι δὲ τῇ πόλει τὸ ὄνομά φασιν ἀπὸ τοῦ οἰκιστοῦ Λε-
πρέου τοῦ Πυργέως. ἐλέγετο δὲ καὶ ὡς πρὸς Ἡρακλέα
ἐρίσειεν ὁ Λεπρέος μὴ ἀποδεῖν τοῦ Ἡρακλέους ἐσθίων·
ἐπεὶ δὲ ἑκάτερος βοῦν αὐτῶν ἐν ἴσῳ τῷ καιρῷ κατέσφαξε
καὶ εὐτρέπισεν ἐς τὸ δεῖπνον, καὶ ἦν, ὥσπερ καὶ ὑφίστατο,
ὁ Λεπρέος φαγεῖν οὐκ ἀδυνατώτερος τοῦ Ἡρακλέους,
ἐτόλμησε τὸ μετὰ τοῦτο προκαλέσασθαι καὶ ἐς ἀγῶνα
ὅπλων αὐτόν. καὶ ἀποθανεῖν τε Λεπρέον κρατηθέντα τῇ
μάχῃ καὶ ἐν τῇ Φιγαλέων ταφῆναι λέγουσιν· οὐ μὴν εἶχόν
γε οἱ Φιγαλεῖς ἀποφῆναι Λεπρέου μνῆμα. ἤδη δὲ ἤκουσα 5
θυγατρὶ τοῦ Πυργέως Λεπρέᾳ προσποιούντων τὸν οἰκισ-
386 μόν. οἱ δὲ τοῖς πρῶτον οἰκήσασιν ἐν τῇ γῇ νόσον φασὶν
ἐπιγενέσθαι λέπραν, καὶ οὕτω τὸ ὄνομα λαβεῖν τὴν πόλιν
ἐπὶ τῶν οἰκητόρων τῇ συμφορᾷ. γενέσθαι δὲ οἱ Λεπρεᾶταί
σφισιν ἔλεγον ἐν τῇ πόλει Λευκαίου Διὸς ναὸν καὶ Λυ-
κούργου τάφον τοῦ Ἀλέου καὶ ἄλλον Καύκωνος· τούτῳ
δὲ καὶ ἐπίθημα ἄνδρα ἐπεῖναι λύραν ἔχοντα. κατὰ δὲ ἐμὲ 6
οὔτε μνῆμα ἐπίσημον οὔτε ἱερὸν ἦν θεῶν σφίσιν οὐδενὸς
πλήν γε Δήμητρος· πλίνθου δὲ καὶ τοῦτο ἐπεποίητο ὠμῆς,
καὶ οὐδὲν παρείχετο ἄγαλμα. Λεπρεατῶν δέ ἐστιν οὐ
πόῤῥω τῆς πόλεως Ἀρήνη καλουμένη πηγή, καὶ τὸ ὄνομα
ἀπὸ τῆς Ἀφαρέως γυναικὸς τεθῆναι λέγουσι τῇ πηγῇ.

5. Ἀναστρέψαντι δὲ αὖθις ἐπὶ τὸ Σαμικὸν καὶ διο- 7
δεύοντι τὸ χωρίον Ἄνιγρος ποταμὸς ἐκδίδωσιν ἐς θάλασ-
σαν. τούτου τὸ ῥεῦμα τοῦ ποταμοῦ πολλάκις ἀνείργου-
σιν οἱ ἄνεμοι βίαιοι πνέοντες· φοροῦντες γὰρ κατ᾽ αὐτὸν

τὴν θῖνα ἐκ τοῦ πελάγους ἐπέχουσι τοῦ πρόσω τὸ ὕδωρ.
ὁπότε οὖν ἀμφοτέρωθεν ἡ ψάμμος ὑπό τε τῆς θαλάσσης
καὶ τὰ ἐντὸς ὑπὸ τοῦ ποταμοῦ διάβροχος γένοιτο, ἐν-
ταῦθα καὶ ὑποζυγίοις καὶ ἀνδρὶ ἔτι μᾶλλον εὐζώνῳ κατα-
8 δῦναι κίνδυνός ἐστιν ἐς αὐτήν. Ὁ δὲ Ἄνιγρος οὗτος ἐξ
Ἀρκαδικοῦ μὲν κάτεισιν ὄρους Λαπίθου, παρέχεται δὲ
εὐθὺς ἀπὸ τῶν πηγῶν ὕδωρ οὐκ εὐῶδες, ἀλλὰ καὶ δύσ-
οσμον δεινῶς. πρὶν δὲ ἢ καταδέξασθαι τὸν Ἀκίδαντα
καλούμενον δῆλός ἐστιν οὐδὲ ἀρχὴν τρέφων ἰχθῦς· μετὰ
δὲ τοῦτον ἐσβαλόντα ὅσοι τῶν ἰχθύων ὁμοῦ τῷ ὕδατι
αὐτοῦ κατίασιν ἐς τὸν Ἄνιγρον, οὐ σφᾶς ἔτι ἐδωδίμους
ἔχουσιν οἱ ἄνθρωποι, τὰ πρότερα, ἢν ἐντὸς ἁλῶσι τοῦ
9 Ἀκίδαντος, ἐδωδίμους ὄντας. ὅτι δὲ τῷ Ἀκίδαντι ὄνομα
Ἰάρδανος ἦν τὸ ἀρχαῖον, αὐτὸς μὲν οὐδαμόθεν συνεβα-
λόμην, ἀκούσας δὲ ἀνδρὸς Ἐφεσίου λέγω τὸν λόγον. τῷ 387
δὲ Ἀνίγρῳ τὸ ἄτοπον εἶναι τῆς ὀσμῆς ἀπὸ τῆς γῆς πείθο-
μαι δι᾽ ἧς ἄνεισι τὸ ὕδωρ, καθὰ δὴ καὶ τοῖς ὑπὲρ Ἰωνίας
ἐστὶν ὕδασι τὸ αὐτὸ αἴτιον, ὁπόσων ἡ ἀτμὶς ὀλέθριός
10 ἐστιν ἀνθρώπῳ. Ἑλλήνων δὲ οἱ μὲν Χείρωνα, οἱ δὲ ἄλλον
Κένταυρον Πυλήνορα τοξευθέντα ὑπὸ Ἡρακλέους καὶ
φυγόντα τραυματίαν φασὶν ἐν τῷ ὕδατι ἀπολοῦσαι τούτῳ
τὸ ἕλκος, καὶ ἀπὸ τῆς Ὕδρας τοῦ ἰοῦ γενέσθαι δυσχερῆ
τῷ Ἀνίγρῳ τὴν ὀσμήν. οἱ δὲ ἐς Μελάμποδα τὸν Ἀμυθά-
ονος καὶ ἐς τῶν Προίτου θυγατέρων τὰ καθάρσια ἐμβλη-
θέντα ἐνταῦθα ἀνάγουσι τὴν αἰτίαν τοῦ ἐπὶ τῷ ποταμῷ
παθήματος.
11 6. Ἔστι δὲ ἐν τῷ Σαμικῷ σπήλαιον οὐκ ἄπωθεν τοῦ
ποταμοῦ, καλούμενον Ἀνιγρίδων νυμφῶν. ὃς δ᾽ ἂν ἔχων
ἀλφὸν ἢ λεύκην ἐς αὐτὸ ἐσέλθῃ, πρῶτα μὲν ταῖς νύμ-
φαις εὔξασθαι καθέστηκεν αὐτῷ καὶ ὑποσχέσθαι θυσίαν
ὁποίαν δή τινα, μετὰ δὲ ἀποσμήχει τὰ νοσοῦντα τοῦ σώ-
ματος· διανηξάμενος δὲ τὸν ποταμὸν ὄνειδος μὲν ἐκεῖνο

κατέλιπεν ἐν τῷ ὕδατι αὐτοῦ, ὁ δὲ ὑγιής τε ἄνεισι καὶ ὁμόχρως.

VI. Κατὰ δὲ τὴν ὁδὸν τὴν εὐθεῖαν διαβάντι τὸν Ἄνιγρον καὶ ἰόντι ἐς Ὀλυμπίαν ἔστιν οὐ μετὰ πολὺ ἐν δεξιᾷ τῆς ὁδοῦ χωρίον τε ὑψηλὸν καὶ πόλις Σαμία ἐπὶ τοῦ Σαμικοῦ. [ταύτῃ τῇ Σαμικῷ Πολυσπέρχοντά φασιν ἄνδρα Αἰτωλὸν ἐπιτειχίσματι ἐπὶ τοὺς Ἀρκάδας χρήσασθαι.]

2. Τὰ δὲ ἐρείπια τὰ Ἀρήνης σαφῶς μὲν οὔτε Μεσση- 2
νίων εἶχεν οὐδεὶς οὔτε Ἠλείων ἀποφῆναί μοι· διάφορα δὲ ὑπὲρ αὐτῆς καὶ οὐ κατὰ ταὐτὰ πάρεστι τοῖς ἐθέλουσιν εἰκάζειν. πιθανώτατα δὲ ἐφαίνοντό μοι λέγειν οἱ τὸ Σαμικὸν τὰ παλαιότερα ἔτι καὶ τὰ ἐπὶ τῶν ἡρώων Ἀρήνην καλεῖσθαι νομίζοντες. οὗτοι δὲ καὶ ἔπη τῶν ἐν Ἰλιάδι ἔλεγον·

ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων
ἐγγύθεν Ἀρήνης.

388 τὰ δὲ ἐρείπια ταῦτα πλησιαίτατά ἐστι τοῦ Ἀνίγρου. καὶ 3
Ἀρήνην μὲν ἀμφισβητοίης ἂν μὴ ὀνομασθῆναι τὸ Σαμικόν, τῷ δὲ ποταμῷ Ἀνίγρῳ Μινυήϊον τὸ ὄνομα εἶναι τὸ ἀρχαῖον ὡμολογήκασιν οἱ Ἀρκάδες. ὅρον δὲ Ἠλείοις πρὸς τὴν Μεσσηνίαν τῆς Νέδας τὰ ἐπὶ θαλάσσῃ γενέσθαι τις πείθοιτο ἂν ὁμοῦ τῇ ἐς Πελοπόννησον Ἡρακλειδῶν καθόδῳ.

3. Μετὰ δὲ τὸν Ἄνιγρον ὁδεύσαντι ἐπὶ μακρότερον 4
διὰ χωρίου τὰ πλείονα ὑποψάμμου καὶ ἔχοντος δένδρα πίτυς ἀγρίας, ὀπίσω ἐπ' ἀριστερὰ Σκιλλοῦντος ὄψει ἐρείπια. τῶν μὲν δὴ πόλεων ἦν τῶν ἐν τῇ Τριφυλίᾳ καὶ Σκιλλοῦς· ἐπὶ δὲ τοῦ πολέμου τοῦ Πισαίων πρὸς Ἠλείους ἐπίκουροί τε Πισαίων οἱ Σκιλλούντιοι καὶ διάφοροι τοῖς Ἠλείοις ἦσαν ἐκ τοῦ φανεροῦ, καὶ σφᾶς οἱ Ἠλεῖοι τούτων ἕνεκα ἐποίησαν ἀναστάτους. 4. Λακεδαιμόνιοι 5

δὲ ὕστερον Σκιλλοῦντα ἀποτεμόμενοι τῆς Ἠλείας Ξενοφῶντι ἔδοσαν τῷ Γρύλου, φυγάδι ἤδη γεγονότι ἐξ Ἀθηνῶν. ἐδιώχθη δὲ ὁ Ξενοφῶν ὑπὸ Ἀθηναίων ὡς ἐπὶ βασιλέα τῶν Περσῶν σφίσιν εὔνουν ὄντα στρατείας μετασχὼν Κύρῳ πολεμιωτάτῳ τοῦ δήμου· καθήμενος γὰρ ἐν Σάρδεσιν ὁ Κῦρος Λυσάνδρῳ τῷ Ἀριστοκρίτου καὶ Λακεδαιμονίοις χρήματα ἀνήλισκεν ἐς τὰς ναῦς. ἀντὶ τούτων μὲν Ξενοφῶντι ἐγένετο φυγή, κατοικήσας δὲ ἐν Σκιλλοῦντι τέμενός τε [καὶ] ἱερὸν καὶ ναὸν Ἀρτέμιδι ᾠκοδομήσατο
6 Ἐφεσίᾳ. παρέχεται δὲ ὁ Σκιλλοῦς καὶ ἄγρας θηρίων, ὑῶν τε ἀγρίων καὶ ἐλάφων· καὶ τὴν γῆν τὴν Σκιλλουντίαν Σελινοῦς ποταμὸς διέξεισιν. Οἱ δὲ Ἠλείων ἐξηγηταὶ κομίσασθαί τε αὖθις Σκιλλοῦντα Ἠλείους ἔλεγον, καὶ 389
Ξενοφῶντα, ὅτι ἔλαβε παρὰ Λακεδαιμονίων τὴν γῆν, κριθῆναι μὲν ἐν τῇ Ὀλυμπικῇ βουλῇ, τυχόντα δὲ παρὰ Ἠλείων συγγνώμης ἀδεῶς ἐν Σκιλλοῦντι οἰκῆσαι. καὶ δὴ καὶ ὀλίγον ἀπωτέρω τοῦ ἱεροῦ μνῆμά τε ἐδείκνυτο, καὶ τῆς Πεντέλησίν ἐστι λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ· εἶναι δὲ αὐτὸ Ξενοφῶντος λέγουσιν οἱ προσοικοῦντες.

7 5. Κατὰ δὲ τὴν ἐς Ὀλυμπίαν ὁδόν, πρὶν ἢ διαβῆναι τὸν Ἀλφειόν, ἔστιν ὄρος ἐκ Σκιλλοῦντος ἐρχομένῳ πέτραις ὑψηλαῖς ἀπότομον· ὀνομάζεται δὲ Τυπαῖον τὸ ὄρος. κατὰ τούτου τὰς γυναῖκας Ἠλείοις ἐστὶν ὠθεῖν νόμος, ἢν φωραθῶσιν ἐς τὸν ἀγῶνα ἐλθοῦσαι τὸν Ὀλυμπικὸν ἢ καὶ ὅλως ἐν ταῖς ἀπειρημέναις σφίσιν ἡμέραις διαβᾶσαι τὸν Ἀλφειόν. οὐ μὴν οὐδὲ ἁλῶναι λέγουσιν οὐδεμίαν, ὅτι μὴ Καλλιπάτειραν μόνην· εἰσὶ δὲ οἳ τὴν αὐτὴν ταύ-
8 την Φερενίκην καὶ οὐ Καλλιπάτειραν καλοῦσιν. αὕτη προαποθανόντος αὐτῇ τοῦ ἀνδρός, ἐξεικάσασα αὑτὴν τὰ πάντα ἀνδρὶ γυμναστῇ, ἤγαγεν ἐς Ὀλυμπίαν τὸν υἱὸν μαχούμενον. νικῶντος δὲ τοῦ Πεισιρόδου τὸ ἔρυμα ἐν

ᾧ τοὺς γυμναστὰς ἔχουσιν ἀπειλημμένους, τοῦτο ὑπερ-
πηδῶσα ἡ Καλλιπάτειρα ἐγυμνώθη. φωραθείσης δὲ ὅτι
εἴη γυνή, ταύτην ἀφιᾶσιν ἀζήμιον, καὶ τῷ πατρὶ καὶ ἀδελ-
φοῖς αὐτῆς καὶ τῷ παιδὶ αἰδῶ νέμοντες, ὑπῆρχον δὴ
ἅπασιν αὐτοῖς Ὀλυμπικαὶ νῖκαι, ἐποιήσαντο δὲ νόμον ἐς
τὸ ἔπειτα ἐπὶ τοῖς γυμνασταῖς γυμνοὺς σφᾶς ἐς τὸν
ἀγῶνα ἐσέρχεσθαι.

VII. Ἀφικομένῳ δὲ ἐς Ὀλυμπίαν, ἐνταῦθα ἤδη τὸ
ὕδωρ ἐστὶ τοῦ Ἀλφειοῦ πλήθει τε πολὺ ἰδόντι καὶ ἥδι-
στον, ἅτε ποταμῶν καὶ ἄλλων καὶ λόγου μάλιστα ἀξίων
ἑπτὰ ἐς αὐτὸν ῥεόντων. διὰ Μεγάλης μέν γε πόλεως
390 Ἑλισσὼν ἐρχόμενος ἐκδίδωσιν ἐς τὸν Ἀλφειόν, Βρενθεά-
της δὲ ἐκ τῆς Μεγαλοπολιτῶν γῆς, παρὰ δὲ Γόρτυναν
ἔνθα ἱερὸν Ἀσκληπιοῦ, παρὰ δὲ ταῦτα Γορτύνιος ῥέων,
ἐκ δὲ Μελαινεῶν Βουφάγος τῆς Μεγαλοπολίτιδος μεταξὺ
καὶ Ἡραιίτιδος χώρας, ἐκ δὲ τῆς Κλειτορίων Λάδων, ἐκ
δὲ Ἐρυμάνθου τοῦ ὄρους ὁμώνυμος τῷ ὄρει. οὗτοι μὲν
ἐξ Ἀρκαδίας κατίασιν ἐς τὸν Ἀλφειόν, Κλάδεος δὲ ἐρχό-
μενος ἐκ τῆς Ἠλείας συμμίσγει οἱ τὸ ῥεῦμα. αὐτῷ δὲ ἐν
τῇ Ἀρκάδων τῷ Ἀλφειῷ καὶ οὐχὶ ἐκ τῆς Ἠλείας εἰσὶν αἱ
πηγαί. 2. Λέγεται δὲ καὶ ἄλλα τοιάδε ἐς τὸν Ἀλφειόν, ὡς 2
ἀνὴρ εἴη θηρευτής, ἐρασθῆναι δὲ αὐτὸν Ἀρεθούσης, κυ-
νηγετεῖν δὲ καὶ ταύτην. καὶ Ἀρέθουσαν μὲν οὐκ ἀρεσκο-
μένην γήμασθαι περαιωθῆναί φασιν ἐς νῆσον τὴν κατὰ
Συρακούσας, καλουμένην δὲ Ὀρτυγίαν, καὶ ἐνταῦθα ἐξ
ἀνθρώπου γενέσθαι πηγήν· συμβῆναι δὲ ὑπὸ τοῦ ἔρω-
τος καὶ Ἀλφειῷ τὴν ἀλλαγὴν ἐς τὸν ποταμόν. ταῦτα μὲν
λόγου τοῦ ἐς Ἀλφειὸν ἐς τὴν Ὀρτυγίαν· τὸ δὲ διὰ τῆς 3
θαλάσσης ἰόντα ἐνταῦθα ἀνακοινοῦσθαι τὸ ὕδωρ πρὸς
τὴν πηγὴν οὐκ ἔστιν ὅπως ἀπιστήσω, τὸν θεὸν ἐπιστά-
μενος τὸν ἐν Δελφοῖς ὁμολογοῦντά σφισιν, ὃς Ἀρχίαν τὸν

Κορίνθιον ἐς τὸν Συρακουσῶν ἀποστέλλων οἰκισμὸν καὶ
τάδε εἶπε τὰ ἔπη,

Ὀρτυγίη τις κεῖται ἐν ἠεροειδέϊ πόντῳ,
Τρινακίης καθύπερθεν, ἵν᾿ Ἀλφειοῦ στόμα βλύζει
μισγόμενον πηγαῖς εὐριπείης Ἀρεθούσης.

κατὰ τοῦτο οὖν, ὅτι τῇ Ἀρεθούσῃ τοῦ Ἀλφειοῦ τὸ ὕδωρ
μίσγεται, καὶ τοῦ ἔρωτος τὴν φήμην τῷ ποταμῷ πείθομαι
4 γενέσθαι. 3. Ὅσοι δὲ Ἑλλήνων ἢ Αἰγυπτίων ἐς Αἰθιοπίαν
τὴν ὑπὲρ Συήνης καὶ ἐς Μερόην Αἰθιόπων πόλιν ἀνα- 391
βεβήκασι, λέγουσι οὗτοι τὸν Νεῖλον ἐσιόντα ἐς λίμνην
καὶ δι᾿ αὐτῆς διεξιόντα ὥσπερ ἐκ χέρσου, μετὰ τοῦτο ἤδη
δι᾿ Αἰθιοπίας τῆς κάτω καὶ ἐπ᾿ Αἴγυπτον ῥεύσαντα ἐπὶ
Φάρον καὶ τὴν ταύτῃ θάλασσαν κατέρχεσθαι. ἐν δὲ τῇ
γῇ τῇ Ἑβραίων ποταμόν τινα Ἰόρδανον καὶ αὐτὸς οἶδα
λίμνην Τιβεριάδα ὀνομαζομένην διοδεύοντα, ἐς δὲ λίμνην
ἑτέραν καλουμένην θάλασσαν Νεκράν, ἐς ταύτην ἐσιόντα
5 καὶ ὑπὸ τῆς λίμνης αὐτὸν ἀναλούμενον. ἡ δὲ θάλασσα ἡ
Νεκρὰ πάσχει παντὶ ὕδατι ἄλλῳ τὰ ἐναντία· ἐν ᾗ γε τὰ
μὲν ζῶντα πέφυκεν οὐ νηχόμενα ἐποχεῖσθαι, τὰ δὲ θνή-
σκοντα ἐς βυθὸν χωρεῖν. ταύτῃ ἄκαρπος καὶ ἰχθύων ἡ
λίμνη· ἅτε ἀπὸ τοῦ φανερωτάτου κινδύνου ἐπὶ τὸ ὕδωρ
ἀναφεύγουσιν ὀπίσω τὸ οἰκεῖον. τῷ δὲ Ἀλφειῷ τὸ αὐτὸ
πάσχει καὶ ὕδωρ ἄλλο ἐν Ἰωνίᾳ· τούτου δὲ τοῦ ὕδατος
πηγὴ μέν ἐστιν ἐν Μυκάλῃ τῷ ὄρει, διεξελθὸν δὲ θάλασ-
σαν τὴν μεταξὺ ἄνεισιν αὖθις κατὰ Βραγχίδας πρὸς λι-
μένι ὀνομαζομένῳ Πανόρμῳ. ταῦτα μὲν δὴ ἔχει τρόπον
τὸν εἰρημένον.
6 4. Ἐς δὲ τὸν ἀγῶνα τὸν Ὀλυμπικὸν λέγουσιν Ἠλείων
οἱ τὰ ἀρχαιότατα μνημονεύοντες Κρόνον τὴν ἐν οὐρανῷ
σχεῖν βασιλείαν πρῶτον, καὶ ἐν Ὀλυμπίᾳ ποιηθῆναι Κρό-
νῳ ναὸν ὑπὸ τῶν τότε ἀνθρώπων, οἳ ὠνομάζοντο χρυ-
σοῦν γένος· Διὸς δὲ τεχθέντος ἐπιτρέψαι Ῥέαν τοῦ παι-

δὸς τὴν φρουρὰν τοῖς Ἰδαίοις Δακτύλοις, καλουμένοις δὲ
τοῖς αὐτοῖς τούτοις καὶ Κούρησιν· ἀφικέσθαι δὲ αὐτοὺς
392 ἐξ Ἴδης τῆς Κρητικῆς, Ἡρακλέα καὶ Παιωναῖον καὶ Ἐπι-
μήδην καὶ Ἰάσιόν τε καὶ Ἴδαν· τὸν δὲ Ἡρακλέα παίζοντα, 7
εἶναι γὰρ δὴ αὐτὸν πρεσβύτατον ἡλικίᾳ, συμβαλεῖν τοὺς
ἀδελφοὺς ἐς ἅμιλλαν δρόμου, καὶ τὸν νικήσαντα ἐξ αὐ-
τῶν κλάδῳ στεφανῶσαι κοτίνου· παρεῖναι δὲ αὐτοῖς πο-
λὺν δή τι οὕτω τὸν κότινον ὡς τὰ χλωρὰ ἔτι τῶν φύλλων
ὑπεστρῶσθαι σφᾶς καθεύδοντας. Κομισθῆναι δὲ ἐκ τῆς
Ὑπερβορέων γῆς τὸν κότινόν φασιν ὑπὸ τοῦ Ἡρακλέους
ἐς Ἕλληνας, εἶναι δὲ ἀνθρώπους οἳ ὑπὲρ τὸν ἄνεμον οἰ-
κοῦσι τὸν Βορέαν. Πρῶτος μὲν ἐν ὕμνῳ τῷ ἐς Ἀχαιίαν 8
ἐποίησεν Ὠλὴν Λύκιος, ἀφικέσθαι τὴν Ἀχαιίαν ἐς Δῆλον
ἐκ τῶν Ὑπερβορέων τούτων· ἐπεὶ δὲ ᾠδὴν Μελάνωπος
Κυμαῖος ἐς Ὦπιν καὶ Ἑκαέργην ᾖσεν, ὡς ἐκ τῶν Ὑπερ-
βορέων καὶ αὗται πρότερον ἔτι τῆς Ἀχαιίας ἀφίκοντο ἐς
Δῆλον. Ἀρισταῖος δὲ ὁ Προκοννήσιος, μνήμην γὰρ ἐποιή- 9
σατο Ὑπερβορέων καὶ οὗτος, τάχα ἄν τι καὶ πλέον περὶ
αὐτῶν πεπυσμένος εἴη παρὰ Ἰσσηδόνων, ἐς οὓς ἀφικέσθαι
φησὶν ἐν τοῖς ἔπεσιν. Ἡρακλεῖ οὖν πρόσεστι τῷ Ἰδαίῳ
δόξα τὸν τότε ἀγῶνα διαθεῖναι πρώτῳ καὶ Ὀλύμπια
ὄνομα θέσθαι. διὰ πέμπτου οὖν ἔτους αὐτὸν κατεστή-
σατο ἄγεσθαι, ὅτι αὐτός τε καὶ οἱ ἀδελφοὶ πέντε ἦσαν
ἀριθμόν. Δία δὲ οἱ μὲν ἐνταῦθα παλαῖσαι καὶ αὐτῷ 10
Κρόνῳ περὶ τῆς ἀρχῆς, οἱ δὲ ἐπὶ κατειργασμένῳ ἀγωνο-
θετῆσαί φασιν αὐτόν. νικῆσαι δὲ ἄλλοι τε λέγονται, καὶ
ὅτι Ἀπόλλων παραδράμοι μὲν ἐρίζοντα Ἑρμῆν, κρατῆσαι
δὲ Ἄρεως πυγμῇ. τούτου δὲ ἕνεκα καὶ τὸ αὔλημα τὸ Πυ-
θικόν φασι τῷ πηδήματι ἐπεισαχθῆναι τῶν πεντάθλων,
ὡς τὸ μὲν ἱερὸν τοῦ Ἀπόλλωνος τὸ αὔλημα ὄν, τὸν Ἀπόλ-
λωνα δὲ ἀνῃρημένον Ὀλυμπικὰς νίκας.

393 VIII. Τούτων δὲ ὕστερον Κλύμενον τὸν Κάρδυος,

πεντηκοστῷ μάλιστα ἔτει μετὰ τὴν συμβᾶσαν ἐπὶ Δευκαλίωνος ἐν Ἕλλησιν ἐπομβρίαν ἐλθόντα ἐκ Κρήτης, γένος ἀπὸ Ἡρακλέους ὄντα τοῦ Ἰδαίου, τόν τε ἀγῶνα ἐν Ὀλυμπίᾳ θεῖναι καὶ Κούρησι τοῖς τε ἄλλοις καὶ Ἡρακλεῖ τῷ προγόνῳ λέγουσιν ἱδρύσασθαι βωμόν, Παραστάτην ἐπωνυμίαν τῷ Ἡρακλεῖ θέμενον. Ἐνδυμίων δὲ ὁ Ἀεθλίου Κλύμενόν τε ἔπαυσε τῆς ἀρχῆς, καὶ δρόμου τοῖς υἱοῖς
2 ἆθλα ἐν Ὀλυμπίᾳ τὴν βασιλείαν ἔθηκε. Πέλοψ δὲ ὕστερον γενεᾷ μάλιστα μετὰ Ἐνδυμίωνα τὸν ἀγῶνα τῷ Ὀλυμπίῳ Διὶ ἐποίησεν ἀξιολογώτατα ἀνθρώπων τῶν πρὸ αὐτοῦ. Πέλοπος δὲ τῶν παίδων σκεδασθέντων ἐξ Ἤλιδος ἀνὰ πᾶσαν τὴν ἄλλην Πελοπόννησον, Ἀμυθάων ὁ Κρηθέως Ἐνδυμίωνι ἀνεψιὸς πρὸς πατρός, εἶναι γάρ φασι καὶ Ἀέθλιον Αἰόλου, Διὸς δὲ ἐπίκλησιν, ἔθηκεν ὁ Ἀμυθάων τὰ Ὀλύμπια, μετὰ δὲ αὐτὸν Πελίας τε καὶ Νηλεὺς
3 ἐν κοινῷ. ἔθηκε δὲ καὶ Αὐγέας καὶ Ἡρακλῆς ὁ Ἀμφιτρύωνος ἑλὼν Ἦλιν. ὁπόσους δὲ ἐστεφάνωσεν οὗτος νικῶντας, ἔστιν Ἰόλαος ταῖς Ἡρακλέους δραμὼν ἵπποις. ἦν δὲ ἄρα ἐκ παλαιοῦ καθεστηκὸς ἀγωνίζεσθαι καὶ ἀλλοτρίαις ἵπποις. Ὅμηρος γοῦν ἐν ἄθλοις τεθεῖσιν ἐπὶ Πατρόκλῳ πεποίηκεν ὡς Μενέλαος Αἴθῃ τῇ Ἀγαμέμνονος,
4 τῷ δὲ ἑτέρῳ χρήσαιτο τῶν ἵππων οἰκείῳ. ἡνιόχει δὲ καὶ ἄλλως ὁ Ἰόλαος Ἡρακλεῖ τὰς ἵππους. αὐτός τε οὖν ἅρματι καὶ Ἰάσιος ἀνὴρ Ἀρκὰς κέλητος ἐνίκησεν ἵππου δρόμῳ, Τυνδάρεω δὲ οἱ παῖδες ὁ μὲν δρόμῳ, Πολυδεύκης δὲ πυκτεύων. λέγεται δὲ καὶ ἐς αὐτὸν Ἡρακλέα ὡς πάλης τε ἀνέλοιτο καὶ παγκρατίου νίκας.

5 2. Μετὰ δὲ Ὄξυλον, διέθηκε γὰρ τὸν ἀγῶνα καὶ Ὄξυλος, μετὰ τοῦτον βασιλεύσαντα ἐξέλιπεν ἄχρι Ἰφίτου τὰ Ὀλύμπια. Ἰφίτου δὲ τὸν ἀγῶνα ἀνανεωσαμένου κατὰ τὰ ἤδη μοι λελεγμένα, τοῖς ἀνθρώποις ἔτι ὑπῆρχε τῶν ἀρχαίων λήθη καὶ κατ᾽ ὀλίγον ἐς ὑπόμνησιν ἤρχοντο 394

αὐτῶν, καὶ ὁπότε τι ἀναμνησθεῖεν, ἐποιοῦντο τῷ ἀγῶνι
προσθήκην. 3. Δῆλον δέ· ἐξ οὗ γὰρ τὸ συνεχὲς ταῖς μνήμαις 6
ἐπὶ ταῖς ὀλυμπιάσιν ἐστί, δρόμου μὲν ἆθλα ἐτέθη πρῶτον,
καὶ Ἠλεῖος Κόροιβος ἐνίκα. εἰκὼν μὲν δὴ οὐκ ἔστιν ἐν
Ὀλυμπίᾳ τοῦ Κοροίβου, τάφος δὲ ἐπὶ τοῖς πέρασι τῆς
Ἠλείας. ὀλυμπιάδι δὲ ὕστερον τετάρτῃ καὶ δεκάτῃ προσ-
ετέθη σφίσι δίαυλος· Ὕπηνος δὲ ἀνὴρ Πισαῖος ἀνείλετο
ἐπί τῷ διαύλῳ τὸν κότινον, τῇ δὲ ἑξῆς **Ἄκανθος. ἐπὶ δὲ
τῆς ὀγδόης καὶ δεκάτης ὀλυμπιάδος πεντάθλου καὶ πάλης
ἀφίκοντο ἐς μνήμην· καὶ τοῦ μὲν Λάμπιδι ὑπῆρξεν, Εὐ-
ρυβάτῳ δὲ ἡ νίκη τῆς πάλης, Λακεδαιμονίοις καὶ τούτοις.
τρίτῃ δὲ ὀλυμπιάδι καὶ εἰκοστῇ πυγμῆς ἆθλα ἀπέδοσαν·
Ὀνόμαστος δὲ ἐνίκησεν ἐκ Σμύρνης συντελούσης ἤδη τη-
νικαῦτα ἐς Ἴωνας. πέμπτῃ δὲ ἐπὶ ταῖς εἴκοσι κατεδέξαντο
ἵππων τελείων δρόμον, καὶ ἀνηγορεύθη Θηβαῖος Πα-
γώνδας κρατῶν ἅρματι. ὀγδόῃ δὲ ἀπὸ ταύτης ὀλυμπιάδι 8
ἐδέξαντο παγκρατιαστήν τε ἄνδρα καὶ ἵππον κέλητα·
ἵππος μὲν δὴ Κραννωνίου Κραυξίδα παρέφθη, τοὺς δὲ
ἐσελθόντας ἐπὶ τὸ παγκράτιον [ὁ] Λύγδαμις κατειργά-
σατο Συρακούσιος. τούτῳ πρὸς ταῖς λιθοτομίαις ἐστὶν ἐν
Συρακούσαις μνῆμα. εἰ δὲ καὶ Ἡρακλεῖ τῷ Θηβαίῳ μέγε-
θος παρισοῦτο ὁ Λύγδαμις, ἐγὼ μὲν οὐκ οἶδα, λεγόμενον
δὲ ὑπὸ Συρακουσίων ἐστί. Τὰ δὲ ἐπὶ τοῖς παισὶν ἐς μὲν 9
τῶν παλαιοτέρων οὐδεμίαν ἥκει μνήμην, αὐτοὶ δὲ ἀρέσαν
σφίσι κατεστήσαντο Ἠλεῖοι. δρόμου μὲν δὴ καὶ πάλης
ἐτέθη παισὶν ἆθλα ἐπὶ τῆς ἑβδόμης καὶ τριακοστῆς ὀλυμ-
395 πιάδος, καὶ Ἱπποσθένης Λακεδαιμόνιος πάλην, Πολυνεί-
κης δὲ τὸν δρόμον ἐνίκησεν Ἠλεῖος. πρώτῃ δὲ ἐπὶ ταῖς
τεσσαράκοντα ὀλυμπιάδι πύκτας ἐσεκάλεσαν παῖδας, καὶ
περιῆν τῶν ἐσελθόντων Συβαρίτης Φιλήτας. τῶν δὲ 10
ὁπλιτῶν ὁ δρόμος ἐδοκιμάσθη μὲν ἐπὶ τῆς πέμπτης ὀλυμ-
πιάδος καὶ ἑξηκοστῆς, μελέτης, ἐμοὶ δοκεῖν, ἕνεκα τῆς ἐς

τα πολεμικά· τοὺς δὲ δραμόντας ἀσπίσιν ὁμοῦ πρῶτος
Δαμάρετος ἐκράτησεν Ἡραιεύς. δρόμος δὲ δύο ἵππων
τελείων συνωρὶς κληθεῖσα τρίτῃ μὲν ὀλυμπιάδι ἐτέθη
πρὸς ταῖς ἐνενήκοντα, Εὐαγόρας δὲ ἐνίκησεν Ἠλεῖος.
ἐνάτῃ δὲ ἤρεσεν ὀλυμπιάδι καὶ ἐνενηκοστῇ καὶ πώλων
ἅρμασιν ἀγωνίζεσθαι· Λακεδαιμόνιος δὲ Συβαριάδης
11 τὸν στέφανον τῶν πώλων ἔσχε τοῦ ἅρματος. [συν]έθεσαν
δὲ ὕστερον καὶ συνωρίδα πώλων καὶ πῶλον κέλητα· ἐπὶ
μὲν δὴ τῇ συνωρίδι Βελιστίχην ἐκ Μακεδονίας τῆς ἐπὶ
θαλάσσῃ γυναῖκα, Τληπόλεμον δὲ Λύκιον ἀναγορευθῆναι
λέγουσιν ἐπὶ τῷ κέλητι, τοῦτον μὲν ἐπὶ τῆς πρώτης καὶ
τριακοστῆς τε καὶ ἑκατοστῆς ὀλυμπιάδος, τῆς δὲ Βελιστί-
χης τὴν συνωρίδα ὀλυμπιάδι πρὸ ταύτης τρίτῃ. πέμπτῃ
δὲ ἐπὶ ταῖς τεσσαράκοντα καὶ ἑκατὸν ἆθλα ἐτέθη παγ-
κρατίου παισί, καὶ ἐνίκα Φαίδιμος Αἰολεὺς ἐκ πόλεως
Τρῳάδος.

IX. Κατελύθη δὲ ἐν Ὀλυμπίᾳ καὶ ἀγωνίσματα, μετα-
δόξαν μηκέτι ἄγειν αὐτὰ Ἠλείοις. πένταθλόν τε γὰρ
παίδων ἐπὶ τῆς ὀγδόης ὀλυμπιάδος καὶ τριακοστῆς ἐτέθη,
καὶ ἐπ᾽ αὐτῷ τὸν κότινον Εὐτελίδα Λακεδαιμονίου λα-
βόντος οὐκέτι ἀρεστὰ Ἠλείοις ἦν πεντάθλους ἐσέρχεσθαι
παῖδας. τῆς δὲ ἀπήνης καὶ κάλπης τόν δρόμον, τὸν μὲν
ὀλυμπιάδι νομισθέντα ἑβδομηκοστῇ, τὸν δὲ τῆς κάλπης
τῇ ἐφεξῆς ταύτης, κήρυγμα ὑπὲρ ἀμφοτέρων ἐποιήσαντο 396
ἐπὶ τῆς τετάρτης ὀλυμπιάδος καὶ ὀγδοηκοστῆς μήτε κάλ-
πης τοῦ λοιποῦ μήτε ἀπήνης ἔσεσθαι δρόμον. ὅτε δὲ
ἐτέθη πρῶτον, Θερσίου μὲν ἀπήνη Θεσσαλοῦ, Παταίκου
2 δὲ Ἀχαιοῦ τῶν ἐκ Δύμης ἐνίκησεν ἡ κάλπη. 2. Ἦν δὲ ἡ
μὲν θήλεια ἵππος, καὶ ἀπ᾽ αὐτῶν ἀποπηδῶντες ἐπὶ τῷ
ἐσχάτῳ δρόμῳ συνέθεον οἱ ἀναβάται ταῖς ἵπποις εἰλημ-
μένοι τῶν χαλινῶν, καθὰ καὶ ἐς ἐμὲ ἔτι οἱ ἀναβάται κα-
λούμενοι· διάφορα δὲ τοῖς ἀναβάταις ἐς τῆς κάλπης τὸν

δρόμου τά τε σημεῖά ἐστι καὶ ἄρσενές σφισιν ὄντες οἱ
ἵπποι. ἀπήνῃ δὲ οὔτε τῷ ἀνευρήματι οὐδὲν ἀρχαῖον οὔτε
εὐπρέπεια αὐτῇ προσῆν, ἐπάρατόν τε Ἠλείοις ἐκ παλαιοῦ
καὶ ἀρχὴν γενέσθαι σφίσιν ἐν τῇ χώρᾳ τὸ ζῷον· ἦν γὰρ δὴ
ἀπήνη κατὰ τὴν συνωρίδα ἡμιόνους ἀντὶ ἵππων ἔχουσα.
3. Ὁ δὲ κόσμος ὁ περὶ τὸν ἀγῶνα ἐφ' ἡμῶν, ὡς 3
θύεσθαι τῷ θεῷ τὰ ἱερεῖα πεντάθλου μὲν καὶ δρόμου τῶν
ἵππων ὕστερα ἀγωνισμάτων, οὗτος κατέστη σφίσιν ὁ
κόσμος ὀλυμπιάδι ἑβδόμῃ πρὸς ταῖς ἑβδομήκοντα· τὰ
πρὸ τούτων δὲ ἐπὶ ἡμέρας ἦγον τῆς αὐτῆς ὁμοίως καὶ
ἀνθρώπων καὶ ἵππων ἀγῶνα. τότε δὲ προήχθησαν ἐς
νύκτα οἱ παγκρατιάζοντες ἅτε οὐ κατὰ καιρὸν ἐσκληθέν-
τες, αἴτιοι δὲ ἐγένοντο οἵ τε ἵπποι καὶ ἐς πλέον ἔτι ἡ τῶν
πεντάθλων ἅμιλλα· καὶ ἐκράτει μὲν Ἀθηναῖος Καλλίας
τοὺς παγκρατιάσαντας· ἐμπόδιον δὲ οὐκ ἔμελλε παγκρα-
τίῳ τοῦ λοιποῦ τὸ πένταθλον οὐδὲ οἱ ἵπποι γενήσεσθαι.
4. Τὰ δὲ ἐπὶ τοῖς ἀγωνοθετοῦσιν οὐ κατὰ τὰ αὐτὰ ἃ 4
καθεστηκότα ἦν ἐξ ἀρχῆς, καὶ ἐφ' ἡμῶν ἐς αὐτοὺς νομί-
397 ζουσιν, ἀλλὰ Ἴφιτος μὲν τὸν ἀγῶνα ἔθηκεν αὐτὸς μόνος,
καὶ μετὰ Ἴφιτον ἐτίθεσαν ὡσαύτως οἱ ἀπὸ Ὀξύλου· πεν-
τηκοστῇ δὲ ὀλυμπιάδι ἀνδράσι δύο ἐξ ἁπάντων λαχοῦσιν
Ἠλείων ἐπετράπη ποιῆσαι τὰ Ὀλύμπια, καὶ ἐπὶ πλεῖστον
ἀπὸ ἐκείνου διέμεινε τῶν ἀγωνοθετῶν ὁ ἀριθμὸς τῶν
δύο. 5. πέμπτῃ δὲ ὀλυμπιάδι καὶ εἰκοστῇ ἐννέα ἑλλανο- 5
δίκας κατέστησαν· τρισὶ μὲν δὴ ἐπετέτραπτο ἐξ αὐτῶν ὁ
δρόμος τῶν ἵππων, τοσούτοις δὲ ἑτέροις ἐπόπταις εἶναι
τοῦ πεντάθλου, τοῖς δὲ ὑπολειπομένοις τὰ λοιπὰ ἔμελε
τῶν ἀγωνισμάτων. δευτέρᾳ δὲ ἀπὸ ταύτης ὀλυμπιάδι
προσετέθη καὶ ὁ δέκατος ἀθλοθέτης. ἐπὶ δὲ τῆς τρίτης
καὶ ἑκατοστῆς φυλαί τε Ἠλείοις δώδεκα καὶ εἷς ἀπὸ φυ-
λῆς ἑκάστης ἐγένετο Ἑλλανοδίκης. πιεσθέντες δὲ ὑπὸ 6
Ἀρκάδων πολέμῳ μοῖράν τε ἀπέβαλον τῆς γῆς καὶ ὅσοι

τῶν δήμων ἦσαν ἐν τῇ ἀποτμηθείσῃ χώρᾳ, καὶ οὕτως ἐς
ὀκτώ τε ἀριθμὸν φυλῶν ἐπὶ τῆς τετάρτης συνεστάλησαν
ὀλυμπιάδος καὶ ἑκατοστῆς, καὶ Ἑλλανοδίκαι σφίσιν ἴσοι
ταῖς φυλαῖς ᾑρέθησαν. ὀγδόῃ δὲ ἐπὶ ταῖς ἑκατὸν ὀλυμ-
πιάδι ἐπανῆλθον αὖθις ἐς ἀνδρῶν δέκα ἀριθμόν, καὶ
ἤδη τὸ ἀπὸ τούτου διαμεμένηκεν ἐς ἡμᾶς.

**X.** Πολλὰ μὲν δὴ καὶ ἄλλα ἴδοι τις ἂν ἐν Ἕλλησι, τὰ
δὲ καὶ ἀκούσαι θαύματος ἄξια· μάλιστα δὲ τοῖς Ἐλευσῖνι
δρωμένοις καὶ ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ μέτεστιν ἐκ θεοῦ
φροντίδος. τὸ δὲ ἄλσος τὸ ἱερὸν τοῦ Διός, παραποιήσαν-
τες τὸ ὄνομα, Ἄλτιν ἐκ παλαιοῦ καλοῦσι· καὶ δὴ καὶ Πιν-
δάρῳ ποιήσαντι ἐς ἄνδρα ὀλυμπιονίκην ᾆσμα Ἄλτις ἐπω-
2 νόμασται τὸ χωρίον. 2. Ἐποιήθη δὲ ὁ ναὸς καὶ τὸ ἄγαλμα
τῷ Διὶ ἀπὸ λαφύρων, ἡνίκα Πίσαν οἱ Ἠλεῖοι καὶ ὅσον
τῶν περιοίκων ἄλλο συναπέστη Πισαίοις πολέμῳ καθεῖ-
λον. Φειδίαν δὲ τὸν ἐργασάμενον τὸ ἄγαλμα εἶναι καὶ
ἐπίγραμμά ἐστιν ἐς μαρτυρίαν ὑπὸ τοῦ Διὸς γεγραμμέ-
νον τοῖς ποσί·

Φειδίας Χαρμίδου υἱὸς Ἀθηναῖός μ' ἐποίησε.

Τοῦ ναοῦ δὲ Δώριος μέν ἐστιν ἡ ἐργασία, τὰ δὲ ἐκτὸς
3 περίστυλός ἐστι. πεποίηται δὲ ἐπιχωρίου πώρου. ὕψος 398
μὲν δὴ αὐτοῦ τὸ ἐς τὸν ἀετὸν ἀνῆκον, εἰσίν οἱ ὀκτὼ πόδες
καὶ ἑξήκοντα, εὖρος δὲ πέντε καὶ ἐνενήκοντα, τὰ δὲ ἐς
μῆκος τριάκοντά τε καὶ διακόσιοι. τέκτων δὲ ἐγένετο
αὐτοῦ Λίβων ἐπιχώριος. κέραμος δὲ οὐ γῆς ὀπτῆς ἐστίν,
ἀλλὰ κεράμου τρόπον λίθος ὁ Πεντέλησιν εἰργασμένος.
τὸ δὲ εὕρημα ἀνδρὸς Ναξίου λέγουσιν εἶναι Βύζου, οὗ
φασὶν ἐν Νάξῳ τὰ ἀγάλματα ἐφ' ὧν ἐπίγραμμα εἶναι

Νάξιος Εὔεργός με γένει Λητοῦς πόρε, Βύζεω
παῖς, ὃς πρώτιστος τεῦξε λίθου κέραμον.

ἡλικίαν δὲ ὁ Βύζης οὗτος κατὰ Ἀλυάττην (ἦν) τὸν Λυδὸν
4 καὶ Ἀστυάγην τὸν Κυαξάρου, βασιλεύοντα ἐν Μήδοις. Ἐν

δὲ Ὀλυμπίᾳ λέβης ἐπίχρυσος ἐπὶ ἑκάστῳ τοῦ ὀρόφου τῷ
πέρατι ἐπίκειται, καὶ Νίκη κατὰ μέσον μάλιστα ἕστηκε
τὸν ἀετόν, ἐπίχρυσος καὶ αὕτη. ὑπὸ δὲ τῆς Νίκης τὸ
ἄγαλμα ἀσπὶς ἀνάκειται χρυσῆ, Μέδουσαν τὴν Γοργόνα
ἔχουσα ἐπειργασμένην. τὸ ἐπίγραμμα δὲ τὸ ἐπὶ τῇ ἀσπίδι
τούς τε ἀναθέντας δηλοῖ καὶ καθ' ἥντινα αἰτίαν ἀνέθε-
σαν· λέγει γὰρ δὴ οὕτω,

Ναὸς μὲν φιάλαν χρυσέαν ἔχει, ἐκ δὲ Τανάγρας
τοὶ Λακεδαιμόνιοι συμμαχία τ' ἀνέθεν
δῶρον ἀπ' Ἀργείων καὶ Ἀθαναίων καὶ Ἰώνων,
399 τὰν δεκάταν νίκας εἵνεκα τῶ πολέμω.

ταύτης τῆς μάχης μνήμην καὶ ἐν τῇ Ἀτθίδι ἐποιησάμην
συγγραφῇ, τὰ Ἀθήνῃσιν ἐπεξιὼν μνήματα. τοῦ δὲ ἐν 5
Ὀλυμπίᾳ ναοῦ τῆς ὑπὲρ τῶν κιόνων περιθεούσης ζώνης
κατὰ τὸ ἐκτὸς ἀσπίδες εἰσὶν ἐπίχρυσοι μία καὶ εἴκοσιν
ἀριθμόν, ἀνάθημα στρατηγοῦ Ῥωμαίων Μομμίου κρα-
τήσαντος Ἀχαιῶν πολέμῳ καὶ Κόρινθόν τε ἑλόντος καὶ
Κορινθίους τοὺς Δωριέας ποιήσαντος ἀναστάτους. Τὰ 6
δὲ ἐν τοῖς ἀετοῖς, ἔστιν ἔμπροσθεν Πέλοπος ἡ πρὸς Οἰ-
νόμαον τῶν ἵππων ἅμιλλα ἔτι μέλλουσα, καὶ τὸ ἔργον
τοῦ δρόμου παρὰ ἀμφοτέρων ἐν παρασκευῇ. Διὸς δὲ
ἀγάλματος κατὰ μέσον πεποιημένου μάλιστα τὸν ἀετόν,
ἔστιν Οἰνόμαος ἐν δεξιᾷ τοῦ Διὸς ἐπικείμενος κράνος τῇ
κεφαλῇ, παρὰ δὲ αὐτὸν γυνὴ Στερόπη, θυγατέρων καὶ
αὕτη τῶν Ἄτλαντος. Μυρτίλος δέ, ὃς ἤλαυνε τῷ Οἰνο-
μάῳ τὸ ἅρμα, κάθηται πρὸ τῶν ἵππων· οἱ δέ εἰσιν ἀριθ-
μὸν οἱ ἵπποι τέσσαρες. μετὰ δὲ αὐτόν εἰσιν ἄνδρες δύο·
ὀνόματα μέν σφισιν οὐκ ἔστι, θεραπεύειν δὲ ἄρα τοὺς
ἵππους καὶ τούτοις προσετέτακτο ὑπὸ τοῦ Οἰνομάου.
πρὸς αὐτῷ δὲ κατάκειται τῷ πέρατι Κλάδεος· ἔχει δὲ καὶ 7
ἐς τὰ ἄλλα παρ' Ἠλείων τιμὰς ποταμῶν μάλιστα μετά γε
Ἀλφειόν. τὰ δὲ ἐς ἀριστερὰ ἀπὸ τοῦ Διὸς ὁ Πέλοψ καὶ

Ἱπποδάμεια καὶ ὅ τε ἡνίοχός ἐστι τοῦ Πέλοπος καὶ ἵπποι,
δύο τε ἄνδρες, ἱπποκόμοι δὴ καὶ οὗτοι τῷ Πέλοπι. καὶ
αὖθις ὁ ἀετὸς κάτεισιν ἐς στενόν, καὶ κατὰ τοῦτο Ἀλ-
φειὸς ἐπ' αὐτοῦ πεποίηται. τῷ δὲ ἀνδρὶ ὃς ἡνιοχεῖ τῷ
Πέλοπι λόγῳ μὲν τῶ Τροιζηνίων ἐστὶν ὄνομα Σφαῖρος,
8 ὁ δὲ ἐξηγητὴς ἔφασκεν ὁ ἐν Ὀλυμπίᾳ Κίλλαν εἶναι. τὰ
μὲν δὴ ἔμπροσθεν ἐν τοῖς ἀετοῖς ἐστὶ Παιωνίου, γένος ἐκ
Μένδης τῆς Θρᾳκίας, τὰ δὲ ὄπισθεν αὐτῶν Ἀλκαμένους
ἀνδρὸς ἡλικίαν τε κατὰ Φειδίαν καὶ δευτερεῖα ἐνεγκαμέ-
νου σοφίας ἐς ποίησιν ἀγαλμάτων. τὰ δὲ ἐν τοῖς ἀετοῖς 400
ἐστὶν αὐτῷ Λαπιθῶν ἐν τῷ Πειρίθου γάμῳ πρὸς Κεν-
ταύρους ἡ μάχη. κατὰ μὲν δὴ τοῦ ἀετοῦ τὸ μέσον Πειρί-
θους ἐστί· παρὰ δὲ αὐτὸν τῇ μὲν Εὐρυτίων ἡρπακὼς τὴν
γυναῖκά ἐστι τοῦ Πειρίθου, καὶ ἀμύνων Καινεὺς τῷ
Πειρίθῳ, τῇ δὲ Θησεὺς ἀμυνόμενος πελέκει τοὺς Κεν-
ταύρους· Κένταυρος δὲ ὁ μὲν παρθένον, ὁ δὲ παῖδα
ἡρπακώς ἐστιν ὡραῖον. ἐποίησε δέ, ἐμοὶ δοκεῖν, ταῦτα
ὁ Ἀλκαμένης Πειρίθουν τε εἶναι Διὸς ἐν ἔπεσι τοῖς Ὁμή-
ρου δεδιδαγμένος καὶ Θησέα ἐπιστάμενος ὡς (ἀπόγονος)
9 εἴη τέταρτος Πέλοπος. ἔστι δὲ ἐν Ὀλυμπίᾳ καὶ Ἡρακλέ-
ους τὰ πολλὰ τῶν ἔργων. ὑπὲρ μὲν τοῦ ναοῦ πεποίηται
τῶν θυρῶν ἡ ἐξ Ἀρκαδίας ἄγρα τοῦ ὑός, καὶ τὰ πρὸς
Διομήδην τὸν Θρᾷκα καὶ ἐν Ἐρυθείᾳ πρὸς Γηρυόνην,
καὶ Ἄτλαντός τε τὸ φόρημα ἐκδέχεσθαι μέλλων καὶ τῆς
κόπρου καθαίρων τὴν γῆν ἐστὶν Ἠλείοις· ὑπὲρ δὲ τοῦ
ὀπισθοδόμου τῶν θυρῶν τοῦ ζωστῆρος τὴν Ἀμαζόνα
ἐστὶν ἀφαιρούμενος καὶ τὰ ἐς τὴν ἔλαφον καὶ τὸν ἐν
Κνωσῷ ταῦρον καὶ ὄρνιθας τὰς ἐπὶ Στυμφήλῳ καὶ ἐς
10 ὕδραν τε καὶ τὸν ἐν τῇ γῇ τῇ Ἀργείᾳ λέοντα. 3. Τὰς θύ-
ρας δὲ ἐσιόντι τὰς χαλκᾶς ἔστιν ἐν δεξιᾷ πρὸ τοῦ κίονος
Ἴφιτος ὑπὸ γυναικὸς στεφανούμενος Ἐκεχειρίας, ὡς τὸ
ἐλεγεῖον τὸ ἐπ' αὐτοῖς φησίν. ἑστήκασι δὲ καὶ ἐντὸς τοῦ

ναοῦ κίονες, καὶ στοαί τε ἔνδον ὑπερῷοι καὶ πρόσοδος δι' αὐτῶν ἐπὶ τὸ ἄγαλμά ἐστι. πεποίηται δὲ καὶ ἄνοδος ἐπὶ τὸν ὄροφον σκολιά.

XI. Καθέζεται μὲν δὴ ὁ θεὸς ἐν θρόνῳ χρυσοῦ πεποιημένος καὶ ἐλέφαντος· στέφανος δὲ ἐπίκειταί οἱ τῇ κεφαλῇ μεμιμημένος ἐλαίας κλῶνας. ἐν μὲν δὴ τῇ δεξιᾷ φέρει Νίκην ἐξ ἐλέφαντος καὶ ταύτην καὶ χρυσοῦ, ταινίαν τε ἔχουσαν καὶ ἐπὶ τῇ κεφαλῇ στέφανον· τῇ δὲ ἀριστερᾷ τοῦ θεοῦ χειρὶ ἔνεστι σκῆπτρον μετάλλοις τοῖς πᾶσι διηνθισμένον. ὁ δὲ ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενός ἐστιν
401 ὁ ἀετός. χρυσοῦ δὲ καὶ τὰ ὑποδήματα τῷ θεῷ καὶ ἱμάτιον ὡσαύτως ἐστί· τῷ δὲ ἱματίῳ ζῴδιά τε καὶ τῶν ἀνθῶν τὰ κρίνα ἐστὶν ἐμπεποιημένα. 2. Ὁ δὲ θρόνος ποικίλος μὲν 2
χρυσῷ καὶ λίθοις, ποικίλος δὲ καὶ ἐβένῳ τε καὶ ἐλέφαντί ἐστι· καὶ ζῷά τε ἐπ' αὐτοῦ γραφῇ μεμιμημένα καὶ ἀγάλματά ἐστιν εἰργασμένα. Νῖκαι μὲν δὴ τέσσαρες, χορευουσῶν παρεχόμεναι σχῆμα, κατὰ ἕκαστον τοῦ θρόνου τὸν πόδα, δύο δέ εἰσιν ἄλλαι πρὸς ἑκάστου πέζῃ ποδός. τῶν ποδῶν δὲ ἑκατέρῳ τῶν ἔμπροσθεν παῖδές τε ἐπίκεινται Θηβαίων ὑπὸ σφιγγῶν ἡρπασμένοι, καὶ ὑπὸ τὰς σφίγγας Νιόβης τοὺς παῖδας Ἀπόλλων κατατοξεύουσι καὶ Ἄρτεμις. τῶν δὲ τοῦ θρόνου μεταξὺ ποδῶν τέσσαρες 3
κανόνες εἰσίν, ἐκ ποδὸς ἐς πόδα ἕτερον διήκων ἕκαστος. τῷ μὲν δὴ κατ' εὐθὺ τῆς ἐσόδου κανόνι, ἑπτά ἐστιν ἀγάλματα ἐπ' αὐτῷ· τὸ γὰρ ὄγδοον ἐξ αὐτῶν οὐκ ἴσασι τρόπον ὅντινα ἐγένετο ἀφανές. εἴη δ' ἂν ἀγωνισμάτων ἀρχαίων ταῦτα μιμήματα· οὐ γάρ πω τὰ ἐς τοὺς παῖδας ἐπὶ ἡλικίας ἤδη καθειστήκει τῆς Φειδίου· τὸν δὲ αὐτὸν ταινίᾳ τὴν κεφαλὴν ἀναδούμενον ἐοικέναι τὸ εἶδος Παντάρκει λέγουσι, μειράκιον δὲ Ἠλεῖον τὸν Παντάρκην παιδικὰ εἶναι τοῦ Φειδίου· ἀνείλετο δὲ καὶ ἐν παισὶν ὁ Παντάρκης πάλης νίκην ὀλυμπιάδι ἕκτῃ πρὸς ταῖς ὀγδοήκοντα.

4 Ἐπὶ δὲ τῶν κανόνων τοῖς λοιποῖς ὁ λόχος ἐστὶν ὁ σὺν
Ἡρακλεῖ μαχόμενος πρὸς Ἀμαζόνας· ἀριθμὸς μὲν δὴ
συναμφοτέρων ἐς ἐννέα ἐστὶ καὶ εἴκοσι, τέτακται δὲ καὶ
Θησεὺς ἐν τοῖς συμμάχοις τῷ Ἡρακλεῖ. ἀνέχουσι δὲ οὐχ
οἱ πόδες μόνοι τὸν θρόνον, ἀλλὰ καὶ κίονες ἴσοι τοῖς ποσὶ
μεταξὺ ἑστηκότες τῶν ποδῶν. ὑπελθεῖν δὲ οὐχ οἷόν τέ
ἐστιν ὑπὸ τὸν θρόνον, ὥσπερ γε [καὶ] ἐν Ἀμύκλαις ἐς τὸ
ἐντὸς τοῦ θρόνου παρερχόμεθα· ἐν Ὀλυμπίᾳ δὲ ἐρύματα
5 τρόπον τοίχων πεποιημένα τὰ ἀπείργοντά ἐστι. Τού- 402
των τῶν ἐρυμάτων ὅσον μὲν ἀπαντικρὺ τῶν θυρῶν ἐστίν,
ἀλήλιπται κυανῷ μόνον, τὰ δὲ λοιπὰ αὐτῶν παρέχεται
Παναίνου γραφάς. ἐν δὲ αὐταῖς ἔστι μὲν οὐρανὸν καὶ
γῆν Ἄτλας ἀνέχων, παρέστηκε δὲ καὶ Ἡρακλῆς ἐκδέξασ-
θαι τὸ ἄχθος ἐθέλων τοῦ Ἄτλαντος, ἔτι δὲ Θησεύς τε
καὶ Πειρίθους, καὶ Ἑλλάς τε καὶ Σαλαμὶς ἔχουσα ἐν τῇ
χειρὶ τὸν ἐπὶ ταῖς ναυσὶν ἄκραις ποιούμενον κόσμον,
Ἡρακλέους τε τῶν ἀγωνισμάτων τὸ ἐς τὸν λέοντα τὸν ἐν
6 Νεμέᾳ, καὶ τὸ ἐς Κασσάνδραν παρανόμημα Αἴαντος,
Ἱπποδάμειά τε ἡ Οἰνομάου σὺν τῇ μητρί, καὶ Προμηθεὺς
ἔτι ἐχόμενος μὲν ὑπὸ τῶν δεσμῶν, Ἡρακλῆς δὲ ἐς αὐτὸν
ἦρται· λέγεται γὰρ δὴ καὶ τόδε ἐς τὸν Ἡρακλέα, ὡς απο-
κτεῖναι μὲν τὸν ἀετὸν ὃς ἐν τῷ Καυκάσῳ τὸν Προμηθέα
ἐλύπει, ἐξέλοιτο δὲ καὶ αὐτὸν Προμηθέα ἐκ τῶν δεσμῶν.
τελευταῖα δὲ ἐν τῇ γραφῇ Πενθεσίλειά τε ἀφιεῖσα τὴν
ψυχὴν καὶ Ἀχιλλεὺς ἀνέχων ἐστὶν αὐτήν, καὶ Ἑσπερίδες
δύο φέρουσι τὰ μῆλα ὧν ἐπιτετράφθαι λέγονται τὴν
φρουράν. Πάναινος μὲν δὴ οὗτος ἀδελφός τε ἦν Φειδίου,
καὶ αὐτοῦ καὶ Ἀθήνησιν ἐν Ποικίλῃ τὸ Μαραθῶνι ἔργον
7 ἔστι γεγραμμένον. Ἐπὶ δὲ τοῖς ἀνωτάτω τοῦ θρόνου πε-
ποίηκεν ὁ Φειδίας ὑπὲρ τὴν κεφαλὴν τοῦ ἀγάλματος
τοῦτο μὲν Χάριτας τοῦτο δὲ Ὥρας, τρεῖς ἑκατέρας. εἶναι
γὰρ θυγατέρας Διὸς καὶ ταύτας ἐν ἔπεσίν ἐστιν εἰρημένα·

Ὅμηρος δὲ ἐν Ἰλιάδι ἐποίησε τὰς Ὥρας καὶ ἐπιτετράφθαι τὸν οὐρανόν, καθάπερ τινὰς φύλακας βασιλέως αὐλῆς. Τὸ ὑπόθημα δὲ τὸ ὑπὸ τοῦ Διὸς τοῖς ποσίν, ὑπὸ τῶν ἐν τῇ Ἀττικῇ καλούμενον θρανίον, λέοντάς τε χρυσοῦς καὶ Θησέως ἐπειργασμένην ἔχει μάχην τὴν πρὸς Ἀμαζόνας, τὸ Ἀθηναίων πρῶτον ἀνδραγάθημα ἐς οὐχ ὁμοφύλους.

403 3. Ἐπὶ δὲ τοῦ βάθρου τοῦ τὸν θρόνον τε ἀνέχοντος καὶ 8
ὅσος ἄλλος κόσμος περὶ τὸν Δία, ἐπὶ τούτου τοῦ βάθρου χρυσᾶ ποιήματα, ἀναβεβηκὼς ἐπὶ ἅρμα Ἥλιος, καὶ Ζεύς τέ ἐστι καὶ Ἥρα, * * παρὰ δὲ αὐτὸν Χάρις· ταύτης δὲ Ἑρμῆς ἔχεται, τοῦ Ἑρμοῦ δὲ Ἑστία· μετὰ δὲ τὴν Ἑστίαν Ἔρως ἐστὶν ἐκ θαλάσσης Ἀφροδίτην ἀνιοῦσαν ὑποδεχόμενος· τὴν δὲ Ἀφροδίτην στεφανοῖ Πειθώ. ἐπείργασται δὲ καὶ Ἀπόλλων σὺν Ἀρτέμιδι, Ἀθηνᾶ τε καὶ Ἡρακλῆς, καὶ ἤδη τοῦ βάθρου πρὸς τῷ πέρατι Ἀμφιτρίτη καὶ Ποσειδῶν, Σελήνη τε ἵππον ἐμοὶ δοκεῖν ἐλαύνουσα. τοῖς δέ ἐστιν εἰρημένα ἐφ ἡμιόνου τὴν θεὸν ὀχεῖσθαι καὶ οὐχ ἵππου, καὶ λόγον γέ τινα ἐπὶ τῷ ἡμιόνῳ λέγουσιν εὐήθη.

4. Μέτρα δὲ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἐς ὕψος τε καὶ 9
εὖρος ἐπιστάμενος γεγραμμένα οὐκ ἐν ἐπαίνῳ θήσομαι τοὺς μετρήσαντας, ἐπεὶ καὶ τὰ εἰρημένα αὐτοῖς μέτρα πολύ τι ἀποδέοντά ἐστιν ἢ τοῖς ἰδοῦσι παρέστηκεν ἐς τὸ ἄγαλμα δόξα, ὅπου γε καὶ αὐτὸν τὸν θεὸν μάρτυρα ἐς τοῦ Φειδίου τὴν τέχνην γενέσθαι λέγουσιν. ὡς γὰρ δὴ ἐκτετελεσμένον ἤδη τὸ ἄγαλμα ἦν, ηὔξατο ὁ Φειδίας ἐπισημῆναι τὸν θεὸν εἰ τὸ ἔργον ἐστὶν αὐτῷ κατὰ γνώμην· αὐτίκα δ' ἐς τοῦτο τοῦ ἐδάφους κατασκῆψαι κεραυνόν φασιν, ἔνθα ὑδρία καὶ ἐς ἐμὲ ἐπίθημα ἦν ἡ χαλκῆ.

5. Ὅσον δὲ τοῦ ἐδάφους ἐστὶν ἔμπροσθεν τοῦ ἀγάλ- 10
ματος, τοῦτο οὐ λευκῷ, μέλανι δὲ κατεσκεύασται τῷ λίθῳ. περιθεῖ δὲ ἐν κύκλῳ τὸν μέλανα λίθου Παρίου κρηπίς, ἔρυμα εἶναι τῷ ἐλαίῳ τῷ ἐκχεομένῳ. ἔλαιον γὰρ

τῷ ἀγάλματί ἐστιν ἐν Ὀλυμπίᾳ συμφέρον, καὶ ἔλαιόν ἐστι τὸ ἀπεῖργον μὴ γίνεσθαι τῷ ἐλέφαντι βλάβος διὰ τὸ ἑλῶδες τῆς Ἄλτεως. ἐν ἀκροπόλει δὲ τῇ Ἀθηναίων τὴν καλουμένην παρθένον οὐκ ἔλαιον, ὕδωρ δὲ τὸ ἐς τὸν ἐλέ- 404
φαντα ὠφελοῦν ἐστίν· ἅτε γὰρ αὐχμηρᾶς τῆς ἀκροπόλεως οὔσης διὰ τὸ ἄγαν ὑψηλόν, τὸ ἄγαλμα ἐλέφαντος πεποιημένον ὕδωρ καὶ δρόσον τὴν ἀπὸ τοῦ ὕδατος πο-
11 θεῖ. ἐν Ἐπιδαύρῳ δὲ ἐρομένου μου καθ' ἥντινα αἰτίαν οὔτε ὕδωρ τῷ Ἀσκληπιῷ σφίσιν οὔτε ἔλαιόν ἐστιν ἐγχεόμενον, ἐδίδασκόν με οἱ περὶ τὸ ἱερὸν ὡς καὶ τὸ ἄγαλμα τοῦ θεοῦ καὶ ὁ θρόνος ἐπὶ φρέατι εἴη πεποιημένα.

XII. Ὅσοι δὲ ἀνθρώπων τὰ διὰ τοῦ στόματος ἐς τὸ ἐκτὸς ἐλέφασιν ἐξίσχοντα ὀδόντας τῶν θηρίων εἶναι καὶ οὐ κέρατα ἥγηνται, τούτοις ἔστιν ἀπιδεῖν μὲν ἐς τὰς ἄλκας, τὸ ἐν Κελτικῇ θηρίον, ἀπιδεῖν δὲ ἐς τοὺς Αἰθιοπικοὺς ταύρους. ἄλκαι μὲν γὰρ [καὶ] κέρατα ἐπὶ ταῖς ὀφρύσιν ἔχουσιν οἱ ἄρρενες, τὸ δὲ θῆλυ οὐ φύει τὸ παράπαν· οἱ δὲ Αἰθιοπικοὶ ταῦροι τὰ κέρατα φύουσιν ἐπὶ τῇ ῥινί. τίς ἂν οὖν ποιήσαιτο ἔτι ἐν μεγάλῳ θαύματι διὰ στόμα-
2 τος ζῴῳ κέρατα ἐκφῦναι; πάρεστι δὲ ἀναδιδάσκεσθαι καὶ τοῖσδε ἔτι. κέρατα γὰρ κατὰ ἐτῶν περίοδον ἀπογίνεται καὶ αὖθις ἐκβλαστάνει ζῴοις· καὶ τοῦτο ἔλαφοί τε καὶ δορκάδες, ὡσαύτως δὲ καὶ οἱ ἐλέφαντες πεπόνθασιν. ὀδοὺς δὲ οὐκ ἔστιν ὅτῳ δεύτερα παρέσται ζῴῳ τῶν γε ἤδη τελείων. εἰ δὲ ὀδόντες τὰ διὰ στόματος ἐξίσχοντα καὶ μὴ κέρατα ἦσαν, πῶς ἂν καὶ ἀνεφύοντο αὖθις; οὐ μὴν οὐδὲ εἴκειν πυρὶ ἔχουσιν ὀδόντες φύσιν· κέρατα δὲ καὶ 405
βοῶν καὶ ἐλεφάντων ἐς ὁμαλές τε ἐκ περιφεροῦς καὶ ἐς ἄλλα ὑπὸ πυρὸς ἄγεται σχήματα. [ποταμίοις γε μὴν ἵπποις καὶ ὑσὶν ἡ κάτωθεν γένυς τοὺς χαυλιόδοντας φέρει·
3 κέρατα δὲ ἀναφυόμενα οὐχ ὁρῶμεν ἐκ γενύων.] ἐλέφαντι οὖν τὰ κέρατα ἴστω τις διὰ κροτάφων κατερχόμενα ἄνω-

θεν καὶ οὕτως ἐς τὸ ἐκτὸς ἐπιστρέφοντα. τοῦτο οὐκ ἀκοὴν γράφω, θεασάμενος δὲ ἐλέφαντος ἐν γῇ τῇ Καμπανῶν κρανίον ἐν Ἀρτέμιδος ἱερῷ· σταδίους δὲ ὡς τριάκοντα ἀπέχει μάλιστα Καπύης τὸ ἱερόν, αὕτη δὲ ἡ μητρόπολίς ἐστιν ἡ Καπύη τῶν Καμπανῶν. ὁ μὲν δὴ ἐλέφας παρὰ τὰ λοιπὰ ζῷα διάφορον καὶ τὴν ἔκφυσιν παρέχεται τῶν κεράτων, ὥσπερ γε καὶ τὸ μέγεθός ἐστιν αὐτῷ καὶ εἶδος οὐδὲν ἐοικότα ἑτέρῳ θηρίῳ. φιλότιμοι δὲ ἐς τὰ μάλιστά μοι καὶ ἐς θεῶν τιμὴν οὐ φειδωλοὶ χρημάτων γενέσθαι δοκοῦσιν οἱ Ἕλληνες, οἷς γε παρὰ Ἰνδῶν ἤγετο καὶ ἐξ Αἰθιοπίας ἐλέφας ἐς ποίησιν ἀγαλμάτων.

2. Ἐν δὲ Ὀλυμπίᾳ παραπέτασμα ἐρεοῦν κεκοσμημέ- 4
νον ὑφάσμασιν Ἀσσυρίοις καὶ βαφῇ πορφύρας τῆς Φοινίκων ἀνέθηκεν Ἀντίοχος, οὗ δὴ καὶ ὑπὲρ τοῦ θεάτρου τοῦ Ἀθήνησιν ἡ αἰγὶς ἡ χρυσῆ καὶ ἐπ' αὐτῆς ἡ Γοργὼ ἡ ἐς τὰ ἀναθήματα. τοῦτο οὐκ ἐς τὸ ἄνω τὸ παραπέτασμα πρὸς τὸν ὄροφον, ὥσπερ γε ἐν Ἀρτέμιδος τῆς Ἐφεσίας, ἀνέλκουσι, καλῳδίοις δὲ ἐπιχαλῶντες καθιᾶσιν ἐς τὸ
ἔδαφος. 3. Ἀναθήματα δὲ ὁπόσα ἔνδον ἢ ἐν τῷ προνάῳ 5
406 κεῖται, θρόνος ἐστὶν Ἀριμνήστου τοῦ βασιλεύσαντος ἐν Τυρσηνοῖς, ὃς πρῶτος βαρβάρων ἀναθήματι τὸν ἐν Ὀλυμπίᾳ Δία ἐδωρήσατο, καὶ ἵπποι Κυνίσκας χαλκοῖ, σημεῖα Ὀλυμπικῆς νίκης. οὗτοι μέγεθος μὲν ἀποδέουσιν ἵππων, ἑστήκασι δὲ ἐν τῷ προνάῳ τοῖς ἐσιοῦσιν ἐν δεξιᾷ. κεῖται δὲ καὶ τρίπους ἐπίχαλκος, ἐφ' οὗ πρὶν ἢ τὴν τράπεζαν ποιηθῆναι προετίθεντο τοῖς νικῶσιν οἱ στέφα-
νοι. 4. Βασιλέων δὲ ἀνδριάντας, Ἀδριανοῦ μὲν αἱ ἐς τὸ 6
Ἀχαϊκὸν τελοῦσαι πόλεις ἀνέθεσαν Παρίου λίθου, Τραϊανοῦ δὲ οἱ πάντες Ἕλληνες. οὗτος προσεκτήσατο ὁ βασιλεὺς Γέτας τοὺς ὑπὲρ Θρᾴκης, Ὀσρόῃ τε τῷ ἀπογόνῳ τῷ Ἀρσάκου καὶ Πάρθοις ἐπολέμησεν. ὁπόσα δὲ ἐς ἔργων ἔχει οἱ κατασκευήν, ἀξιολογώτατά ἐστι λουτρὰ ἐπώνυμα

αὐτοῦ, καὶ θέατρον μέγα κυκλοτερὲς πανταχόθεν, καὶ οἰκοδόμημα ἐς ἵππων δρόμους προῆκον καὶ ἐς δύο σταδίων μῆκος, καὶ ἡ Ῥωμαίων ἀγορὰ κόσμου τε ἕνεκα τοῦ λοιποῦ θέας ἀξία καὶ μάλιστα ἐς τὸν ὄροφον χαλκοῦ πε-
7 ποιημένον. 5. Αἱ δὲ εἰκόνες αἱ τοῖς κατασκευάσμασι τοῖς περιφερέσιν ἐγκείμεναι, ἡ μὲν τοῦ ἠλέκτρου βασιλέως Ῥωμαίων ἐστὶν Αὐγούστου, ἡ δὲ τοῦ ἐλέφαντος βασιλέως Νικομήδους ἐλέγετο εἶναι Βιθυνῶν. ἀπὸ τούτου δὲ καὶ τῇ μεγίστῃ τῶν ἐν Βιθυνίᾳ πόλεων μετεβλήθη τὸ ὄνομα Ἀστακῷ τὰ πρὸ τούτου καλουμένῃ· τὰ δὲ ἐξ ἀρχῆς αὐτῇ Ζυποίτης ἐγένετο οἰκιστής, Θρᾷξ γένος εἰκάζοντί γε ἀπὸ τοῦ ὀνόματος. 6. Τὸ δὲ ἤλεκτρον τοῦτο οὗ τῷ Αὐγούστῳ πεποίηνται τὴν εἰκόνα, ὅσον μὲν αὐτόματον ἐν τοῦ Ἠριδανοῦ ταῖς ψάμμοις εὑρίσκεται, σπανίζεται τὰ μάλιστα καὶ ἀνθρώπῳ τίμιον πολλῶν ἐστιν ἕνεκα· τὸ δὲ ἄλλο
8 ἤλεκτρον ἀναμεμιγμένος ἐστὶν ἀργύρῳ χρυσός. 7. Ἐν δὲ τῷ ἐν Ὀλυμπίᾳ ναῷ Νέρωνος ἀναθήματα τρεῖς μὲν ἐς κοτίνου φύλλα στέφανοι, τέταρτος δὲ ἐς δρυός ἐστι μεμιμημένος. κεῖνται δὲ αὐτόθι καὶ ἀσπίδες χαλκαῖ πέντε καὶ εἴκοσι τοῖς ὁπλιτεύουσιν εἶναι φορήματα ἐς τὸν δρό- 407
μον. στῆλαι δὲ ἄλλαι τε ἑστήκασι καὶ ἡ πρὸς Ἀθηναίους καὶ Ἀργείους τε καὶ Μαντινέας ἔχουσα ὅρκον παρὰ Ἠλείων ἐς συμμαχίαν ἐτῶν ἑκατόν.

XIII. Ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως καὶ Πέλοπι ἀποτετμημένον τέμενος· ἡρώων δὲ τῶν ἐν Ὀλυμπίᾳ τοσοῦτον προτετιμημένος ἐστὶν ὁ Πέλοψ ὑπὸ Ἠλείων ὅσον Ζεὺς θεῶν τῶν ἄλλων. ἔστιν οὖν τοῦ ναοῦ τοῦ Διὸς κατὰ δεξιὰν τῆς ἐσόδου πρὸς ἄνεμον Βορέαν τὸ Πελόπιον, ἀφεστηκὸς μὲν τοῦ ναοῦ τοσοῦτον ὡς μεταξὺ καὶ ἀνδριάντας καὶ ἀναθήματα ἄλλα ἀνακεῖσθαι, παρήκει δὲ ὡς ἐπὶ τὸν ὀπισθόδομον ἀπὸ μέσου μάλιστα ἀρξάμενον τοῦ ναοῦ, καὶ λίθων τε θριγκῷ περιέχεται, καὶ δένδρα ἐντὸς

πεφυκότα καὶ ἀνδριάντες εἰσὶν ἀνακείμενοι. ἔσοδος δὲ 2
ἐς αὐτὸ πρὸς δυσμῶν ἐστὶν ἡλίου. τοῦτο ἀπονεῖμαι τῷ
Πέλοπι Ἡρακλῆς ὁ Ἀμφιτρύωνος λέγεται· τέταρτος γὰρ
δὴ ἀπόγονος καὶ οὗτος ἦν Πέλοπος. λέγεται δὲ καὶ ὡς
ἔθυσεν ἐς τὸν βόθρον τῷ Πέλοπι. 2. Θύουσι δὲ αὐτῷ καὶ
νῦν ἔτι οἱ κατὰ ἔτος τὰς ἀρχὰς ἔχοντες· τὸ δὲ ἱερεῖόν
ἐστι κριος μέλας. ἀπὸ ταύτης οὐ γίνεται τῷ μάντει μοῖρα
τῆς θυσίας, τράχηλον δὲ μόνον δίδοσθαι τοῦ κριοῦ καθέ-
στηκε τῷ ὀνομαζομένῳ ξυλεῖ. ἔστι δὲ ὁ ξυλεὺς ἐκ τῶν 3
οἰκετῶν τοῦ Διός, ἔργον δὲ αὐτῷ πρόσκειται τὰ ἐς τὰς
θυσίας ξύλα τεταγμένου λήμματος καὶ πόλεσι παρέχειν
καὶ ἀνδρὶ ἰδιώτῃ· τὰ δὲ λεύκης μόνης ξύλα καὶ ἄλλου
δένδρου ἐστὶν οὐδενός. ὃς δ' ἂν ἢ αὐτῶν Ἠλείων ἢ ξένων
τοῦ θυομένου τῷ Πέλοπι ἱερείου φάγῃ τῶν κρεῶν, οὐκ
ἔστιν οἱ ἐσελθεῖν παρὰ τὸν Δία. Τὸ δὲ αὐτὸ καὶ ἐν τῇ
Περγάμῳ τῇ ὑπὲρ ποταμοῦ Καΐκου πεπόνθασιν οἱ τῷ
Τηλέφῳ θύοντες· ἔστι γὰρ δὴ οὐδὲ τούτοις ἀναβῆναι πρὸ
λουτροῦ παρὰ τὸν Ἀσκληπιόν. 3. Λέγεται δὲ καὶ τοιόνδε 4
ἔτι· μηκυνομένου τοῦ πρὸς Ἰλίῳ πολέμου προαγορεῦσαι
408 αὐτοῖς τοὺς μάντεις ὡς αἱρήσουσιν οὐ πρότερον τὴν
πόλιν, πρὶν ἂν τὰ Ἡρακλέους τόξα καὶ ὀστοῦν ἐπαγάγων-
ται Πέλοπος. οὕτω δὴ μεταπέμψασθαι μὲν Φιλοκτήτην
φασὶν αὐτούς ἐς τὸ στρατόπεδον, ἀχθῆναι δὲ καὶ τῶν
ὀστῶν ὠμοπλάτην σφίσιν ἐκ Πίσης τῶν Πέλοπος. ὡς δὲ
οἴκαδε ἐκομίζοντο, ἀπόλλυται περὶ Εὔβοιαν καὶ ἡ ναῦς
ὑπὸ τοῦ χειμῶνος ἡ τὸ ὀστοῦν φέρουσα τὸ Πέλοπος.
ἔτεσι δὲ ὕστερον πολλοῖς μετὰ ἅλωσιν Ἰλίου Δαμάρμενον 5
ἁλιέα ἐξ Ἐρετρίας ἀφέντα δίκτυον ἐς θάλασσαν τὸ ὀστοῦν
ἑλκύσαι, θαυμάσαντα δὲ αὐτοῦ τὸ μέγεθος ἔχειν ἀποκρύ-
ψαντα ὑπὸ τὴν ψάμμον. τέλος δὲ αὐτὸν ἀφικέσθαι καὶ ἐς
Δελφούς, ὅτου τε ἀνδρὸς τὸ ὀστοῦν εἴη καὶ ὅ τι χρηστέον
αὐτῷ διδαχθῆναι δεησόμενον. καί πως κατὰ πρόνοιαν 6

τοῦ θεοῦ τηνικαῦτα ** παρὰ Ἠλείων ἐπανόρθωμα αἰ-
τούντων νόσου λοιμώδους· ἀνεῖπεν οὖν σφίσιν ἡ Πυθία,
τοῖς μὲν ἀνασώσασθαι Πέλοπος τὰ ὀστᾶ, Δαμαρμένῳ δὲ
ἀποδοῦναι τὰ εὑρημένα αὐτῷ Ἠλείοις. καί οἱ ταῦτα ποιή-
σαντι ἄλλα τε ἀντέδοσαν Ἠλεῖοι, καὶ Δαμάρμενόν τε αὐ-
τὸν καὶ ἀπογόνους τοὺς ἐκείνου φύλακας σφᾶς εἶναι τοῦ
ὀστοῦ. ἡ δὲ ὠμοπλάτη τοῦ Πέλοπος ἠφάνιστο ἤδη κατ'
ἐμέ, ὅτι, ἐμοὶ δοκεῖν, ἐκέκρυπτο ἐπὶ πολὺ κατὰ τοῦ βυθοῦ
καὶ ὁμοῦ τῷ χρόνῳ προσέκαμνεν οὐχ ἥκιστα ὑπὸ τῆς θα-
7 λάσσης. 4. Πέλοπος δὲ καὶ Ταντάλου τῆς παρ' ἡμῖν ἐνοι-
κήσεως σημεῖα ἔτι καὶ ἐς τόδε λείπεται, Ταντάλου μὲν
λίμνη τε ἀπ' αὐτοῦ καλουμένη καὶ οὐκ ἀφανὴς τάφος,
Πέλοπος δὲ ἐν Σιπύλῳ μὲν θρόνος ἐν κορυφῇ τοῦ ὄρους
ἐστὶν ὑπὲρ τῆς Πλακιανῆς μητρὸς τὸ ἱερόν, διαβάντι δὲ
Ἕρμον ποταμὸν Ἀφροδίτης ἄγαλμα ἐν Τήμνῳ πεποιημέ-
νον ἐκ μυρσίνης τεθηλυίας· ἀναθεῖναι δὲ Πέλοπα αὐτὸ
παρειλήφαμεν μνήμῃ προϊλασκόμενόν τε τὴν θεὸν καὶ
γενέσθαι οἱ τὸν γάμον τῆς Ἱπποδαμείας αἰτούμενον.
8 5. Ἔστι δὲ ὁ τοῦ Διὸς τοῦ Ὀλυμπίου βωμὸς ἴσον μὲν
μάλιστα τοῦ Πελοπίου τε καὶ τοῦ ἱεροῦ τῆς Ἥρας ἀπέχων,
προκείμενος μέντοι καὶ πρὸ ἀμφοτέρων. κατασκευα- 409
σθῆναι δὲ αὐτὸν οἱ μὲν ὑπὸ Ἡρακλέους τοῦ Ἰδαίου λέγου-
σιν, οἱ δὲ ὑπὸ ἡρώων τῶν ἐπιχωρίων γενεαῖς δύο ὕστερον
τοῦ Ἡρακλέους. πεποίηται δὲ ἱερείων τῶν θυομένων τῷ
Διὶ ἀπὸ τῆς τέφρας τῶν μηρῶν, καθάπερ γε καὶ ἐν Περ-
γάμῳ· τέφρας γὰρ δή ἐστι καὶ τῇ Ἥρᾳ τῇ Σαμίᾳ βωμός,
οὐδέν τι ἐπιφανέστερος ἢ ἐν τῇ χώρᾳ τῇ Ἀττικῇ ἃς αὐτο-
9 σχεδίας Ἀθηναῖοι καλοῦσιν ἐσχάρας. τοῦ βωμοῦ δὲ τοῦ
ἐν Ὀλυμπίᾳ κρηπῖδος μὲν τῆς πρώτης, προθύσεως καλου-
μένης, πόδες πέντε καὶ εἴκοσι καὶ ἑκατόν ἐστι περίοδος,
τῆς δὲ ἐπὶ τῇ προθύσει περίμετρος [ἑκάστου] πόδες δύο
καὶ τριάκοντα· τὸ δὲ ὕψος τοῦ βωμοῦ τὸ σύμπαν ἐς δύο

καὶ εἴκοσιν ἀνήκει πόδας. αὐτὰ μὲν δὴ τὰ ἱερεῖα ἐν μέρει
τῷ κάτω, τῇ προθύσει, καθέστηκεν αὐτοῖς θύειν· τοὺς
μηροὺς δὲ ἀναφέροντες ἐς τοῦ βωμοῦ τὸ ὑψηλέστατον
καθαγίζουσιν ἐνταῦθα. ἀναβασμοὶ δὲ ἐς μὲν τὴν πρόθυ- 10
σιν ἀνάγουσιν ἐξ ἑκατέρας τῆς πλευρᾶς λίθου πεποιημέ-
νοι· τὸ δὲ ἀπὸ τῆς προθύσεως ἐς τὸ ἄνω τοῦ βωμοῦ
τέφρας παρέχεται καὶ ἀναβασμούς. Ἄχρι μὲν δὴ τῆς προ-
θύσεως ἔστιν ἀναβῆναι καὶ παρθένοις, καὶ ὡσαύτως γυ-
ναιξὶν ἐπειδὰν τῆς Ὀλυμπίας μὴ ἐξείργωνται· ἀπὸ τού-
του δὲ ἐς τὸ ἀνωτάτω τοῦ βωμοῦ μόνοις ἔστιν ἀνδράσιν
ἀνελθεῖν. Θύεται δὲ τῷ Διὶ καὶ ἄνευ τῆς πανηγύρεως
ὑπό τε ἰδιωτῶν καὶ ἀνὰ πᾶσαν ἡμέραν ὑπὸ Ἠλείων. κατ' 11
ἔτος δὲ ἕκαστον φυλάξαντες οἱ μάντεις τὴν ἐνάτην ἐπὶ
**410** δέκα τοῦ Ἐλαφίου μηνὸς κομίζουσιν ἐκ τοῦ πρυτανείου
τὴν τέφραν, φυράσαντες δὲ τῷ ὕδατι τοῦ Ἀλφειοῦ κονιῶ-
σιν οὕτω τὸν βωμόν. ὑπὸ δὲ ἄλλου τὴν τέφραν ὕδατος
ποιηθῆναι πηλὸν οὐ μή ποτε ἐγγένηται· καὶ τοῦδε ἕνεκα
ὁ Ἀλφειὸς νενόμισται τῷ Ὀλυμπίῳ Διὶ ποταμῶν δὴ μά-
λιστα εἶναι φίλος. ἔστι δὲ καὶ ἐν Διδύμοις τῶν Μιλησίων
βωμός, ἐποιήθη δὲ ὑπὸ Ἡρακλέους τοῦ Θηβαίου, καθὰ
οἱ Μιλήσιοι λέγουσιν, ἀπὸ τῶν ἱερείων τοῦ αἵματος· ἐς
δὲ τὰ ὕστερα τὸ αἷμα τῶν θυμάτων οὐκ ἐς ὑπέρογκον
ηὔξηκεν αὐτὸν μέγεθος.

**XIV.** Ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς παρέχεται καὶ ἄλλο
τοιόνδε ἐς θαῦμα· οἱ γὰρ ἰκτῖνες πεφυκότες ἁρπάζειν
μάλιστα ὀρνίθων ἀδικοῦσιν οὐδὲν ἐν Ὀλυμπίᾳ τοὺς
θύοντας. ἢν δὲ ἁρπάσῃ ποτὲ ἰκτῖνος ἤτοι σπλάγχνα ἢ
τῶν κρεῶν, νενόμισται τῷ θύοντι οὐκ αἴσιον εἶναι τὸ
σημεῖον. 2. φασὶ δὲ Ἡρακλεῖ τῷ Ἀλκμήνης θύοντι ἐν
Ὀλυμπίᾳ δι' ὄχλου μάλιστα γενέσθαι τὰς μυίας· ἐξευ-
ρόντα οὖν αὐτὸν ἢ καὶ ὑπ' ἄλλου διδαχθέντα Ἀπομυίῳ
θῦσαι Διί, καὶ οὕτως ἀποτραπῆναι τὰς μυίας πέραν τοῦ

Ἀλφειοῦ. λέγονται δὲ κατὰ ταὐτὰ καὶ Ἠλεῖοι θύειν τῷ Ἀπομυίῳ Διί, ἐξελαύνοντι τῆς [Ἠλείας] Ὀλυμπίας τὰς μυίας.

2 3. Τῆς δὲ λεύκης μόνης τοῖς ξύλοις ἐς τοῦ Διὸς τὰς
θυσίας, καὶ ἀπ' οὐδενὸς δένδρου τῶν ἄλλων, οἱ Ἠλεῖοι 411
χρῆσθαι νομίζουσι κατ' ἄλλο μὲν οὐδὲν προτιμῶντες, ἐμοὶ δοκεῖν, τὴν λεύκην, ὅτι δὲ Ἡρακλῆς ἐκόμισεν αὐτὴν ἐς Ἕλληνας ἐκ τῆς Θεσπρωτίδος χώρας. καί μοι καὶ αὐτὸς ὁ Ἡρακλῆς ἐφαίνετο, ἡνίκα τῷ Διὶ ἔθυεν ἐν Ὀλυμπίᾳ, τῶν ἱερείων τὰ μηρία ἐπὶ λεύκης καῦσαι ξύλων. τὴν δὲ λεύκην ὁ Ἡρακλῆς πεφυκυῖαν παρὰ τὸν Ἀχέροντα εὗρε τὸν ἐν Θεσπρωτίᾳ ποταμόν, καὶ τοῦδε ἕνεκά φασιν αὐτὴν
3 Ἀχερωΐδα ὑπὸ Ὁμήρου καλεῖσθαι. 4. εἶχον δὲ ἄρα καὶ ἐξ ἀρχῆς οἱ ποταμοὶ καὶ ἐς τόδε ἔχουσιν οὐ κατὰ τὰ αὐτὰ ἐπιτηδείως πρὸς γένεσιν πόας τε καὶ δένδρων· ἀλλὰ πλεῖσται μὲν ὑπὸ Μαιάνδρου μυρῖκαι καὶ μάλιστα αὔξονται, Ἀσωπὸς δὲ ὁ Βοιώτιος βαθυτάτας πέφυκεν ἐκτρέφειν τὰς σχοίνους, τὸ δένδρον δὲ ἡ περσεία μόνου χαίρει τοῦ Νείλου τῷ ὕδατι. οὕτω καὶ τὴν λεύκην θαῦμα οὐδὲν καὶ αἴγειρόν τε καὶ κότινον, τὴν μὲν ἐπὶ Ἀχέροντι ἀναφῦναι πρώτῳ, κότινον δὲ ἐπὶ τῷ Ἀλφειῷ, τὴν δὲ αἴγειρον γῆς τῆς Κελτῶν καὶ Ἠριδανοῦ τοῦ Κελτικοῦ θρέμμα εἶναι.

4 5. Φέρε δή, ἐποιησάμεθα γὰρ βωμοῦ τοῦ μεγίστου μνήμην, ἐπέλθωμεν καὶ τὰ ἐς ἅπαντας ἐν Ὀλυμπίᾳ τοὺς βωμούς. ἐπακολουθήσει δὲ ὁ λόγος μοι τῇ ἐς αὐτοὺς τάξει, καθ' ἥντινα Ἠλεῖοι θύειν ἐπὶ τῶν βωμῶν νομίζουσι. θύουσι δὲ Ἑστίᾳ μὲν πρώτῃ, δευτέρῳ δὲ τῷ Ὀλυμπίῳ Διὶ ἰόντες ἐπὶ τὸν βωμὸν τὸν ἐντὸς τοῦ ναοῦ. τρίτα δὲ ἐπὶ
5 ἑνὸς βωμοῦ *** καὶ αὕτη καθέστηκεν ἡ θυσία. τέταρτα
καὶ πέμπτα Ἀρτέμιδι θύουσι καὶ Ληίτιδι Ἀθηνᾷ, ἕκτα 412
Ἐργάνῃ. ταύτῃ τῇ Ἐργάνῃ καὶ οἱ ἀπόγονοι Φειδίου, καλούμενοι δὲ φαιδρυνταί, γέρας παρὰ Ἠλείων εἰληφότες

τοῦ Διὸς τὸ ἄγαλμα ἀπὸ τῶν προσιζανόντων καθαίρειν, οὗτοι θύουσιν ἐνταῦθα πρὶν ἢ λαμπρύνειν τὸ ἄγαλμα ἄρχονται. Ἔστι δὲ Ἀθηνᾶς καὶ ἄλλος βωμὸς πλησίον τοῦ ναοῦ, καὶ Ἀρτέμιδος παρ' αὐτὸν τετράγωνος, ἀνήκων ἠρέμα ἐς ὕψος. μετὰ δὲ τοὺς κατειλεγμένους Ἀλφειῷ καὶ 6
Ἀρτέμιδι θύουσιν ἐπὶ ἑνὸς βωμοῦ· τὸ δὲ αἴτιον τούτου παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ, γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λετριναίοις. τούτου δὲ οὐ πόρρω καὶ ἄλλος τῷ Ἀλφειῷ βωμὸς πεποίηται, παρὰ δὲ αὐτόν ἐστιν Ἡφαίστου. τοῦ δὲ Ἡφαίστου τὸν βωμόν εἰσιν Ἠλείων οἳ ὀνομάζουσιν Ἀρείου Διός. λέγουσι δὲ οἱ αὐτοὶ οὗτοι καὶ ὡς Οἰνόμαος ἐπὶ τοῦ βωμοῦ τούτου θύοι τῷ Ἀρείῳ Διί, ὁπότε τῶν Ἱπποδαμείας μνηστήρων καθίστασθαι μέλλοι τινὶ ἐς ἵππων ἅμιλλαν. Μετὰ τοῦτον πεποίηται μὲν Ἡρα- 7
κλεῖ βωμὸς ἐπίκλησιν Παραστάτῃ, πεποίηται δὲ καὶ τοῦ Ἡρακλέους τοῖς ἀδελφοῖς Ἐπιμήδει καὶ Ἴδᾳ καὶ Παιωναίῳ τε καὶ Ἰάσῳ. τὸν δὲ τοῦ Ἴδα βωμὸν Ἀκεσίδα ὑπὸ ἑτέρων οἶδα καλούμενον. Ἔνθα δὲ τῆς οἰκίας τὰ θεμέλιά ἐστι τῆς Οἰνομάου, δύο ἐνταῦθά εἰσι βωμοί, Διός τε Ἑρκείου· τοῦτον ὁ Οἰνόμαος ἐφαίνετο αὐτὸς οἰκοδομήσασθαι· τῷ δὲ Κεραυνίῳ Διὶ ὕστερον ἐποιήσαντο, ἐμοὶ δοκεῖν, βωμόν, ὅτ' ἐς τοῦ Οἰνομάου τὴν οἰκίαν κατέσκηψεν ὁ κεραυνός. τὰ δὲ ἐς τὸν μέγαν βωμὸν ὀλίγῳ μέν τι ἡμῖν 8
πρότερόν ἐστιν εἰρημένα, καλεῖται δὲ Ὀλυμπίου Διός.
6. Πρὸς αὐτῷ δ' ἐστὶν Ἀγνώστων θεῶν βωμός, καὶ μετὰ τοῦτον Καθαρσίου Διὸς καὶ Νίκης, καὶ αὖθις Διὸς ἐπωνυμίαν Χθονίου. εἰσὶ δὲ καὶ θεῶν πάντων βωμοί, καὶ Ἥρας ἐπίκλησιν Ὀλυμπίας, πεποιημένος τέφρας καὶ οὗ-
413 τος· Κλυμένου δέ φασιν αὐτὸν ἀνάθημα εἶναι. μετὰ δὲ τοῦτον Ἀπόλλωνος καὶ Ἑρμοῦ βωμός ἐστιν ἐν κοινῷ, διότι Ἑρμῆν λύρας, Ἀπόλλωνα δὲ εὑρέτην εἶναι κιθάρας Ἑλλήνων ἐστὶν ἐς αὐτοὺς λόγος. ἐφεξῆς δὲ Ὁμονοίας βωμὸς 9

καὶ αὖθις Ἀθηνᾶς, ὁ δὲ Μητρὸς θεῶν. 7. τῆς ἐσόδου δὲ τῆς ἐς τὸ στάδιόν εἰσιν ἐγγύτατα βωμοὶ δύο· τὸν μὲν αὐτῶν Ἑρμοῦ καλοῦσιν Ἐναγωνίου, τὸν δὲ ἕτερον Καιροῦ. Ἴωνι δὲ οἶδα τῷ Χίῳ καὶ ὕμνον πεποιημένον Καιροῦ· γενεαλογεῖ δὲ ἐν τῷ ὕμνῳ νεώτατον παίδων Διὸς Καιρὸν εἶναι. πλησίον δὲ τοῦ Σικυωνίων θησαυροῦ ἤτοι Κουρήτων ἢ τοῦ Ἀλκμήνης ἐστὶν Ἡρακλέους· λέγεται γὰρ καὶ
10 ἀμφότερα. 8. Ἐπὶ δὲ τῷ Γαίῳ καλουμένῳ βωμός ἐστιν ἐπ' αὐτῷ Γῆς, τέφρας καὶ οὗτος· τὰ δὲ ἔτι ἀρχαιότερα καὶ μαντεῖον τῆς Γῆς αὐτόθι εἶναι λέγουσιν. ἐπὶ δὲ τοῦ ὀνομαζομένου Στομίου Θέμιδι ὁ βωμὸς πεποίηται. τοῦ δὲ Καταιβάτου Διὸς προβέβληται μὲν πανταχόθεν πρὸ τοῦ βωμοῦ φράγμα, ἔστι δὲ πρὸς τῷ βωμῷ τῷ ἀπὸ τῆς τέφρας τῷ μεγάλῳ. μεμνήσθω δέ τις οὐ κατὰ στοῖχον τῆς ἱδρύσεως ἀριθμουμένους τοὺς βωμούς, τῇ δὲ τάξει τῇ Ἠλείων ἐς τὰς θυσίας συμπερινοστοῦντα ἡμῖν τὸν λόγον. πρὸς δὲ τῷ τεμένει τοῦ Πέλοπος Διονύσου μὲν καὶ Χαρίτων ἐν κοινῷ, μεταξὺ δὲ αὐτῶν Μουσῶν καὶ ἐφεξῆς τούτων Νυμφῶν ἐστὶ βωμός.

XV. Ἔστι δὲ οἴκημα ἐκτὸς τῆς Ἄλτεως, καλεῖται δὲ ἐργαστήριον Φειδίου, καὶ ὁ Φειδίας καθ' ἕκαστον τοῦ ἀγάλματος ἐνταῦθα εἰργάζετο. ἔστιν οὖν βωμὸς ἐν τῷ οἰκήματι θεοῖς πᾶσιν ἐν κοινῷ. ὀπίσω δὲ ἀναστρέψαντι αὖθις ἐς τὴν Ἄλτιν ἐστὶν ἀπαντικρὺ τοῦ Λεωνιδαίου.
2 2. τόδε ἐκτὸς μὲν τοῦ περιβόλου τοῦ ἱεροῦ τὸ Λεωνίδαιον, 414
τῶν δὲ ἐσόδων πεποίηται τῶν ἐς τὴν Ἄλτιν κατὰ τὴν πομπικήν, ᾗ μόνη τοῖς πομπεύουσίν ἐστιν ὁδός. τοῦτο δὲ ἀνδρὸς μὲν τῶν ἐπιχωρίων ἐστὶν ἀνάθημα Λεωνίδου, κατ' ἐμὲ δὲ ἐς αὐτὸ Ῥωμαίων ἐσῳκίζοντο οἱ τὴν Ἑλλάδα ἐπιτροπεύοντες. διέστηκε δὲ ἀγυιὰν ἀπὸ τῆς ἐσόδου τῆς πομπικῆς. τοὺς γὰρ δὴ ὑπὸ Ἀθηναίων καλουμένους στε-
3 νωποὺς ἀγυιὰς ὀνομάζουσιν οἱ Ἠλεῖοι. 3. ἔστι δὲ ἐν τῇ

Ἄλτει τοῦ Λεωνιδαίου περᾶν μέλλοντι ἐς ἀριστερὰν Ἀφρο-
δίτης βωμὸς καὶ Ὡρῶν μετ᾽ αὐτόν. κατὰ δὲ τὸν ὀπισθό-
δομον μάλιστά ἐστιν ἐν δεξιᾷ πεφυκὼς κότινος· καλεῖται
δὲ ἐλαία καλλιστέφανος, καὶ τοῖς νικῶσι τὰ Ὀλύμπια
καθέστηκεν ἀπ᾽ αὐτῆς δίδοσθαι τοὺς στεφάνους. τούτου
πλησίον τοῦ κοτίνου πεποίηται Νύμφαις βωμός· Καλλι-
στεφάνους ὀνομάζουσι καὶ ταύτας. ἔστι δ᾽ [ἔτι] ἐντὸς τῆς 4
Ἄλτεως μὲν Ἀρτέμιδος Ἀγοραίας βωμός, ἐν δεξιᾷ δὲ τοῦ
Λεωνιδαίου, πεποίηται δὲ καὶ Δεσποίναις· τὰ δὲ ἐς τὴν
θεὸν ἥντινα ὀνομάζουσι Δέσποιναν διδάξει μοι τοῦ λόγου
τὰ ἐς Ἀρκάδας. μετὰ δὲ τοῦτον ἔστιν Ἀγοραίου Διὸς βω-
μός, πρὸ δὲ τῆς καλουμένης Προεδρίας Ἀπόλλωνος ἐπω-
νυμίαν Πυθίου καὶ μετ᾽ αὐτὸν Διονύσου· τοῦτον οὔτε
πάλαι τὸν βωμὸν καὶ ὑπὸ ἀνδρῶν ἰδιωτῶν ἀνατεθῆναι
λέγουσιν. 4. Ἰόντι δὲ ἐπὶ τὴν ἄφεσιν τῶν ἵππων ἔστι βω- 5
μός, ἐπίγραμμα δὲ ἐπ᾽ αὐτῷ Μοιραγέτα· δῆλα οὖν ἐστὶν
ἐπίκλησιν εἶναι Διὸς ὃς τὰ ἀνθρώπων οἶδεν, ὅσα διδόα-
σιν αἱ Μοῖραι καὶ ὅσα μὴ πέπρωταί σφισι. πλησίον δὲ καὶ
Μοιρῶν βωμός ἐστιν ἐπιμήκης, μετὰ δὲ αὐτὸν Ἑρμοῦ,
καὶ δύο ἐφεξῆς Διὸς Ὑψίστου. ἐν δὲ τῶν ἵππων τῇ ἀφέ-
σει, ἐν μὲν τῷ ὑπαίθρῳ τῆς ἀφέσεως κατὰ μέσον που μά-
λιστα Ποσειδῶνος Ἱππίου καὶ Ἥρας εἰσὶν Ἱππίας βωμοί,
πρὸς δὲ τῷ κίονι Διοσκούρων. τῆς δὲ πρὸς τὸν ἔμβολον 6
καλούμενον ἐσόδου τῇ μὲν Ἄρεως Ἱππίου, τῇ δὲ Ἀθηνᾶς
415 Ἱππίας βωμός. ἐς δὲ αὐτὸν τὸν ἔμβολον ἐσελθόντων Τύ-
χης ἐστὶν ἀγαθῆς βωμὸς καὶ Πανός τε καὶ Ἀφροδίτης,
ἐνδοτάτω δὲ τοῦ ἐμβόλου Νυμφῶν ἃς Ἀκμηνὰς καλοῦσιν.
ἀπὸ δὲ τῆς στοᾶς ἣν οἱ Ἠλεῖοι καλοῦσιν Ἀγνάπτου, τὸν
ἀρχιτέκτονα ἐπονομάζοντες τῷ οἰκοδομήματι, ἀπὸ ταύ-
της ἐπανιόντι ἐστὶν ἐν δεξιᾷ βωμὸς Ἀρτέμιδος. ἐσελθόν- 7
των δὲ αὖθις διὰ τῆς πομπικῆς ἐς τὴν Ἄλτιν εἰσὶν ὄπι-
σθεν τοῦ Ἡραίου Κλαδέου τε τοῦ ποταμοῦ καὶ Ἀρτέμιδος

βωμοί, ὁ δὲ μετ' αὐτοὺς Ἀπόλλωνος, τέταρτος δὲ Ἀρτέμι-
δος ἐπίκλησιν Κοκκώκας, καὶ Ἀπόλλωνος πέμπτος Θερ-
μίου. τὸν μὲν δὴ παρὰ Ἠλείοις Θέρμιον καὶ αὐτῷ μοι παρί-
στατο εἰκάζειν ὡς κατὰ Ἀτθίδα γλῶσσαν εἴη θέσμιος·
ἀνθ' ὅτου δὲ Ἄρτεμιν ἐπονομάζουσι Κοκκώκαν, οὐχ οἷά
8 τε ἦν μοι διδαχθῆναι. ἔστι δὲ πρὸ τοῦ καλουμένου Θεηκο-
λεῶνος οἴκημα· τούτου δὲ ἐν γωνίᾳ τοῦ οἰκήματος Πανὸς
ἵδρυται βωμός. 5. Τὸ πρυτανεῖον δὲ Ἠλείοις ἔστι μὲν
τῆς Ἄλτεως ἐντός, πεποίηται δὲ παρὰ τὴν ἔξοδον ἥ ἐστι
τοῦ γυμνασίου πέραν. ἐν τούτῳ δὲ οἵ τε δρόμοι τῷ γυμ-
νασίῳ καὶ τοῖς ἀθληταῖς εἰσὶν αἱ παλαῖστραι. πρυτανείου
δὲ πρὸ μὲν τῶν θυρῶν βωμός ἐστιν Ἀρτέμιδος Ἀγρο-
9 τέρας. ἐν δὲ αὐτῷ τῷ Πρυτανείῳ παριόντων ἐς τὸ οἴκημα
ἔνθα σφίσιν ἡ ἑστία, Πανός ἐστιν ἐν δεξιᾷ τῆς ἐσόδου
βωμός. ἔστι δὲ ἡ ἑστία τέφρας καὶ αὕτη πεποιημένη, καὶ
ἐπ' αὐτῆς πῦρ ἀνὰ πᾶσάν τε ἡμέραν καὶ ἐν πάσῃ νυκτὶ
ὡσαύτως καίεται. ἀπὸ ταύτης τῆς ἑστίας τὴν τέφραν κατὰ
τὰ εἰρημένα ἤδη μοι κομίζουσιν ἐπὶ τὸν τοῦ Ὀλυμπίου
βωμόν, καὶ οὐχ ἥκιστα ἐς μέγεθος συντελεῖ τῷ βωμῷ τὸ
ἀπὸ τῆς ἑστίας ἐπιφορούμενον.

10 6. Ἑκάστου δὲ ἅπαξ τοῦ μηνὸς θύουσιν ἐπὶ πάντων
Ἠλεῖοι τῶν κατειλεγμένων βωμῶν. θύουσι δὲ ἀρχαῖόν
τινα τρόπον· λιβανωτὸν γὰρ ὁμοῦ πυροῖς μεμαγμένοις
μέλιτι θυμιῶσιν ἐπὶ τῶν βωμῶν. τιθέασι δὲ καὶ κλῶνας
ἐλαίας ἐπ' αὐτῶν, καὶ οἴνῳ χρῶνται σπονδῇ. μόναις δὲ
ταῖς Νύμφαις οὐ νομίζουσιν οἶνον οὐδὲ ταῖς Δεσποίναις 416
σπένδειν, οὐδὲ ἐπὶ τῷ βωμῷ τῷ κοινῷ πάντων θεῶν.
μέλει δὲ τὰ ἐς τὰς θυσίας θεηκόλῳ τε, ὃς ἐπὶ μηνὶ ἑκάστῳ
τὴν τιμὴν ἔχει, καὶ μάντεσι καὶ σπονδοφόροις, ἔτι δὲ ἐξη-
11 γητῇ τε καὶ αὐλητῇ καὶ τῷ ξυλεῖ. ὁπόσα δὲ ἐπὶ ταῖς σπον-
δαῖς λέγειν σφίσιν ἐν τῷ Πρυτανείῳ καθέστηκεν, ἢ καὶ
ὕμνους ὁποίους ᾄδουσιν, οὔ με ἦν εἰκὸς ἐπεισαγαγέσθαι

καὶ ταῦτα ἐς τὸν λόγον· 7. θεοῖς δὲ οὐ τοῖς Ἑλληνικοῖς
μόνον, ἀλλὰ καὶ τῷ ἐν Λιβύῃ σπένδουσι καὶ Ἥρᾳ τε
Ἀμμωνίᾳ καὶ Παράμμωνι· Ἑρμοῦ δὲ ἐπίκλησίς ἐστιν ὁ
Παράμμων. φαίνονται δὲ χρώμενοι ἐκ παλαιοτάτου τῷ
ἐν Λιβύῃ μαντείῳ, καὶ ἀναθήματα Ἠλείων ἐν Ἄμμωνός
εἰσι βωμοί· γέγραπται δὲ ἐπ' αὐτῶν ὅσα τε ἐπυνθάνοντο
οἱ Ἠλεῖοι, καὶ τὰ χρησθέντα ὑπὸ τοῦ θεοῦ, καὶ τὰ ὀνό-
ματα τῶν ἀνδρῶν οἳ παρὰ τὸν Ἄμμωνα ἦλθον ἐξ Ἤλι-
δος. ταῦτα μὲν δή ἐστιν ἐν Ἄμμωνος· Ἠλεῖοι δὲ καὶ 12
ἥρωσι καὶ γυναιξὶ σπένδουσιν ἡρώων, ὅσοι τε ἐν τῇ χώρᾳ
τῇ Ἠλείᾳ καὶ ὅσοι παρὰ Αἰτωλοῖς τιμὰς ἔχουσιν. 8. Ὁπόσα
δὲ ᾄδουσιν ἐν τῷ Πρυτανείῳ, φωνὴ μέν ἐστιν αὐτῶν ἡ Δώ-
ριος, ὅστις δὲ ὁ ποιήσας ἦν τὰ ᾄσματα, οὐ λέγουσιν. ἔστι δὲ
καὶ ἑστιατόριον Ἠλείοις· καὶ τοῦτο ἔστι μὲν ἐντὸς τοῦ Πρυ-
τανείου, τοῦ οἰκήματος τοῦ τῆς ἑστίας ἀπαντικρύ, τοὺς
δὲ τὰ Ὀλύμπια νικῶντας ἑστιῶσιν ἐν τούτῳ τῷ οἰκήματι.

**XVI.** Λείπεται δὲ τὸ μετὰ τοῦτο ἡμῖν τῆς τε Ἥρας ὁ
ναὸς καὶ ὁπόσα ἐστὶν ἐν τῷ ναῷ πρέποντα ἐς συγγραφήν.
λέγεται δὲ ὑπὸ Ἠλείων ὡς Σκιλλούντιοι τῶν ἐν τῇ Τρι-
φυλίᾳ πόλεών εἰσιν οἱ κατασκευασάμενοι τὸν ναὸν ὀκτὼ
417 μάλιστα ἔτεσιν ὕστερον ἢ τὴν βασιλείαν τὴν ἐν Ἤλιδι
ἐκτήσατο Ὄξυλος. Ἐργασία μὲν δή ἐστι τοῦ ναοῦ Δώ-
ριος, κίονες δὲ περὶ πάντα ἑστήκασιν αὐτόν· ἐν δὲ τῷ
ὀπισθοδόμῳ δρυὸς ὁ ἕτερος τῶν κιόνων ἐστί. μῆκος δέ
εἰσι τοῦ ναοῦ πόδες τρεῖς καὶ ἑξήκοντα *** οὐκ ἀποδεῖ.
τὸν δὲ ἀρχιτέκτονα ὅστις ἐγένετο οὐ μνημονεύουσι.
2. Διὰ πέμπτου δὲ ὑφαίνουσιν ἔτους τῇ Ἥρᾳ πέπλον αἱ 2
ἑκκαίδεκα γυναῖκες· αἱ δὲ αὐταὶ τιθέασι καὶ ἀγῶνα
Ἡραῖα. ὁ δὲ ἀγών ἐστιν ἅμιλλα δρόμου παρθένοις· οὔτι
που πᾶσαι ἡλικίας τῆς αὐτῆς, ἀλλὰ πρῶται μὲν αἱ νεώτα-
ται, μετὰ ταύτας δὲ αἱ τῇ ἡλικίᾳ δεύτεραι, τελευταῖαι δὲ
θέουσιν ὅσαι πρεσβύταται τῶν παρθένων εἰσί. θέουσι 3

δὲ οὕτω· καθεῖταί σφισιν ἡ κόμη, χιτὼν ὀλίγον ὑπὲρ
γόνατος καθήκει, τὸν ὦμον ἄχρι τοῦ στήθους φαίνουσι
τὸν δεξιόν. ἀποδεδειγμένον μὲν δὴ ἐς τὸν ἀγῶνά ἐστι
καὶ ταύταις τὸ Ὀλυμπικὸν στάδιον, ἀφαιροῦσι δὲ αὐταῖς
ἐς τὸν δρόμον τοῦ σταδίου τὸ ἕκτον μάλιστα. ταῖς δὲ
νικώσαις ἐλαίας τε διδόασι στεφάνους καὶ βοὸς μοῖραν
τεθυμένης τῇ Ἥρᾳ· καὶ δὴ ἀναθεῖναί σφισιν ἔστι γρα-
ψαμέναις εἰκόνας. εἰσὶ δὲ καὶ αἱ διακονούμεναι ταῖς ἑκ-
καίδεκα κατὰ ταὐτὰ ταῖς ἀγωνοθετούσαις γυναῖκες.
4 3. ἐπανάγουσι δὲ καὶ τῶν παρθένων τὸν ἀγῶνα ἐς τὰ
ἀρχαῖα, Ἱπποδάμειαν τῇ Ἥρᾳ τῶν γάμων τῶν Πέλοπος
ἐκτίνουσαν χάριν τάς τε ἑκκαίδεκα ἀθροῖσαι γυναῖκας
λέγοντες, καὶ σὺν αὐταῖς διαθεῖναι πρώτην τὰ Ἡραῖα·
μνημονεύουσι δὲ καὶ ὅτι Χλῶρις νικήσειεν Ἀμφίονος
θυγάτηρ μόνη λειφθεῖσα τοῦ οἴκου· σὺν δὲ αὐτῇ καὶ
ἕνα περιγενέσθαι φασὶ τῶν ἀρσένων. ἃ δὲ ἐς τοὺς Νιό-
βης παῖδας παρίστατο αὐτῷ μοι γινώσκειν, ἐν τοῖς ἔχου-
5 σιν ἐς Ἀργείους ἐδήλωσα. 4. Ἐς δὲ τὰς ἑκκαίδεκα γυναῖ-
κας καὶ ἄλλον τοιόνδε λέγουσιν ἐπὶ τῷ προτέρῳ λόγον.
Δαμοφῶντά φασι τυραννοῦντα ἐν Πίσῃ πολλά τε ἐργά-
σασθαι καὶ χαλεπὰ Ἠλείους· ὡς δὲ ἐτελεύτησεν ὁ Δαμο-
φῶν, οὐ γὰρ δὴ οἱ Πισαῖοι συνεχώρουν μετέχειν δημοσίᾳ
τοῦ τυράννου τῶν ἁμαρτημάτων, καί πως ἀρεστὰ καὶ
Ἠλείοις ἐγένετο καταλύεσθαι τὰ ἐς αὐτοὺς ἐγκλήματα,
οὕτως ἑκκαίδεκα οἰκουμένων τηνικαῦτα ἔτι ἐν τῇ Ἠλείᾳ 418
πόλεων γυναῖκα ἀφ' ἑκάστης εἵλοντο διαλύειν τὰ διά-
φορά σφισιν ἥτις ἡλικίᾳ τε ἦν πρεσβυτάτη καὶ ἀξιώματι
6 καὶ δόξῃ τῶν γυναικῶν προεῖχεν. αἱ πόλεις δὲ ἀφ' ὧν τὰς
γυναῖκας εἵλοντο, ἦσαν Ἦλις *** ἀπὸ τούτων μὲν αἱ γυ-
ναῖκες οὖσαι τῶν πόλεων Πισαίοις διαλλαγὰς πρὸς Ἠλεί-
ους ἐποίησαν· ὕστερον δὲ καὶ τὸν ἀγῶνα ἐπετράπησαν
ὑπ' αὐτῶν θεῖναι τὰ Ἡραῖα καὶ ὑφήνασθαι τῇ Ἥρᾳ τὸν

πέπλον. 5. αἱ δὲ ἑκκαίδεκα γυναῖκες καὶ χοροὺς δύο
ἱστᾶσι, καὶ τὸν μὲν Φυσκόας τῶν χορῶν, τὸν δὲ Ἱππο-
δαμείας καλοῦσι. τὴν Φυσκόαν δὲ εἶναι ταύτην φασὶν ἐκ
τῆς Ἤλιδος τῆς κοίλης, τῷ δήμῳ δὲ ἔνθα ᾤκησεν ὄνομα
[μὲν] Ὀρθίαν εἶναι. ταύτῃ τῇ Φυσκόᾳ Διόνυσον συγ- 7
γενέσθαι λέγουσι, Φυσκόαν δὲ ἐκ Διονύσου τεκεῖν παῖδα
Ναρκαῖον· τοῦτον, ὡς ηὐξήθη, πολεμεῖν τοῖς προσοίκοις
καὶ δυνάμεως ἐπὶ μέγα ἀρθῆναι, καὶ δὴ καὶ Ἀθηνᾶς
ἱερὸν ἐπίκλησιν Ναρκαίας αὐτὸν ἱδρύσασθαι· Διονύσῳ
τε τιμὰς λέγουσιν ὑπὸ Ναρκαίου καὶ Φυσκόας δοθῆναι
πρώτων. Φυσκόας μὲν δὴ γέρα καὶ ἄλλα καὶ χορὸς ἐπώ-
νυμος παρὰ τῶν ἑκκαίδεκα γυναικῶν, φυλάσσουσι δὲ
οὐδὲν ἧσσον Ἠλεῖοι καὶ τἆλλα *** ὅμως τῶν πόλεων·
νενεμημένοι γὰρ ἐς ὀκτὼ φυλὰς ἀφ᾽ ἑκάστης αἱροῦνται
γυναῖκας δύο. ὁπόσα δὲ ἢ ταῖς ἑκκαίδεκα γυναιξὶν ἢ τοῖς 8
ἑλλανοδικοῦσιν Ἠλείων δρᾶν καθέστηκεν, οὐ πρότερον
δρῶσι πρὶν ἢ χοίρῳ τε ἐπιτηδείῳ πρὸς καθαρμὸν καὶ
ὕδατι ἀποκαθήρωνται. γίνεται δέ σφισιν ἐπὶ κρήνῃ Πιέρᾳ
τὰ καθάρσια· ἐκ δὲ Ὀλυμπίας τὴν πεδιάδα ἐς Ἦλιν ἐρχο-
μένῳ πρὸς τὴν πηγὴν ἀφικέσθαι τὴν Πιέραν ἔστι. ταῦτα
μὲν δὴ ἔχει κατὰ τὰ προειρημένα.

XVII. Τῆς Ἥρας δέ ἐστιν ἐν τῷ ναῷ Διός ***· τὸ δὲ
Ἥρας ἄγαλμα καθήμενόν ἐστιν ἐπὶ θρόνῳ, παρέστηκε δὲ
γένειά τε ἔχων καὶ ἐπικείμενος κυνῆν ἐπὶ τῇ κεφαλῇ·
ἔργα δέ ἐστιν ἁπλᾶ. τὰς δὲ ἐφεξῆς τούτων καθημένας ἐπὶ
θρόνων Ὥρας ἐποίησεν Αἰγινήτης Σμῖλις. παρὰ δὲ αὐτὰς
419 Θέμιδος ἅτε μητρὸς τῶν Ὡρῶν ἄγαλμα ἕστηκε Δορυκλεί-
δου τέχνη, γένος μὲν Λακεδαιμονίου, μαθητοῦ δὲ Δι-
ποίνου καὶ Σκύλλιδος. τὰς δὲ Ἑσπερίδας πέντε ἀριθμὸν 2
Θεοκλῆς ἐποίησε, Λακεδαιμόνιος μὲν καὶ οὗτος, πατρὸς
Ἡγύλου, φοιτῆσαι δὲ καὶ αὐτὸς παρὰ Σκύλλιν καὶ Δίποι-
νον λέγεται. τὴν δὲ Ἀθηνᾶν κράνος ἐπικειμένην καὶ δόρυ

καὶ ἀσπίδα ἔχουσαν Λακεδαιμονίου λέγουσιν ἔργον εἶναι
Μέδοντος, τοῦτον δὲ ἀδελφόν τε εἶναι Δορυκλείδου καὶ
3 παρὰ ἀνδράσι διδαχθῆναι τοῖς αὐτοῖς. Κόρη δὲ καὶ Δη-
μήτηρ καὶ Ἀπόλλων καὶ Ἄρτεμις, αἵ μὲν ἀλλήλων εἰσὶν
ἀπαντικρὺ καθήμεναι, Ἀπόλλων δὲ ἐναντίος ἑστῶσῃ τῇ
Ἀρτέμιδι ἕστηκεν. ἀνάκειται δὲ ἐνταῦθα καὶ Λητὼ Τύχη
τε καὶ Διόνυσος καὶ ἔχουσα Νίκη πτερά· τοὺς δὲ εἰργασ-
μένους αὐτὰ οὐκ ἔχω δηλῶσαι, φαίνεται δὲ εἶναί μοι καὶ
ταῦτα ἐς τὰ μάλιστα ἀρχαῖα. τὰ μὲν δὴ κατειλεγμένα
ἐστὶν ἐλέφαντος καὶ χρυσοῦ· χρόνῳ δὲ ὕστερον καὶ ἄλλα
ἀνέθεσαν ἐς τὸ Ἡραῖον, Ἑρμῆν λίθου, Διόνυσον δὲ φέ-
ρει νήπιον, τέχνη δέ ἐστι Πραξιτέλους. καὶ Ἀφροδίτη
4 χαλκῆ, Κλέωνος ἔργον Σικυωνίου. τούτου δὲ ὁ διδάσκα-
λος τοῦ Κλέωνος, ὄνομα Ἀντιφάνης, ἐκ φοιτήσεως Περι-
κλύτου· Πολυκλείτου δὲ ἦν τοῦ Ἀργείου μαθητὴς ὁ
Περίκλυτος. παιδίον δὲ ἐπίχρυσον κάθηται γυμνὸν πρὸ
τῆς Ἀφροδίτης· Βοηθὸς δὲ ἐτόρευσεν αὐτὸ Καρχηδόνιος.
μετεκομίσθη δὲ αὐτόσε καὶ ἐκ τοῦ καλουμένου Φιλιπ-
πείου χρυσοῦ καὶ ταῦτα καὶ ἐλέφαντος, Εὐρυδίκη τε ἡ
Φιλίππου ***
5 2. *** λάρναξ κέδρου μὲν πεποίηται, ζῴδια δὲ ἐλέ-
φαντος ἐπ' αὐτῆς, τὰ δὲ χρυσοῦ, τὰ δὲ καὶ ἐξ αὐτῆς ἐστὶν
εἰργασμένα τῆς κέδρου. ἐς ταύτην τὴν λάρνακα Κύψελον
τὸν Κορίνθου τυραννήσαντα ἀπέκρυψεν ἡ μήτηρ, ἡνίκα
τεχθέντα ἀνευρεῖν αὐτὸν σπουδὴν ἐποιοῦντο οἱ Βακχί-
δαι. τῆς μὲν δὴ σωτηρίας ἕνεκα τοῦ Κυψέλου τὸ ἀπ'
αὐτοῦ γένος οἱ ὀνομαζόμενοι Κυψελίδαι τὴν λάρνακα ἐς
Ὀλυμπίαν ἀνέθεσαν, τὰς δὲ λάρνακας οἱ τότε ἐκάλουν 420
Κορίνθιοι κυψέλας· ἀπὸ τούτου δὲ καὶ ὄνομα Κύψελον
6 τῷ παιδὶ θέσθαι λέγουσι. 3. Τῶν δὲ ἐπὶ τῇ λάρνακι ἐπι-
γράμματα ἔπεστι τοῖς πλείοσι γράμμασι τοῖς ἀρχαίοις
γεγραμμένα· καὶ τὰ μὲν ἐς εὐθὺ αὐτῶν ἔχει, σχήματα δὲ

ἄλλα τῶν γραμμάτων βουστροφηδὸν καλοῦσιν Ἕλληνες.
τὸ δέ ἐστι τοιόνδε· ἀπὸ τοῦ πέρατος τοῦ ἔπους ἐπιστρέ-
φει τῶν ἐπῶν τὸ δεύτερον ὥσπερ ἐν διαύλου δρόμῳ.
γέγραπται δὲ ἐπὶ τῇ λάρνακι καὶ ἄλλως τὰ ἐπιγράμματα
ἑλιγμοῖς συμβαλέσθαι χαλεποῖς. 4. Ἀρξαμένῳ δὲ ἀνα-
σκοπεῖσθαι κάτωθεν τοσάδε ἐπὶ τῆς λάρνακος ἡ πρώτη
παρέχεται χώρα. Οἰνόμαος διώκων Πέλοπά ἐστιν ἔχοντα 7
Ἱπποδάμειαν· ἑκατέρῳ μὲν δὴ δύο αὐτῶν εἰσὶν ἵπποι,
τοῖς δὲ τοῦ Πέλοπός ἐστι πεφυκότα καὶ πτερά. ἑξῆς δὲ
Ἀμφιαράου τε ἡ οἰκία πεποίηται, καὶ Ἀμφίλοχον φέρει
νήπιον πρεσβῦτις ἥτις δή· πρὸ δὲ τῆς οἰκίας Ἐριφύλη
τὸν ὅρμον ἔχουσα ἕστηκε, παρὰ δὲ αὐτὴν αἱ θυγατέρες
Εὐρυδίκη καὶ Δημώνασσα, καὶ Ἀλκμαίων παῖς γυμνός.
Ἄσιος δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην ἐποίησε θυγατέρα 8
Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι. Βάτων δέ, ὃς ἡνιοχεῖ τῷ
Ἀμφιαράῳ, τάς τε ἡνίας τῶν ἵππων καὶ τῇ χειρὶ ἔχει τῇ
ἑτέρᾳ λόγχην. Ἀμφιαράῳ δὲ ὁ μὲν τῶν ποδῶν ἐπιβέβη-
κεν ἤδη τοῦ ἅρματος, τὸ ξίφος δὲ ἔχει γυμνόν, καὶ ἐς
τὴν Ἐριφύλην ἐστὶν ἐπεστραμμένος ἐξαγόμενός τε ὑπὸ
421 τοῦ θυμοῦ *** ἐκείνης ἂν ἀποσχέσθαι. μετὰ δὲ τοῦ Ἀμ- 9
φιαράου τὴν οἰκίαν ἔστιν ἀγὼν ὁ ἐπὶ Πελίᾳ καὶ οἱ θεώ-
μενοι τοὺς ἀγωνιστάς. πεποίηται δὲ Ἡρακλῆς ἐν θρόνῳ
καθήμενος, καὶ ὄπισθεν γυνὴ αὐτοῦ· ταύτης τῆς γυναι-
κὸς ἐπίγραμμα μὲν ἄπεστιν ἥτις ἐστί, Φρυγίοις δὲ αὐλεῖ
καὶ οὐχ Ἑλληνικοῖς αὐλοῖς. ἡνιοχοῦντες δὲ συνωρίδα
Πῖσός ἐστιν ὁ Περιήρους καὶ Ἀστερίων Κομήτου, πλεῦ-
σαι καὶ οὗτος λεγόμενος ἐπὶ τῆς Ἀργοῦς, καὶ Πολυδεύκης
τε καὶ Ἄδμητος, ἐπὶ δὲ αὐτοῖς Εὔφημος, Ποσειδῶνός τε
ὢν κατὰ τὸν τῶν ποιητῶν λόγον καὶ Ἰάσονι ἐς Κόλχους
τοῦ πλοῦ μετεσχηκώς· οὗτος δὲ καὶ τῇ συνωρίδι ὁ νικῶν
ἐστίν. οἱ δὲ ἀποτετολμηκότες πυκτεύειν Ἄδμητος καὶ 10
Μόψος ἐστὶν ὁ Ἄμπυκος· ἐν μέσῳ δὲ αὐτῶν ἀνὴρ ἑστη-

κὼς ἐπαυλεῖ, καθότι καὶ ἐφ' ἡμῶν ἐπὶ τῷ ἅλματι αὐλεῖν
τῶν πεντάθλων νομίζουσιν. Ἰάσονι δὲ καὶ Πηλεῖ τὸ ἔργον
τῆς πάλης ἐξ ἴσου καθέστηκε. πεποίηται δὲ καὶ Εὐρυβώ-
τας ἀφιεὶς δίσκον, ὅστις δὴ οὗτός ἐστιν ἐπὶ δίσκῳ φήμην
ἔχων. οἱ δ' ἐς ἅμιλλαν δρόμου καθεστηκότες Μελανίων
ἐστὶ καὶ Νεοθεὺς καὶ Φαλαρεύς, τέταρτος δὲ Ἀργεῖος
καὶ Ἴφικλος πέμπτος· τούτῳ δὲ νικῶντι ὀρέγει τὸν στέ-
φανον ὁ Ἄκαστος· εἴη δ' ἂν ὁ Πρωτεσιλάου πατὴρ τοῦ
11 στρατεύσαντος ἐς Ἴλιον. Κεῖνται δὲ καὶ τρίποδες, ἆθλα
δὴ τοῖς νικῶσι, καὶ θυγατέρες εἰσὶν αἱ Πελίου· τὸ δὲ
ὄνομα ἐπὶ τῇ Ἀλκήστιδι γέγραπται μόνῃ. Ἰόλαος δέ, ὃς
ἐθελοντὴς μετεῖχεν Ἡρακλεῖ τῶν ἔργων, ἔστιν ἵππων
ἅρματι ἀνῃρημένος νίκην. Τὸ δὲ ἀπὸ τούτου ἀγὼν μὲν ὁ
ἐπὶ Πελίᾳ πέπαυται, τὴν ὕδραν δέ, τὸ ἐν τῷ ποταμῷ τῇ
Ἀμυμώνῃ θηρίον, Ἡρακλεῖ τοξεύοντι Ἀθηνᾶ παρέστη-
κεν· ἅτε δὲ τοῦ Ἡρακλέους ὄντος οὐκ ἀγνώστου τοῦ τε 422
ἄθλου χάριν καὶ ἐπὶ τῷ σχήματι, τὸ ὄνομα οὐκ ἔστιν ἐπ'
αὐτῷ γεγραμμένον. Φινεύς τε ὁ Θρᾷξ ἐστί, καὶ οἱ παῖ-
δες οἱ Βορέου τὰς Ἁρπυίας ἀπ' αὐτοῦ διώκουσιν.

**XVIII.** Τῆς χώρας δὲ ἐπὶ τῇ λάρνακι τῆς δευτέρας
ἐξ ἀριστερῶν μὲν γίνοιτο ἂν ἡ ἀρχὴ τῆς περιόδου, πεποί-
ηται δὲ γυνὴ παῖδα λευκὸν καθεύδοντα ἀνέχουσα τῇ
δεξιᾷ χειρί, τῇ δὲ ἑτέρᾳ μέλανα ἔχει παῖδα τῷ καθεύδοντι
ἐοικότα, ἀμφοτέρους διεστραμμένους τοὺς πόδας. δηλοῖ
μὲν δὴ καὶ τὰ ἐπιγράμματα, συνεῖναι δὲ καὶ ἄνευ τῶν
ἐπιγραμμάτων ἔστι, Θάνατόν τε εἶναι σφᾶς καὶ Ὕπνον,
12 καὶ ἀμφοτέροις Νύκτα αὐτοῖς τροφόν. γυνὴ δὲ εὐειδὴς
γυναῖκα αἰσχρὰν κομίζουσα, καὶ τῇ μὲν ἀπάγχουσα αὐ-
τήν, τῇ δὲ ῥάβδῳ παίουσα, Δίκη ταῦτα Ἀδικίαν δρῶσά
ἐστι. Δύο δὲ ἄλλας γυναῖκας ἐς ὅλμους καθικνουμένας
ὑπέροις, φάρμακα εἰδέναι σφᾶς νομίζουσιν, ἐπεὶ ἄλλως
γε οὐδὲν ἐς αὐτάς ἐστιν ἐπίγραμμα. τὰ δὲ ἐς τὸν ἄνδρα

τε καὶ γυναῖκα ἑπομένην αὐτῷ τὰ ἔπη δηλοῖ τὰ ἑξάμετρα· λέγει γὰρ δὴ οὕτως,

Ἴδας Μάρπησσαν καλλίσφυρον, ἅν οἱ Ἀπόλλων
ἅρπασε, τὰν ἐκ ναοῦ πάλιν ἄγει οὐκ ἀέκουσαν.

χιτῶνα δὲ ἐνδεδυκὼς ἀνὴρ τῇ μὲν δεξιᾷ κύλικα, τῇ δὲ 3
ἔχων ἐστὶν ὅρμον, λαμβάνεται δὲ αὐτῶν Ἀλκμήνη· πεποίηται δὲ ἐς τὸν λόγον τῶν Ἑλλήνων ὡς συγγένοιτο Ἀλκμήνῃ Ζεὺς Ἀμφιτρύωνι εἰκασθείς. Μενέλαος δὲ θώρακά τε ἐνδεδυκὼς καὶ ἔχων ξίφος ἔπεισιν Ἑλένην ἀποκτεῖναι, δῆλα ὡς ἁλισκομένης Ἰλίου. Μηδείας δὲ ἐπὶ θρόνου καθημένης Ἰάσων ἐν δεξιᾷ, τῇ δὲ Ἀφροδίτη παρέστηκε· γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπ' αὐτοῖς,

423 Μήδειαν Ἰάσων γαμέει, κέλεται δ' Ἀφροδίτα.

πεποίηνται δὲ καὶ ᾄδουσαι Μοῦσαι καὶ Ἀπόλλων ἐξάρ- 4
χων τῆς ᾠδῆς· καί σφισιν ἐπίγραμμα γέγραπται·

Λατοΐδας οὗτος τάχ' ἄναξ ἑκάεργος Ἀπόλλων·
Μοῦσαι δ' ἀμφ' αὐτόν, χαρίεις χορός, αἷσι κατάρχει.

Ἄτλας δὲ ἐπὶ μὲν τῶν ὤμων κατὰ τὰ λεγόμενα οὐρανόν τε ἀνέχει καὶ γῆν, φέρει δὲ καὶ τὰ Ἑσπερίδων μῆλα. ὅστις δέ ἐστιν ὁ ἀνὴρ ὁ ἔχων τὸ ξίφος καὶ [ὁ] ἐπὶ τὸν Ἄτλαντα ἐρχόμενος, ἰδίᾳ μὲν ἐπ' αὐτῷ γεγραμμένον ἐστὶν οὐδέν, δῆλα δὲ ἐς ἅπαντας Ἡρακλέα εἶναι. γέγραπται δὲ καὶ ἐπὶ τούτοις·

Ἄτλας οὐρανὸν οὗτος ἔχει, τὰ δὲ μᾶλα μεθήσει.

ἔστι δὲ καὶ Ἄρης ὅπλα ἐνδεδυκώς, Ἀφροδίτην ἄγων· ἐπί- 5
γραμμα δὲ Ἐνυάλιός ἐστιν αὐτῷ. πεποίηται δὲ καὶ Θέτις παρθένος, λαμβάνεται δὲ αὐτῆς Πηλεύς, καὶ ἀπὸ τῆς χειρὸς τῆς Θέτιδος ὄφις ἐπὶ τὸν Πηλέα ἐστὶν ὁρμῶν. αἱ δὲ ἀδελφαὶ Μεδούσης ἔχουσαι πτερὰ πετόμενον Περσέα εἰσὶ διώκουσαι· τὸ δὲ ὄνομα ἐπὶ τῷ Περσεῖ γέγραπται μόνῳ.

2. Στρατιωτικὰ δὲ ἐπὶ τῇ τρίτῃ χώρᾳ τῆς λάρνακος· 6

*τὸ μὲν πολύ εἰσιν ἐν αὐτοῖς οἱ πεζοί, πεποίηνται δὲ καὶ ἐπὶ συνωρίδων ἱππεῖς. ἐπὶ δὲ τοῖς στρατιώταις ἔστιν εἰκάζειν συνιέναι μὲν σφᾶς ἐς μάχην, συνιέναι δὲ καὶ ἀσπασομένους τε καὶ ἀναγνωριοῦντας ἀλλήλους. Λέγεται δὲ καὶ ἐς ἀμφότερα ὑπὸ τῶν ἐξηγητῶν, καὶ τοῖς μέν ἐστιν εἰρημένον Αἰτωλοὺς τοὺς μετὰ Ὀξύλου καὶ Ἠλείους εἶναι τοὺς ἀρχαίους, ἀπαντᾶν δὲ σφᾶς γένους τε μνήμῃ τοῦ ἐξ ἀρχῆς καὶ εὔνοιαν ἐνδεικνυμένους ἐς ἀλλήλους, οἱ δὲ συνιέναι φασὶν ἐς ἀγῶνα τὰ στρατιωτικά, Πυλίους δὲ εἶναι καὶ Ἀρκάδας παρά τε Φειὰν πόλιν καὶ*
7 *ποταμὸν μαχουμένους Ἰάρδανον. Ταῦτα μὲν δὴ οὐδὲ* 424
*ἀρχὴν ἀποδέξαιτο ἄν τις, ὡς ὁ τοῦ Κυψέλου πρόγονος Κορίνθιός τε ὢν καὶ τὴν λάρνακα αὐτῷ ποιούμενος κτῆμα, ὁπόσα μὲν Κορινθίοις ἦν ἐπιχώρια, ἑκὼν ὑπερέβαινεν, ἃ δὲ ξενικά τε καὶ οὐδὲ ἄλλως ἥκοντα ἐς δόξαν, ἐτεχνᾶτο ἐπὶ τῇ λάρνακι· αὐτῷ μέντοι παρίστατο ἐμοὶ ταῦτα εἰκάζειν. Κυψέλῳ καὶ τοῖς προγόνοις ἐκ Γονούσσης ἦν γένος ἐξ ἀρχῆς τῆς ὑπὲρ Σικυῶνος, καὶ πρόγονός*
8 *σφισιν ἦν Μέλας ὁ Ἀντάσου· Μέλανα δὲ καὶ τὸν σὺν αὐτῷ στρατὸν κατὰ τὰ προειρημένα μοι καὶ ἐν τῇ Κορινθίᾳ συγγραφῇ οὐκ ἤθελεν Ἀλήτης συνοίκους δέξασθαι, γεγονός οἱ μάντευμα ἐκ Δελφῶν ὑφορώμενος, ἐς ὃ θεραπείᾳ τε τῇ πάσῃ χρώμενον Μέλανα καὶ ὁπότε ἀπελασθείη σὺν δεήσει ἐπανιόντα αὖθις ἐδέξατο καὶ ἄκων Ἀλήτης. τοῦτο τὸ στρατιωτικὸν τεκμαίροιτο ἄν τις τοὺς ἐπὶ τῇ λάρνακι εἰργασμένους εἶναι.*

XIX. *Τέταρτα δὲ ἐπὶ τῇ λάρνακι ἐξ ἀριστερᾶς περιιόντι Βορέας ἐστὶν ἡρπακὼς Ὠρείθυιαν· οὐραὶ δὲ ὄφεων ἀντὶ ποδῶν εἰσὶν αὐτῷ. καὶ Ἡρακλέους ὁ πρὸς Γηρυόνην ἀγών· τρεῖς δὲ ἄνδρες Γηρυόνης εἰσὶν ἀλλήλοις προσεχόμενοι. Θησεὺς δὲ ἔχων λύραν καὶ παρ' αὐτὸν Ἀριάδνη κατέχουσά ἐστι στέφανον. Ἀχιλλεῖ δὲ καὶ*

Μέμνονι μαχομένοις παρεστήκασιν αἱ μητέρες. Ἔστι δὲ 2
καὶ Μελανίων, καὶ Ἀταλάντη παρ' αὐτὸν ἔχουσα ἐλάφου νεβρόν. μονομαχοῦντος δὲ Αἴαντι Ἕκτορος κατὰ τὴν πρόκλησιν, μεταξὺ ἕστηκεν αὐτῶν Ἔρις αἰσχίστη τὸ εἶδος· ἐοικυῖαν πρὸς ταύτην καὶ Καλλιφῶν Σάμιος ἐν Ἀρτέμιδος ἱερῷ τῆς Ἐφεσίας ἐποίησεν Ἔριν, τὴν μάχην γράψας τὴν ἐπὶ ταῖς ναυσὶν Ἑλλήνων. Εἰσὶ δὲ ἐπὶ τῇ λάρνακι Διόσκουροι, ὁ ἕτερος οὐκ ἔχων πω γένεια, μέση δὲ
425 αὐτῶν Ἑλένη. Αἴθρα δὲ ἡ Πιτθέως ὑπὸ τῆς Ἑλένης τοῖς 3
ποσὶν ἐς ἔδαφος καταβεβλημένη μέλαιναν ἔχουσά ἐστιν ἐσθῆτα. ἐπίγραμμα δὲ ἐπ' αὐτοῖς ἔπος τε ἑξάμετρον, καὶ ὀνόματός ἐστιν ἑνὸς ἐπὶ τῷ ἑξαμέτρῳ προσθήκη·

Τυνδαρίδα Ἑλέναν φέρετον, Αἴθραν δ' ἑλκεῖτον
Ἀθάναθεν.

Τοῦτο μὲν δὴ τὸ ἔπος οὕτω πεποίηται, Ἰφιδάμαντος δὲ 4
τοῦ Ἀντήνορος κειμένου μαχόμενος πρὸς Ἀγαμέμνονα ὑπὲρ αὐτοῦ Κόων ἐστί· Φόβος δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος τῇ ἀσπίδι ἔπεστιν, ἔχων τὴν κεφαλὴν λέοντος. ἐπιγράμματα δὲ ὑπὲρ μὲν τοῦ Ἰφιδάμαντος νεκροῦ,

Ἰφιδάμας οὗτός γε, Κόων περιμάρναται αὐτοῦ·

τοῦ Ἀγαμέμνονος δὲ ἐπὶ τῇ ἀσπίδι,

οὗτος μὲν Φόβος ἐστὶ βροτῶν, ὁ δ' ἔχων Ἀγαμέμνων.

Ἄγει δὲ καὶ Ἑρμῆς παρ' Ἀλέξανδρον τὸν Πριάμου τὰς 5
θεὰς κριθησομένας ὑπὲρ τοῦ κάλλους· καὶ ἔστιν ἐπίγραμμα καὶ τούτοις·

Ἑρμείας ὅδ' Ἀλεξάνδρῳ δείκνυσι διαιτῆν
τοῦ εἴδους Ἥραν καὶ Ἀθάναν καὶ Ἀφροδίταν.

Ἄρτεμις δὲ οὐκ οἶδα ἐφ' ὅτῳ λόγῳ πτέρυγας ἔχουσά ἐστιν ἐπὶ τῶν ὤμων, καὶ τῇ μὲν δεξιᾷ κατέχει πάρδαλιν, τῇ δὲ ἑτέρᾳ τῶν χειρῶν λέοντα. πεποίηται δὲ καὶ Κασσάνδραν ἀπὸ τοῦ ἀγάλματος Αἴας τῆς Ἀθηνᾶς ἕλκων· ἐπ' αὐτῷ δὲ καὶ ἐπίγραμμά ἐστιν·

Αἴας Κασσάνδραν ἀπ' Ἀθαναίας Λοκρὸς ἕλκει.

6 Τῶν δὲ Οἰδίποδος παίδων Πολυνείκει πεπτωκότι ἐς γό-
νυ ἔπεισιν Ἐτεοκλῆς. τοῦ Πολυνείκους δὲ ὄπισθεν ἕστη-
κεν ὀδόντας τε ἔχουσα οὐδὲν ἡμερωτέρους θηρίου, καί
οἱ καὶ τῶν χειρῶν εἰσὶν ἐπικαμπεῖς οἱ ὄνυχες· ἐπίγραμμα
δὲ ἐπ' αὐτῇ εἶναί φησι Κῆρα, ὡς τὸν μὲν ὑπὸ τοῦ Πεπρω- 426
μένου τὸν Πολυνείκην ἀπαχθέντα, Ἐτεοκλεῖ δὲ γενομέ-
νης καὶ σὺν τῷ δικαίῳ τῆς τελευτῆς. Διόνυσος δὲ ἐν
ἄντρῳ κατακείμενος, γένεια ἔχων καὶ ἔκπωμα χρυσοῦν,
ἐνδεδυκώς ἐστι ποδήρη χιτῶνα· δένδρα δὲ ἄμπελοι περὶ
αὐτὸ καὶ μηλέαι τε εἰσὶ καὶ ῥοιαί.

7 2. Ἡ δὲ ἀνωτάτω χώρα, πέντε γὰρ ἀριθμόν εἰσι, παρ-
έχεται μὲν ἐπίγραμμα οὐδέν, λείπεται δὲ εἰκάζειν ἐς τὰ
ἐπειργασμένα. εἰσὶν οὖν ἐν σπηλαίῳ γυνὴ καθεύδουσα
σὺν ἀνδρὶ ἐπὶ κλίνῃ, καὶ σφᾶς Ὀδυσσέα εἶναι καὶ Κίρκην
ἐδοξάζομεν ἀριθμῷ τε τῶν θεραπαινῶν αἵ εἰσι πρὸ τοῦ
σπηλαίου, καὶ τοῖς ποιουμένοις ὑπ' αὐτῶν· τέσσαρές τε
γάρ εἰσιν αἱ γυναῖκες, καὶ ἐργάζονται τὰ ἔργα ἃ ἐν τοῖς
ἔπεσιν Ὅμηρος εἴρηκε. Κένταυρος δὲ οὐ τοὺς πάντας
ἵππου πόδας, τοὺς δὲ ἔμπροσθεν αὐτῶν ἔχων ἀνδρός
8 ἐστιν. Ἑξῆς καὶ ἵππων συνωρίδες καὶ γυναῖκες ἐπὶ τῶν
συνωρίδων εἰσὶν ἑστῶσαι· πτερὰ δὲ τοῖς ἵπποις χρυσᾶ
ἐστί, καὶ ἀνὴρ δίδωσιν ὅπλα μιᾷ τῶν γυναικῶν. ταῦτα
ἐς τὴν Πατρόκλου τελευτὴν ἔχειν τεκμαίρονται· Νη-
ρηΐδας τε γὰρ ἐπὶ τῶν συνωρίδων εἶναι, καὶ Θέτιν τὰ
ὅπλα λαμβάνειν παρὰ Ἡφαίστου. καὶ δὴ καὶ ἄλλως ὁ τὰ
ὅπλα διδοὺς οὔτε τοὺς πόδας ἐστὶν ἐρρωμένος, καὶ ὄπι-
9 σθεν οἰκέτης ἕπεταί οἱ πυράγραν ἔχων. λέγεται δὲ καὶ ἐς
τὸν Κένταυρον ὡς Χείρων ἀπηλλαγμένος ἤδη παρὰ ἀν-
θρώπων καὶ ἠξιωμένος εἶναι σύνοικος θεοῖς ῥᾳστώνην
τινὰ ἥκοι τοῦ πένθους Ἀχιλλεῖ παρασκευάσων. Παρ-
θένους δὲ ἐπὶ ἡμιόνων, τὴν μὲν ἔχουσαν τὰς ἡνίας, τὴν

δὲ ἐπικειμένην κάλυμμα ἐπὶ τῇ κεφαλῇ, Ναυσικᾶν τε νομίζουσιν εἶναι τὴν Ἀλκίνου καὶ τὴν θεράπαιναν ἐλαυνούσας ἐπὶ τοὺς πλυνούς. Τοξεύοντα δὲ ἄνδρα Κενταύρους, τοὺς δὲ καὶ ἀπεκτονότα ἐξ αὐτῶν, δῆλα Ἡρακλέα τε τὸν τοξεύοντα καὶ Ἡρακλέους εἶναι τὸ ἔργον.

Τὸν μὲν δὴ τὴν λάρνακα κατειργασμένον ὅστις ἦν, 10
427 οὐδαμῶς ἡμῖν δυνατὰ ἦν συμβαλέσθαι· τὰ ἐπιγράμματα δὲ τὰ ἐπ' αὐτῆς τάχα μέν που καὶ ἄλλος τις ἂν εἴη πεποιηκώς, τῆς δὲ ὑπονοίας τὸ πολὺ ἐς Εὔμηλον τὸν Κορίνθιον εἶχεν ἡμῖν, ἄλλων τε ἕνεκα καὶ τοῦ προσοδίου μάλιστα ὃ ἐποίησεν ἐς Δῆλον.

**XX.** Ἔστι δὲ ἐνταῦθα καὶ ἄλλα ἀναθήματα, κλίνη τε μέγεθος οὐ μεγάλη, τὰ πολλὰ ἐλέφαντι κεκοσμημένη, καὶ ὁ Ἰφίτου δίσκος, καὶ τράπεζα ἐφ' ἧς προτίθενται τοῖς νικῶσιν οἱ στέφανοι. τὴν μὲν δὴ Ἱπποδαμείας λέγουσιν εἶναι παίγνιον· ὁ δὲ τοῦ Ἰφίτου δίσκος τὴν ἐκεχειρίαν ἣν ἐπὶ τοῖς Ὀλυμπίοις ἐπαγγέλλουσιν Ἠλεῖοι, ταύτην οὐκ ἐς εὐθὺ ἔχει γεγραμμένην, ἀλλὰ ἐς κύκλου σχῆμα περίεισιν ἐπὶ τῷ δίσκῳ τὰ γράμματα. ἡ τράπεζα δὲ ἐλέ- 2
φαντος μὲν πεποίηται καὶ χρυσοῦ, Κωλώτου δέ ἐστιν ἔργον· εἶναι δέ φασιν ἐξ Ἡρακλείας τὸν Κωλώτην. οἱ δὲ πολυπραγμονήσαντες σπουδῇ τὰ ἐς τοὺς πλάστας Πάριον ἀποφαίνουσιν ὄντα αὐτόν, μαθητὴν Πασιτέλους, Πασιτέλην δὲ αὐτὸν διδαχθῆναι * * καὶ Ἥρα τε καὶ Ζεὺς καὶ θεῶν Μήτηρ καὶ Ἑρμῆς καὶ Ἀπόλλων μετὰ Ἀρτέμιδος πεποίηται· ὄπισθε δὲ ἡ διάθεσίς ἐστιν ἡ τοῦ ἀγῶνος. κατὰ δὲ ἑκατέραν πλευράν, τῇ μὲν Ἀσκληπιὸς καὶ τῶν 3
Ἀσκληπιοῦ θυγατέρων Ὑγίειά ἐστιν, ἔτι δὲ καὶ Ἄρης καὶ Ἀγὼν παρ' αὐτόν, τῇ δὲ Πλούτων καὶ Διόνυσος Περσεφόνη τε καὶ νύμφαι, σφαῖραν αὐτῶν ἡ ἑτέρα φέρουσα· ἐπὶ δὲ (τῇ) κλειδί, ἔχει γὰρ δὴ ὁ Πλούτων κλεῖν, λέγουσιν

ἐπ' αὐτῇ τὸν καλούμενον ᾅδην κεκλεῖσθαί τε ὑπὸ τοῦ Πλούτωνος καὶ ὡς ἐπάνεισιν οὐδεὶς αὖθις ἐξ αὐτοῦ.

4 2. Λόγου δὲ ὃν Ἀρίσταρχος ἔλεγεν ὁ τῶν Ὀλυμπία- 428
σιν ἐξηγητής, οὔ με εἰκὸς ἦν παριδεῖν· ὃς ἐπὶ τῆς ἡλικίας ἔφη τῆς ἑαυτοῦ τὸν ὄροφον τοῦ Ἡραίου πεπονηκότα ἐπανορθουμένων Ἠλείων ὁπλίτου νεκρὸν τραύματα ἔχοντα μεταξὺ ἀμφοτέρων εὑρεθῆναι, τῆς τε ἐς εὐπρέπειαν στέγης καὶ τῆς ἀνεχούσης τὸν κέραμον· τοῦτον τὸν ἄνδρα μαχέσασθαι τὴν μάχην τὴν ἐντὸς Ἄλτεως πρὸς
5 Λακεδαιμονίους Ἠλείων. καὶ γὰρ ἐπὶ τῶν θεῶν τὰ ἱερὰ καὶ ἐς πάντα ὁμοίως τὰ ὑψηλὰ ἐπαναβαίνοντες ἠμύνοντο οἱ Ἠλεῖοι. οὗτος δ' οὖν ὁ ἀνὴρ ἐφαίνετο ἡμῖν ὑποδῦναι μὲν ἐνταῦθα λιποψυχήσας ὑπὸ τῶν τραυμάτων· ὡς δὲ ἀφῆκε τὴν ψυχήν, οὐκ ἔμελλεν ἄρα οὔτε πνῖγος θέρους οὔτε ἐν χειμῶνι κρυμὸς ἔσεσθαι τῷ νεκρῷ βλάβος ἅτε ἐν σκέπῃ πάσῃ κειμένῳ. ἔλεγε δὲ καὶ τόδε ἔτι ὁ Ἀρίσταρχος, ὡς ἐκκομίσαιντο ἐς τὸ ἐκτὸς τῆς Ἄλτεως τὸν νεκρὸν καὶ ὁμοῦ τοῖς ὅπλοις γῇ κρύψαιεν.

6 3. Ἣν δὲ καλοῦσιν Οἰνομάου κίονα [καὶ] οἱ Ἠλεῖοι [καλοῦσιν], ἔστι μὲν πρὸς τὸ ἱερὸν τοῦ Διὸς ἰόντι ἀπὸ τοῦ μεγάλου βωμοῦ, τέσσαρες δέ εἰσιν ἐν ἀριστερᾷ κίονες καὶ ἐπ' αὐτῶν ὄροφος. πεποίηνται δὲ ἔρυμα εἶναι ξυλίνῳ κίονι πεπονηκότι ὑπὸ τοῦ χρόνου καὶ τὰ πολλὰ ὑπὸ δεσμῶν συνεχομένῳ. οὗτος ὁ κίων ἐν οἰκίᾳ τοῦ Οἰνομάου, καθὰ λέγουσιν, εἱστήκει· κεραυνώσαντος δὲ τοῦ θεοῦ τὴν μὲν ἄλλην ἠφάνισεν οἰκίαν τὸ πῦρ, ὑπελίπετο δὲ
7 τὸν κίονα ἐξ ἁπάσης μόνον. πινάκιον δὲ πρὸ αὐτοῦ χαλκοῦν ἐλεγεῖα ἔχει γεγραμμένα·

καὶ γὰρ ἐγὼ κλεινῶν εἴμ' ὦ ξένε λείψανον οἴκων,
στῦλος ἐν Οἰνομάου πρίν ποτ' ἐοῦσα δόμοις·
νῦν δὲ παρὰ Κρονίδην κεῖμαι τάδ' ἔχουσα τὰ δεσμά
τίμιος· οὐδ' ὀλοὴ δαίσατο φλόξ με πυρός.

429 4. *Συνέβη δὲ καὶ ἄλλο κατ' ἐμὲ τοιόνδε. ἀνὴρ βουλῆς τῆς* 8
*Ῥωμαίων ἀνείλετο Ὀλυμπικὴν νίκην· ἐθέλων δὲ ὑπολιπέσθαι τῆς νίκης ὑπόμνημα χαλκῆν εἰκόνα σὺν ἐπιγράμματι, ὤρυσσεν ἐς ποίησιν βάθρου, καὶ ὡς ἐγένετο ἐγγύτατα τὸ ὄρυγμα αὐτῷ τῆς τοῦ Οἰνομάου κίονος, ἐνταῦθα εὕρισκον οἱ ὀρύσσοντες καὶ ὅπλων καὶ χαλινῶν καὶ ψαλίων θραύσματα. ταῦτα μὲν δὴ αὐτὸς ἑώρων ὀρυσσόμενα.*

5. *Ναὸν δὲ μεγέθει μέγαν καὶ ἐργασίᾳ Δώριον Μη-* 9
*τρῷον καὶ ἐς ἐμὲ καλοῦσιν ἔτι, τὸ ὄνομα αὐτῷ διασώζοντες τὸ ἀρχαῖον. κεῖται δὲ οὐκ ἄγαλμα ἐν αὐτῷ θεῶν Μητρός, βασιλέων δὲ ἑστήκασιν ἀνδριάντες Ῥωμαίων. ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως τὸ Μητρῷον, καὶ οἴκημα περιφερὲς ὀνομαζόμενον Φιλίππειον· ἐπὶ κορυφῇ δέ ἐστι τοῦ Φιλιππείου μήκων χαλκῆ σύνδεσμος ταῖς δοκοῖς. τοῦτο τὸ* 10
*οἴκημα ἔστι μὲν κατὰ τὴν ἔξοδον τὴν κατὰ τὸ Πρυτανεῖον ἐν ἀριστερᾷ, πεποίηται δὲ ὀπτῆς πλίνθου, κίονες δὲ περὶ αὐτὸ ἑστήκασι· Φιλίππῳ δὲ ἐποιήθη μετὰ τὸ ἐν Χαιρωνείᾳ τὴν Ἑλλάδα ὀλισθεῖν. κεῖνται δὲ αὐτόθι Φίλιππός τε καὶ Ἀλέξανδρος, σὺν δὲ αὐτοῖς Ἀμύντας ὁ Φιλίππου πατήρ. ἔργα δὲ ἐστὶ καὶ ταῦτα Λεωχάρους ἐλέφαντος καὶ χρυσοῦ, καθὰ καὶ τῆς Ὀλυμπιάδος καὶ Εὐρυδίκης εἰσὶν αἱ εἰκόνες.*

**XXI.** *Τὸ δὲ ἀπὸ τούτου μοι πρόεισιν ὁ λόγος ἔς τε τῶν ἀνδριάντων καὶ ἐς τῶν ἀναθημάτων ἐξήγησιν· ἀναμίξαι δὲ οὐκ ἀρεστὰ ἦν μοι τὸν ἐπ' αὐτοῖς λόγον. ἐν ἀκροπόλει μὲν γὰρ τῇ Ἀθήνησιν οἵ τε ἀνδριάντες καὶ ὁπόσα ἄλλα, τὰ πάντα ἐστὶν ὁμοίως ἀναθήματα· ἐν δὲ τῇ Ἄλτει τὰ μὲν τιμῇ τῇ ἐς τὸ θεῖον ἀνάκειται, οἱ δὲ ἀνδριάντες τῶν νικώντων ἐν ἄθλου λόγῳ σφίσι καὶ οὗτοι δίδονται. τῶν μὲν δὴ ἀνδριάντων ποιησόμεθα καὶ ὕστε-*

ρον μνήμην· ἐς δὲ τὰ ἀναθήματα ἡμῖν τραπήσεται πρό-
τερα ὁ λόγος τὰ ἀξιολογώτατα αὐτῶν ἐπερχομένοις.
2 2. Ἰόντι γὰρ ἐπὶ τὸ στάδιον τὴν ὁδὸν τὴν ἀπὸ τοῦ 430
Μητρῴου ἔστιν ἐν ἀριστερᾷ κατὰ τὸ πέρας τοῦ ὄρους τοῦ
Κρονίου λίθου τε πρὸς αὐτῷ τῷ ὄρει κρηπὶς καὶ ἀνα-
βασμοὶ δι᾽ αὐτῆς· πρὸς δὲ τῇ κρηπῖδι ἀγάλματα Διὸς
ἀνάκειται χαλκᾶ. ταῦτα ἐποιήθη μὲν ἀπὸ χρημάτων ἐπι-
βληθείσης ἀθληταῖς ζημίας ὑβρίσασιν ἐς τὸν ἀγῶνα, κα-
3 λοῦνται δὲ ὑπὸ τῶν ἐπιχωρίων Ζᾶνες. πρῶτοι δὲ ἀριθμὸν
ἓξ ἐπὶ τῆς ὀγδόης ἔστησαν καὶ ἐνενηκοστῆς ὀλυμπιάδος·
Εὔπωλος γὰρ Θεσσαλὸς χρήμασι διέφθειρε τοὺς ἐλθόν-
τας τῶν πυκτῶν, Ἀγήτορα Ἀρκάδα καὶ Πρύτανιν Κυζι-
κηνόν, σὺν δὲ αὐτοῖς καὶ Φορμίωνα Ἁλικαρνασέα μὲν
γένος, ὀλυμπιάδι δὲ τῇ πρὸ ταύτης κρατήσαντα. τοῦτο
ἐξ ἀθλητῶν ἀδίκημα ἐς τὸν ἀγῶνα πρῶτον γενέσθαι λέ-
γουσι, καὶ πρῶτοι χρήμασιν ἐζημιώθησαν ὑπὸ Ἠλείων
Εὔπωλος καὶ οἱ δεξάμενοι δῶρα παρὰ Εὐπώλου. δύο μὲν
δὴ ἐξ αὐτῶν ἔργα Κλέωνος Σικυωνίου· τὰ δὲ ἐφεξῆς
4 τέσσαρα ὅστις ἐποίησεν, οὐκ ἴσμεν. τῶν δὲ ἀγαλμάτων
τούτων παρέντι τρίτον τε ἐξ αὐτῶν καὶ τέταρτον, γεγραμ-
μένα ἐλεγεῖά ἐστιν ἐπὶ τοῖς ἄλλοις. ἐθέλει δὲ τὸ μὲν πρῶ-
τον τῶν ἐλεγείων δηλοῦν ὡς οὐ χρήμασιν ἀλλὰ ὠκύτητι
τῶν ποδῶν καὶ ὑπὸ ἰσχύος σώματος Ὀλυμπικὴν ἔστιν
εὑρέσθαι νίκην. τὸ δ᾽ ἐπὶ τῷ δευτέρῳ φησὶν ὡς τὸ ἄγαλμα
ἕστηκε τιμῇ τε τῇ ἐς τὸ θεῖον καὶ ὑπὸ εὐσεβείας τῆς
Ἠλείων, καὶ ἀθληταῖς παρανομοῦσιν εἶναι δέος. πέμπτῳ
δὲ καὶ ἕκτῳ, τῷ μέν ἐστιν ἡ τοῦ ἐπιγράμματος γνώμη τά
τε ἄλλα ἐς ἔπαινον Ἠλείων καὶ οὐχ ἥκιστα ἐπὶ τῇ ζημίᾳ
τῶν πυκτῶν, ἐπὶ δὲ τῷ ὑπολοίπῳ διδασκαλίαν πᾶσιν
Ἕλλησιν εἶναι τὰ ἀγάλματα μηδένα ἐπὶ Ὀλυμπικῇ νίκῃ 431
διδόναι χρήματα.
5 3. Εὐπώλου δὲ ὕστερόν φασιν Ἀθηναῖον Κάλλιπ-

που ἀθλήσαντα πένταθλον ἐξωνήσασθαι τοὺς ανταγωνιουμένους χρήμασι, δευτέραν δὲ ἐπὶ ταῖς δέκα τε καὶ ἑκατὸν ὀλυμπιάδα εἶναι ταύτην. ἐπιβληθείσης δὲ τῷ Καλλίππῳ καὶ τοῖς ἀνταγωνισαμένοις ζημίας ὑπὸ Ἠλείων, ἀποστέλλουσιν Ὑπερίδην Ἀθηναῖοι πείσοντα Ἠλείους ἀφεῖναί σφισι τὴν ζημίαν. ἀπειπόντων δὲ Ἠλείων τὴν χάριν, ἐχρῶντο ὑπεροψίᾳ τοιᾷδε ἐς αὐτοὺς οἱ Ἀθηναῖοι, οὔτε ἀποδιδόντες τὰ χρήματα καὶ Ὀλυμπίων εἰργόμενοι, πρὶν ἤ σφισιν ὁ θεὸς ὁ ἐν Δελφοῖς οὐ πρότερον ἔφησεν ὑπὲρ οὐδενὸς χρήσειν πρὶν ἢ τὴν ζημίαν ἀποδοῖεν Ἠλείοις. οὕτω δὴ ἀποδόντων ἐποιήθη τῷ Διὶ ἀγάλματα, ἓξ 6
μὲν καὶ ταῦτα, γέγραπται δὲ ἐπ' αὐτοῖς ἐλεγεῖα οὐδέν τι δεξιώτερα ἐς ποίησιν ἢ τὰ ἔχοντα τὴν ζημίαν τὴν Εὐπώλου. γνῶμαι δέ εἰσι τῶν ἐπιγραμμάτων, πρῶτον μὲν ἀνατεθῆναι τὰ ἀγάλματα μαντείᾳ τοῦ θεοῦ τιμήσαντος τὰ ἐς τοὺς πεντάθλους δόξαντα Ἠλείοις. τὸ δὲ ἐπὶ τῷ δευτέρῳ καὶ ὡσαύτως ἐπὶ τῷ τρίτῳ Ἠλείους ἐπαινοῦντά ἐστιν ἐπὶ τῶν πεντάθλων τῇ ζημίᾳ. τὸ τέταρτον δὲ ἐθέλει 7
λέγειν τὸν Ὀλυμπίασιν ἀγῶνα ἀρετῆς εἶναι καὶ οὐ χρημάτων. τὰ δὲ ἐπιγράμματα ἐπὶ τῷ πέμπτῳ τε καὶ ἕκτῳ, τὸ μὲν αὐτῶν δηλοῖ καθ' ἥντινα αἰτίαν ἀνετέθη τὰ ἀγάλματα, τὸ δὲ ἀναμιμνήσκει τοῦ χρησμοῦ τοῦ Ἀθηναίοις ἐλθόντος ἐκ Δελφῶν.

4. Τῶν δὲ κατειλεγμένων τὰ ἐφεξῆς ἀγάλματα δύο 8
μέν ἐστιν ἀριθμόν, ἀνετέθη δὲ ἐπιτεθείσης παλαισταῖς ἀνδράσι ζημίας· [οἵτινες δὲ ἐκαλοῦντο, ἐμέ γε ἢ τοὺς Ἠλείων λέληθεν ἐξηγητάς.] ἐπιγράμματα μὲν [γὰρ] καὶ ἐπὶ τούτοις τοῖς ἀγάλμασιν ἔπεστι, λέγει δὲ τὸ μὲν πρῶτον αὐτῶν ὡς τῷ Ὀλυμπίῳ Διὶ Ῥόδιοι χρήματα ὑπὲρ ἀνδρὸς ἀδικίας ἐκτίσαιεν παλαιστοῦ, τὸ δὲ ἕτερον ὡς ἀνδρῶν ἐπὶ δώροις παλαισάντων ἀπὸ τῶν ἐπιβληθέντων
432 χρημάτων αὐτοῖς γένοιτο τὸ ἄγαλμα. 5. τὰ δὲ ἐπίλοιπα 9

ἐς τοὺς ἀθλητὰς τούτους οἱ ἐξηγηταὶ λέγουσιν οἱ Ἠλείων,
ὀγδόην μὲν ἐπὶ ταῖς ἑβδομήκοντα καὶ ἑκατὸν ὀλυμπιάδα
εἶναι, λαβεῖν δὲ Εὔδηλον παρὰ Φιλοστράτου χρήματα,
τοῦτον δὲ εἶναι τὸν Φιλόστρατον Ῥόδιον. τούτῳ τῷ λόγῳ
διάφορα ὄντα εὕρισκον τὰ Ἠλείων ἐς τοὺς ὀλυμπιονίκας
γράμματα· ἔστι γὰρ δὴ ἐν τοῖς γράμμασι τούτοις Στρά-
τωνα Ἀλεξανδρέα ὀλυμπιάδι ὀγδόῃ μετὰ τὰς ἑβδομή-
κοντα καὶ ἑκατὸν ἐπὶ ἡμέρας ἀνελέσθαι τῆς αὐτῆς παγ-
κρατίου καὶ πάλης νίκην. Ἀλεξανδρείας δὲ τῆς ἐπὶ τῷ
Κανωβικῷ τοῦ Νείλου στόματι Ἀλέξανδρος μὲν οἰκιστὴς
ἐγένετο ὁ Φιλίππου, λέγεται δὲ καὶ πρότερον ἔτι πόλισμα
10 Αἰγυπτίων ἐνταῦθα οὐ μέγα εἶναι Ῥακῶτιν. Στράτωνος
δὲ τούτου τρεῖς μὲν ἡλικίᾳ πρότερον, τοσοῦτοι δὲ ἄλλοι
μετ' αὐτόν εἰσι δῆλοι τὸν κότινον παγκρατίου τε ἆθλα
εἰληφότες καὶ πάλης, καὶ πρῶτος μὲν ἐξ αὐτῆς Ἤλιδος
Κάπρος, Ἑλλήνων δὲ τῶν πέραν Αἰγαίου Ῥόδιός τε
Ἀριστομένης καὶ Μαγνήτων τῶν ἐπὶ Ληθαίῳ Πρωτοφά-
νης. Οἱ δὲ ὕστερον τοῦ Στράτωνος Μαρίων τε πόλεως
ἐκείνῳ τῆς αὐτῆς καὶ Στρατονικεὺς Ἀριστέας, τὰ δὲ
παλαιότερα ἥ τε χώρα καὶ ἡ πόλις ἐκαλεῖτο Χρυσαορίς,
ἕβδομος δὲ Νικόστρατος ἐκ τῶν ἐπὶ θαλάσσῃ Κιλίκων,
11 οὐδὲν τοῖς Κίλιξιν αὐτοῦ μετὸν εἰ μὴ ὅσα τῷ λόγῳ. τοῦ-
τον τὸν Νικόστρατον νήπιον παῖδα ἔτι ἐκ Πρυμνησσοῦ
λῃσταὶ τῆς Φρυγῶν ἥρπασαν, οἰκίας ὄντα οὐκ ἀφανοῦς·
κομισθέντα δὲ αὐτὸν ἐς Αἰγέας ὠνήσατο ὅστις δή. χρόνῳ
δὲ ὕστερον τῷ ἀνδρὶ τούτῳ ὄνειρον γίνεται· λέοντος δὲ
ἔδοξεν ὑπὸ τῷ σκίμποδι κατακεῖσθαι σκύμνον, ἐφ' ᾧ ἐκά-
θευδεν ὁ Νικόστρατος. Νικοστράτῳ μὲν δή, ὡς ηὐξήθη,
καὶ ἄλλαι νῖκαι καὶ Ὀλυμπίασιν ἐγένοντο παγκρατίου
καὶ πάλης.

12 Χρήμασι δὲ ὑπὸ Ἠλείων ἕτεροί τε ὕστερον καὶ Ἀλεξ-
ανδρεὺς ἐζημιώθη πύκτης ὀλυμπιάδι ἐπὶ ταῖς διακοσίαις 433

ὀγδόῃ τε καὶ δεκάτῃ. ὄνομα μὲν τῷ ζημιωθέντι Ἀπολ-
λώνιος, ἐπίκλησις δὲ ἦν Ῥάντης· καί πως καὶ ἐπιχώριον
τὸ ἐς τὰς ἐπικλήσεις τοῖς Ἀλεξανδρεῦσίν ἐστιν. οὗτος ὁ
ἀνὴρ ἀδικεῖν ὑπὸ Ἠλείων κατεγνώσθη πρῶτος Αἰγυπ-
τίων· κατεγνώσθη δὲ οὐ δοῦναι χρήματα ἢ λαβεῖν αὐ- 13
τός, ἀλλὰ τοιόνδε ἄλλο ἐς τὸν ἀγῶνα ἐξυβρίσαι. ἀφίκετο
οὐκ ἐς τὸν εἰρημένον καιρόν, καὶ αὐτὸν ὑπὸ Ἠλείων
πειθομένων τῷ νόμῳ ἐλείπετο τοῦ ἀγῶνος εἴργεσθαι.
τὴν γάρ οἱ πρόφασιν, ὡς ἐν ταῖς Κυκλάσι νήσοις ὑπὸ
ἀνέμων κατείχετο ἐναντίων, Ἡρακλείδης γένος καὶ αὐτὸς
Ἀλεξανδρεὺς ἤλεγχεν ἀπάτην οὖσαν· ὑστερῆσαι γὰρ
χρήματα ἐκ τῶν ἀγώνων αὐτὸν ἐκλέγοντα τῶν ἐν Ἰωνίᾳ.
οὕτω δὴ τόν τε Ἀπολλώνιον καὶ εἰ δή τις ἄλλος ἧκεν οὐ 14
κατὰ προθεσμίαν τῶν πυκτῶν, τούτους μὲν οἱ Ἠλεῖοι
τοῦ ἀγῶνος ἀπελαύνουσι, τῷ Ἡρακλείδῃ δὲ τὸν στέφα-
νον παριᾶσιν ἀκονιτί. ἐνταῦθα ὁ Ἀπολλώνιος κατεσκευ-
άσατό τε τοῖς ἱμᾶσιν ὡς ἐς μάχην, καὶ ἐσδραμὼν ἐπὶ τὸν
Ἡρακλείδην ἥπτετο ἐπικειμένου τε ἤδη τὸν κότινον καὶ
καταπεφευγότος ἐς τοὺς Ἑλλανοδίκας. τούτῳ μὲν δὴ
ἔμελλε τὸ κοῦφον τοῦ νοῦ βλάβος μέγα ἔσεσθαι. 6. Ἔστι 15
δὲ καὶ ἄλλα δύο τέχνης τῆς ἐφ᾽ ἡμῶν ἀγάλματα. ἕκτῃ γὰρ
ἐπὶ ταῖς εἴκοσι καὶ διακοσίαις ὀλυμπιάδι πύκτας ἄνδρας
ὑπὲρ αὐτῆς μαχομένους τῆς νίκης ἐφώρασαν συνθεμέ-
νους ὑπὲρ λήμματος. ἀντὶ τούτων μὲν ἐγένετο ζημία·
ποιηθέντων δὲ ἀγαλμάτων Διὸς τὸ μὲν ἐν ἀριστερᾷ τῆς
ἐς τὸ στάδιον ἐσόδου, τὸ δὲ ἕτερον αὐτῶν ἕστηκεν ἐν
δεξιᾷ. τοῖς δὲ πύκταις τούτοις Δίδας τε ὄνομα ἦν, καὶ
τῷ τὰ χρήματα δόντι αὐτῶν Σαραπάμμων· νομοῦ δὲ
ἦσαν τοῦ αὐτοῦ, νεωτάτου τῶν ἐν Αἰγύπτῳ, καλουμέ-
νου δὲ Ἀρσινοΐτου. 7. Θαῦμα μὲν δὴ καὶ ἄλλως ἐν οὐδε- 16
νὸς λόγῳ τὸν θεὸν θέσθαι τὸν ἐν Ὀλυμπίᾳ καὶ δέξασθαί
τινα ἢ δοῦναι δῶρα ἐπὶ τῷ ἀγῶνι· μείζονος δὲ ἔτι θαύ-

ματος, εἴ γε καὶ αὐτῶν ἐτόλμησεν ἤδη τις Ἠλείων. λέγεται δὲ ὡς Δαμόνικος τολμήσειεν Ἠλεῖος δευτέρᾳ πρὸς ταῖς ἑκατὸν καὶ ἐνενήκοντα ὀλυμπιάδι· συνεστηκέναι μὲν γὰρ παλαίοντας ἐπὶ τῷ στεφάνῳ τόν τε τοῦ Δαμο- 434
νίκου παῖδα Πολύκτορα καὶ Σώσανδρον γένος Σμυρναῖον, ὁμώνυμον τῷ πατρί, Δαμόνικον δέ, ἅτε περισσῶς ἐπιθυμοῦντα γενέσθαι τῷ παιδὶ τὴν νίκην, δοῦναι
17 τοῦ Σωσάνδρου τῷ παιδὶ χρήματα. ὡς δὲ ἐγεγόνει τὰ πραχθέντα ἔκπυστα, ἐπιβάλλουσιν οἱ Ἑλλανοδίκαι ζημίαν. ἐπιβάλλουσι δὲ οὐ τοῖς παισίν, ἀλλὰ ἐς τοὺς πατέρας ἔτρεψαν τὴν ὀργήν· οὗτοι γὰρ δὴ καὶ ἠδίκουν. ἀπὸ ταύτης τῆς ζημίας ἀγάλματα ἐποιήθη· καὶ τὸ μὲν ἐν τῷ Ἠλείων ἀνάκειται γυμνασίῳ, τὸ δὲ τῆς Ἄλτεως πρὸ τῆς Ποικίλης στοᾶς καλουμένης, ὅτι ἦσαν ἐπὶ τῶν τοίχων γραφαὶ τὸ ἀρχαῖον. εἰσὶ δ' οἳ τὴν στοὰν ταύτην καὶ Ἠχοῦς ὀνομάζουσι· βοήσαντι δὲ ἀνδρὶ ἑπτάκις ὑπὸ τῆς ἠχοῦς ἡ φωνή, τὰ δὲ καὶ ἐπὶ πλέον ἔτι ἀποδίδοται.

18 Παγκρατιαστὴν δέ φασιν Ἀλεξανδρέα, ὄνομα δὲ εἶναί οἱ Σαραπίωνα, τοῦτον ἐν ὀλυμπιάδι τῇ πρώτῃ μετὰ τὰς διακοσίας ἐς τοσοῦτο δεῖσαι τοὺς ἀνταγωνιστὰς ὥστε ἡμέρᾳ μιᾷ πρότερον ἢ ἐσκληθήσεσθαι τὸ παγκράτιον ἔμελλεν ἀποδράντα οἴχεσθαι. τοῦτον ζημιωθέντα ἐπὶ δειλίᾳ μόνον τῶν τε ἄλλων ἀνθρώπων καὶ αὐτῶν μνημονεύουσιν Αἰγυπτίων.

**XXII.** Ταῦτα μὲν τὰ κατειλεγμένα ἐπὶ αἰτίαις τοιαῖσδε ποιηθέντα εὕρισκον· ἔστι δὲ καὶ ἀγάλματα Διὸς δημοσίᾳ τε καὶ ὑπὸ ἀνδρῶν ἀνατεθέντα ἰδιωτῶν. ἔστι δὲ βωμὸς ἐν τῇ Ἄλτει τῆς ἐσόδου πλησίον τῆς ἀγούσης ἐς τὸ στάδιον· ἐπὶ τούτου θεῶν μὲν οὐδενὶ θύουσιν Ἠλεῖοι, σαλπιγκταῖς δὲ ἐφεστηκόσιν αὐτῷ καὶ τοῖς κήρυξιν ἀγωνίζεσθαι καθέστηκε. παρὰ τοῦτον τὸν βωμὸν βάθρον τε πεποίηται χαλκοῦν καὶ ἄγαλμα ἐπ' αὐτῷ Διός, μέγεθος

μὲν ὅσον ἓξ πήχεις, κεραυνὸν δὲ ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχει·
435 ἀνέθεσαν δὲ αὐτὸ Κυναιθαεῖς. ὁ δὲ περικείμενός τε τὸν
ὅρμον καὶ ἡλικίαν παῖς ἔτι ἀνάθημα ἀνδρός ἐστι Φλια-
σίου Κλεόλα.

2. Παρὰ δὲ τὸ Ἱπποδάμιον καλούμενον λίθου τε βά- 2
θρον ἐστί, κύκλος ἥμισυς, καὶ ἀγάλματα ἐπ' αὐτῷ Ζεὺς
καὶ Θέτις τε καὶ Ἡμέρα τὸν Δία ὑπὲρ τῶν τέκνων ἱκετεύ-
ουσαι. ταῦτα ἐπὶ μέσῳ τῷ βάθρῳ· οἱ δὲ ἤδη σχῆμα ἀντι-
τεταγμένων ὅ τε Ἀχιλλεὺς παρέχεται καὶ ὁ Μέμνων ἐπὶ
ἑκατέρῳ τοῦ βάθρου τῷ πέρατι ἑκάτερος. ἀνθεστήκασι
δὲ καὶ ἄλλος ἄλλῳ κατὰ τὰ αὐτά, ἀνὴρ βάρβαρος ἀνδρὶ
Ἕλληνι, Ὀδυσσεὺς μὲν Ἑλένῳ, ὅτι οὗτοι μάλιστα ἐπὶ
σοφίᾳ δόξαν ἐν ἑκατέρῳ τῷ στρατεύματι εἰλήφεσαν, Με-
νελάῳ δὲ κατὰ τὸ ἔχθος τὸ ἐξ ἀρχῆς Ἀλέξανδρος, Διο-
μήδει δὲ Αἰνείας, καὶ τῷ Τελαμῶνος Αἴαντι Δηΐφοβος.
Ταῦτά ἐστιν ἔργα μὲν Λυκίου τοῦ Μύρωνος, Ἀπολλω- 3
νιᾶται δὲ ἀνέθηκαν οἱ ἐν τῷ Ἰονίῳ. καὶ δὴ καὶ ἐλεγεῖον
γράμμασίν ἐστιν ἀρχαίοις ὑπὸ τοῦ Διὸς τοῖς ποσί·

μνάματ' Ἀπολλωνίας ἀνακείμεθα, τὰν ἐνὶ πόντῳ
  Ἰονίῳ Φοῖβος ᾤκισ' ἀκερσεκόμας·
οἳ γᾶς τέρμαθ' ἑλόντες Ἀβαντίδος ἐνθάδε ταῦτα
  ἕστασαν σὺν θεοῖς ἐκ Θρονίου δεκάταν.

3. Ἡ δὲ Ἀβαντὶς καλουμένη χώρα καὶ πόλισμα ἐν αὐτῇ
Θρόνιον τῆς Θεσπρωτίδος ἦσαν ἠπείρου κατὰ ὄρη τὰ
Κεραύνια. σκεδασθεισῶν γὰρ Ἕλλησιν, ὡς ἐκομίζοντο 4
ἐξ Ἰλίου, τῶν νεῶν, Λοκροί τε ἐκ Θρονίου τῆς ἐπὶ Βοα-
γρίῳ ποταμῷ καὶ Ἄβαντες ἀπὸ Εὐβοίας ναυσὶν ὀκτὼ
συναμφότεροι πρὸς τὰ ὄρη κατηνέχθησαν τὰ Κεραύνια.
οἰκήσαντες δὲ ἐνταῦθα καὶ πόλιν οἰκίσαντες Θρόνιον,
καὶ τῆς γῆς ἐφ' ὅσον ἐνέμοντο, Ἀβαντίδος ὄνομα ἀπὸ
κοινοῦ λόγου θέμενοι, ἐκπίπτουσιν ὕστερον ὑπὸ Ἀπολ-
λωνιατῶν ὁμόρων κρατηθέντες πολέμῳ. ἀποικισθῆναι

δὲ ἐκ Κορκύρας τὴν Ἀπολλωνίαν, *** οἱ δὲ Κορινθίοις 436
αὐτοῖς μετεῖναι λαφύρων.

5 4. Προελθόντι δὲ ὀλίγον Ζεύς ἐστι πρὸς ἀνίσχοντα τετραμμένος τὸν ἥλιον, ἀετὸν ἔχων τὸν ὄρνιθα καὶ τῇ ἑτέρᾳ τῶν χειρῶν κεραυνόν· ἐπίκειται δὲ αὐτῷ καὶ ἐπὶ τῇ κεφαλῇ στέφανος, ἄνθη τὰ κρίνα. Μεταποντίνων δέ ἐστιν ἀνάθημα, Αἰγινήτου δὲ ἔργον Ἀριστόνου. τοῦ δὲ Ἀριστόνου τούτου διδάσκαλον, ἢ καθ' ὅντινα χρόνον
6 ἐγένετο, οὐκ ἴσμεν. Ἀνέθεσαν δὲ καὶ Φλιάσιοι Δία καὶ θυγατέρας τὰς Ἀσωποῦ καὶ αὐτὸν Ἀσωπόν. διακεκόσμηται δὲ οὕτω σφίσι τὰ ἀγάλματα. Νεμέα μὲν τῶν ἀδελφῶν πρώτη, μετὰ δὲ αὐτὴν Ζεὺς λαμβανόμενός ἐστιν Αἰγίνης. παρὰ δὲ τὴν Αἴγιναν ἕστηκεν Ἅρπινα· ταύτῃ τῷ Ἠλείων καὶ Φλιασίων λόγῳ συνεγένετο Ἄρης, καὶ Οἰνομάῳ δὲ μήτηρ τῷ περὶ τὴν Πισαίαν βασιλεύσαντί ἐστιν Ἅρπινα. μετὰ δὲ αὐτὴν Κόρκυρά τε καὶ ἐπ' αὐτῇ Θήβη, τελευταῖος δὲ ὁ Ἀσωπός. λέγεται δὲ ἐς μὲν Κόρκυραν ὡς μιχθείη Ποσειδῶν αὐτῇ· τοιαῦτα δὲ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία.

7 Ἰδίᾳ δὲ ἄνδρες Λεοντῖνοι καὶ οὐκ ἀπὸ τοῦ κοινοῦ Δία ἀνέστησαν. μέγεθος μὲν τοῦ ἀγάλματος πήχεις εἰσὶν ἑπτά, ἐν δὲ ταῖς χερσὶν ἀετός τέ ἐστιν αὐτῷ καὶ τὸ βέλος τοῦ Διὸς κατὰ τοὺς τῶν ποιητῶν λόγους. ἀνέθεσαν δὲ Ἱππαγόρας τε καὶ Φρύνων καὶ Αἰνεσίδημος, ὃν ἄλλον πού τινα Αἰνεσίδημον δοκῶ καὶ οὐ τὸν τυραννήσαντα εἶναι Λεοντίνων.

XXIII. Παρεξιόντι δὲ παρὰ τὴν ἐς τὸ βουλευτήριον ἔσοδον Ζεύς τε ἕστηκεν ἐπίγραμμα ἔχων οὐδέν, καὶ αὖθις ὡς πρὸς ἄρκτον ἐπιστρέψαντι ἄγαλμά ἐστι Διός. τοῦτο τέτραπται μὲν πρὸς ἀνίσχοντα ἥλιον, ἀνέθεσαν δὲ Ἑλλήνων ὅσοι Πλαταιᾶσιν ἐμαχέσαντο ἐναντία Μαρδονίου τε καὶ Μήδων. εἰσὶ δὲ καὶ ἐγγεγραμμέναι κατὰ

τοῦ βάθρου τὰ δεξιὰ αἱ μετασχοῦσαι πόλεις τοῦ ἔργου, Λακεδαιμόνιοι μὲν πρῶτοι, μετὰ δὲ αὐτοὺς Ἀθηναῖοι,
437 τρίτοι δὲ γεγραμμένοι καὶ τέταρτοι Κορίνθιοί τε καὶ Σι-
κυώνιοι, πέμπτοι δὲ Αἰγινῆται, μετὰ δὲ Αἰγινήτας Με- 2
γαρεῖς καὶ Ἐπιδαύριοι, Ἀρκάδων δὲ Τεγεᾶταί τε καὶ Ὀρχομένιοι, ἐπὶ δὲ αὐτοῖς ὅσοι Φλιοῦντα καὶ Τροιζῆνα καὶ Ἑρμιόνα οἰκοῦσιν, ἐκ δὲ χώρας τῆς Ἀργείας Τιρύνθιοι, Πλαταιεῖς δὲ μόνοι Βοιωτῶν, καὶ Ἀργείων οἱ Μυκήνας ἔχοντες, νησιῶται δὲ Κεῖοι καὶ Μήλιοι, Ἀμβρακιῶται δὲ ἐξ ἠπείρου τῆς Θεσπρωτίδος, Τήνιοί τε καὶ Λεπρεᾶται, Λεπρεᾶται μὲν τῶν ἐκ τῆς Τριφυλίας μόνοι, ἐκ δὲ Αἰγαίου καὶ τῶν Κυκλάδων οὐ Τήνιοι μόνοι ἀλλὰ καὶ Νάξιοι καὶ Κύθνιοι, ἀπὸ δὲ Εὐβοίας Στυρεῖς, μετὰ δὲ τούτους Ἠλεῖοι καὶ Ποτιδαιᾶται καὶ Ἀνακτόριοι, τελευταῖοι δὲ Χαλκιδεῖς οἱ ἐπὶ τῷ Εὐρίπῳ. 2. Τούτων τῶν 3
πόλεων τοσαίδε ἦσαν ἐφ' ἡμῶν ἔρημοι. Μυκηναῖοι μὲν καὶ Τιρύνθιοι τῶν Μηδικῶν ὕστερον ἐγένοντο ὑπὸ Ἀργείων ἀνάστατοι· Ἀμβρακιώτας δὲ καὶ Ἀνακτορίους ἀποίκους Κορινθίων ὄντας ἐπηγάγετο ὁ Ῥωμαίων βασιλεὺς ἐς Νικοπόλεως συνοικισμὸν πρὸς τῷ Ἀκτίῳ· Ποτιδαιάτας δὲ δὶς μὲν ἐπέλαβεν ἀναστάτους ἐκ τῆς σφετέρας ὑπὸ Φιλίππου τε γενέσθαι τοῦ Ἀμύντου καὶ πρότερον ἔτι ὑπὸ Ἀθηναίων, χρόνῳ δὲ ὕστερον Κάσσανδρος κατήγαγε μὲν Ποτιδαιάτας ἐπὶ τὰ οἰκεῖα, ὄνομα δὲ οὐ τὸ ἀρχαῖον τῇ πόλει, Κασσάνδρεια δὲ ἐγένετο ἀπὸ τοῦ οἰκιστοῦ. τὸ δὲ ἄγαλμα ἐν Ὀλυμπίᾳ τὸ ἀνατεθὲν ὑπὸ τῶν Ἑλλήνων ἐποίησεν Ἀναξαγόρας Αἰγινήτης. τοῦτον οἱ συγγράψαντες τὰ ἐς πλάστας παριᾶσιν ἐν τοῖς λόγοις.

3. Ἔστι δὲ πρὸ τοῦ Διὸς τούτου στήλη χαλκῆ, Λακε- 4
δαιμονίων καὶ Ἀθηναίων συνθήκας ἔχουσα εἰρήνης ἐς τριάκοντα ἐτῶν ἀριθμόν. ταύτας ἐποιήσαντο Ἀθηναῖοι παραστησάμενοι τὸ δεύτερον Εὔβοιαν, ἔτει τρίτῳ τῆς

** ὀλυμπιάδος ἣν Κρίσων Ἱμεραῖος ἐνίκα στάδιον. ἔστι
δὲ ἐν ταῖς συνθήκαις καὶ τόδε εἰρημένον, εἰρήνης μὲν
τῆς Ἀθηναίων καὶ Λακεδαιμονίων τῇ Ἀργείων μὴ μετεῖ-
ναι πόλει, ἰδίᾳ δὲ Ἀθηναίους καὶ Ἀργείους, ἣν ἐθέλω- 438
σιν, ἐπιτηδείως ἔχειν πρὸς ἀλλήλους. αὗται μὲν λέγουσι
5 τοιαῦτα αἱ συνθῆκαι· 4. Διὸς δὲ ἄλλο ἄγαλμα παρὰ τὸ
ἅρμα ἀνάκειται τὸ Κλεοσθένους. τούτου μὲν δὴ ἡμῖν καὶ
ἐν τοῖς ἔπειτα ἔσται μνήμη, τὸ δὲ ἄγαλμα τοῦ Διὸς Με-
γαρέων μέν ἐστιν ἀνάθημα, ἀδελφοὶ δὲ αὐτὸ Φύλακός
τε καὶ Ὄναιθος καὶ οἱ παῖδες οἱ τούτων εἰργάσαντο· ἡλι-
κίαν δὲ αὐτῶν ἢ πατρίδα, ἢ παρ' ᾧ τινὶ ἐδιδάχθησαν,
6 οὐκ ἔχω δηλῶσαι. 5. Πρὸς δὲ τῷ ἅρματι τῷ Γέλωνος Ζεὺς
ἕστηκεν ἀρχαῖος, ἔχων σκῆπτρον· Ὑβλαίων δέ φασιν
εἶναι ἀνάθημα. αἱ δὲ ἦσαν ἐν Σικελίᾳ πόλεις αἱ Ὕβλαι,
Γερεᾶτις ἐπίκλησιν, τὴν δέ, ὥσπερ γε καὶ ἦν, ἐκάλουν
μείζονα. ἔχουσι δὲ καὶ κατ' ἐμὲ ἔτι τὰ ὀνόματα ἐν τῇ Κα-
ταναίᾳ, ἡ μὲν ἔρημος ἐς ἅπαν, ἡ δὲ κώμη τε Καταναίων
ἡ Γερεᾶτις, καὶ ἱερόν σφισιν Ὑβλαίας ἐστὶ θεοῦ, παρὰ
Σικελιωτῶν ἔχον τιμάς. παρὰ τούτων δὲ κομισθῆναι τὸ
ἄγαλμα ἐς Ὀλυμπίαν ἡγοῦμαι· τεράτων γὰρ σφᾶς καὶ
ἐνυπνίων Φίλιστος ὁ Ἀρχομενίδου φησὶν ἐξηγητὰς εἶναι
καὶ μάλιστα εὐσεβείᾳ τῶν ἐν Σικελίᾳ βαρβάρων προσ-
7 κεῖσθαι. 6. Πλησίον δὲ τοῦ Ὑβλαίων ἀναθήματος βά-
θρον τε πεποίηται χαλκοῦν καὶ ἐπ' αὐτῷ Ζεύς· τοῦτον
ὀκτὼ μάλιστα εἶναι ποδῶν καὶ δέκα εἰκάζομεν. οἵτινες
δὲ αὐτὸν ἔδοσαν τῷ θεῷ καὶ ὅντινών ἐστιν ἔργον, ἐλε-
γεῖον γεγραμμένον σημαίνει·

Κλειτόριοι τόδ' ἄγαλμα θεῷ δεκάταν ἀνέθηκαν
πολλᾶν ἐκ πολίων χερσὶ βιασάμενοι.
καὶ ** μετρεῖτ' Ἀρίστων ἠδὲ Τελέστας
αὐτοκασίγνητοι καλὰ Λάκωνες ἔθεν. 439

τούτους οὐκ ἐς ἅπαν τὸ Ἑλληνικὸν ἐπιφανεῖς νομίζω

γενέσθαι· εἶχον γὰρ ἄν τι καὶ Ἠλεῖοι περὶ αὐτῶν λέγειν, καὶ πλέονα ἔτι Λακεδαιμόνιοι πολιτῶν γε ὄντων.

XXIV. Παρὰ δὲ τοῦ Λαοίτα Διὸς καὶ Ποσειδῶνος Λαοίτα, παρὰ τούτων τὸν βωμὸν Ζεὺς ἐπὶ χαλκοῦ βάθρου δῶρον μὲν τοῦ Κορινθίων δήμου, Μούσου δέ ἐστι ποίημα, ὅστις δὴ οὗτός ἐστιν ὁ Μοῦσος. Ἀπὸ δὲ τοῦ βουλευτηρίου πρὸς τὸν ναὸν ἐρχομένῳ τὸν μέγαν ἔστιν ἄγαλμα ἐν ἀριστερᾷ Διός, ἐστεφανωμένον δὲ οἷα δὴ ἄνθεσι, καὶ ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ κεραυνὸς πεποίηται. τοῦτο δέ ἐστιν Ἀσκάρου τέχνη Θηβαίου, διδαχθέντος παρὰ τῷ Σικυωνίῳ * * * καὶ Θεσσαλῶν φησὶν εἶναι. εἰ δὲ 2
Φωκεῦσιν ἐς πόλεμόν τινα οὗτοι κατέστησαν καὶ ἔστιν ἀπὸ Φωκέων αὐτοῖς τὸ ἀνάθημα, οὐκ ἂν ὅ γε ἱερὸς καλούμενος εἴη πόλεμος, ὃν δὲ πρότερον ἔτι ἐπολέμησαν πρὶν ἢ Μήδους καὶ βασιλέα ἐπὶ τὴν Ἑλλάδα διαβῆναι. Τούτου δὲ οὐ πόρρω Ζεύς ἐστιν, ὅντινα ἀναθεῖναι Ψωφιδίους ἐπὶ πολέμου κατορθώματι τὸ ἔπος τὸ ἐπ' αὐτῷ γεγραμμένον δηλοῖ. Τοῦ ναοῦ δέ ἐστιν ἐν δεξιᾷ τοῦ 3
μεγάλου Ζεὺς πρὸς ἀνατολὰς ἡλίου, μέγεθος μὲν δυόδεκα ποδῶν, ἀνάθημα δὲ λέγουσιν εἶναι Λακεδαιμονίων, ἡνίκα ἀποστᾶσι Μεσσηνίοις δεύτερα τότε ἐς πόλεμον κατέστησαν. ἔπεστι δὲ καὶ ἐλεγεῖον ἐπ' αὐτῷ·

Δέξο ἄναξ Κρονίδα Ζεῦ Ὀλύμπιε καλὸν ἄγαλμα
ἱλάῳ θυμῷ τοῖς Λακεδαιμονίοις.

Ῥωμαίων δὲ οὔτε ἄνδρα ἰδιώτην οὔτε ὁπόσοι τῆς 4
βουλῆς, οὐδένα Μομμίου πρότερον ἀνάθημα ἴσμεν ἐς
440 ἱερὸν ἀναθέντα Ἑλληνικόν· Μόμμιος δὲ ἀπὸ λαφύρων ἀνέθηκε τῶν ἐξ Ἀχαΐας Δία ἐς Ὀλυμπίαν χαλκοῦν. οὗτος ἕστηκεν ἐν ἀριστερᾷ τοῦ Λακεδαιμονίων ἀναθήματος, παρὰ τὸν πρῶτον ταύτῃ τοῦ ναοῦ κίονα. Ὁ δὲ ἐν τῇ Ἄλτει μέγιστον τῶν χαλκῶν ἐστὶν ἀγαλμάτων τοῦ Διός, ἀνετέθη μὲν ὑπὸ αὐτῶν Ἠλείων ἀπὸ τοῦ πρὸς Ἀρκάδας

5 πολέμου, μέγεθος δὲ ἑπτὰ καὶ εἴκοσι ποδῶν ἐστί. Παρὰ
δὲ τῷ Πελοπίῳ κίων τε οὐχ ὑψηλὸς καὶ ἄγαλμα Διός ἐστιν
ἐπ' αὐτῷ μικρόν, τὴν ἑτέραν τῶν χειρῶν προτεῖνον. τού-
του δὲ ἀπαντικρὺ ἄλλα ἐστὶν ἀναθήματα ἐπὶ στοίχου, ὡς
δὲ αὔτως Διὸς καὶ Γανυμήδους ἀγάλματα· ἔστι δὲ Ὁμή-
ρῳ πεποιημένα ὡς ἁρπασθείη τε ὑπὸ θεῶν Γανυμήδης
οἰνοχοεῖν Διί, καὶ ὡς Τρωῒ δῶρα ἵπποι δοθεῖεν ἀντ' αὐ-
τοῦ. τοῦτο ἀνέθηκε μὲν Γνᾶθις Θεσσαλός, ἐποίησε δὲ
6 Ἀριστοκλῆς μαθητής τε καὶ υἱὸς Κλεοίτα. ἔστι δὲ καὶ
ἄλλος Ζεὺς οὐκ ἔχων πω γένεια, κεῖται δὲ ἐν τοῖς ἀνα-
θήμασι τοῖς Μικύθου. τὰ δὲ ἐς Μίκυθον, γένος τε ὁποῖον
ἦν αὐτῷ καὶ ἀνθ' ὅτου τὰ ἀναθήματα ἐς Ὀλυμπίαν τὰ
πολλὰ ἀνέθηκεν, ὁ ἐφεξῆς μοι λόγος δηλώσει. Ἀπὸ
δὲ τοῦ ἀγάλματος τοῦ εἰρημένου προελθόντι ὀλίγον κατ'
εὐθεῖαν ἄγαλμά ἐστι Διὸς οὐκ ἔχον γένεια οὐδὲ αὐτό,
Ἐλαϊτῶν δὲ ἀνάθημα, οἳ καταβάντι ἐκ Καΐκου πεδίου ἐς
7 θάλασσαν πρῶτοι τῇ Αἰολίδι οἰκοῦσι. Τούτου δὲ αὖ-
θις ἄλλο ἄγαλμα ἔχεται Διός· τὸ δὲ ἐπίγραμμα τὸ ἐπ'
αὐτῷ τοὺς ἐν Κνίδῳ Χερρονησίους ἀπὸ ἀνδρῶν ἀναθεῖ-
ναι πολεμίων φησίν. ἀνέθεσαν δὲ ἑκατέρωθεν παρὰ τὸν
Δία Πέλοπά τε καὶ τὸν Ἀλφειὸν ποταμόν. Κνιδίοις δὲ
τῆς πόλεως τὸ μὲν πολὺ ἐν τῇ ἠπείρῳ πεπόλισται τῇ Κα-
ρικῇ, ἔνθα καὶ τὰ λόγου μάλιστα ἄξια αὐτοῖς ἐστίν, ἡ δὲ
καλουμένη Χερρόνησός ἐστιν ἐπὶ τῇ ἠπείρῳ κειμένη νῆ-
8 σος, γεφύρᾳ διαβατὸς ἐξ αὐτῆς· καὶ τὰ ἀναθήματα ἀνέ- 441
θεσαν ἐν Ὀλυμπίᾳ τῷ Διὶ οἱ ἐνταῦθα οἰκοῦντες, ὡς εἰ
τῆς Ἐφεσίων πόλεως οἱ ἔχοντες τὸν ὀνομαζόμενον Κόρη-
σον ἀνάθημα φαῖεν ἰδίᾳ τι ἀναθεῖναι τοῦ Ἐφεσίων κοι-
νοῦ. Ἔστι δὲ καὶ πρὸς τῷ τείχει τῆς Ἄλτεως Ζεὺς ἐπὶ
ἡλίου τετραμμένος δυσμάς, ἐπίγραμμα οὐδὲν παρεχόμε-
νος· ἐλέγετο δὲ καὶ οὗτος Μομμίου τε καὶ ἀπὸ τοῦ
9 Ἀχαιῶν εἶναι πολέμου. 2. Ὁ δὲ ἐν τῷ βουλευτηρίῳ

πάντων ὁπόσα ἀγάλματα Διὸς μάλιστα ἐς ἔκπληξιν ἀδί-
κων ἀνδρῶν πεποίηται, ἐπίκλησις μὲν Ὅρκιός ἐστιν αὐ-
τῷ, ἔχει δὲ ἐν ἑκατέρᾳ κεραυνὸν χειρί. παρὰ τούτῳ κα-
θέστηκε τοῖς ἀθληταῖς καὶ πατράσιν αὐτῶν καὶ ἀδελφοῖς,
ἔτι δὲ γυμνασταῖς ἐπὶ κάπρου κατόμνυσθαι τομίων μη-
δεν ἐς τὸν Ὀλυμπίων ἀγῶνα ἔσεσθαι παρ' αὐτῶν κα-
κούργημα. οἱ δὲ ἄνδρες οἱ ἀθληταὶ καὶ τόδε ἔτι προσκατ-
όμνυνται, δέκα ἐφεξῆς μηνῶν ἀπηκριβῶσθαί σφισι τὰ
πάντα ἐς ἄσκησιν. ὀμνύουσι δὲ καὶ ὅσοι τοὺς παῖδας ἢ 10
τῶν ἵππων τῶν ἀγωνιζομένων τοὺς πώλους κρίνουσιν,
ἐπὶ δικαίῳ καὶ ἄνευ δώρων ποιεῖσθαι κρίσιν, καὶ τὰ ἐς
τὸν δοκιμαζόμενόν τε καὶ μή, φυλάξειν καὶ ταῦτα ἐν
ἀπορρήτῳ. τῷ κάπρῳ δὲ ὅ τι χρῆσθαί σφισι μετὰ τῶν
ἀθλητῶν τὸν ὅρκον καθέστηκεν, οὐκ ἐμνημόνευσα ἐπε-
ρέσθαι, ἐπεὶ τοῖς γε ἀρχαιοτέροις ἐπὶ ἱερείῳ ἦν καθεστη-
κός, ἐφ' ᾧ τις ὅρκον ἐποιήσατο, μηδὲ ἐδώδιμον εἶναι
τοῦτο ἔτι ἀνθρώπῳ. δηλοῖ δὲ οὐχ ἥκιστα καὶ Ὅμηρος·
τὸν γοῦν κάπρον καθ' ὅτου τῶν τομίων Ἀγαμέμνων 11
ἐπώμοσεν ἦ μὴν εἶναι τὴν Βρισηΐδα ἑαυτοῦ τῆς εὐνῆς
ἀπείρατον, τοῦτον τὸν κάπρον ἀφιέμενον ὑπὸ τοῦ κήρυ-
κος ἐποίησεν ἐς θάλασσαν·

442 ἦ, καὶ ἀπὸ σφάραγον κάπρου τάμε νηλέϊ χαλκῷ.
τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
ῥῖψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν.

οὕτω μὲν τὸ ἀρχαῖον τὰ τοιαῦτα ἐνόμιζον· ἔστι δὲ πρὸ
τῶν ποδῶν τοῦ Ὁρκίου πινάκιον χαλκοῦν, ἐπιγέγραπται
δὲ ἐλεγεῖα ἐπ' αὐτοῦ, δεῖμα ἐθέλοντα τοῖς ἐπιορκοῦσι
παριστάναι.

XXV. Τοσαῦτα ἐντὸς τῆς Ἄλτεως ἀγάλματα εἶναι
Διὸς ἀνηριθμησάμεθα ἐς τὸ ἀκριβέστατον. τὸ ἀνάθημα
γὰρ τὸ πρὸς τῷ μεγάλῳ ναῷ ὑπὸ ἀνδρὸς Κορινθίου τε-
θέν, Κορινθίων δὲ οὐ τῶν ἀρχαίων, ἀλλ' οἳ παρὰ βασι-

λέως ἔχουσιν εἰληφότες τὴν πόλιν, τοῦτο τὸ ἀνάθημα
Ἀλέξανδρός ἐστιν ὁ Φιλίππου Διὶ εἰκασμένος δῆθεν.
ὁπόσα δὲ ἀλλοῖα καὶ οὐ μίμησίς ἐστι Διός, ἐπιμνησόμε-
θα καὶ τούτων. εἰκόνας δὲ οὐ τιμῇ τῇ πρὸς τὸ θεῖον, τῇ
δὲ ἐς αὐτοὺς χάριτι ἀνατεθείσας τοὺς ἀνθρώπους, λόγῳ
σφᾶς τῷ ἐς τοὺς ἀθλητὰς ἀναμίξομεν.
2 Μεσσηνίους τοὺς ἐπὶ τῷ πορθμῷ κατὰ ἔθος δή τι
ἀρχαῖον [κατ' ἔτος] πέμποντας ἐς Ῥήγιον χορὸν παίδων
πέντε ἀριθμὸν καὶ τριάκοντα καὶ διδάσκαλόν τε ὁμοῦ τῷ
χορῷ καὶ ἄνδρα αὐλητὴν ἐς ἑορτήν τινα ἐπιχώριον Ῥηγί-
νων, κατέλαβεν αὐτούς ποτε συμφορά, μηδένα ὀπίσω
τῶν ἀποσταλέντων σφίσιν ἀποσωθῆναι, ἀλλὰ ἡ ναῦς ἡ
ἄγουσα τοὺς παῖδας ἠφανίσθη σὺν αὐτοῖς κατὰ τοῦ βυ-
θοῦ. Ἔστι γὰρ δὴ ἡ κατὰ τοῦτον θάλασσα τὸν πορθμὸν
3 θαλάσσης χειμεριωτάτη πάσης. οἵ τε γὰρ ἄνεμοι ταράσ-
σουσιν αὐτήν, ἀμφοτέρωθεν τὸ κῦμα ἐπάγοντες ἐκ τοῦ
Ἀδρίου καὶ ἐξ ἑτέρου πελάγους ὃ καλεῖται Τυρσηνόν·
ἤν τε καὶ ἀνέμων ἀπῇ πνεύματα, ὁ δὲ καὶ τηνικαῦτα ὁ
πορθμὸς κίνησιν βιαιοτάτην αὐτὸς ἐξ αὐτοῦ καὶ ἰσχυρὰς
παρέχεται παλιρροίας. θηρία τε τοσαῦτα ἐς αὐτὸν τὰ
ἀθροιζόμενά ἐστιν, ὡς καὶ τὸν ἀέρα τὸν ὑπὲρ τῆς θαλάσ-
σης ταύτης ἀναπίμπλασθαι τῶν θηρίων τῆς ὀσμῆς, ὡς
σωτηρίας γε ἐκ τοῦ πορθμοῦ μηδὲ ἐλπίδος τι ὑπολείπε-
σθαι ναυαγῷ. εἰ δὲ ἐνταῦθα συνέπεσεν Ὀδυσσεῖ διαφθα- 443
ρῆναι τὴν ναῦν, ἄλλως μὲν οὐκ ἄν τις πείθοιτο ἐκνήξα-
σθαι ζῶντα ἐς τὴν Ἰταλίαν αὐτόν, τὸ δὲ ἐκ τῶν θεῶν εὐ-
4 μενὲς ἐπὶ παντὶ ἐργάζεται ῥᾳστώνην. Τότε δὲ ἐπὶ τῇ
ἀπωλείᾳ τῶν παίδων οἱ Μεσσήνιοι πένθος ἦγον, καὶ
ἄλλα τέ σφισιν ἐς τιμὴν αὐτῶν ἐξευρέθη καὶ εἰκόνας ἐς
Ὀλυμπίαν ἀνέθεσαν χαλκᾶς, σὺν δὲ αὐτοῖς τὸν διδάσκα-
λον τοῦ χοροῦ καὶ τὸν αὐλητήν. τὸ μὲν δὴ ἐπίγραμμα
ἐδήλου τὸ ἀρχαῖον ἀναθήματα εἶναι τῶν ἐν πορθμῷ

*Μεσσηνίων· χρόνῳ δὲ ὕστερον Ἱππίας ὁ λεγόμενος ὑπὸ Ἑλλήνων γενέσθαι σοφὸς τὰ ἐλεγεῖα ἐπ' αὐτοῖς ἐποίησεν. ἔργα δέ εἰσιν Ἠλείου Κάλλωνος αἱ εἰκόνες.*

*2. Ἔστι δὲ κατὰ τὴν ἄκραν ἐν Σικελίᾳ τὴν τετραμ-* 5
*μένην ἐπὶ Λιβύης καὶ Νότου, καλουμένην δὲ Πάχυνον, Μοτύη πόλις· οἰκοῦσι δὲ Λίβυες ἐν αὐτῇ καὶ Φοίνικες. τούτοις τοῖς ἐν Μοτύῃ βαρβάροις Ἀκραγαντῖνοι καταστάντες ἐς πόλεμον καὶ λείαν τε καὶ λάφυρα ἀπ' αὐτῶν λαβόντες ἀνέθεσαν τοὺς παῖδας ἐς Ὀλυμπίαν τοὺς χαλκοῦς, προτείνοντάς τε τὰς δεξιὰς καὶ εἰκασμένους εὐχομένοις τῷ θεῷ. κεῖνται δὲ ἐπὶ τοῦ τείχους οὗτοι τῆς Ἄλτεως· Καλάμιδος δὲ εἶναι σφᾶς ἔργα ἐγώ τε εἴκαζον, καὶ*
*ἐς αὐτοὺς κατὰ τὰ αὐτὰ εἶχεν ὁ λόγος. 3. Σικελίαν δὲ* 6
*ἔθνη τοσάδε οἰκεῖ, Σικανοί τε καὶ Σικελοὶ καὶ Φρύγες, οἱ μὲν ἐξ Ἰταλίας διαβεβηκότες ἐς αὐτήν, Φρύγες δὲ ἀπὸ τοῦ Σκαμάνδρου ποταμοῦ καὶ χώρας τῆς Τρῳάδος. οἱ δὲ Φοίνικες καὶ Λίβυες στόλῳ ἀφίκοντο ἐς τὴν νῆσον κοινῷ, καὶ ἄποικοι Καρχηδονίων εἰσί. τοσαῦτα μὲν ἐν Σικελίᾳ ἔθνη βάρβαρα· Ἑλλήνων δὲ Δωριεῖς τε ἔχουσιν αὐτὴν καὶ Ἴωνες, καὶ τοῦ Φωκικοῦ καὶ τοῦ Ἀττικοῦ γένους ἑκατέρου μοῖρα οὐ πολλή.*

*4. Ἐπὶ δὲ τοῦ αὐτοῦ τείχους τά τε Ἀκραγαντίνων* 7
444 *ἀναθήματα καὶ Ἡρακλέους δύο εἰσὶν ἀνδριάντες γυμνοί, παῖδες ἡλικίαν. τὸν δὲ ἐν Νεμέᾳ τοξεύοντα ἔοικε λέοντα, τοῦτον μὲν δὴ τόν τε Ἡρακλέα καὶ ὁμοῦ τῷ Ἡρακλεῖ τὸν λέοντα Ταραντῖνος ἀνέθηκεν Ἱπποτίων, Νικοδάμου δέ ἐστι Μαιναλίου τέχνη· τὸ δὲ ἄγαλμα τὸ ἕτερον Ἀναξίππου μέν ἐστιν ἀνάθημα Μενδαίου, μετεκομίσθη δὲ ἐνταῦθα ὑπὸ Ἠλείων· τὰ πρὸ τούτου δὲ ἔκειτο ἐπὶ τῆς ὁδοῦ τῷ πέρατι, ἣ ἄγει μὲν ἐξ Ἤλιδος ἐς Ὀλυμπίαν, καλεῖται δὲ ἱερά. 5. Ἔστι δὲ καὶ ἀναθήματα ἐν κοινῷ τοῦ* 8
*Ἀχαιῶν ἔθνους, ὅσοι προκαλεσαμένου τοῦ Ἕκτορος ἐς*

μονομαχίαν ἄνδρα Ἕλληνα τὸν κλῆρον ἐπὶ τῷ ἀγῶνι ὑπέμειναν. οὗτοι μὲν δὴ ἑστήκασι τοῦ ναοῦ τοῦ μεγάλου πλησίον, δόρασι καὶ ἀσπίσιν ὡπλισμένοι· ἀπαντικρὺ δὲ ἐπὶ ἑτέρου βάθρου πεποίηται Νέστωρ τὸν ἑκάστου κλῆρον ἐσβεβληκὼς ἐς τὴν κυνῆν. τῶν δὲ ἐπὶ τῷ Ἕκτορι κληρουμένων ἀριθμὸν ὄντων ὀκτώ, τὸν γὰρ ἔνατον αὐτῶν, τὴν τοῦ Ὀδυσσέως εἰκόνα, Νέρωνα κομίσαι λέγου-
9 σιν ἐς Ῥώμην, τῶν δὲ ὀκτὼ τούτων ἐπὶ μόνῳ τῷ Ἀγαμέμνονι τὸ ὄνομά ἐστι γεγραμμένον· γέγραπται δὲ καὶ τοῦτο ἐπὶ τὰ λαιὰ ἐκ δεξιῶν. ὅτου δὲ ὁ ἀλεκτρυὼν ἐστιν ἐπίθημα τῇ ἀσπίδι, Ἰδομενεύς ἐστιν ὁ ἀπόγονος Μίνω· τῷ δὲ Ἰδομενεῖ γένος ἀπὸ τοῦ Ἡλίου τοῦ πατρὸς Πασιφάης, Ἡλίου δὲ ἱερόν φασιν εἶναι τὸν ὄρνιθα καὶ ἀγγέλ-
10 λειν ἀνιέναι μέλλοντος τοῦ ἡλίου. γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπὶ τῷ βάθρῳ·

> τῷ Δὶ τ' Ἀχαιοὶ τἀγάλματα ταῦτ' ἀνέθηκαν,
> ἔγγονοι ἀντιθέου Τανταλίδα Πέλοπος.

Τοῦτο μὲν δὴ ἐνταῦθά ἐστι γεγραμμένον, ὁ δὲ ἀγαλμα- 445
τοποιὸς ὅστις ἦν ἐπὶ τοῦ Ἰδομενέως γέγραπται τῇ ἀσπίδι·

> Πολλὰ μὲν ἄλλα σοφοῦ ποιήματα καὶ τόδ' Ὀνάτα
> ἔργον, ὃν Αἰγίνῃ γείνατο παῖδα Μίκων.

11 6. Οὐ πόῤῥω δὲ τοῦ Ἀχαιῶν ἀναθήματος καὶ Ἡρακλῆς ἐστὶν ὑπὲρ τοῦ ζωστῆρος μαχόμενος πρὸς τὴν Ἀμαζόνα ἔφιππον γυναῖκα. τοῦτον Εὐαγόρας μὲν γένος Ζαγκλαῖος ἀνέθηκεν, ἐποίησε δὲ Κυδωνιάτης Ἀριστοκλῆς. ἐν δὲ τοῖς μάλιστα ἀρχαίοις καταριθμήσασθαι καὶ τὸν Ἀριστοκλέα ἔστι· καὶ σαφῶς μὲν ἡλικίαν οὐκ ἔχοι τις ἂν εἰπεῖν αὐτοῦ, δῆλα δὲ ὡς πρότερον ἔτι ἐγένετο πρὶν ἢ τῇ Ζάγκλῃ τὸ ὄνομα γενέσθαι τὸ ἐφ' ἡμῶν Μεσσήνην.

12 7. Θάσιοι δὲ Φοίνικες τὸ ἀνέκαθεν ὄντες, καὶ ἐκ Τύρου καὶ Φοινίκης τῆς ἄλλης ὁμοῦ Θάσῳ τῷ Ἀγήνορος κατὰ ζήτησιν ἐκπλεύσαντες τὴν Εὐρώπης, ἀνέθεσαν

Ἡρακλέα ἐς Ὀλυμπίαν, τὸ βάθρον χαλκοῦν ὁμοίως τῷ ἀγάλματι. μέγεθος μὲν δὴ τοῦ ἀγάλματός εἰσι πήχεις δέκα, ῥόπαλον δὲ ἐν τῇ δεξιᾷ, τῇ δὲ ἀριστερᾷ χειρὶ ἔχει τόξον. ἤκουσα δὲ ἐν Θάσῳ τὸν αὐτὸν σφᾶς Ἡρακλέα ὃν καὶ Τύριοι σέβεσθαι, ὕστερον δὲ ἤδη τελοῦντας ἐς Ἕλληνας νομίσαι καὶ Ἡρακλεῖ τῷ Ἀμφιτρύωνος νέμειν
τιμάς. τῷ δὲ ἀναθήματι τῷ ἐς Ὀλυμπίαν Θασίων ἔπεστιν 13
ἐλεγεῖον·

*Υἱὸς μέν με Μίκωνος Ὀνάτας ἐξετέλεσσεν*
*αὐτὸς ἐν Αἰγίνῃ δώματα ναιετάων.*

Τὸν δὲ Ὀνάταν τοῦτον ὅμως, καὶ τέχνης ἐς τὰ ἀγάλματα ὄντα Αἰγιναίας, οὐδενὸς ὕστερον θήσομεν τῶν ἀπὸ Δαιδάλου τε καὶ ἐργαστηρίου τοῦ Ἀττικοῦ.

446 XXVI. Μεσσηνίων δὲ τῶν Δωριέων οἱ Ναύπακτόν ποτε παρὰ Ἀθηναίων λαβόντες ἄγαλμα ἐν Ὀλυμπίᾳ Νίκης ἐπὶ τῷ κίονι ἀνέθεσαν. τοῦτό ἐστιν ἔργον μὲν Μενδαίου Παιωνίου, πεποίηται δὲ ἀπὸ ἀνδρῶν πολεμίων, ὅτε Ἀκαρνᾶσι καὶ Οἰνιάδαις, ἐμοὶ δοκεῖν, ἐπολέμησαν. Μεσσήνιοι δὲ αὐτοὶ λέγουσι τὸ ἀνάθημά σφισιν ἀπὸ τοῦ ἔργου τοῦ ἐν τῇ Σφακτηρίᾳ νήσῳ μετὰ Ἀθηναίων, καὶ οὐκ ἐπιγράψαι τὸ ὄνομα τῶν πολεμίων σφᾶς τῷ ἀπὸ Λακεδαιμονίων δείματι, ἐπεὶ Οἰνιαδῶν γε καὶ Ἀκαρνάνων οὐδένα ἔχειν φόβον.

2. Τὰ δὲ ἀναθήματα Μικύθου πολλά τε ἀριθμὸν καὶ 2
οὐκ ἐφεξῆς ὄντα εὕρισκον, ἀλλὰ Ἰφίτου μὲν τοῦ Ἠλείου καὶ Ἐκεχειρίας στεφανούσης τὸν Ἴφιτον, τούτων μὲν τῶν εἰκόνων ἔχεται τοσάδε ἀναθήματα τῶν Μικύθου, Ἀμφιτρίτη καὶ Ποσειδῶν τε καὶ Ἑστία· Γλαῦκος δὲ ὁ ποιήσας ἐστὶν Ἀργεῖος. παρὰ δὲ τοῦ ναοῦ τοῦ μεγάλου τὴν ἐν ἀριστερᾷ πλευρὰν ἀνέθηκεν ἄλλα, Κόρην τὴν Δήμητρος καὶ Ἀφροδίτην Γανυμήδην τε καὶ Ἄρτεμιν, ποιητῶν δὲ Ὅμηρον καὶ Ἡσίοδον, καὶ θεοὺς αὖθις

3 Ἀσκληπιὸν καὶ Ὑγίειαν. 3. Ἀγών τε ἐν τοῖς ἀναθήμασίν
ἐστι τοῖς Μικύθου φέρων ἁλτῆρας. οἱ δὲ ἁλτῆρες οὗτοι
παρέχονται σχῆμα τοιόνδε· κύκλου παραμηκεστέρου καὶ
οὐκ ἐς τὸ ἀκριβέστατον περιφεροῦς εἰσὶν ἥμισυ, πεποίη-
ται δὲ ὡς καὶ τοὺς δακτύλους τῶν χειρῶν διιέναι καθάπερ
δι' ὀχάνων ἀσπίδος. τούτων μὲν δὴ σχῆμά ἐστι τὸ εἰρη-
μένον· παρὰ δὲ τοῦ Ἀγῶνος τὴν εἰκόνα Διόνυσος καὶ ὁ
Θρᾷξ ἐστὶν Ὀρφεὺς καὶ ἄγαλμα Διός, οὗ δὴ καὶ ὀλίγῳ
πρότερον ἐπεμνήσθην. ταῦτα ἔργα ἐστὶν Ἀργείου Διο-
νυσίου. τεθῆναι δὲ ὑπὸ τοῦ Μικύθου καὶ ἄλλα ὁμοῦ
τούτοις λέγουσι, Νέρωνα δὲ ἀφελέσθαι φασὶ καὶ ταῦτα.
4 τοῖς δὲ ἐργασαμένοις αὐτά, γένος οὖσιν Ἀργείοις, Διο-
νυσίῳ τε καὶ Γλαύκῳ, διδάσκαλόν σφισιν οὐδένα ἐπι-
λέγουσιν· ἡλικίαν δὲ αὐτῶν ὁ τὰ ἔργα ἐς Ὀλυμπίαν ἀνα-
θεὶς ἐπιδείκνυσιν ὁ Μίκυθος. 4. τὸν γὰρ δὴ Μίκυθον 447
τοῦτον Ἡρόδοτος ἔφη ἐν τοῖς λόγοις ὡς Ἀναξίλα τοῦ ἐν
Ῥηγίῳ τυραννήσαντος γενόμενος δοῦλος καὶ ταμίας τῶν
Ἀναξίλα χρημάτων ὕστερον τούτων ἀπιὼν οἴχοιτο ἐς
5 Τεγέαν τελευτήσαντος Ἀναξίλα. τὰ δὲ ἐπὶ τοῖς ἀναθή-
μασιν ἐπιγράμματα καὶ πατέρα Μικύθῳ Χοῖρον καὶ Ἑλ-
ληνίδας αὐτῷ πόλεις Ῥήγιόν τε πατρίδα καὶ τὴν ἐπὶ τῷ
πορθμῷ Μεσσήνην δίδωσιν· οἰκεῖν δὲ τὰ μὲν ἐπιγράμ-
ματα ἐν Τεγέᾳ οὔ φησιν αὐτόν, τὰ δὲ ἀναθήματα ἀνέ-
θηκεν ἐς Ὀλυμπίαν εὐχήν τινα ἐκτελῶν ἐπὶ σωτηρίᾳ
παιδὸς νοσήσαντος νόσον φθινάδα.

6 5. Πλησίον δὲ τῶν μειζόνων ἀναθημάτων Μικύθου,
τέχνης δὲ τοῦ Ἀργείου Γλαύκου, Ἀθηνᾶς ἄγαλμα ἕστηκε
κράνος ἐπικειμένη καὶ αἰγίδα ἐνδεδυκυῖα· Νικόδαμος
μὲν εἰργάσατο ὁ Μαινάλιος, Ἠλείων δέ ἐστιν ἀνάθημα.
παρὰ δὲ τὴν Ἀθηνᾶν πεποίηται Νίκη· ταύτην Μαντι-
νεῖς ἀνέθεσαν, τὸν πόλεμον δὲ οὐ δηλοῦσιν ἐν τῷ ἐπι-
γράμματι. Κάλαμις δὲ οὐκ ἔχουσαν πτερὰ ποιῆσαι λέγε-

ται απομιμούμενος τὸ Ἀθήνησι τῆς Ἀπτέρου καλουμένης ξοανον. 6. Πρὸς δὲ τοῖς ἐλάσσοσιν ἀναθήμασι τοῦ Μικύ- 7
θου, ποιηθεῖσι δὲ ὑπὸ Διονυσίου, πρὸς τούτοις Ἡρακλέους ἐστὶ τῶν ἔργων τὸ ἐς τὸν λέοντα τὸν ἐν Νεμέᾳ καὶ ὕδραν τε καὶ ἐς τὸν κύνα τοῦ Ἅιδου καὶ τὸν ἐπὶ Ἐρυμάνθῳ ποταμῷ κάπρον. ἐκόμισαν δὲ αὐτὰ ἐς Ὀλυμπίαν Ἡρακλεῶται Μαριανδυνῶν ὁμόρων βαρβάρων καταδραμόντες τὴν χώραν. ἡ δὲ Ἡράκλεια πεπόλισται μὲν ἐπὶ Εὐξείνῳ πόντῳ, ἀπῳκίσθη δὲ ἐκ Μεγάρων· μετέσχον δὲ καὶ Βοιωτῶν Ταναγραῖοι τοῦ οἰκισμοῦ.

XXVII. Τούτων δὲ ἀντικρὺ τῶν κατειλεγμένων ἔστιν ἄλλα ἀναθήματα ἐπὶ στοίχου, τετραμμένα μὲν πρὸς μεσημβρίαν, τοῦ τεμένους δὲ ἐγγύτατα ὃ τῷ Πέλοπι ἀνεῖται. ἐν δὲ αὐτοῖς καὶ τὰ ἀνατεθέντα ἐστὶν ὑπὸ τοῦ Μαιναλίου Φόρμιδος, ὃς ἐκ Μαινάλου διαβὰς ἐς Σικελίαν παρὰ Γέλωνα τὸν Δεινομένους, καὶ ἐκείνῳ τε αὐτῷ καὶ Ἱέρωνι ὕστερον ἀδελφῷ τοῦ Γέλωνος ἐς τὰς στρατείας ἀποδεικνύμενος λαμπρὰ ἔργα, ἐς τοσοῦτο
448 προῆλθεν εὐδαιμονίας ὡς ἀναθεῖναι μὲν ταῦτα ἐς Ὀλυμπίαν, ἀναθεῖναι δὲ καὶ τῷ Ἀπόλλωνι ἄλλα ἐς Δελφούς. Τὰ δὲ ἐς Ὀλυμπίαν δύο τέ εἰσιν ἵπποι καὶ ἡνίοχοι δύο, 2
ἑκατέρῳ τῶν ἵππων παρεστὼς ἀνὴρ ἡνίοχος. ὁ μὲν δὴ πρότερος τῶν ἵππων καὶ ὁ ἀνὴρ Διονυσίου τοῦ Ἀργείου, τὰ δεύτερα δὲ ἔργα ἐστὶν Αἰγινήτου Σίμωνος. τῷ προτέρῳ δὲ τῶν ἵππων ἐπίγραμμα ἔπεστιν ἐπὶ τῇ πλευρᾷ, τὰ πρῶτα οὐ σὺν μέτρῳ· λέγει γὰρ δὴ οὕτω

Φόρμις ἀνέθηκεν
Ἀρκὰς Μαινάλιος, νῦν δὲ Συρακόσιος.

2. Οὗτός ἐστιν ὁ ἵππος ὅτῳ καὶ τὸ ἱππομανὲς λόγῳ τῶν 3
Ἠλείων ἔγκειται. δῆλα δὲ καὶ ἄλλα ἐς τιμὴν ἀνδρὸς μάγου σοφίᾳ γενέσθαι συμβαίνοντα τῷ ἵππῳ. μέγεθος μὲν ἢ εἶ-

δος ἵππων ἀποδεῖ πολλῷ, ὅσοι τῆς Ἄλτεως ἐντὸς ἑστή-
κασι· πρὸς δὲ ἀποκέκοπταί τε τὴν οὐρὰν καὶ ἔστιν ἐπὶ τῷ
τοιῷδε ἔτι αἰσχίων. οἱ δὲ ἵπποι οἱ ἄρσενες οὔτι που τοῦ
ἦρος μόνον ἀλλὰ καὶ ἀνὰ πᾶσαν ἐπ' αὐτὸν ὀργῶσιν ἡμέ-
4 ραν. καὶ γὰρ ἐσθέουσιν ἐς τὴν Ἄλτιν ἀπορρηγνύοντες τὰ
δεσμὰ ἢ καὶ ἐκφεύγοντες τοὺς ἄγοντας, καὶ ἐπιπηδῶσιν
αὐτῷ πολλῷ δή τι ἐμμανέστερον ἢ ἐπὶ τὴν καλλίστην ἵπ-
πον ζῶσάν τε καὶ ἠθάδα ἀναβαίνεσθαι. ἀπολισθάνουσί τε
δὴ αὐτοῖς αἱ ὁπλαί, καὶ ὅμως οὐκ ἀπαγορεύουσι χρεμετί-
ζοντές τε μᾶλλον καὶ ἐπιπηδῶντες μετὰ βιαιοτέρας τῆς ὁρ-
μῆς, πρὶν ἂν ὑπὸ μαστίγων καὶ ἀνάγκης ἰσχυρᾶς ἀφελκυ-
σθῶσι· πρότερον δὲ οὐκ ἔστιν ἀπαλλαγή σφισιν οὐδεμία
5 ἀπὸ τοῦ χαλκοῦ. 3. Καὶ ἄλλο ἐν Λυδίᾳ θεασάμενος οἶδα
διάφορον μὲν θαῦμα ἢ κατὰ τὸν ἵππον τὸν Φόρμιδος, μά-
γων μέντοι σοφίας οὐδὲ αὐτὸ ἀπηλλαγμένον. ἔστι γὰρ
Λυδοῖς ἐπίκλησιν Περσικοῖς ἱερὰ ἔν τε Ἱεροκαισαρείᾳ κα-
λουμένῃ πόλει καὶ ἐν Ὑπαίποις, ἐν ἑκατέρῳ δὲ τῶν ἱερῶν 449
οἴκημά τε καὶ ἐν τῷ οἰκήματί ἐστιν ἐπὶ βωμοῦ τέφρα· χρόα
6 δὲ οὐ κατὰ τέφραν ἐστὶν αὐτῇ τὴν ἄλλην. ἐσελθὼν δὲ ἐς τὸ
οἴκημα ἀνὴρ μάγος καὶ ξύλα ἐπιφορήσας αὖα ἐπὶ τὸν βω-
μὸν πρῶτα μὲν τιάραν ἐπέθετο ἐπὶ τῇ κεφαλῇ, δεύτερα
δὲ ἐπίκλησιν ὅτου δὴ θεῶν ἐπᾴδει βάρβαρα καὶ οὐδαμῶς
συνετὰ Ἕλλησιν· ἐπᾴδει δὲ ἐπιλεγόμενος ἐκ βιβλίου.
ἄνευ τε δὴ πυρὸς ἀνάγκη πᾶσα ἀφθῆναι τὰ ξύλα καὶ
περιφανῆ φλόγα ἐξ αὐτῶν ἐκλάμψαι. τάδε μὲν ἐς τοσοῦτο
ἡμῖν δεδηλώσθω.

7 4. Ἔστι δὲ ἐν τοῖς ἀναθήμασι τούτοις καὶ αὐτὸς ὁ
Φόρμις ἀνδρὶ ἀνθεστηκὼς πολεμίῳ, καὶ ἐφεξῆς ἑτέρῳ
καὶ τρίτῳ γε αὖθις μάχεται. γέγραπται δὲ ἐπὶ τούτοις
τὸν στρατιώτην μὲν τὸν μαχόμενον Φόρμιν εἶναι τὸν
Μαινάλιον, τὸν δὲ ἀναθέντα Συρακόσιον Λυκόρταν·
δῆλα δὲ ὡς οὗτος ὁ Λυκόρτας κατὰ φιλίαν ἀναθείη τοῦ

Φόρμιδος. τὰ δὲ ἀναθήματα τοῦ Λυκόρτα καλεῖται Φόρμιδος καὶ ταῦτα ὑπὸ Ἑλλήνων. 5. Ὁ δὲ Ἑρμῆς ὁ τὸν 8
κριὸν φέρων ὑπὸ τῇ μασχάλῃ καὶ ἐπικείμενος τῇ κεφαλῇ κυνῆν καὶ χιτῶνά τε καὶ χλαμύδα ἐνδεδυκὼς οὐ τῶν Φόρμιδος ἔτι ἀναθημάτων ἐστίν, ὑπὸ δὲ Ἀρκάδων ἐκ Φενεοῦ δέδοται τῷ θεῷ. Ὀνάταν δὲ τὸν Αἰγινήτην, σὺν δὲ αὐτῷ Καλλιτέλην ἐργάσασθαι λέγει τὸ ἐπίγραμμα· δοκεῖν δέ μοι τοῦ Ὀνάτα μαθητὴς ἢ παῖς ὁ Καλλιτέλης ἦν. Οὐ πόρρω δὲ τοῦ Φενεατῶν ἀναθήματος ἄλλο ἐστὶν ἄγαλμα, κηρυκεῖον Ἑρμῆς ἔχων· ἐπίγραμμα δὲ ἐπ᾽ αὐτῷ Γλαυκίαν ἀναθεῖναι γένος Ῥηγῖνον, ποιῆσαι δὲ Κάλλωνα Ἠλεῖον. 6. Βοῶν δὲ τῶν 9
χαλκῶν ὁ μὲν Κορκυραίων, ὁ δὲ ἀνάθημα Ἐρετριέων, τέχνη δὲ Ἐρετριέως ἐστὶ Φιλησίου. καὶ ἀνθ᾽ ὅτου μὲν οἱ Κορκυραῖοι τόν τε ἐν Ὀλυμπίᾳ καὶ ἕτερον βοῦν ἐς Δελφοὺς ἀνέθεσαν, δηλώσει μοι τὰ ἐς Φωκέας τοῦ λόγου· ἐπὶ δὲ τῷ Ὀλυμπίασιν αὐτῶν ἀναθήματι συμβῆναι τοιόνδε ἤκουσα. παῖς μικρὸς ὑπὸ τούτῳ καθήμενος 10
τῷ βοῒ ἐς τὸ κάτω νενευκὼς ἔπαιζεν· ἀνασχὼν δὲ ἐξαίφνης τὴν κεφαλὴν κατεάγη τε αὐτὴν πρὸς τὸν χαλκόν, καὶ ἐκ τοῦ τραύματος ἡμέραις ὕστερον ἀπέθανεν οὐ πολλαῖς. Ἠλεῖοι μὲν δὴ τὸν βοῦν ἅτε αἵματι ἔνοχον
50 ἐβουλεύοντο ἐκκομίσαι τῆς Ἄλτεως· ὁ δὲ σφᾶς θεὸς ὁ ἐν Δελφοῖς κατὰ * * τὸ ἀνάθημα [καθάρσια] ἔχρα ἐπ᾽ αὐτῷ ποιησαμένους, ὁπόσα Ἕλληνες ἐπὶ ἀκουσίῳ φόνῳ νομίζουσιν.

7. Ἔστι δὲ ὑπὸ ταῖς ἐν τῇ Ἄλτει πλατάνοις κατὰ 11
μέσον μάλιστά που τὸν περίβολον τρόπαιον χαλκοῦν, καὶ ἐπίγραμμα ἐπὶ τοῦ τροπαίου τῇ ἀσπίδι, Ἠλείους ἀπὸ Λακεδαιμονίων ἀναστῆσαι. ἐν ταύτῃ τῇ μάχῃ καὶ τὸν ἄνδρα ἐπέλαβεν ἐκεῖνον ἀφεῖναι τὴν ψυχήν, ὃς τοῦ Ἡραίου τῆς ὀροφῆς κατ᾽ ἐμὲ ἀνασκευαζομένης ἐνταῦθα

12 ὁμοῦ τοῖς ὅπλοις εὑρέθη κείμενος. 8. Τῶν δὲ ἐν Θράκῃ Μενδαίων τὸ ἀνάθημα ἐγγύτατα ἀφίκετο ἀπατῆσαί με ὡς ἀνδρὸς εἰκὼν εἴη πεντάθλου· καὶ κεῖται μὲν παρὰ τὸν Ἠλεῖον Ἀναυχίδαν, ἔχει δὲ ἁλτῆρας ἀρχαίους. ἐλεγεῖον δὲ ἐπ' αὐτὸ γεγραμμένον ἐστὶν ἐπὶ τοῦ μηροῦ·

Ζηνὶ θεῶν βασιλεῖ μ' ἀκροθίνιον ἐνθάδ' ἔθηκαν
Μενδαῖοι, Σίπτην χερσὶ βιασάμενοι.

τὸ μὲν δὴ Θρᾴκιόν τι εἶναι τεῖχος καὶ πόλις ἔοικεν, ἡ Σίπτη, Μενδαίοις δὲ αὐτοῖς γένος τε Ἑλληνικὸν καὶ ἀπὸ Ἰωνίας ἐστίν, οἰκοῦσι δὲ ἀπὸ θαλάσσης ἄνω τῆς πρὸς Αἴνῳ πόλει.

---

## ΗΛΙΑΚΩΝ Β.

I. Ἕπεται δέ μοι τῷ λόγῳ τῷ ἐς τὰ ἀναθήματα τὸ μετὰ 452
τοῦτο ἤδη ποιήσασθαι καὶ ἵππων ἀγωνιστῶν μνήμην καὶ ἀνδρῶν ἀθλητῶν τε καὶ ἰδιωτῶν ὁμοίως. τῶν δὲ νικησάντων Ὀλυμπίασιν οὐχ ἁπάντων εἰσὶν ἑστηκότες ἀνδριάντες, ἀλλὰ καὶ ἀποδειξάμενοι λαμπρὰ ἐς τὸν ἀγῶνα, οἵ δὲ
2 καὶ ἐπὶ ἄλλοις ἔργοις, ὅμως οὐ τετυχήκασιν εἰκόνων. τούτους ἐκέλευσεν ἀφεῖναί με ὁ λόγος, ὅτι οὐ κατάλογός ἐστιν ἀθλητῶν ὁπόσοις γεγόνασιν Ὀλυμπικαὶ νῖκαι, ἀναθημάτων δὲ ἄλλων τε καὶ εἰκόνων συγγραφή. οὐδὲ ὁπόσων ἑστήκασιν ἀνδριάντες, οὐδὲ τούτοις πᾶσιν ἐπέξειμι, ἐπιστάμενος ὅσοι τῷ παραλόγῳ τοῦ κλήρου καὶ οὐχ ὑπὸ ἰσχύος ἀνείλοντο ἤδη τὸν κότινον. ὁπόσοις δὲ ἢ αὐτοῖς εἶχεν ἐς δόξαν ἢ καὶ τοῖς ἀνδριᾶσιν ὑπῆρχεν ἄμεινον ἑτέρων πεποιῆσθαι, τοσαῦτα καὶ αὐτὸς μνησθήσομαι.

3 2. Ἔστιν ἐν δεξιᾷ τοῦ ναοῦ τῆς Ἥρας ἀνδρὸς εἰκὼν παλαιστοῦ, γένος δὲ ἦν Ἠλεῖος, Σύμμαχος Αἰσχύλου· παρὰ δὲ αὐτὸν ἐκ Φενεοῦ τῆς Ἀρκάδων Νεολαΐδας Προ-

ξένου, πυγμῆς ἐν παισὶν ἀνῃρημένος νίκην· ἐφεξῆς δὲ
Ἀρχέδαμος Ξενίου, καταβαλὼν καὶ οὗτος παλαιστὰς παῖ-
δας, γένος καὶ αὐτὸς Ἠλεῖος. τούτων τῶν κατειλεγμέ-
νων εἰργάσατο Ἄλυπος τὰς εἰκόνας Σικυώνιος, Ναυκύ-
δους τοῦ Ἀργείου μαθητής. Κλεογένην δὲ Σιληνοῦ 4
τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησιν εἶναι τῶν ἐπιχωρίων,
453 ἐκ δὲ ἀγέλης αὐτὸν οἰκείας ἵππῳ κρατῆσαι κέλητι. Πλη-
σίον δὲ τοῦ Κλεογένους Δεινόλοχός τε κεῖται Πύρρου
καὶ Τρωΐλος Ἀλκίνου. τούτοις γένος μὲν καὶ αὐτοῖς ἐστὶν
ἐξ Ἤλιδος, γεγόνασι δέ σφισιν οὐ κατὰ ταὐτὰ αἱ νῖκαι,
ἀλλὰ τῷ μὲν ἑλλανοδικεῖν τε ὁμοῦ καὶ ἵππων ὑπῆρξεν
ἀνελέσθαι νίκας, τῷ Τρωΐλῳ, τελείᾳ τε συνωρίδι καὶ
πώλων ἅρματι· ὀλυμπιάδι δὲ ἐκράτει δευτέρᾳ πρὸς ταῖς
ἑκατόν. ἀπὸ τούτου δὲ καὶ νόμος ἐγένετο Ἠλείοις μηδὲ ἵπ- 5
πους τοῦ λοιποῦ τῶν ἑλλανοδικούντων καθιέναι μηδένα.
τούτου μὲν δὴ τὸν ἀνδριάντα ἐποίησε Λύσιππος· ἡ δὲ
τοῦ Δεινολόχου μήτηρ εἶδεν ὄψιν ὀνείρατος ὡς ἔχοιτο
τοῦ παιδὸς ἐν τοῖς κόλποις ἐστεφανωμένου, καὶ τοῦδε
ἕνεκα ἐς τὸν ἀγῶνα ὁ Δεινόλοχος ἠσκήθη, καὶ τοὺς παῖ-
δας παρέθει τρέχων. Σικυωνίου δὲ Κλέωνός ἐστιν ἡ εἰ-
κών. Ἐς δὲ τὴν Ἀρχιδάμου Κυνίσκαν, ἐς τὸ γένος τε 6
αὐτῆς καὶ ἐπὶ ταῖς Ὀλυμπικαῖς νίκαις, πρότερον ἔτι ἐδή-
λωσα ἐν τοῖς λόγοις οἳ ἐς τοὺς βασιλέας τοὺς Λακεδαιμο-
νίων ἔχουσι. πεποίηται δὲ ἐν Ὀλυμπίᾳ παρὰ τὸν ἀνδρι-
άντα τοῦ Τρωΐλου λίθου κρηπὶς καὶ ἅρμα τε ἵππων καὶ
ἀνὴρ ἡνίοχος καὶ αὐτῆς Κυνίσκας εἰκών, Ἀπελλοῦ τέχνη.
γέγραπται δὲ καὶ ἐπιγράμματα ἐς τὴν Κυνίσκαν ἔχοντα.
Εἰσὶ δὲ Λακεδαιμόνιοι καὶ ἐφεξῆς ἀνακείμενοι τῇ Κυνί- 7
σκᾳ· ἵππων νῖκαι γεγόνασιν αὐτοῖς. Ἀνάξανδρος μὲν
ἅρματι ἀνηγορεύθη πρῶτος· τὸ δὲ ἐπίγραμμά φησι τὸ
ἐπ' αὐτῷ τοῦ πατρὸς τοῦ Ἀναξάνδρου πρότερον ἔτι στε-
φανωθῆναι τὸν πατέρα πεντάθλῳ. οὗτος μὲν δὴ ἔοικεν

*εὐχόμενος τῷ θεῷ, Πολυκλῆς δὲ ἐπίκλησιν λαβὼν Πολύχαλκος τεθρίππῳ μὲν καὶ οὗτος ἐκράτησεν, ἡ δὲ εἰκὼν ἐπὶ τῇ χειρὶ ἔχει οἱ τῇ δεξιᾷ ταινίαν. παρὰ δὲ αὐτῷ παιδία δύο τὸ μὲν τροχὸν κατέχει, τὸ δὲ αἰτεῖ τὴν ταινίαν. ἐνίκησε δὲ ὁ Πολυκλῆς ἵπποις, ὡς τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ λέγει, καὶ Πυθοῖ καὶ Ἰσθμοῖ τε καὶ Νεμέᾳ.*

II. *Παγκρατιαστοῦ δὲ ἀνδρὸς τὸν μὲν ἀνδριάντα* 454
*εἰργάσατο Λύσιππος· ὁ δὲ ἀνὴρ οὗτος ἀνείλετο ἐπὶ παγκρατίῳ νίκην τῶν ἄλλων τε Ἀκαρνάνων καὶ τῶν ἐξ αὐτῆς Στράτου πρῶτος * * * [Ξενάρχης] τε ἐκαλεῖτο Φιλανδρίδου. Λακεδαιμόνιοι δὲ ἄρα μετὰ τὴν ἐπιστρατείαν τοῦ Μήδου διετέθησαν πάντων φιλοτιμότατα Ἑλλήνων πρὸς ἵππων τροφάς. χωρὶς γὰρ ἢ ὅσους αὐτῶν κατέλεξα ἤδη, τοσοίδε ἄλλοι τῶν ἐκ Σπάρτης ἱπποτρόφων μετὰ τὴν εἰκόνα ἀνάκεινται τοῦ Ἀκαρνᾶνος ἀθλητοῦ, Ξενάρχης καὶ Λυκῖνος Ἀρκεσίλαός τε καὶ ὁ παῖς τοῦ Ἀρ-*
2 *κεσιλάου Λίχας. Ξενάρχῃ μὲν δὴ καὶ ἐν Δελφοῖς καὶ ἐν Ἄργει τε ὑπῆρξε καὶ ἐν Κορίνθῳ προσανελέσθαι νίκας· Λυκῖνος δὲ ἀγαγὼν ἐς Ὀλυμπίαν πώλους, καὶ οὐ δοκιμασθέντος ἑνὸς ἐξ αὐτῶν, καθῆκεν ἐς τῶν ἵππων τὸν δρόμον τῶν τελείων τοὺς πώλους καὶ ἐνίκα δι' αὐτῶν. ἀνέθηκε δὲ καὶ ἀνδριάντας δύο ἐς Ὀλυμπίαν, Μύρωνος τοῦ Ἀθηναίου ποιήματα. τῷ δὲ Ἀρκεσιλάῳ καὶ Λίχᾳ τῷ παιδί, τῷ μὲν αὐτῶν γεγόνασι δύο Ὀλυμπικαὶ νῖκαι, Λίχας δὲ εἰργομένων τηνικαῦτα τοῦ ἀγῶνος Λακεδαιμονίων καθῆκεν ἐπὶ ὀνόματι τοῦ Θηβαίων δήμου τὸ ἅρμα, τὸν δὲ ἡνίοχον νικήσαντα ἀνέδησεν αὐτὸς ταινίᾳ· καὶ*
3 *ἐπὶ τούτῳ μαστιγοῦσιν αὐτὸν οἱ Ἑλλανοδίκαι. καὶ διὰ τὸν Λίχαν τοῦτον ἡ κατὰ Ἆγιν βασιλέα ἐπιστρατεία Λακεδαιμονίων ἐγένετο ἐπὶ Ἠλείους καὶ ἐντὸς τῆς Ἄλτεως μάχη. καταπαυσθέντος δὲ τοῦ πολέμου τὴν μὲν εἰκόνα ἐνταῦθα ἔστησε, τὰ δὲ Ἠλείων ἐς τοὺς ὀλυμπιονίκας*

*γράμματα οὐ Λίχαν, Θηβαίων δὲ τὸν δῆμον ἔχει νενικηκότα.*

2. *Τοῦ δὲ Λίχα πλησίον μάντις ἕστηκεν Ἠλεῖος* 4
*Θρασύβουλος Αἰνέου τῶν Ἰαμιδῶν, ὃς καὶ Μαντινεῦσιν*
455 *ἐμαντεύσατο ἐναντία Λακεδαιμονίων καὶ Ἄγιδος τοῦ Εὐδαμίδου βασιλέως· ἃ δὴ καὶ ἐς πλέον ἐν τῷ λόγῳ τῷ ἐς Ἀρκάδας ἐπέξειμι. τοῦ Θρασυβούλου δὲ τῇ εἰκόνι γαλεώτης πρὸς τὸν ὦμον προσέρπων ἐστὶ τὸν δεξιόν, καὶ κύων ἱερεῖον δὴ παρ' αὐτῷ κεῖται διατετμημένος τε δίχα καὶ φαίνων τὸ ἧπαρ. Μαντικὴ δὲ ἡ μὲν ἐρίφων καὶ ἀρ-* 5
*νῶν τε καὶ μόσχων ἐκ παλαιοῦ δήλη καθεστῶσά ἐστιν ἀνθρώποις, Κύπριοι δὲ [ὡς] καὶ ὑσὶν ἐπεξευρόντες εἰσὶ μαντεύεσθαι· κυσὶ δὲ οὐδένες ἐπί γε μαντικῆς νομίζουσιν οὐδὲν χρᾶσθαι. ἔοικεν οὖν ἰδίαν τινὰ ὁ Θρασύβουλος ἐπὶ σπλάγχνων μαντικὴν κυνείων καταστήσασθαι.* 3. *οἱ δ' Ἰαμίδαι καλούμενοι μάντεις γεγόνασιν ἀπὸ Ἰάμου· τὸν δὲ εἶναι παῖδα Ἀπόλλωνος καὶ λαβεῖν μαντικήν φησιν ἐν ᾄσματι Πίνδαρος.*

4. *Παρὰ δὲ τοῦ Θρασυβούλου τὴν εἰκόνα Τιμοσθέ-* 6
*νης τε Ἠλεῖος ἕστηκε σταδίου νίκην ἐν παισὶν εἰληφώς, καὶ Μιλήσιος Ἀντίπατρος Κλεινοπάτρου παῖδας κατειργασμένος πύκτας. Συρακοσίων δὲ ἄνδρες, ἄγοντες ἐς Ὀλυμπίαν παρὰ Διονυσίου θυσίαν, τὸν πατέρα τοῦ Ἀντιπάτρου χρήμασιν ἀναπείθουσιν ἀναγορευθῆναί οἱ τὸν παῖδα ἐκ Συρακουσῶν· Ἀντίπατρος δὲ ἐν οὐδενὶ τοῦ τυράννου τὰ δῶρα ἡγούμενος ἀνεῖπεν αὑτὸν Μιλήσιον, καὶ ἀνέγραψε τῇ εἰκόνι ὡς γένος τε εἴη Μιλήσιος καὶ Ἰώνων ἀναθείη πρῶτος ἐς Ὀλυμπίαν εἰκόνα. τούτου μὲν δὴ Πο-* 7
*λύκλειτος τὸν ἀνδριάντα εἰργάσατο, τὸν δὲ Τιμοσθένην Εὐτυχίδης Σικυώνιος παρὰ Λυσίππῳ δεδιδαγμένος. ὁ δὲ Εὐτυχίδης οὗτος καὶ Σύροις τοῖς ἐπὶ Ὀρόντῃ Τύχης ἐποίησεν ἄγαλμα, μεγάλας παρὰ τῶν ἐπιχωρίων ἔχον τιμάς.*

8 *Ἐν δὲ τῇ Ἄλτει παρὰ τὸν τοῦ Τιμοσθένους ἀνδριάντα ἀνάκειται Τίμων καὶ ὁ παῖς τοῦ Τίμωνος Αἴσυπος, παιδίον ἐπὶ ἵππῳ καθήμενον. ἔστι γὰρ δὴ καὶ ἡ*
*νίκη τῷ παιδὶ ἵππου κέλητος· ὁ Τίμων δὲ ἐπὶ ἅρματι* 456
*ἀνηγορεύθη. Τῷ δὲ Τίμωνι εἰργάσατο καὶ τῷ παιδὶ τὰς εἰκόνας Δαίδαλος Σικυώνιος, ὃς καὶ ἐπὶ τῇ Λακωνικῇ*
9 *νίκῃ τὸ ἐν τῇ Ἄλτει τρόπαιον ἐποίησεν Ἠλείοις. Ἐπίγραμμα δὲ τὸ ἐπὶ τῷ Σαμίῳ πύκτῃ τὸν ἀναθέντα μὲν ὅτι ὁ παιδοτρίβης εἴη Μύκων, καὶ ὅτι Σάμιοι τὰ ἐς ἀθλητὰς καὶ ἐπὶ ναυμαχίαις εἰσὶν Ἰώνων ἄριστοι, τάδε μὲν λέγει τὸ ἐπίγραμμα, ἐς δὲ αὐτὸν τὸν πύκτην ἐσήμαινεν οὐδέν.*

10 5. *Παρὰ δὲ Μεσσήνιος Δαμίσκος, ὃς δύο γεγονὼς ἔτη καὶ δέκα ἐνίκησεν ἐν Ὀλυμπίᾳ. θαῦμα δὲ εἴπερ ἄλλο τι καὶ τόδε ἐποιησάμην· Μεσσηνίους γὰρ ἐκ Πελοποννήσου φεύγοντας ἐπέλιπεν ἡ περὶ τὸν ἀγῶνα τύχη τὸν Ὀλυμπικόν. ὅτι γὰρ μὴ Λεοντίσκος καὶ Σύμμαχος τῶν ἐπὶ τῷ πορθμῷ Μεσσηνίων, ἄλλος γε οὐδεὶς Μεσσήνιος, οὔτε Σικελιώτης οὔτ' ἐκ Ναυπάκτου, δῆλός ἐστιν Ὀλυμπίασιν ἀνῃρημένος νίκην· εἶναι δὲ οἱ Σικελιῶται καὶ τούτους τῶν ἀρχαίων Ζαγκλαίων καὶ οὐ Μεσσηνίους φασί.*
11 *συγκατῆλθε μέντοι Μεσσηνίοις ἐς Πελοπόννησον καὶ ἡ περὶ τὸν ἀγῶνα τύχη τὸν Ὀλυμπικόν· ἐνιαυτῷ γὰρ ὕστερον τοῦ οἰκισμοῦ τοῦ Μεσσήνης ἀγόντων Ὀλύμπια Ἠλείων ἐνίκα στάδιον παῖδας ὁ Δαμίσκος οὗτος, καί οἱ καὶ πενταθλήσαντι ὕστερον ἐγένοντο ἐν Νεμέᾳ τε νῖκαι καὶ Ἰσθμοῖ.*

III. *Δαμίσκου δὲ ἐγγύτατα ἕστηκεν ἀνὴρ ὅστις δή, τὸ γὰρ ὄνομα οὐ λέγουσιν ἐπ' αὐτῷ, Πτολεμαίου δὲ ἀνάθημά ἐστι τοῦ Λάγου. Μακεδόνα δὲ αὐτὸν ὁ Πτολεμαῖος ἐν τῷ ἐπιγράμματι ἐκάλεσε, βασιλεύων ὅμως Αἰγύπτου. Χαιρέᾳ δὲ Σικυωνίῳ πύκτῃ παιδὶ ἐπίγραμμά ἐστιν ὡς νικήσειεν ἡλικίαν νέος καὶ ὡς πατρὸς εἴη Χαι–*

*ρήμονος. γέγραπται δὲ καὶ ὁ τὸν ἀνδριάντα εἰργασμέ-
νος Ἀστερίων Αἰσχύλου. Μετὰ δὲ τὸν Χαιρέαν Μεσσή- 2
νιός τε παῖς Σόφιος καὶ ἀνὴρ Ἠλεῖος ἀνάκειται Στόμιος,
καὶ τῷ μὲν τοὺς συνθέοντας τῶν παίδων παρελθεῖν,
Στομίῳ δὲ πενταθλοῦντι ἐν Ὀλυμπίᾳ καὶ Νεμείων τρεῖς
457 ὑπῆρξεν ἀνελέσθαι νίκας. τὸ δὲ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ
καὶ τάδε ἐπιλέγει, τῆς ἵππου τε Ἠλείοις αὐτὸν ἡγούμε-
νον ἀναστῆσαι τρόπαια, καὶ ἄνδρα τοῖς πολεμίοις στρα-
τηγοῦντα ἀποθανεῖν ὑπὸ τοῦ Στομίου, μονομαχήσαντά
οἱ κατὰ πρόκλησιν. εἶναι δὲ αὐτὸν ἐκ Σικυῶνος οἱ Ἠλεῖοί 3
φασι καὶ ἄρχειν Σικυωνίων· στρατεῦσαι δὲ ἐπὶ Σικυῶνα
αὐτοὶ φιλίᾳ Θηβαίων ὁμοῦ τῇ ἐκ Βοιωτίας δυνάμει.
2. φαίνοιτο ἂν οὖν ἡ ἐπὶ Σικυῶνα Ἠλείων καὶ Θηβαίων
στρατεία γεγενῆσθαι μετὰ τὸ ἀτύχημα Λακεδαιμονίοις τὸ
ἐν Λεύκτροις.*

*Ἐφεξῆς δὲ ἀνάκειται μὲν πύκτης ἐκ Λεπρέου τοῦ 4
Ἠλείων, Λάβαξ Εὔφρονος, ἀνάκειται δὲ καὶ ἐξ αὐτῆς
Ἤλιδος παλαιστὴς ἀνὴρ Ἀριστόδημος Θράσιδος· γεγό-
νασι δὲ αὐτῷ καὶ Πυθοῖ δύο νῖκαι. ἡ δὲ εἰκών ἐστι τοῦ
Ἀριστοδήμου τέχνη Δαιδάλου τοῦ Σικυωνίου, μαθητοῦ
καὶ πατρὸς Πατροκλέους. Ἵππον δὲ Ἠλεῖον πυγμῇ 5
παῖδας κρατήσαντα ἐποίησε Δαμόκριτος Σικυώνιος, ὃς
ἐς πέμπτον διδάσκαλον ἀνῄει τὸν Ἀττικὸν Κριτίαν·
Πτόλιχος μὲν γὰρ ἔμαθεν ὁ Κορκυραῖος παρ' αὐτῷ
Κριτίᾳ· Πτολίχου δὲ ἦν μαθητὴς Ἀμφίων· Πίσων δὲ
ἀνὴρ ἐκ Καλαυρείας ἐδιδάχθη παρ' Ἀμφίονι, ὁ δὲ παρὰ
τῷ Πίσωνι Δαμόκριτος. 3. Κρατῖνος δὲ ἐξ Αἰγείρας τῆς 6
Ἀχαιῶν τότε ἐγένετο κάλλιστος τῶν ἐφ' ἑαυτοῦ καὶ σὺν
τέχνῃ μάλιστα ἐπάλαισε. καταπαλαίσαντι δὲ αὐτῷ τοὺς
παῖδας προσαναστῆσαι καὶ τὸν παιδοτρίβην ὑπὸ Ἠλείων
ἐδόθη. τὸν δὲ ἀνδριάντα ἐποίησε Σικυώνιος Κάνθαρος,
Ἀλέξιδος μὲν πατρός, διδασκάλου δὲ ὢν Εὐτυχίδου.*

7 Εὐπολέμου δὲ Ἠλείου τὴν μὲν εἰκόνα Σικυώνιος
εἴργασται Δαίδαλος· τὸ δὲ ἐπίγραμμα τὸ ἐπ᾽ αὐτῷ μη-
νύει σταδίου μὲν ἀνδρῶν Ὀλυμπίασι νίκην ἀνελέσθαι
τὸν Εὐπόλεμον, εἶναι δὲ καὶ δύο Πυθικοὺς αὐτῷ πεν-
τάθλου στεφάνους καὶ ἄλλον Νεμείων. λέγεται δὲ ἐπὶ τῷ
Εὐπολέμῳ καὶ τάδε, ὡς ἐφεστήκοιεν τρεῖς ἐπὶ τῷ δρόμῳ
Ἑλλανοδίκαι, νικᾶν δὲ τῷ μὲν Εὐπολέμῳ δύο ἐξ αὐτῶν 458
δοῖεν, ὁ τρίτος δὲ Ἀμβρακιώτῃ Λέοντι, καὶ ὡς χρημάτων
καταδικάσαιτο ὁ Λέων ἐπὶ τῆς Ὀλυμπικῆς βουλῆς ἑκατέ-
ρου τῶν Ἑλλανοδικῶν οἳ νικᾶν τὸν Εὐπόλεμον ἔγνωσαν.

8 4. Οἰβώτα δὲ τὸν μὲν ἀνδριάντα Ἀχαιοὶ κατὰ πρόσ-
ταγμα ἀνέθεσαν τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος ἐπὶ ὀλυμ-
πιάδος ὀγδοηκοστῆς· ἡ δὲ τοῦ σταδίου νίκη τῷ Οἰβώτᾳ
γέγονεν ὀλυμπιάδι ἕκτῃ. πῶς ἂν οὖν τήν γε ἐν Πλαταιαῖς
μάχην μεμαχημένος ὁ Οἰβώτας εἴη μετὰ Ἑλλήνων;
πέμπτῃ γὰρ ἐπὶ τῇ ἑβδομηκοστῇ ὀλυμπιάδι τὸ πταῖσμα
ἐγένετο τὸ ἐν Πλαταιαῖς Μαρδονίῳ καὶ Μήδοις. ἐμοὶ μὲν
οὖν λέγειν μὲν τὰ ὑπὸ Ἑλλήνων λεγόμενα ἀνάγκη, πεί-
θεσθαι δὲ πᾶσιν οὐκέτι ἀνάγκη. τὰ δὲ ἄλλα ὁποῖα τὰ
συμβάντα ἦν ἐς τὸν Οἰβώταν, τῇ ἐς Ἀχαιοὺς προσέσται
μοι συγγραφῇ.

9 Ἀντιόχου δὲ ἀνδριάντα ἐποίησε μὲν Νικόδαμος,
γένος δὲ ὁ Ἀντίοχος ἦν ἐκ Λεπρέου. παγκρατίῳ δὲ ἄν-
δρας ἐν Ὀλυμπίᾳ μὲν ἐκράτησεν ἅπαξ, ἐν Ἰσθμῷ δὲ καὶ
Νεμέᾳ δὶς πεντάθλῳ ἐν ἑκατέρῳ τῷ ἀγῶνι. οὐ γάρ τι
Ἰσθμίων Λεπρεάταις δεῖμα ὥσπερ γε αὐτοῖς ἐστὶν Ἠλεί-
οις, ἐπεὶ Ὕσμωνί γε τῷ Ἠλείῳ, πλησίον δὲ τοῦ Ἀντιό-
χου ὁ Ὕσμων οὗτος ἕστηκε, τούτῳ τῷ ἀνδρὶ ἀθλήσαντι
πένταθλον ἥ τε Ὀλυμπικὴ νίκη καὶ Νεμείων γέγονεν
ἡ ἑτέρα, Ἰσθμίων δὲ δῆλα ὡς καὶ οὗτος κατὰ ταὐτὰ Ἠλεί-
10 οις τοῖς ἄλλοις εἴργετο. λέγεται δὲ παιδὶ ἔτι ὄντι τῷ
Ὕσμωνι κατασκῆψαι ῥεῦμα ἐς τὰ νεῦρα, καὶ αὐτὸν ἐπὶ

τούτῳ μελετῆσαι πένταθλον, ἵνα δὴ ἐκ τῶν πόνων ὑγιής
τε καὶ ἄνοσος ἀνὴρ εἴη· τῷ δὲ ἄρα τὸ μάθημα καὶ νίκας
459 ἔμελλεν ἐπιφανεῖς οὕτω παρασκευάσειν. ὁ δὲ ἀνδριὰς
αὐτῷ Κλέωνος μέν ἐστιν ἔργον, ἔχει δὲ ἁλτῆρας ἀρχαί-
ους. Μετὰ δὲ Ὕσμωνα παλαιστὴς παῖς ἐξ Ἡραίας ἀνά- 11
κειται τῆς Ἀρκάδων Νικόστρατος Ξενοκλείδου· Παν-
τίας δὲ αὐτῷ τὴν εἰκόνα ἐποίησεν, ὃς ἀπὸ Ἀριστοκλέους
τοῦ Σικυωνίου καταριθμουμένῳ τοὺς διδαχθέντας ἕβδο-
μος ἀπὸ τούτου μαθητής.

5. Δίκων δὲ ὁ Καλλιβρότου πέντε μὲν Πυθοῖ δρό-
μου νίκας, τρεῖς δὲ ἀνείλετο Ἰσθμίων, τέσσαρας δὲ ἐν
Νεμέᾳ, καὶ Ὀλυμπικὰς μίαν μὲν ἐν παισί, δύο δὲ ἄλλας
ἀνδρῶν· καί οἱ καὶ ἀνδριάντες ἴσοι ταῖς νίκαις εἰσὶν ἐν
Ὀλυμπίᾳ. παιδὶ μὲν δὴ ὄντι αὐτῷ Καυλωνιάτῃ, καθάπερ
γε καὶ ἦν, ὑπῆρξεν ἀναγορευθῆναι· τὸ δὲ ἀπὸ τούτου
Συρακούσιον αὐτὸν ἀνηγόρευσεν ἐπὶ χρήμασι. Καυλω- 12
νία δὲ ἀπῳκίσθη μὲν ἐς Ἰταλίαν ὑπὸ Ἀχαιῶν, οἰκιστὴς
δὲ ἐγένετο αὐτῆς Τύφων Αἰγιεύς. Πύρρου δὲ τοῦ Αἰα-
κίδου καὶ Ταραντίνων ἐς τὸν πρὸς Ῥωμαίους πόλεμον
καταστάντων ἄλλαι τε τῶν ἐν Ἰταλίᾳ πόλεων ἐγένοντο
αἱ μὲν ὑπὸ Ῥωμαίων, αἱ δὲ ὑπὸ τῶν Ἠπειρωτῶν ἀνάστα-
τοι, κατέλαβε δὲ ἐς ἅπαν ἐρημωθῆναι καὶ τὴν Καυλω-
νίαν, ἁλοῦσαν ὑπὸ Καμπανῶν, οἳ Ῥωμαίοις μεγίστη τοῦ
συμμαχικοῦ μοῖρα ἦσαν.

Ἐπὶ δὲ τῷ Δίκωνι ἀνάκειται μὲν Ξενοφῶν Μενεφύ- 13
λου, παγκρατιαστὴς ἀνὴρ ἐξ Αἰγίου τῆς Ἀχαιῶν, ἀνά-
κειται δὲ Πυριλάμπης Ἐφέσιος λαβὼν δολίχου νί-
κην. τοῦ μὲν δὴ τὴν εἰκόνα ἐποίησεν Ὄλυμπος,
Πυριλάμπει δὲ ὁμώνυμος καὶ ὁ πλάστης, γένος
δὲ οὐ Σικυώνιος, ἀλλὰ ἐκ Μεσσήνης τῆς ὑπὸ τῇ
Ἰθώμῃ.

6. Λύσανδρον δὲ τὸν Ἀριστοκρίτου Σπαρτιάτην 14

ἀνέθεσαν ἐν Ὀλυμπίᾳ Σάμιοι· καὶ αὐτοῖς τὸ μὲν πρότερον τῶν ἐπιγραμμάτων ἐστίν·

Ἐν πολυθαήτῳ τεμένει Διὸς ὑψιμέδοντος
ἕστηκ' ἀνθέντων δημοσίᾳ Σαμίων.

τοῦτο μὲν δὴ τοὺς τὸ ἀνάθημα ἀναθέντας μηνύει, τὸ δ' ἐφεξῆς ἐς αὐτὸν ἔπαινός ἐστι Λύσανδρον·

Ἀθάνατον πάτρᾳ καὶ Ἀριστοκρίτῳ κλέος ἔργων,
Λύσανδρ', ἐκτελέσας δόξαν ἔχεις ἀρετᾶς.

15 Δῆλοι [οὖν] εἰσὶν οἵ τε Σάμιοι καὶ [οἱ] ἄλλοι Ἴωνες, κατὰ 460
τὸ λεγόμενον ὑπ' αὐτῶν Ἰώνων, τοὺς τοίχους τοὺς δύο ἐπαλείφοντες. Ἀλκιβιάδου μέν γε τριήρεσιν Ἀθηναίων περὶ Ἰωνίαν ἰσχύοντος ἐθεράπευον αὐτὸν Ἰώνων οἱ πολλοί, καὶ εἰκὼν Ἀλκιβιάδου χαλκῆ παρὰ τῇ Ἥρᾳ Σαμίων ἐστὶν ἀνάθημα. ὡς δὲ ἐν Αἰγὸς ποταμοῖς ἑάλωσαν αἱ ναῦς αἱ Ἀττικαί, Σάμιοι μὲν ἐς Ὀλυμπίαν τὸν Λύσανδρον, Ἐφέσιοι δὲ ἐς τὸ ἱερὸν ἀνετίθεσαν τῆς Ἀρτέμιδος Λύσανδρόν τε αὐτὸν καὶ Ἐτεόνικον καὶ Φάρακα καὶ ἄλλους Σπαρτιατῶν ἥκιστα ἔς γε τὸ Ἑλληνικὸν γνωρίμους.
16 μεταπεσόντων δὲ αὖθις τῶν πραγμάτων καὶ Κόνωνος κεκρατηκότος τῇ ναυμαχίᾳ περὶ Κνίδον καὶ ὄρος τὸ Δώριον ὀνομαζόμενον, οὕτω μετεβάλλοντο οἱ Ἴωνες, καὶ Κόνωνα ἀνακείμενον χαλκοῦν καὶ Τιμόθεον ἐν Σάμῳ τε ἔστιν ἰδεῖν παρὰ τῇ Ἥρᾳ καὶ ὡσαύτως ἐν Ἐφέσῳ παρὰ τῇ Ἐφεσίᾳ θεῷ. ταῦτα μέν ἐστιν ἔχοντα οὕτω τὸν ἀεὶ χρόνον, καὶ Ἴωσιν ὡσαύτως οἱ πάντες ἄνθρωποι θεραπεύουσι τὰ ὑπερέχοντα τῇ ἰσχύϊ.

IV. Ἔχεται δὲ τοῦ Λυσάνδρου τῆς εἰκόνος Ἐφέσιός τε πύκτης, τοὺς ἐλθόντας κρατήσας τῶν παίδων, ὄνομα δέ οἱ ἦν Ἀθήναιος, καὶ Σικυώνιος Σώστρατος παγκρατιαστὴς ἀνήρ, ἐπίκλησις δὲ ἦν ἀκροχερσίτης αὐτῷ· [παρα]λαμβανόμενος γὰρ ἄκρων τοῦ ἀνταγωνιζομένου τῶν χειρῶν ἔκλα, καὶ οὐ πρότερον ἀνίει πρὶν ἢ αἴσθοιτο ἀπα-

γορεύσαντος. γεγόνασι δὲ αὐτῷ Νεμείων μὲν νῖκαι καὶ 2
Ἰσθμίων ἀναμὶξ δυόδεκα, Ὀλυμπίασι δὲ καὶ Πυθοῖ, τῇ
μὲν δύο, τρεῖς δὲ ἐν Ὀλυμπίᾳ. 2. τὴν τετάρτην δὲ ὀλυμ-
πιάδα ἐπὶ ταῖς ἑκατόν, πρώτην γὰρ δὴ ἐνίκησεν ὁ Σώ-
στρατος ταύτην, οὐκ ἀναγράφουσιν οἱ Ἠλεῖοι, διότι μὴ
αὐτοὶ τὸν ἀγῶνα, ἀλλὰ Πισαῖοι καὶ Ἀρκάδες ἔθεσαν ἀντ'
461 αὐτῶν. Παρὰ δὲ τὸν Σώστρατον παλαιστὴς ἀνὴρ πεποί- 3
ηται Λεοντίσκος, ἐκ Σικελίας τε ὢν γένος καὶ ἀπὸ τῆς ἐν
τῷ πορθμῷ Μεσσήνης· στεφανωθῆναι δὲ ὑπό τε Ἀμφι-
κτυόνων καὶ δὶς ὑπὸ Ἠλείων, εἶναι δὲ αὐτῷ λέγεται τὴν
πάλην καθὰ δὴ καὶ τὸ παγκράτιον τῷ Σικυωνίῳ Σω-
στράτῳ· καὶ γὰρ τὸν Λεοντίσκον καταβαλεῖν μὲν οὐκ
ἐπίστασθαι τοὺς παλαίοντας, νικᾶν δὲ αὐτὸν κλῶντα
τοὺς δακτύλους. τὸν δὲ ἀνδριάντα Πυθαγόρας ἐποίησεν 4
ὁ Ῥηγῖνος, εἴπερ τις καὶ ἄλλος ἀγαθὸς τὰ ἐς πλαστικήν.
διδαχθῆναι δὲ παρὰ Κλεάρχῳ φασὶν αὐτόν, Ῥηγίνῳ μὲν
καὶ αὐτῷ, μαθητῇ δὲ Εὐχείρου· τὸν δὲ Εὔχειρον εἶναι
Κορίνθιον, φοιτῆσαι δὲ ὡς Συάδραν τε καὶ Χάρταν
Σπαρτιάτας.

3. Ὁ δὲ παῖς ὁ ἀναδούμενος ταινίᾳ τὴν κεφαλὴν 5
ἐπεισήχθω μοι καὶ οὗτος ἐς τὸν λόγον Φειδίου τε ἕνεκα
καὶ τῆς ἐς τὰ ἀγάλματα τοῦ Φειδίου σοφίας, ἐπεὶ ἄλλως
γε οὐκ ἴσμεν ὅτου τὴν εἰκόνα ὁ Φειδίας ἐποίησε. Σάτυ-
ρος δὲ Ἠλεῖος Λυσιάνακτος πατρός, γένους δὲ τοῦ Ἰαμι-
δῶν, ἐν Νεμέᾳ πεντάκις ἐνίκησε πυκτεύων καὶ Πυθοῖ τε
δὶς καὶ δὶς ἐν Ὀλυμπίᾳ· τέχνη δὲ Ἀθηναίου Σιλανίωνος
ὁ ἀνδριάς ἐστι. Πλάστης δὲ ἄλλος τῶν Ἀττικῶν Πολυ-
κλῆς, Σταδιέως μαθητὴς Ἀθηναίου, πεποίηκε παῖδα
Ἐφέσιον παγκρατιαστήν, Ἀμύνταν Ἑλλανίκου.

4. Χείλωνι δὲ Ἀχαιῷ Πατρεῖ δύο μὲν Ὀλυμπικαὶ 6
νῖκαι πάλης ἀνδρῶν, μία δὲ ἐγένετο ἐν Δελφοῖς, τέσσα-
ρες δὲ ἐν Ἰσθμῷ καὶ Νεμείων τρεῖς. ἐτάφη δὲ ὑπὸ τοῦ

κοινοῦ τῶν Ἀχαιῶν, καί οἱ καὶ τοῦ βίου συνέπεσεν ἐν πολέμῳ τὴν τελευτὴν γενέσθαι. μαρτυρεῖ δέ μοι καὶ τὸ ἐπίγραμμα τὸ ἐν Ὀλυμπίᾳ·

Μουνοπάλης νικῶ δὶς Ὀλύμπια Πύθιά τ' ἄνδρας,
τρὶς Νεμέᾳ, τετράκις δ' Ἰσθμῷ ἐν ἀγχιάλῳ,
Χείλων Χείλωνος Πατρεύς, ὃν λαὸς Ἀχαιῶν 462
ἐν πολέμῳ φθίμενον θάψ' ἀρετῆς ἕνεκεν.

7 Τὸ μὲν δὴ ἐπίγραμμα ἐπὶ τοσοῦτο ἐδήλωσεν· εἰ δὲ Λυσίππου τοῦ ποιήσαντος τὴν εἰκόνα τεκμαιρόμενον τῇ ἡλικίᾳ συμβαλέσθαι δεῖ με τὸν πόλεμον ἔνθα ὁ Χείλων ἔπεσεν, ἤτοι ἐς Χαιρώνειαν Ἀχαιοῖς τοῖς πᾶσιν ὁμοῦ στρατεύσασθαι ἢ ἰδίᾳ κατ' ἀρετήν τε καὶ τόλμαν Ἀχαιῶν μόνος Ἀντιπάτρου μοι καὶ Μακεδόνων ἐναντία ἀγωνίσασθαι περὶ Λαμίαν φαίνεται τὴν ἐν Θεσσαλίᾳ.

8 5. Ἐφεξῆς δὲ τοῦ Χείλωνος [δύο] ἀνάκεινται· τῷ μὲν Μολπίων ἐστὶν ὄνομα, στεφανωθῆναι δὲ τὸ ἐπίγραμμά φησιν αὐτὸν ὑπὸ Ἠλείων· τὸν δὲ ἕτερον, ὅτῳ μηδέν ἐστιν ἐπίγραμμα, μνημονεύουσιν ὡς Ἀριστοτέλης ἐστὶν ὁ ἐκ τῶν Θρᾳκίων Σταγείρων, καὶ αὐτὸν ἤτοι μαθητὴς ἢ καὶ στρατιωτικὸς ἀνέθηκεν ἀνὴρ ἅτε παρὰ Ἀντι-
9 πάτρῳ καὶ πρότερον ἰσχύσαντα παρὰ Ἀλεξάνδρῳ. Σωδάμας δὲ ἐξ Ἀσσοῦ τῆς ἐν τῇ Τρῳάδι, κειμένης δὲ ὑπὸ τῇ Ἴδῃ, πρῶτος Αἰολέων τῶν ταύτῃ στάδιον Ὀλυμπίασιν ἐνίκησεν ἐν παισί. 6. Παρὰ δὲ Σωδάμαν Ἀρχίδαμος ἕστηκεν ὁ Ἀγησιλάου, Λακεδαιμονίων βασιλεύς. πρὸ δὲ τοῦ Ἀρχιδάμου τούτου βασιλέως εἰκόνα οὐδενὸς ἔν γε τῇ ὑπερορίᾳ Λακεδαιμονίους ἀναθέντας εὕρισκον. Ἀρχιδάμου δὲ ἄλλων τε καὶ τῆς τελευτῆς, ἐμοὶ δοκεῖν, ἕνεκα ἀνδριάντα ἐς Ὀλυμπίαν ἀπέστειλαν, ὅτι ἐν βαρβάρῳ τε ἐπέλαβεν αὐτὸν τὸ χρεών, καὶ βασιλέων μόνος τῶν ἐν
10 Σπάρτῃ δῆλός ἐστιν ἁμαρτὼν τάφου. ταῦτα μὲν δὴ καὶ ἐν τοῖς Σπαρτιατικοῖς λόγοις ἐς πλέον ἡμῖν δεδήλωται·

Εὐάνθει δὲ Κυζικηνῷ γεγόνασι πυγμῆς νῖκαι, μία μὲν ἐν
ἀνδράσιν Ὀλυμπική, Νεμείων δὲ ἐν παισὶ καὶ Ἰσθμίων.
πεποίηται δὲ παρὰ τὸν Εὐάνθην ἀνήρ τε ἱπποτρόφος καὶ
τὸ ἅρμα, ἀναβεβηκυῖα δὲ ἐπὶ τὸ ἅρμα παῖς παρθένος.
ὄνομα μὲν Λάμπος τῷ ἀνδρί, πατρὶς δὲ ἦν αὐτῷ νεωτάτη
τῶν ἐν Μακεδονίᾳ πόλεων, καλουμένη δὲ ἀπὸ τοῦ οἰκι-
στοῦ Φιλίππου τοῦ Ἀμύντου. Κυνίσκῳ δὲ τῷ ἐκ Μαντι- 11
463 νείας πύκτῃ παιδὶ ἐποίησε Πολύκλειτος τὴν εἰκόνα. 7. Ἐρ-
γοτέλης δὲ ὁ Φιλάνορος δολίχου δύο ἐν Ὀλυμπίᾳ νίκας,
τοσαύτας δὲ ἄλλας Πυθοῖ καὶ ἐν Ἰσθμῷ τε καὶ Νεμείων
ἀνῃρημένος, οὐχ Ἱμεραῖος εἶναι τὸ ἐξ ἀρχῆς, καθάπερ γε
τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησί, Κρὴς δὲ εἶναι λέγεται
Κνώσιος· ἐκπεσὼν δὲ ὑπὸ στασιωτῶν ἐκ Κνωσοῦ καὶ ἐς
Ἱμέραν ἀφικόμενος πολιτείας τετύχηκεν, [ὃς] καὶ πολλὰ
εὕρετο ἄλλα ἐς τιμήν. ἔμελλεν οὖν, ὡς τὸ εἰκός, Ἱμεραῖος
ἐν τοῖς ἀγῶσιν ἀναγορευθήσεσθαι.

V. Ὁ δὲ ἐπὶ τῷ βάθρῳ τῷ ὑψηλῷ Λυσίππου μέν ἐστιν
ἔργον, μέγιστος δὲ ἁπάντων ἐγένετο ἀνθρώπων πλὴν
τῶν ἡρώων καλουμένων καὶ εἰ δή τι ἄλλο ἦν πρὸ τῶν
ἡρώων θνητὸν γένος· ἀνθρώπων δὲ τῶν καθ' ἡμᾶς οὗ-
τός ἐστιν ὁ μέγιστος Πουλυδάμας Νικίου. 2. Σκότουσα 2
δὲ ἡ τοῦ Πουλυδάμαντος πατρὶς οὐκ ᾠκεῖτο ἔτι ἐφ' ἡμῶν·
Ἀλέξανδρος γὰρ τὴν πόλιν ὁ Φεραίων τυραννήσας κατ-
έλαβεν ἐν σπονδαῖς, καὶ Σκοτουσαίων τούς τε ἐς τὸ θέα-
τρον συνειλεγμένους, ἔτυχε γάρ σφισιν ἐκκλησία τηνι-
καῦτα οὖσα, τούτους τε ἅπαντας κατηκόντισε πελτασταῖς
ἐν κύκλῳ περισχὼν καὶ τοξόταις, καὶ τὸ ἄλλο ὅσον ἐν
ἡλικίᾳ κατεφόνευσε, γυναῖκας δὲ ἀπέδοτο καὶ παῖδας,
μισθὸν εἶναι τὰ χρήματα τοῖς ξένοις. αὕτη Σκοτουσαίοις 3
ἡ συμφορὰ Φρασικλείδου μὲν Ἀθήνησιν ἐγένετο ἄρχον-
τος, δευτέρᾳ δὲ ὀλυμπιάδι ἐπὶ ταῖς ἑκατόν, ἣν Δάμων
Θούριος ἐνίκα τὸ δεύτερον, ταύτης ἔτει δευτέρῳ τῆς

ὀλυμπιάδος. καὶ ὀλίγον τε ἔμενε τὸ διαφυγὸν τῶν Σκοτουσαίων, καὶ αὖθις ὑπὸ ἀσθενείας ἐξέλιπον καὶ οὗτοι τὴν πόλιν, ὅτε καὶ τοῖς πᾶσιν Ἕλλησι προσπταῖσαι δεύτερα ἐν τῷ πρὸς Μακεδόνας πολέμῳ παρεσκεύασεν ὁ
4 δαίμων. 3. Παγκρατίου μὲν δὴ καὶ ἄλλοις ἤδη γεγόνασιν
ἐπιφανεῖς νῖκαι· Πουλυδάμαντι δὲ τάδε ἀλλοῖα παρὰ 464
τοὺς ἐπὶ τῷ παγκρατίῳ στεφάνους ὑπάρχοντά ἐστιν. ἡ ὀρεινὴ τῆς Θρᾴκης, ἡ ἔνδον Νέστου ποταμοῦ τοῦ ῥέοντος διὰ τῆς Ἀβδηριτῶν, καὶ ἄλλα θηρία, ἐν δὲ αὐτοῖς παρέχεται καὶ λέοντας, οἳ καὶ τῷ στρατῷ ποτε ἐπιθέμενοι τῷ Ξέρξου τὰς ἀγούσας καμήλους τὰ σιτία ἐλυμήναντο.
5 οὗτοι πολλάκις οἱ λέοντες καὶ ἐς τὴν περὶ τὸν Ὄλυμπον πλανῶνται χώραν· τούτου δὲ τοῦ ὄρους ἡ μὲν ἐς Μακεδονίαν πλευρά, ἡ δὲ ἐπὶ Θεσσαλοὺς καὶ τὸν ποταμὸν τέτραπται τὸν Πηνειόν. ἐνταῦθα ὁ Πουλυδάμας λέοντα ἐν τῷ Ὀλύμπῳ, μέγα καὶ ἄλκιμον θηρίον, κατειργάσατο οὐδενὶ ἐσκευασμένος ὅπλῳ. προήχθη δὲ ἐς τὸ τόλμημα φιλοτιμίᾳ πρὸς τὰ Ἡρακλέους ἔργα, ὅτι καὶ Ἡρακλέα
6 ἔχει λόγος κρατῆσαι τοῦ ἐν Νεμέᾳ λέοντος. ἕτερον δὲ ἐπὶ τούτῳ θαῦμα ὑπελίπετο ὁ Πουλυδάμας ἐς μνήμην· ἐς ἀγέλην ἐσελθὼν βοῶν, τὸν μέγιστον καὶ ἀγριώτατον ταῦρον λαβὼν τοῦ ἑτέρου τῶν ὄπισθεν ποδῶν τὰς χηλὰς κατεῖχεν ἄκρας, καὶ πηδῶντα καὶ ἐπειγόμενον οὐκ ἀνίει, πρίν γε δὴ ὁ ταῦρος ὀψέ ποτε καὶ ἐς ἅπαν ἀφικόμενος βίας ἀπέφυγεν ἀφεὶς ταύτῃ τῷ Πουλυδάμαντι τὰς χηλάς. Λέγεται δὲ καὶ ὡς ἄνδρα ἡνίοχον ἐλαύνοντα σπουδῇ τὸ ἅρμα ἐπέσχε τοῦ πρόσω· λαβόμενος γὰρ τῇ ἑτέρᾳ τῶν χειρῶν ὄπισθε τοῦ ἅρματος, ὁμοῦ καὶ τοὺς ἵππους πε-
7 δήσας καὶ τὸν ἡνίοχον εἶχε. Δαρεῖος δὲ Ἀρταξέρξου παῖς νόθος, ὃς ὁμοῦ τῷ Περσῶν δήμῳ Σόγδιον καταπαύσας παῖδα Ἀρταξέρξου γνήσιον ἔσχεν ἀντ' ἐκείνου τὴν ἀρχήν, οὗτος ὡς ἐβασίλευσεν ὁ Δαρεῖος, ἐπυνθάνετο γὰρ

τοῦ Πουλυδάμαντος τὰ ἔργα, πέμπων ἀγγέλους ὑπισχνούμενος δῶρα ἀνέπεισεν αὐτὸν ἐς Σοῦσά τε καὶ ἐς ὄψιν ἀφικέσθαι τὴν αὑτοῦ. ἔνθα δὴ κατὰ πρόκλησιν Περσῶν ἄνδρας τῶν καλουμένων ἀθανάτων ἀριθμὸν τρεῖς, ἀθρόους οἱ μονομαχήσαντας, ἀπέκτεινεν. ἔργων δὲ τῶν κατειλεγμένων οἱ τὰ μὲν ἐπὶ τῷ βάθρῳ τοῦ ἀνδριάντος ἐν Ὀλυμπίᾳ, τὰ δὲ καὶ δηλούμενά ἐστιν ὑπὸ τοῦ ἐπιγράμ-
465 ματος. 4. Ἔμελλε δὲ ἄρα τὸ ὑπὸ Ὁμήρου προθεσπισθὲν 8
ἄλλους τε τῶν φρονησάντων ἐπὶ ἰσχύϊ καὶ Πουλυδάμαντα ἐπιλήψεσθαι, καὶ ὑπὸ τῆς αὑτοῦ ῥώμης ἔμελλεν ἀπολεῖσθαι καὶ οὗτος. ἐς σπήλαιον γὰρ οἵ τε ἄλλοι τῶν συμποτῶν καὶ ὁ Πουλυδάμας ἐσῆλθεν ὥρᾳ θέρους, καί πως οὐ κατά τινα ἀγαθὸν δαίμονα ἡ κορυφὴ τηνικαῦτα τοῦ σπηλαίου κατερρήγνυτο, καὶ δῆλα ἦν ὡς αὐτίκα ἐμπεσεῖσθαι καὶ χρόνον οὐκ ἐπὶ πολὺν ἔμελλεν ἀνθέξειν. γε- 9
νομένης δὲ αἰσθήσεως τοῦ ἐπιόντος κακοῦ καὶ τρεπομένων ἐς φυγὴν τῶν λοιπῶν, παρέστη καταμεῖναι τῷ Πουλυδάμαντι, καὶ ἀνέσχε τὰς χεῖρας ὡς ἐπιπίπτοντι ἀνθέξων τῷ σπηλαίῳ καὶ οὐ βιασθησόμενος ὑπὸ τοῦ ὄρους. τούτῳ μὲν ἐνταῦθα ἐγένετο ἡ τελευτή.

VI. Ἐν δὲ Ὀλυμπίᾳ παρὰ τοῦ Πουλυδάμαντος τὸν ἀνδριάντα δύο τε ἐκ τῆς Ἀρκάδων καὶ Ἀττικὸς ὁ τρίτος ἕστηκεν ἀθλητής. τὸν μὲν δὴ Μαντινέα Πρωτόλαον Διαλκοῦς, πυγμῇ παῖδας κρατήσαντα, ὁ Ῥηγῖνος Πυθαγόρας, Ναρυκίδαν δὲ τὸν Δαμαρέτου παλαιστὴν ἄνδρα ἐκ Φιγαλίας Σικυώνιος Δαίδαλος, Καλλίᾳ δὲ Ἀθηναίῳ παγκρατιαστῇ τὸν ἀνδριάντα ἀνὴρ Ἀθηναῖος Μίκων ἐποίησεν ὁ ζωγράφος. Νικοδάμου δὲ ἔργον τοῦ Μαιναλίου παγκρατιαστής ἐστιν ἐκ Μαινάλου, δύο νίκας ἐν ἀνδράσιν ἀνελόμενος, Ἀνδροσθένης Λοχαίου. Ἐπὶ δὲ 2
τούτοις Εὐκλῆς ἀνάκειται Καλλιάνακτος, γένος μὲν Ῥόδιος, οἴκου δὲ τοῦ Διαγοριδῶν· θυγατρὸς γὰρ Διαγόρου

παῖς ἦν, ἐν δὲ ἀνδράσι πυγμῆς ἔσχεν Ὀλυμπικὴν νίκην. τούτου μὲν δὴ ἡ εἰκὼν Ναυκύδους ἐστὶν ἔργον· Πολύκλειτος δὲ Ἀργεῖος, οὐχ ὁ τῆς Ἥρας τὸ ἄγαλμα ποιήσας, μαθητὴς δὲ Ναυκύδους, παλαιστὴν παῖδα εἰργάσατο, Θηβαῖον Ἀγήνορα. ἀνετέθη δὲ ἡ εἰκὼν ὑπὸ τοῦ Φωκέων κοινοῦ· Θεόπομπος γὰρ ὁ πατὴρ τοῦ Ἀγήνορος πρόξενος
3 τοῦ ἔθνους ἦν αὐτῶν. Νικόδαμος δὲ ὁ πλάστης ὁ ἐκ Μαινάλου Δαμοξενίδαν ἄνδρα πύκτην ἐποίησεν ἐκ Μαινάλου. ἕστηκε δὲ καὶ Λαστρατίδα παιδὸς εἰκὼν Ἠλείου, πάλης ἀνελομένου στέφανον· ἐγένετο δὲ αὐτῷ καὶ Νεμείων ἔν τε παισὶ καὶ ἀγενείων ἑτέρα νίκη. Παραβάλλοντι δὲ τῷ Λαστρατίδα πατρὶ ὑπῆρξε μὲν διαύλου παρ- 466
ελθεῖν δρόμῳ, ὑπελίπετο δὲ καὶ ἐς τοὺς ἔπειτα φιλοτιμίαν, τῶν νικησάντων Ὀλυμπίασι τὰ ὀνόματα ἀναγράψας ἐν τῷ γυμνασίῳ τῷ ἐν Ὀλυμπίᾳ.

4 2. Τὰ μὲν δὴ ἐς τούτους εἶχεν οὕτω· τὰ δὲ ἐς Εὔθυμον τὸν πύκτην, οὔ με εἰκὸς ὑπερβαίνειν ἦν τὰ ἐς τὰς νίκας αὐτῷ καὶ τὰ ἐς δόξαν ὑπάρχοντα τὴν ἄλλην. γένος μὲν δὴ ἦν ὁ Εὔθυμος ἐκ τῶν ἐν Ἰταλίᾳ Λοκρῶν, οἳ χώραν τὴν πρὸς τῷ Ζεφυρίῳ τῇ ἄκρᾳ νέμονται, πατρὸς δὲ ἐκαλεῖτο Ἀστυκλέους· εἶναι δὲ αὐτὸν οὐ τούτου, ποταμοῦ δὲ οἱ ἐπιχώριοι τοῦ Καικίνου φασίν, ὃς τὴν Λοκρίδα καὶ Ῥηγίνην ὁρίζων τὸ ἐς τοὺς τέττιγας παρέχεται θαῦμα. οἱ μὲν γὰρ τέττιγες οἱ ἐντὸς τῆς Λοκρίδος ἄχρι τοῦ Καικίνου κατὰ τὰ αὐτὰ τοῖς ἄλλοις τέττιξιν ᾄδουσι· διαβάντων δὲ τὸν Καικῖνον οὐδεμίαν ἔτι οἱ ἐν τῇ Ῥηγίνῃ τέττιγες ἀφιᾶσι
5 τὴν φωνήν. Τούτου μὲν δὴ παῖδα εἶναι λέγεται τὸν Εὔθυμον· ἀνελομένῳ δέ οἱ πυγμῆς ἐν Ὀλυμπίᾳ νίκην τετάρτῃ πρὸς ταῖς ἑβδομήκοντα ὀλυμπιάδι οὐ κατὰ τὰ αὐτὰ ἐς τὴν ἐπιοῦσαν ὀλυμπιάδα ἔμελλε χωρήσειν· Θεαγένης γὰρ ὁ Θάσιος ὀλυμπιάδι θέλων τῇ αὐτῇ πυγμῆς τε ἀνελέσθαι καὶ παγκρατίου νίκας ὑπερεβάλετο πυκτεύων τὸν

Ευθυμον. οὐ μὴν οὐδὲ ὁ Θεαγένης ἐπὶ τῷ παγκρατίῳ λα-
βεῖν ἐδυνήθη τὸν κότινον, ἅτε προκατεργασθεὶς τῇ μάχῃ
πρὸς τὸν Εὔθυμον. ἐπὶ τούτῳ δὲ ἐπιβάλλουσιν οἱ Ἑλλα- 6
νοδίκαι τῷ Θεαγένει τάλαντον μὲν ἱερὰν ἐς τὸν θεὸν ζη-
μίαν, τάλαντον δὲ βλάβης τῆς ἐς Εὔθυμον, ὅτι ἐπηρείᾳ τῇ
ἐς ἐκεῖνον ἐδόκει σφίσιν ἐπανελέσθαι τὸ ἀγώνισμα τῆς
πυγμῆς· τούτων ἕνεκα καταδικάζουσιν αὐτὸν ἐκτῖσαι καὶ
ἰδίᾳ τῷ Εὐθύμῳ χρήματα. ἕκτῃ δὲ ὀλυμπιάδι ἐπὶ ταῖς ἑβ-
467 δομήκοντα τὸ μὲν τῷ θεῷ τοῦ ἀργυρίου γινόμενον ἐξέτι-
σεν ὁ Θεαγένης, καὶ ἀμειβόμενος αὐτὸν οὐκ ἐσῆλθεν ἐπὶ
τὴν πυγμήν· καὶ ἐπ' ἐκείνης τε αὐτῆς καὶ ἐπὶ τῆς μετ'
ἐκείνην ὀλυμπιάδος τὸν ἐπὶ πυγμῇ στέφανον ἀνείλετο ὁ
Εὔθυμος. ὁ δέ οἱ ἀνδριὰς τέχνη τέ ἐστι Πυθαγόρου καὶ
θέας ἐς τὰ μάλιστα ἄξιος. 3. Ἐπανήκων δὲ ἐς Ἰταλίαν, 7
τότε δὴ ἐμαχέσατο πρὸς τὸν Ἥρω. τὰ δὲ ἐς αὐτὸν εἶχεν
οὕτως. Ὀδυσσέα πλανώμενον μετὰ ἅλωσιν τὴν Ἰλίου
κατενεχθῆναί φασιν ὑπὸ ἀνέμων ἔς τε ἄλλας τῶν ἐν Ἰτα-
λίᾳ καὶ Σικελίᾳ πόλεων, ἀφικέσθαι δὲ καὶ ἐς Τεμέσαν
ὁμοῦ ταῖς ναυσί· μεθυσθέντα οὖν ἐνταῦθα ἕνα τῶν ναυ-
τῶν παρθένον βιάσασθαι, καὶ ὑπὸ τῶν ἐπιχωρίων ἀντὶ
τούτου καταλευσθῆναι τοῦ ἀδικήματος· Ὀδυσσέα μὲν 8
δὴ ἐν οὐδενὶ λόγῳ θέμενον αὐτοῦ τὴν ἀπώλειαν ἀπο-
πλέοντα οἴχεσθαι, τοῦ καταλευσθέντος δὲ ἀνθρώπου
τὸν δαίμονα οὐδένα ἀνιέναι καιρὸν ἀποκτείνοντά τε
ὁμοίως τοὺς ἐν τῇ Τεμέσῃ καὶ ἐπεξερχόμενον ἐπὶ πᾶσαν
ἡλικίαν, ἐς ὃ ἡ Πυθία τὸ παράπαν ἐξ Ἰταλίας ὡρμημέ-
νους φεύγειν Τεμέσαν μὲν ἐκλιπεῖν οὐκ εἴα, τὸν δὲ Ἥρω
σφᾶς ἐκέλευσεν ἱλάσκεσθαι, τέμενός τε ἀποτεμομένους
οἰκοδομήσασθαι ναόν, διδόναι δὲ κατὰ ἔτος αὐτῷ γυ-
ναῖκα τῶν ἐν Τεμέσῃ παρθένων τὴν καλλίστην. τοῖς μὲν 9
δὴ τὰ ὑπὸ τοῦ θεοῦ προστεταγμένα ὑπουργοῦσι δεῖμα
ἀπὸ τοῦ δαίμονος ἐς τἆλλα ἦν οὐδέν· Εὔθυμος δέ, ἀφι-

κετο γαρ ἐς τὴν Τεμέσαν, καί πως τηνικαῦτα τὸ ἔθος ἐποιεῖτο τῷ δαίμονι, πυνθάνεται τὰ παρόντα σφίσι, καὶ ἐσελθεῖν τε ἐπεθύμησεν ἐς τὸν ναὸν καὶ τὴν παρθένον ἐσελθὼν θεάσασθαι. ὡς δὲ εἶδε, τὰ μὲν πρῶτα ἐς οἶκτον, δεύτερα δὲ ἀφίκετο καὶ ἐς ἔρωτα αὐτῆς. καὶ ἡ παῖς τε συνοικήσειν κατώμνυτο αὐτῷ σώσαντι αὐτήν, καὶ ὁ Εὔθυμος ἐνεσκευασμένος ἔμενε τὴν ἔφοδον τοῦ δαίμονος.
10 ἐνίκα τε δὴ τῇ μάχῃ, καὶ, ἐξηλαύνετο γὰρ ἐκ τῆς γῆς, ὁ Ἥρως ἀφανίζεταί τε καταδὺς ἐς θάλασσαν, καὶ γάμος τε 468
ἐπιφανὴς Εὐθύμῳ καὶ ἀνθρώποις τοῖς ἐνταῦθα ἐλευθερία τοῦ λοιποῦ σφίσιν ἦν ἀπὸ τοῦ δαίμονος. ἤκουσα δὲ καὶ τοιόνδε ἔτι ἐς τὸν Εὔθυμον, ὡς γήρως τε ἐπὶ μακρότατον ἀφίκοιτο, καὶ ὡς ἀποθανεῖν ἐκφυγὼν αὖθις ἕτερόν τινα ἐξ ἀνθρώπων [ἄλλον] ἀπέλθοι τρόπον. οἰκεῖσθαι δὲ τὴν Τεμέσαν καὶ ἐς ἐμὲ ἀνδρὸς ἤκουσα πλεύσαντος κατὰ
11 ἐμπορίαν. 4. τόδε μὲν ἤκουσα, γραφῇ δὲ τοιάδε ἐπιτυχὼν οἶδα· ἦν δὲ αὕτη γραφῆς μίμημα ἀρχαίας. νεανίσκος Σύβαρις καὶ Κάλαβρός τε ποταμὸς καὶ Λύκα πηγή, πρὸς δὲ ἡρῷόν τε καὶ Τεμέσα ἦν ἡ πόλις, ἐν δέ σφισι καὶ δαίμων ὅντινα ἐξέβαλεν ὁ Εὔθυμος, χρόαν τε δεινῶς μέλας καὶ τὸ εἶδος ἅπαν ἐς τὰ μάλιστα φοβερός, λύκου δὲ ἀμπίσχετο δέρμα ἐσθῆτα· ἐτίθετο δὲ καὶ ὄνομα Λύκαν τὰ ἐπὶ τῇ γραφῇ γράμματα. ταῦτα μὲν δὴ ἐς τοσοῦτον εἰρήσθω.

VII. Μετὰ δὲ τὸν ἀνδριάντα τοῦ Εὐθύμου Πύθαρχός τε ἕστηκε Μαντινεὺς σταδιοδρόμος καὶ πύκτης Ἠλεῖος Χαρμίδης, λαβόντες νίκας ἐπὶ παισί. θεασάμενος δὲ καὶ τούτους ἐπὶ τῶν Ῥοδίων ἀθλητῶν ἀφίξῃ τὰς εἰκόνας, Διαγόραν καὶ τὸ ἐκείνου γένος. οἱ δὲ συνεχεῖς τε ἀλλήλοις καὶ ἐν κόσμῳ τοιῷδε ἀνέκειντο, Ἀκουσίλαος μὲν λαβὼν πυγμῆς ἐν ἀνδράσι στέφανον, Δωριεὺς δὲ ὁ νεώτατος παγκρατίῳ νικήσας ὀλυμπιάσιν ἐφεξῆς τρισί.

πρότερον δὲ ἔτι τοῦ Δωριέως ἐκράτησε καὶ Δαμάγητος
τοὺς ἐσελθόντας ἐς τὸ παγκράτιον. οὗτοι μὲν ἀδελφοί τέ 2
εἰσι καὶ Διαγόρου παῖδες, ἐπὶ δὲ αὐτοῖς κεῖται καὶ ὁ Δια-
γόρας, πυγμῆς ἐν ἀνδράσιν ἀνελόμενος νίκην· τοῦ Δια-
γόρου δὲ τὴν εἰκόνα Μεγαρεὺς εἰργάσατο Καλλικλῆς
469 Θεοκόσμου τοῦ ποιήσαντος τὸ ἄγαλμα ἐν Μεγάροις τοῦ
Διός. Διαγόρου δὲ καὶ οἱ τῶν θυγατέρων παῖδες πύξ
τε ἤσκησαν καὶ ἔσχον Ὀλυμπικὰς νίκας, ἐν μὲν ἀνδράσιν
Εὐκλῆς Καλλιάνακτός τε ὢν καὶ Καλλιπατείρας τῆς Δια-
γόρου, Πεισίροδος δὲ ἐν παισίν, ὃν ἡ μήτηρ ἀνδρὸς ἐπι-
θεμένη γυμναστοῦ σχῆμα ἐπὶ τῶν Ὀλυμπίων αὐτὴ τὸν
ἀγῶνα ἤγαγεν. οὗτος δὲ ὁ Πεισίροδος καὶ ἐν τῇ Ἄλτει 3
παρὰ τῆς μητρὸς τὸν πατέρα ἕστηκε. Διαγόραν δὲ καὶ
ὁμοῦ τοῖς παισὶν Ἀκουσιλάῳ καὶ Δαμαγήτῳ λέγουσιν ἐς
Ὀλυμπίαν ἐλθεῖν· νικήσαντες δὲ οἱ νεανίσκοι διὰ τῆς
πανηγύρεως τὸν πατέρα ἔφερον βαλλόμενόν τε ὑπὸ τῶν
Ἑλλήνων ἄνθεσι καὶ εὐδαίμονα ἐπὶ τοῖς παισὶ καλούμε-
νον. γένος δὲ ὁ Διαγόρας τὸ ἐξ ἀρχῆς Μεσσήνιος πρὸς
γυναικῶν ἦν, καὶ ἀπὸ τῆς Ἀριστομένους γεγόνει θυγα-
τρός. 2. Δωριεῖ δὲ τῷ Διαγόρου παρὲξ ἢ Ὀλυμπίασιν 4
Ἰσθμίων μὲν γεγόνασιν ὀκτὼ νῖκαι, Νεμείων δὲ ἀποδέ-
ουσαι μιᾶς ἐς τὰς ὀκτώ· λέγεται δὲ καὶ ὡς Πύθια ἀνέ-
λοιτο ἀκονιτί. ἀνηγορεύοντο δὲ οὗτός τε καὶ ὁ Πεισίροδος
Θούριοι, διωχθέντες ὑπὸ τῶν ἀντιστασιωτῶν ἐκ τῆς Ῥό-
δου καὶ ἐς Ἰταλίαν παρὰ Θουρίους ἀπελθόντες. χρόνῳ
δὲ ὕστερον κατῆλθεν ὁ Δωριεὺς ἐς Ῥόδον. καὶ φανερώ-
τατα δὴ ἁπάντων ἀνὴρ εἷς φρονήσας οὗτος τὰ Λακεδαι-
μονίων φαίνεται, ὥστε καὶ ἐναυμάχησεν ἐναντία Ἀθη-
ναίων ναυσὶν οἰκείαις, ἐς ὃ ὑπὸ τριήρων ἁλοὺς Ἀττικῶν
ἀνήχθη ζῶν παρὰ Ἀθηναίους. Οἱ δὲ Ἀθηναῖοι πρὶν μὲν 5
ἢ Δωριέα παρὰ σφᾶς ἀναχθῆναι θυμῷ τε ἐς αὐτὸν καὶ
ἀπειλαῖς ἐχρῶντο· ὡς δὲ ἐς ἐκκλησίαν συνελθόντες ἄν-

δρα οὕτω μέγαν καὶ δόξης ἐς τοσοῦτο ἥκοντα ἐθεάσαντο ἐν σχήματι αἰχμαλώτου, μεταπίπτει σφίσιν ἐς αὐτὸν ἡ γνώμη καὶ ἀπελθεῖν ἀφιᾶσιν, οὐδὲ ἔργον οὐδὲν ἄχαρι ἐργάζονται, παρόν σφισι πολλά τε καὶ σὺν τῷ δικαίῳ
6 δρᾶσαι. τὰ δὲ ἐς τοῦ Δωριέως τὴν τελευτήν ἐστιν ἐν τῇ 470
συγγραφῇ τῇ Ἀτθίδι Ἀνδροτίωνι εἰρημένα, εἶναι μὲν τηνικαῦτα ἐν Καύνῳ τὸ βασιλέως ναυτικὸν καὶ Κόνωνα ἐπ' αὐτῷ στρατηγόν, Ῥοδίων δὲ τὸν δῆμον πεισθέντα ὑπὸ τοῦ Κόνωνος ἀπὸ Λακεδαιμονίων μεταβαλέσθαι σφᾶς ἐς τὴν βασιλέως καὶ Ἀθηναίων συμμαχίαν, Δωριέα δὲ ἀποδημεῖν μὲν τότε ἐκ Ῥόδου περὶ τὰ ἐντὸς Πελοποννήσου χωρία, συλληφθέντα δὲ ὑπὸ ἀνδρῶν Λακεδαιμονίων αὐτὸν καὶ ἀναχθέντα ἐς Σπάρτην ἀδικεῖν τε ὑπὸ Λακεδαιμονίων καταγνωσθῆναι καὶ ἐπιβληθῆναί οἱ θά-
7 νατον ζημίαν. εἰ δὲ τὸν ὄντα εἶπεν Ἀνδροτίων λόγον,
ἐθέλειν μοι φαίνεται Λακεδαιμονίους ἐς τὸ ἴσον ἔτι Ἀθηναίοις καταστῆσαι, ὅτι καὶ Ἀθηναίοις ἐς Θράσυλλον καὶ τοὺς ἐν Ἀργινούσαις ὁμοῦ τῷ Θρασύλλῳ στρατηγήσαντας προπετείας ἐστὶν ἔγκλημα. Διαγόρας μὲν δὴ καὶ τὸ ἀπ' αὐτοῦ γένος δόξης ἐς τοσοῦτο ἀφίκοντο.

8 3. Ἐγένοντο δὲ καὶ Ἀλκαινέτῳ τῷ Θεάντου Λεπρεάτῃ καὶ αὐτῷ καὶ τοῖς παισὶν Ὀλυμπικαὶ νῖκαι. αὐτὸς μέν γε πυκτεύων ὁ Ἀλκαίνετος ἔν τε ἀνδράσι καὶ πρότερον ἔτι [ἐπ] ἐκράτησεν ἐν παισίν· Ἑλλάνικον δὲ τὸν Ἀλκαινέτου καὶ Θέαντον ἐπὶ πυγμῇ παίδων ἀναγορευθῆναι τὸν μὲν ἐνάτῃ πρὸς ταῖς ὀγδοήκοντα ὀλυμπιάδι, τὸν δὲ τῇ ἐφεξῆς ταύτῃ συνέβη τὸν Θέαντον· καί σφισιν ἀνδριάντες ἅπα-
9 σιν ἐν Ὀλυμπίᾳ κεῖνται. ἐπὶ δὲ τοῦ Ἀλκαινέτου τοῖς υἱοῖς
Γνάθων τε Διπαιεὺς τῆς Μαιναλέων χώρας καὶ Λυκῖνος ἕστηκεν Ἠλεῖος· κρατῆσαι δὲ Ὀλυμπίασι πυγμῇ παῖδας ὑπῆρξε καὶ τούτοις. Γνάθωνα δὲ καὶ ἐς τὰ μάλιστα, ὅτε ἐνίκησεν, εἶναι νέον τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησί

Καλλικλέους δὲ τοῦ Μεγαρέως ποίημα ὁ ἀνδριάς ἐστιν.
Ἀνὴρ δὲ ἐκ Στυμφήλου Δρομεὺς ὄνομα, καὶ δὴ καὶ ἔρ-
γον τοῦτο ἐπὶ δολίχῳ παρεσχημένος, δύο μὲν ἔσχεν ἐν
Ὀλυμπίᾳ νίκας, τοσαύτας δὲ ἄλλας Πυθοῖ καὶ Ἰσθμίων
τε τρεῖς καὶ ἐν Νεμέᾳ πέντε. λέγεται δὲ ὡς καὶ κρέας
ἐσθίειν ἐπινοήσειε· τέως δὲ τοῖς ἀθληταῖς σιτία τυρὸν
ἐκ τῶν ταλάρων εἶναι. τούτου μὲν δὴ Πυθαγόρας τὴν
εἰκόνα, τὴν δὲ ἐφεξῆς ταύτῃ, πένταθλον Ἠλεῖον Πυθο-
κλέα, Πολύκλειτός ἐστιν εἰργασμένος.

471 VIII. Σωκράτους δὲ Πελληνέως δρόμου νίκην ἐν
παισὶν εἰληφότος, καὶ Ἠλείου Ἀμέρτου καταπαλαίσαν-
τος ἐν Ὀλυμπίᾳ παῖδας, καταπαλαίσαντος δὲ καὶ Πυθοῖ
τοὺς ἐλθόντας τῶν ἀνδρῶν, τοῦ μὲν τὸν ποιήσαντα τὴν
εἰκόνα οὐ λέγουσι, τὴν δὲ τοῦ Ἀμέρτου Φράδμων ἐποίη-
σεν Ἀργεῖος. Εὐανορίδᾳ δὲ Ἠλείῳ πάλης ἐν παισὶν ὑπῆρ-
ξεν ἔν τε Ὀλυμπίᾳ καὶ Νεμείων νίκη· γενόμενος δὲ Ἑλ-
λανοδίκης ἔγραψε καὶ οὗτος τὰ ὀνόματα ἐν Ὀλυμπίᾳ τῶν
νενικηκότων.

2. Ἐς δὲ πύκτην ἄνδρα, γένος μὲν Ἀρκάδα ἐκ Παρ- 2
ρασίων, Δάμαρχον δὲ ὄνομα, οὔ μοι πιστὰ ἦν, πέρα γε
τῆς ἐν Ὀλυμπίᾳ νίκης, ὁπόσα ἄλλα ἀνδρῶν ἀλαζόνων
ἐστὶν εἰρημένα, ὡς ἐξ ἀνθρώπου μεταβάλοι τὸ εἶδος ἐς
λύκον ἐπὶ τῇ θυσίᾳ τοῦ Λυκαίου Διός, καὶ ὡς ὕστερον
τούτων ἔτει δεκάτῳ γένοιτο αὖθις ἄνθρωπος. οὐ μὴν
οὐδὲ ὑπὸ τῶν Ἀρκάδων λέγεσθαί μοι τοῦτο ἐφαίνετο ἐς
αὐτόν· ἐλέγετο γὰρ ἂν καὶ ὑπὸ τοῦ ἐπιγράμματος τοῦ
ἐν Ὀλυμπίᾳ. ἔχει γὰρ δὴ οὕτως·

υἱὸς Διννύτα Δάμαρχος τάνδ᾽ ἀνέθηκεν
εἰκόν᾽ ἀπ᾽ Ἀρκαδίας Παρράσιος γενεάν.

τοῦτο μὲν δὴ ἐς τοσοῦτο πεποίηται· Εὐβώτας δὲ ὁ Κυρη- 3
ναῖος, ἅτε τὴν ἐσομένην οἱ δρόμου νίκην ἐν Ὀλυμπίᾳ
παρὰ τοῦ μαντείου τοῦ ἐν Λιβύῃ προπεπυσμένος, τὴν

τε εἰκόνα ἐπεποίητο πρότερον, καὶ ἐπὶ ἡμέρας τῆς αὐτῆς
ἀνηγορεύθη τε νικήσας καὶ ἀνέθηκε τὴν εἰκόνα. λέγεται
δὲ [καὶ] ὡς κρατήσειε καὶ ἅρματι ἐπὶ ὀλυμπιάδος ταύτης
ἣ λόγῳ τῷ Ἠλείων ἐστὶ κίβδηλος τῶν ἀγωνοθετησάντων
Ἀρκάδων ἕνεκα.
4 3. Κλεωναίῳ δὲ Τιμάνθει παγκρατίου λαβόντι ἐν
ἀνδράσι στέφανον καὶ Τροιζηνίῳ Βαύκιδι παλαιστὰς κα-
ταβαλόντι ἄνδρας τῷ μὲν τοῦ Ἀθηναίου Μύρωνος, Βαύ-
κιδι δὲ Ναυκύδους ἐστὶν ὁ ἀνδριὰς ἔργον. τῷ δὲ Τιμάν-
θει τὸ τέλος τοῦ βίου συμβῆναί φασιν ἐπὶ αἰτίᾳ τοιᾷδε,
πεπαῦσθαι μὲν ἀθλοῦντα, ἀποπειρᾶσθαι δὲ ὅμως αὐτὸν
ἔτι τῆς ἰσχύος, τόξον μέγα ἐπὶ ἑκάστης τείνοντα τῆς
ἡμέρας· ἀποδημῆσαί τε δὴ αὐτόν, καὶ ἐπὶ τῷ τόξῳ τηνι- 472
καῦτα ἐκλειφθῆναί οἱ τὴν μελέτην· ὡς δὲ ἐπανήκων οὐχ
οἷός τε ἔτι τεῖναι τὸ τόξον ἐγίνετο, πῦρ ἀνακαύσας ἀφίησι
ζῶντα ἐς τὴν πυρὰν αὐτόν. ὁπόσα δὲ ἤδη τοιαῦτα ἐγένετο
ἐν ἀνθρώποις ἢ καὶ ὕστερόν ποτε ἔσται, μανία μᾶλλον ἢ
ἀνδρία νομίζοιτο ἂν κατά γε ἐμὴν γνώμην.
5 Μετὰ δὲ τὸν Βαύκιδά εἰσιν ἀθλητῶν Ἀρκάδων εἰ-
κόνες, Εὐθυμένης τε ἐξ αὐτῆς Μαινάλου, νίκας τὴν μὲν
ἀνδρῶν πάλης, τὴν δ' ἔτι πρότερον ἐν παισὶν εἰληφώς,
καὶ Ἀζὰν ἐκ Πελλάνας Φίλιππος κρατήσας πυγμῇ παῖ-
δας, καὶ Κριτόδαμος ἐκ Κλείτορος, ἐπὶ πυγμῇ καὶ οὗτος
ἀναγορευθεὶς παίδων. τὰς δέ σφισιν εἰκόνας, τὴν μὲν
ἐν παισὶ τοῦ Εὐθυμένους Ἄλυπος, τὴν δὲ τοῦ Δαμοκρί-
του Κλέων, Φιλίππου δὲ τοῦ Ἀζᾶνος Μύρων τὴν εἰκόνα
ἐποίησε. Τὰ δὲ ἐς Πρόμαχον τὸν Δρύωνος παγκρα-
τιαστὴν Πελληνέα προσέσται μοι καὶ ταῦτα τῷ ἐς Ἀχαιοὺς
6 λόγῳ. 4. Προμάχου δὲ οὐ πόρρω Τιμασίθεος ἀνάκειται
γένος Δελφός, Ἀγελάδα μὲν ἔργον τοῦ Ἀργείου, παγ-
κρατίου δὲ δύο μὲν ἐν Ὀλυμπίᾳ νίκας, τρεῖς δὲ ἀνῃρη-
μένος Πυθοῖ. καὶ αὐτῷ καὶ ἐν πολέμοις ἐστὶν ἔργα τῇ τε

τόλμῃ λαμπρὰ καὶ οὐκ ἀποδέοντα τῇ εὐτυχίᾳ, πλήν γε δὴ τοῦ τελευταίου· τοῦτο δὲ αὐτῷ θάνατον τὸ ἐγχείρημα ἤνεγκεν. Ἰσαγόρᾳ γὰρ τῷ Ἀθηναίῳ, τὴν ἀκρόπολιν τὴν Ἀθηναίων καταλαβόντι ἐπὶ τυραννίδι, μετασχὼν τοῦ ἔργου καὶ ὁ Τιμασίθεος, ἐγένετο γὰρ τῶν ἐγκαταληθέντων ἐν τῇ ἀκροπόλει, θάνατον ζημίαν εὕρετο τοῦ ἀδικήματος παρὰ Ἀθηναίων.

IX. Θεογνήτῳ δὲ Αἰγινήτῃ πάλης μὲν στέφανον λαβεῖν ὑπῆρξεν ἐν παισί, τὸν δὲ ἀνδριάντα οἱ Πτόλιχος ἐποίησεν Αἰγινήτης. διδάσκαλοι δὲ ἐγεγόνεσαν Πτολίχῳ μὲν Συννοῶν ὁ πατήρ, ἐκείνῳ δὲ Ἀριστοκλῆς Σικυώνιος, ἀδελφός τε Κανάχου καὶ οὐ πολὺ τὰ ἐς δόξαν ἐλασσούμενος. ἐφ' ὅτῳ δὲ ὁ Θεόγνητος πίτυος τῆς γ' ἡμέρου και
13 ῥοιᾶς φέρει καρπόν, ἐμοὶ μὲν οὐχ οἷά τε ἦν συμβαλέσθαι, τάχα δ' ἂν Αἰγινήταις τισὶν ἐπιχώριος ἐς αὐτὸν εἴη λόγος. Μετὰ δὲ τὴν εἰκόνα τοῦ ἀνδρὸς ὃν Ἠλεῖοί φασιν οὐ 2
γραφῆναι μετὰ τῶν ἄλλων, ὅτι ἐπὶ κάλπης ἀνηγορεύθη δρόμῳ, μετὰ τούτου τὴν εἰκόνα Ξενοκλῆς τε Μαινάλιος ἕστηκε παλαιστὰς καταβαλὼν παῖδας καὶ Ἄλκετος Ἀλκίνου κρατήσας πυγμῇ παῖδας, Ἀρκὰς καὶ οὗτος ἐκ Κλείτορος. καὶ τοῦ μὲν Κλέων, Ξενοκλέους δὲ τὸν ἀνδριάντα Πολύκλειτός ἐστιν εἰργασμένος. Ἀριστεὺς δὲ Ἀργεῖος 3
δολίχου μὲν νίκην ἔσχεν αὐτός, πάλης δὲ ὁ πατὴρ τοῦ Ἀριστέως Χείμων. ἑστήκασι μὲν δὴ ἐγγὺς ἀλλήλων, ἐποίησε δὲ τὸν μὲν Παντίας Χῖος, παρὰ τῷ πατρὶ δεδιδαγμένος Σωστράτῳ· αἱ δὲ εἰκόνες τοῦ Χείμωνος ἔργον ἐστίν, ἐμοὶ δοκεῖν, τῶν δοκιμωτάτων Ναυκύδους, ἥ τε ἐν Ὀλυμπίᾳ καὶ ἡ ἐς τὸ ἱερὸν τῆς Εἰρήνης τὸ ἐν Ῥώμῃ κομισθεῖσα ἐξ Ἄργους. λέγεται δὲ ὡς Ταυροσθένην καταπαλαίσειεν ὁ Χείμων τὸν Αἰγινήτην, καὶ ὡς Ταυροσθένης τῇ ὀλυμπιάδι τῇ ἐφεξῆς καταβάλοι τοὺς ἐσελθόντας ἐς τὴν πάλην, καὶ ὡς ἐοικὸς Ταυροσθένει φάσμα ἐπ'

ἐκείνης τῆς ἡμέρας ἐν Αἰγίνῃ φανὲν ἀπαγγείλειε τὴν νί-
4 κην. Φίλλην δὲ Ἠλεῖον κρατήσαντα παῖδας πάλῃ Σπαρτιάτης Κρατῖνος ἐποίησε. 2. Τὰ δὲ ἐς τὸ ἅρμα τὸ Γέλωνος οὐ κατὰ ταὐτὰ δοξάζειν ἐμοί τε παρίστατο καὶ τοῖς πρότερον ἢ ἐγὼ τὰ ἐς αὐτὸ εἰρηκόσιν, οἳ Γέλωνος τοῦ ἐν Σικελίᾳ τυραννήσαντός φασιν ἀνάθημα εἶναι τὸ ἅρμα. ἐπίγραμμα μὲν δή ἐστιν αὐτῷ Γέλωνα Δεινομένους ἀναθεῖναι Γελῷον· καὶ ὁ χρόνος τούτῳ τῷ Γέλωνί ἐστι τῆς
5 νίκης τρίτη πρὸς τὰς ἑβδομήκοντα ὀλυμπιάδας. Γέλων δὲ ὁ Σικελίας τυραννήσας Συρακούσας ἔσχεν Ὑβριλίδου μὲν Ἀθήνῃσιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς δευτέρας καὶ ἑβδομηκοστῆς ὀλυμπιάδος, ἣν Τισικράτης ἐνίκα Κροτωνιάτης στάδιον. δῆλα οὖν ὡς Συρακούσιον ἤδη καὶ οὐ Γελῷον ἀναγορεύειν αὑτὸν ἔμελλεν. ἀλλὰ γὰρ ἰδιώτης εἴη ἄν τις ὁ Γέλων οὗτος, πατρός τε ὁμωνύμου 474
τῷ τυράννῳ καὶ αὐτὸς ὁμώνυμος. Γλαυκίας δὲ Αἰγινήτης τό τε ἅρμα καὶ αὐτῷ τῷ Γέλωνι ἐποίησε τὴν εἰκόνα.

6 3. Τῇ δὲ ὀλυμπιάδι τῇ πρὸ ταύτης Κλεομήδην φασὶν Ἀστυπαλαιέα ὡς Ἴκκῳ πυκτεύων ἀνδρὶ Ἐπιδαυρίῳ τὸν Ἴκκον ἀποκτείνειεν ἐν τῇ μάχῃ, καταγνωσθεὶς δὲ ὑπὸ τῶν Ἑλλανοδικῶν ἄδικα εἰργάσθαι καὶ ἀφῃρημένος τὴν νίκην ἔκφρων ἐγένετο ὑπὸ τῆς λύπης, καὶ ἀνέστρεψε μὲν ἐς Ἀστυπάλαιαν, διδασκαλείῳ δ' ἐπιστὰς ἐνταῦθα ὅσον ἑξήκοντα ἀριθμὸν παίδων ἀνατρέπει τὸν κίονα ὃς τὸν
7 ὄροφον ἀνεῖχεν. ἐμπεσόντος δὲ τοῦ ὀρόφου τοῖς παισί, καταλιθούμενος ὑπὸ τῶν ἀστῶν κατέφυγεν ἐς Ἀθηνᾶς ἱερόν. ἐσβάντος δὲ ἐς κιβωτὸν κειμένην ἐν τῷ ἱερῷ καὶ ἐφελκυσαμένου τὸ ἐπίθημα, κάματον ἐς ἀνωφελὲς οἱ Ἀστυπαλαιεῖς ἔκαμνον ἀνοίγειν τὴν κιβωτὸν πειρώμενοι. τέλος δὲ τὰ ξύλα τῆς κιβωτοῦ καταρρήξαντες, ὡς οὔτε ζῶντα Κλεομήδην οὔτε τεθνεῶτα εὕρισκον, ἀποστέλλουσιν ἄνδρας ἐς Δελφοὺς ἐρησομένους ὁποῖα ἐς

*Κλεομήδην τὰ συμβάντα ἦν. τούτοις χρῆσαι τὴν Πυ-* 8
*θίαν φασίν·*

*Ὕστατος ἡρώων Κλεομήδης Ἀστυπαλαιεύς,*
*ὃν θυσίαις τιμᾶθ' ἅτε μηκέτι θνητὸν ἐόντα.*

*Κλεομήδει μὲν οὖν Ἀστυπαλαιεῖς ἀπὸ τούτου τιμὰς ὡς ἥρωϊ νέμουσι.*

*Παρὰ δὲ τοῦ Γέλωνος τὸ ἅρμα ἀνάκειται Φίλων,* 9
*τέχνη τοῦ Αἰγινήτου Γλαυκίου. τούτῳ τῷ Φίλωνι Σιμωνίδης ὁ Λεωπρέπους ἐλεγεῖον δεξιώτατον ἐποίησε·*

*Πατρὶς μὲν Κόρκυρα, Φίλων δ' ὄνομ'· εἰμὶ δὲ Γλαύκου*
475 *υἱός, καὶ νικῶ πὺξ δύ' ὀλυμπιάδας.*

*ἀνάκειται καὶ Μαντινεὺς Ἀγαμήτωρ, κρατήσας πυγμῇ παῖδας.*

X. *Ἐπὶ δὲ τοῖς κατειλεγμένοις ἕστηκεν ὁ Καρύστιος Γλαῦκος. εἶναι δέ φασιν ἐξ Ἀνθηδόνος τῆς Βοιωτῶν τὸ ἄνωθεν αὐτὸν γένος ἀπὸ Γλαύκου τοῦ ἐν θαλάσσῃ δαίμονος. πατρὸς δὲ οὗτος ὁ Καρύστιος ἦν Δημύλου, καὶ γῆν φασὶν αὐτὸν κατ' ἀρχὰς ἐργάζεσθαι. ἐκπεσοῦσαν δὲ ἐκ τοῦ ἀρότρου τὴν ὕνιν πρὸς τὸ ἄροτρον καθήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας χρώμενος. καί πως ἐθεάσατο ὁ Δημύ-* 2
*λος τὸ ὑπὸ τοῦ παιδὸς ποιούμενον, καὶ ἐπὶ τούτῳ πυκτεύσοντα ἐς Ὀλυμπίαν αὐτὸν ἀνήγαγεν. ἔνθα δὴ ὁ Γλαῦκος, ἅτε οὐκ ἐμπείρως ἔχων τῆς μάχης, ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιζομένων, καὶ ἡνίκα πρὸς τὸν λειπόμενον ἐξ αὐτῶν ἐπύκτευεν, ἀπαγορεύειν ὑπὸ πλήθους τῶν τραυμάτων ἐνομίζετο. καί οἱ τὸν πατέρα βοῆσαί φασιν, ὦ παῖ τὴν ἀπ' ἀρότρου. οὕτω γε δὴ βιαιοτέραν ἐς τὸν ἀνταγωνιζόμενον ἐνεγκὼν τὴν πληγήν, αὐτίκα εἶχε τὴν νίκην. στεφάνους δὲ λέγεται καὶ ἄλλους Πύθια μὲν δὶς* 3
*λαβεῖν, Νεμείων δὲ καὶ Ἰσθμίων ὀκτάκις ἐν ἑκατέρῳ ἀγῶνι. τοῦ Γλαύκου δὲ τὴν εἰκόνα ἀνέθηκε μὲν ὁ παῖς αὐτοῦ, Γλαυκίας δὲ Αἰγινήτης ἐποίησε· σκιαμαχοῦντος*

δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν ἐπιτηδειότατος τῶν κατ' αὐτὸν χειρονομῆσαι πεφυκώς. ἀποθανόντα δὲ οἱ Καρύστιοι ταφῆναί φασιν αὐτὸν ἐν νήσῳ καλουμένῃ Γλαύκου καὶ ἐς ἡμᾶς ἔτι.

4 2. Δαμαρέτῳ δὲ Ἡραιεῖ υἱῷ τε τοῦ Δαμαρέτου καὶ υἱωνῷ δύο ἐν Ὀλυμπίᾳ γεγόνασιν ἑκάστῳ νῖκαι, Δαμαρέτῳ μὲν πέμπτῃ ἐπὶ ταῖς ἑξήκοντα ὀλυμπιάδι, ὅτε ἐνομίσθη πρῶτον ὁ τοῦ ὅπλου δρόμος, καὶ ὡσαύτως τῇ ἐφεξῆς· πεποίηται ὁ ἀνδριὰς ἀσπίδα τε κατὰ τὰ αὐτὰ ἔχων τοῖς ἐφ' ἡμῶν καὶ κράνος ἐπὶ τῇ κεφαλῇ καὶ κνημῖδας ἐπὶ τοῖς ποσί. ταῦτα μὲν δὴ ἀνὰ χρόνον ὑπό τε Ἠλείων
καὶ ὑπὸ Ἑλλήνων τῶν ἄλλων ἀφῃρέθη τοῦ δρόμου· Θεο- 476
πόμπῳ δὲ τῷ Δαμαρέτου καὶ αὖθις ἐκείνου παιδὶ ὁμωνύμῳ ἐπὶ πεντάθλῳ, Θεοπόμπῳ δὲ τῷ δευτέρῳ πάλης
5 ἐγένοντο αἱ νῖκαι. τὴν δὲ εἰκόνα Θεοπόμπου μὲν τοῦ παλαίσαντος τὸν ποιήσαντα οὐκ ἴσμεν· τὰς δὲ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ πάππου φησὶ τὸ ἐπίγραμμα Εὐτελίδα τε εἶναι καὶ Χρυσοθέμιδος Ἀργείων. οὐ μὴν παρ' ὅτῳ γε ἐδιδάχθησαν δεδήλωκεν. ἔχει γὰρ δὴ οὕτως·

Εὐτελίδας καὶ Χρυσόθεμις τάδε ἔργα τέλεσσαν
Ἀργεῖοι, τέχναν εἰδότες ἐκ προτέρων.

Ἴκκος δὲ ὁ Νικολαΐδα Ταραντῖνος τόν τε Ὀλυμπικὸν στέφανον ἔσχεν ἐπὶ πεντάθλῳ, καὶ ὕστερον γυμναστὴς
6 ἄριστος λέγεται τῶν ἐφ' αὐτοῦ γενέσθαι. Μετὰ δὲ Ἴκκον καταπαλαίσας παῖδας Παντάρκης ἕστηκεν Ἠλεῖος ὁ ἐρώμενος Φειδίου. Ἐπὶ δὲ τῷ Παντάρκει Κλεοσθένους ἐστὶν ἅρμα ἀνδρὸς Ἐπιδαμνίου. τοῦτο ἔργον μέν ἐστιν Ἀγελάδα, ἕστηκε δὲ ὄπισθεν τοῦ Διὸς τοῦ ἀπὸ τῆς μάχης τῆς Πλαταιᾶσιν ἀνατεθέντος ὑπὸ Ἑλλήνων. ἐνίκα μὲν δὴ τὴν ἕκτην ὀλυμπιάδα καὶ ἑξηκοστὴν ὁ Κλεοσθένης, ἀνέθηκε δὲ ὁμοῦ τοῖς ἵπποις αὐτοῦ τε εἰκόνα καὶ τὸν
7 ἡνίοχον. ἐπιγέγραπται δὲ καὶ τῶν ἵππων τὰ ὀνόματα

*Φοῖνιξ καὶ Κόραξ, ἑκατέρωθεν δὲ οἱ παρὰ τὸ ζυγόν, κατὰ μὲν τὰ δεξιὰ Κνακίας, ἐν δὲ τῇ ἀριστερᾷ Σάμος· καὶ ἐλεγεῖον τόδ' ἐστὶν ἐπὶ τῷ ἅρματι·*

*Κλεοσθένης μ' ἀνέθηκεν ὁ Πόντιος ἐξ Ἐπιδάμνου,*
*νικήσας ἵπποις καλὸν ἀγῶνα Διός.*

*Τῶν δὲ ἱπποτροφησάντων ἐν Ἕλλησι πρῶτος ἐς Ὀλυμ-* 8
*πίαν εἰκόνα ἀνέθηκεν ὁ Κλεοσθένης οὗτος. τὰ γὰρ Μιλτιάδου τοῦ Ἀθηναίου καὶ Εὐαγόρου τοῦ Λάκωνος ἀναθήματα, τοῦ μὲν ἅρμα ἐστίν, οὐ μὴν καὶ αὐτὸς ἐπὶ τῷ*
477 *ἅρματι Εὐαγόρας· τὰ Μιλτιάδου δέ, ὁποῖα ἐς Ὀλυμπίαν ἀνέθηκεν ἑτέρωθι δηλώσω τοῦ λόγου. Ἐπιδάμνιοι δὲ χώραν μὲν ἥνπερ καὶ ἐξ ἀρχῆς, πόλιν δὲ οὐ τὴν ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουσιν, ἐκείνης δὲ ἀφεστηκυῖαν ὀλίγον· ὄνομα δὲ τῇ πόλει τῇ νῦν Δυρράχιον ἀπὸ τοῦ οἰκιστοῦ.*

*Λυκῖνον δὲ Ἡραιέα καὶ Ἐπικράδιον Μαντινέα καὶ* 9
*Τέλλωνα Ὀρεσθάσιον καὶ Ἠλεῖον Ἀγιάδαν ἐν παισὶν ἀνελομένους νίκας, Λυκῖνον μὲν δρόμου, τοὺς δὲ ἐπ' αὐτῷ κατειλεγμένους πυγμῆς, Ἐπικράδιον μὲν καὶ Ἀγιάδαν, τὸν μὲν αὐτῶν Πτόλιχος Αἰγινήτης ἐποίησε, τὸν δὲ Ἀγιάδαν Σήραμβος, γένος καὶ οὗτος Αἰγινήτης· Λυκίνου δέ ἐστιν ὁ ἀνδριὰς Κλέωνος τέχνη· τὸν δὲ Τέλλωνα ὅστις εἰργάσατο, οὐ μνημονεύουσιν.*

XI. *Ἐφεξῆς τούτων ἀναθήματά ἐστιν Ἠλείων, Φίλιππος ὁ Ἀμύντου καὶ Ἀλέξανδρος ὁ Φιλίππου καὶ Σέλευκός τε καὶ Ἀντίγονος· τοῖς μὲν δὴ ἐφ' ἵππων, Ἀντιγόνῳ δὲ ἀνὴρ πεζός ἐστιν ἡ εἰκών.*

2. *Τῶν δὲ βασιλέων τῶν εἰρημένων ἕστηκεν οὐ πόρ-* 2
*ρω Θεαγένης ὁ Τιμοσθένους Θάσιος. Θάσιοι δὲ οὐ Τιμοσθένους παῖδα εἶναι Θεαγένην φασίν, ἀλλὰ ἱερᾶσθαι μὲν Ἡρακλεῖ τὸν Τιμοσθένην Θασίῳ, τοῦ Θεαγένους δὲ τῇ μητρὶ Ἡρακλέους συγγενέσθαι φάσμα ἐοικὸς Τιμοσθένει. ἔνατόν τε δὴ ἔτος εἶναι τῷ παιδί, καὶ αὐτὸν ἀπὸ*

τῶν διδασκάλων φασὶν ἐς τὴν οἰκίαν ἐρχόμενον ἄγαλμα
ὅτου δὴ θεῶν ἀνακείμενον ἐν τῇ ἀγορᾷ χαλκοῦν, χαίρειν
γὰρ τῷ ἀγάλματι αὐτόν, ἀνασπάσαι τε δὴ τὸ ἄγαλμα καὶ
ἐπὶ τὸν ἕτερον τῶν ὤμων ἀναθέμενον ἐνεγκεῖν παρ' αὐ-
3 τόν. ἐχόντων δὲ ὀργὴν ἐς αὐτὸν ἐπὶ τῷ πεποιημένῳ τῶν
πολιτῶν, ἀνήρ τις αὐτῶν δόκιμος καὶ ἡλικίᾳ προήκων
ἀποκτεῖναι μὲν σφᾶς τὸν παῖδα οὐκ ἐᾷ, ἐκεῖνον δὲ ἐκέ-
λευσεν ἐκ τῆς οἰκίας αὖθις κομίσαι τὸ ἄγαλμα ἐς τὴν
ἀγοράν. ὡς δὲ ἤνεγκε, μέγα αὐτίκα ἦν κλέος τοῦ παιδὸς
ἐπὶ ἰσχύϊ, καὶ τὸ ἔργον ἀνὰ πᾶσαν ἐβεβόητο τὴν Ἑλλάδα.
4 Ὅσα μὲν δὴ ἔργων τῶν Θεαγένους ἐς τὸν ἀγῶνα ἥκει τὸν
Ὀλυμπικόν, προεδήλωσεν ὁ λόγος ἤδη μοι τὰ δοκιμώ- 478
τατα ἐξ αὐτῶν, Εὔθυμόν τε ὡς κατεμαχέσατο τὸν πύ-
κτην, καὶ ὡς ὑπὸ Ἠλείων ἐπεβλήθη τῷ Θεαγένει ζημία.
τότε μὲν δὴ τοῦ παγκρατίου τὴν νίκην ἀνὴρ ἐκ Μαντι-
νείας Δρομεὺς ὄνομα πρῶτος ὧν ἴσμεν ἀκονιτὶ λέγεται
λαβεῖν· τὴν δὲ ὀλυμπιάδα τὴν ἐπὶ ταύτῃ παγκρατιάζων
5 ὁ Θεαγένης ἐκράτει. γεγόνασι δὲ αὐτῷ καὶ Πυθοῖ νῖκαι
τρεῖς, αὗται μὲν ἐπὶ πυγμῇ, Νεμείων δὲ ἐννέα καὶ Ἰσθ-
μίων δέκα παγκρατίου τε ἀναμὶξ καὶ πυγμῆς. Ἐν Φθίᾳ
δὲ τῇ Θεσσαλῶν πυγμῆς μὲν ἢ παγκρατίου παρῆκε τὴν
σπουδήν, ἐφρόντιζε δὲ ὅπως καὶ ἐπὶ δρόμῳ ἐμφανὴς ἐν
Ἕλλησιν εἴη, καὶ τοὺς ἐσελθόντας ἐς τὸν δόλιχον ἐκρά-
τησεν. ἦν δέ οἱ πρὸς Ἀχιλλέα, ἐμοὶ δοκεῖν, τὸ φιλοτί-
μημα, ἐν πατρίδι τοῦ ὠκίστου τῶν καλουμένων ἡρώων
ἀνελέσθαι δρόμου νίκην. τοὺς δὲ σύμπαντας στεφάνους
6 τετρακοσίους τε ἔσχε καὶ χιλίους. Ὡς δὲ ἀπῆλθεν ἐξ ἀν-
θρώπων, ἀνὴρ τῶν τις ἀπηχθημένων ζῶντι αὐτῷ παρ-
εγίνετο ἀνὰ πᾶσαν νύκτα ἐπὶ τοῦ Θεαγένους τὴν εἰκόνα,
καὶ ἐμαστίγου τὸν χαλκὸν ἅτε αὐτῷ Θεαγένει λυμαινό-
μενος. καὶ τὸν μὲν ὁ ἀνδριὰς ἐμπεσὼν ὕβρεως παύει,
τοῦ ἀνθρώπου δὲ τοῦ ἀποθανόντος οἱ παῖδες τῇ εἰκόνι

ἐπεξῄεσαν φόνου· καὶ οἱ Θάσιοι καταποντοῦσι τὴν εἰκόνα, ἐπακολουθήσαντες γνώμῃ τῇ Δράκοντος, ὃς Ἀθηναίοις θεσμοὺς γράψας φονικοὺς ὑπερώρισε καὶ τὰ ἄψυχα, εἴγε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον. Ἀνὰ χρόνον δέ, ὡς τοῖς Θασίοις οὐδένα ἀπεδίδου καρπὸν ἡ γῆ, θεωροὺς ἀποστέλλουσιν ἐς Δελφούς, καὶ αὐτοῖς ἔχρησεν ὁ θεὸς κατάγεσθαι τοὺς δεδιωγμένους. καὶ οἱ μὲν ἐπὶ τῷ λόγῳ τούτῳ καταχθέντες οὐδὲν τῆς ἀκαρπίας παρείχοντο ἴαμα. δεύτερα οὖν ἐπὶ τὴν Πυθίαν ἔρχονται, λέγοντες ὡς καὶ ποιήσασιν αὐτοῖς τὰ χρησθέντα
479 διαμένοι τὸ ἐκ τῶν θεῶν μήνιμα. ἐνταῦθα ἀπεκρίνατό 8
σφισιν ἡ Πυθία·

Θεαγένην δ' ἄμνηστον ἀφήκατε τὸν μέγαν ὑμέων.

ἀπορούντων δὲ αὐτῶν ὁποίᾳ μηχανῇ τοῦ Θεαγένους τὴν εἰκόνα ἀνασώσωνται, φασὶν ἁλιέας ἀναχθέντας ἐς τὸ πέλαγος ἐπὶ ἰχθύων θήραν περισχεῖν τῷ δικτύῳ τὴν εἰκόνα καὶ ἀνενεγκεῖν αὖθις ἐς τὴν γῆν. Θάσιοι δὲ ἀναθέντες ἔνθα καὶ ἐξ ἀρχῆς ἔκειτο, νομίζουσιν ἅτε θεῷ θύειν.
3. Πολλαχοῦ δὲ καὶ ἑτέρωθι ἔν τε Ἕλλησιν οἶδα καὶ παρὰ 9
βαρβάροις ἀγάλματα ἱδρυμένα Θεαγένους, καὶ νοσήματά τε αὐτὸν ἰώμενον καὶ ἔχοντα παρὰ τῶν ἐπιχωρίων τιμάς. ὁ δὲ ἀνδριὰς τοῦ Θεαγένους ἐστὶν ἐν τῇ Ἄλτει, τέχνη τοῦ Αἰγινήτου Γλαυκίου.

XII. Πλησίον δὲ ἅρμα τέ ἐστι χαλκοῦν καὶ ἀνὴρ ἀναβεβηκὼς ἐπ' αὐτό, κέλητες δὲ ἵπποι παρὰ τὸ ἅρμα εἷς ἑκατέρωθεν ἕστηκε, καὶ ἐπὶ τῶν ἵππων καθέζονται παῖδες. ὑπομνήματα δὲ ἐπὶ νίκαις Ὀλυμπικαῖς ἐστὶν Ἱέρωνος τοῦ Δεινομένους τυραννήσαντος Συρακουσίων μετὰ τὸν ἀδελφὸν Γέλωνα. τὰ δὲ ἀναθήματα οὐχ Ἱέρων ἀπέστειλεν, ἀλλ' ὁ μὲν ἀποδοὺς τῷ θεῷ Δεινομένης ἐστὶν ὁ Ἱέρωνος, ἔργα δέ, τὸ μὲν Ὀνάτα τοῦ Αἰγινήτου τὸ ἅρμα, Καλάμιδος δὲ οἱ ἵπποι τε οἱ ἑκατέρωθεν καὶ ἐπ' αὐτῶν εἰσὶν οἱ παῖδες.

2 2. *Παρὰ δὲ τοῦ Ἱέρωνος τὸ ἅρμα ἀνήρ ἐστιν ὁμώνυ-
μός τε τῷ Δεινομένους καὶ ἐν Συρακούσαις καὶ οὗτος
τυραννήσας· Ἱέρων δὲ ἐκαλεῖτο Ἱεροκλέους. μετὰ δὲ
τὴν Ἀγαθοκλέους τοῦ πρότερον τυραννήσαντος τελευ-
τὴν Συρακοσίοις αὖθις ἀναπεφύκει τύραννος ὁ Ἱέρων
οὗτος, τὴν δὲ ἀρχὴν εἶχεν ἔτει δευτέρῳ τῆς ἕκτης ὀλυμ-
πιάδος ἐπὶ ταῖς εἴκοσι καὶ ἑκατόν, ἣν Κυρηναῖος στάδιον
3 ἐνίκησεν Ἰδαῖος. οὗτος ὁ Ἱέρων ξενίαν πρὸς Πύρρον τὸν
Αἰακίδου καὶ ὁμοῦ ξενίᾳ καὶ ἐπιγαμίαν ἐποιήσατο, Γέλωνι
τῷ παιδὶ Νηρηΐδα ἀγαγόμενος τὴν Πύρρου. Ῥωμαίων
δὲ περὶ Σικελίας ἐς τὴν πρὸς Καρχηδονίους πόλεμον κα- 4
ταστάντων εἶχον μὲν οἱ Καρχηδόνιοι τῆς νήσου πλέον ἢ
ἥμισυ, Ἱέρωνι δὲ συνιόντων μὲν ἄρτι ἐς τὸν πόλεμον
ἑλέσθαι τὰ Καρχηδονίων ἤρεσε, μετὰ δὲ οὐ πολὺ δυνά-
μει τε εἶναι νομίζων τὰ Ῥωμαίων ἐχυρώτερα καὶ βεβαιό-
4 τερα ἅμα ἐς φιλίαν μετεβάλετο ὡς τούτους. Τοῦ δέ οἱ
βίου συνέβη γενέσθαι τὴν τελευτὴν ὑπὸ Δεινομένους,
γένος μὲν Συρακοσίου, δυσμενέστατα δὲ ἀνδρὸς ἐς τυ-
ραννίδα ἔχοντος, ὃς καὶ ὕστερον τούτων Ἱπποκράτει τῷ
ἀδελφῷ τῷ Ἐπικύδους ἐξ Ἐρβησσοῦ παρεληλυθότι ἄρτι
ἐς Συρακούσας καὶ ἐς τὸ πλῆθος ποιεῖσθαι λόγους ἀρχο-
μένῳ ἐπέδραμεν ὡς ἀποκτενῶν τὸν Ἱπποκράτην· τοῦ δέ
οἱ ἀντιστάντος κρατήσαντες τῶν δορυφόρων ἄλλοι δια-
φθείρουσι τὸν Δεινομένην. Τοὺς ἀνδριάντας δὲ τοῦ Ἱέ-
ρωνος ἐν Ὀλυμπίᾳ, ἐφ᾽ ἵππου τὸν ἕτερον, τὸν δὲ αὐτῶν
πεζόν, ἀνέθεσαν μὲν τοῦ Ἱέρωνος οἱ παῖδες, ἐποίησε δὲ
Μίκων Νικηράτου Συρακόσιος.*

5 3. *Μετὰ δὲ τοῦ Ἱέρωνος τὰς εἰκόνας Ἀρεὺς ὁ Ἀκρο-
τάτου Λακεδαιμονίων βασιλεὺς καὶ Ἄρατος ἕστηκεν ὁ
Κλεινίου, καὶ αὖθις ἀναβεβηκώς ἐστιν Ἀρεὺς ἵππον. ἀνά-
θημα δὲ ὁ μὲν Κορινθίων ὁ Ἄρατος, Ἀρεὺς δὲ Ἠλείων
ἐστί· καί μοι τοῦ λόγου τὰ πρότερα οὔτε τῶν ἐς Ἄρατον*

οὔτε τῶν ἐς Ἀρέα ἀμνημόνως ἔσχεν. Ἄρατος δὲ καὶ ἅρ-
ματι ἀνηγορεύθη νικῶν ἐν Ὀλυμπίᾳ. Τίμωνι δὲ τῷ 6
Αἰγύπτου καθέντι ἐς Ὀλυμπίαν ἵππους, ἀνδρὶ Ἠλείῳ
** ἔστι τούτῳ χαλκοῦν, ἐπ᾽ αὐτὸ δὲ ἀναβέβηκε παρθένος,
ἐμοὶ δοκεῖν Νίκη. Κάλλωνα δὲ τὸν Ἁρμοδίου καὶ τὸν
Μοσχίωνος Ἱππόμαχον, γένος τε Ἠλείους καὶ πυγμῇ
κρατήσαντας ἐν παισί, τὸν μὲν αὐτῶν ἐποίησε Δάϊππος,
481 Ἱππομάχου δὲ ὅστις μὲν τὸν ἀνδριάντα εἰργάσατο οὐκ
ἴσμεν, καταμαχέσασθαι δὲ τρεῖς φασὶν ἀνταγωνιστὰς αὐ-
τὸν οὔτε πληγὴν ἀποδεξάμενον οὔτε τι τρωθέντα τοῦ
σώματος. Θεόχρηστον δὲ Κυρηναῖον ἱπποτροφήσαντα 7
κατὰ τὸ ἐπιχώριον τοῖς Λίβυσι, καὶ αὐτόν τε ἐν Ὀλυμπίᾳ
καὶ ἔτι πρότερον τὸν ὁμώνυμόν τε αὐτῷ καὶ τοῦ πατρὸς
πατέρα, τούτους μὲν ἐνταῦθα ἵππων νίκας, ἐν δὲ Ἰσθμῷ
τοῦ Θεοχρήστου λαβεῖν τὸν πατέρα, τὸ ἐπίγραμμα δηλοῖ
τὸ ἐπὶ τῷ ἅρματι. Ἀγήσαρχον δὲ τὸν Αἱμοστράτου Τρι- 8
ταιέα κρατῆσαι μὲν πύκτας ἄνδρας ἐν Ὀλυμπίᾳ καὶ Νε-
μέᾳ τε καὶ Πυθοῖ καὶ ἐν Ἰσθμῷ μαρτυρεῖ τὸ ἐλεγεῖον, Ἀρ-
κάδας δὲ τοὺς Τριταιεῖς εἶναι τοῦ ἐλεγείου λέγοντος
ἀληθεῦον οὐχ εὕρισκον. πόλεων γὰρ τῶν ἐν Ἀρκαδίᾳ
ταῖς μὲν ἐπειλημμέναις δόξης οὐδὲ τὰ ἐς τοὺς οἰκιστάς
ἐστιν ἄγνωστα, τὰς δὲ ἐξ ἀρχῆς τε ὑπὸ ἀσθενείας ἀφανε-
στέρας καὶ δι᾽ αὐτὸ ἀνοικισθείσας ἐς Μεγάλην πόλιν πε-
ριέχει σφᾶς γενόμενον τότε ὑπὸ τοῦ Ἀρκάδων κοινοῦ
δόγμα· οὐδέ τινα ἔστιν ἐν Ἕλλησι Τρίτειαν πόλιν ἄλλην 9
γε ἢ τὴν Ἀχαιῶν εὑρεῖν. τηνικαῦτα γοῦν ἐς Ἀρκάδας
ἡγοῖτο ἄν τις συντελέσαι τοὺς Τριταιεῖς, καθὰ καὶ νῦν
ἔτι Ἀρκάδων αὐτῶν εἰσὶν οἱ ἐς τὸ Ἀργολικὸν τελοῦντες.
Τοῦ Ἀγησάρχου δέ ἐστιν ἡ εἰκὼν τέχνη τῶν Πολυκλέους
παίδων. τούτων μὲν δὴ ποιησόμεθα μνήμην καὶ ἐν τοῖς
υστέροις τοῦ λόγου.

**XIII.** Ἀστύλος δὲ Κροτωνιάτης Πυθαγόρου μέν

ἐστιν ἔργον, τρισὶ δὲ ἐφεξῆς ὀλυμπιάσι σταδίου τε καὶ διαύλου νίκας ἔσχεν. ὅτι δὲ ἐν δύο ταῖς ὑστέραις ἐς χάριν τὴν Ἱέρωνος τοῦ Δεινομένους ἀνηγόρευσεν αὑτὸν Συρακόσιον, τούτων ἕνεκα οἱ Κροτωνιᾶται τὴν οἰκίαν αὐτοῦ δεσμωτήριον εἶναι κατέγνωσαν καὶ τὴν εἰκόνα καθεῖλον παρὰ τῇ Ἥρᾳ τῇ Λακινίᾳ κειμένην.

2 Ἀνάκειται δὲ καὶ ἐν Ὀλυμπίᾳ στήλη λέγουσα τοῦ 482
Λακεδαιμονίου Χιόνιδος τὰς νίκας. εὐηθείας μὲν δη μετέχουσιν ὅσοι Χίονιν αὐτὸν ἀναθεῖναι τὴν στήλην, ἀλλ' οὐ Λακεδαιμονίων ἥγηνται τὸ δημόσιον· ἔστω γὰρ δήπου ὡς ἐν τῇ στήλῃ οὐκ εἶναί πω τοῦ ὅπλου τὸν δρόμον· πῶς ἂν οὖν ἐπίσταιτο ὁ Χίονις εἰ αὖθίς ποτε προσνομοθετήσουσιν Ἠλεῖοι; τούτων δὲ ἔτι ἐς πλέον ἥκουσιν εὐηθείας οἳ τὸν ἑστηκότα ἀνδριάντα παρὰ τῇ στήλῃ φασὶν εἰκόνα εἶναι Χιόνιδος, ἔργον ὄντα τοῦ Ἀθηναίου Μύρωνος.

3 2. Ἐοικότα δὲ Χιόνιδι τὰ ἐς δόξαν καὶ ἀνὴρ Λύκιος παρέσχετο Ἑρμογένης Ξάνθιος, ὃς τὸν κότινον ἐν τρισὶν ὀλυμπιάσιν ἀνείλετο ὀκτάκις, ἐπίκλησίν τε ἔσχεν ἵππος ὑπὸ Ἑλλήνων. Ποιήσαιο δ' ἂν καὶ Πολίτην ἐν μεγάλῳ θαύματι. ὁ Πολίτης δ' ἦν οὗτος ἐκ Κεράμου τῆς ἐν τῇ [Θρακίᾳ] Καρίᾳ, ἀνέφηνε δὲ ἀρετὴν ποδῶν ἐν Ὀλυμπίᾳ πᾶσαν· ἀπὸ γὰρ τοῦ μηκίστου καὶ διαρκεστάτου δι' ὀλιγίστου δὴ καιροῦ μεθηρμόσατο ἐπὶ τὸ βραχύτατον ὁμοῦ καὶ ὤκιστον, καὶ δολίχου τε ἐν ἡμέρᾳ τῇ αὐτῇ καὶ παραυτίκα σταδίου λαβὼν νίκην προσέθηκε διαύλου σφίσι τὴν
4 τρίτην. Πολίτης μὲν δὴ ἐπὶ τῆς δευτέρας *** καὶ τέσσαρας, ὡς ἕκαστοι συνταχθῶσιν ὑπὸ τοῦ κλήρου, καὶ οὐκ ἀθρόους ἀφιᾶσιν ἐς τὸν δρόμον· οἳ δ' ἂν ἐν ἑκάστῃ τάξει κρατήσωσιν, ὑπὲρ αὐτῶν αὖθις θέουσι τῶν ἄθλων· καὶ 483
οὕτω σταδίου δύο ὁ στεφανούμενος ἀναιρήσεται νίκας.
3. Τὰ μέντοι ἐπιφανέστατα ἐς δρόμον Λεωνίδᾳ Ῥοδίῳ

ἐστίν· ἐπὶ γὰρ τέσσαρας ὀλυμπιάδας ἀκμάζων τε τῇ ὠκύτητι ἀντήρκεσε, καὶ γεγόνασιν αὐτῷ δρόμου νῖκαι δύο
ἀριθμὸν καὶ δέκα. Χιόνιδος δὲ οὐ πόρρω τῆς ἐν Ὀλυμπίᾳ 5
στήλης Σκαῖος ἕστηκεν ὁ Δούριος Σάμιος, κρατήσας πυγμῇ παῖδας· τέχνη δὲ ἡ εἰκὼν ἔστι μὲν Ἱππίου· τὸ δὲ ἐπίγραμμα δηλοῖ τὸ ἐπ' αὐτῷ, νικῆσαι Σκαῖον ἡνίκα ὁ Σαμίων δῆμος ἔφευγεν ἐκ τῆς νήσου, τὸν δὲ καιρὸν ***
ἐπὶ τὰ οἰκεῖα τὸν δῆμον. 4. Παρὰ δὲ τὸν τύραννον Διάλ- 6
λος ὁ Πόλλιδος ἀνάκειται, γένος μὲν Σμυρναῖος, Ἰώνων δὲ πρῶτος λαβεῖν ἐν Ὀλυμπίᾳ φησὶν οὗτος ὁ Διάλλος παγκρατίου στέφανον ἐν παισίν. Θερσίλοχον δὲ Κορκυραῖον καὶ Ἀριστίωνα Θεοφίλους Ἐπιδαύριον, τὸν μὲν ἀνδρῶν πυγμῆς, Θερσίλοχον δὲ λαβόντα ἐν παισὶ στέφα-
νον, Πολύκλειτος ἐποίησε σφᾶς ὁ Ἀργεῖος. Βύκελος δέ, 7
ὃς Σικυωνίων πρῶτος πὺξ ἐκράτησεν ἐν παισίν, ἔστιν ἔργον Σικυωνίου Κανάχου παρὰ τῷ Ἀργείῳ Πολυκλείτῳ διδαχθέντος. παρὰ δὲ τὸν Βύκελον ὁπλίτης ἀνὴρ ἐπίκλησιν Λίβυς Μνασέας Κυρηναῖος ἕστηκε· Πυθαγόρας δὲ ὁ Ῥηγῖνος ἐποίησε τὴν εἰκόνα. Κυζικηνῷ δὲ Ἀγεμάχῳ τῶν ἐκ τῆς Ἀσιανῆς ἠπείρου *** γενέσθαι ἐν Ἄργει τὸ
ἐπίγραμμα τὸ ἐπ' αὐτῷ μηνύει. Νάξου δὲ οἰκισθείσης 8
ποτὲ ἐν Σικελίᾳ ὑπὸ Χαλκιδέων τῶν ἐπὶ τῷ Εὐρίπῳ, τῆς πόλεως μὲν οὐδὲ ἐρείπια ἐλείπετο ἐς ἡμᾶς ἔτι, ὄνομα δὲ καὶ ἐς τοὺς ἔπειτα εἶναι τῆς Νάξου Τίσανδρος ὁ Κλεοκρίτου μάλιστα αἰτίαν ἐχέτω. τετράκις γὰρ δὴ ἐν ἀνδράσι κατεμαχέσατο ὁ Τίσανδρος πύκτας ἐν Ὀλυμπίᾳ, τοσαῦ-
484 ται δὲ καὶ Πυθοῖ γεγόνασιν αὐτῷ νῖκαι· Κορινθίοις δὲ οὐκ ἦν πω τηνικαῦτα οὐδὲ Ἀργείοις ἐς ἅπαντας ὑπομνήματα τοὺς Νεμέᾳ ** τας.

5. Ἡ δὲ ἵππος ἡ τοῦ Κορινθίου Φειδώλα ὄνομα μέν, 9
ὡς οἱ Κορίνθιοι μνημονεύουσιν, ἔχει Αὔρα, τὸν δὲ ἀναβάτην ἔτι ἀρχομένου τοῦ δρόμου συνέπεσεν ἀποβαλεῖν

αὐτήν, καὶ οὐδέν τι ἧσσον θέουσα ἐν κόσμῳ περί τε τὴν νύσσαν ἐπέστρεφε, καὶ ἐπεὶ τῆς σάλπιγγος ἤκουσεν, ἐπετάχυνεν ἐς πλέον τὸν δρόμον, φθάνει τε δὴ ἐπὶ τοὺς Ἑλλανοδίκας ἀφικομένη, καὶ νικῶσα ἔγνω, καὶ παύεται τοῦ δρόμου. Ἠλεῖοι δὲ ἀνηγόρευσαν ἐπὶ τῇ νίκῃ τὸν Φειδώλαν, καὶ ἀναθεῖναί οἱ τὴν ἵππον ταύτην ἐφιᾶσιν.

106. Ἐγένοντο δὲ καὶ τοῦ Φειδώλα τοῖς παισὶν ἐπὶ κέλητι ἵππῳ νῖκαι, καὶ ὅ τε ἵππος ἐπὶ στήλῃ πεποιημένος καὶ ἐπίγραμμά ἐστιν ἐπ' αὐτῷ·

Ὠκυδρόμας Λύκος Ἴσθμι' ἅπαξ, δύο δ' ἐνθάδε νίκαις
Φειδώλα παίδων ἐστεφάνωσε δόμους.

οὐ μὴν τῷ γε ἐπιγράμματι καὶ τὰ Ἠλείων ἐς τοὺς ὀλυμπιονίκας ὁμολογεῖ γράμματα· ὀγδόῃ γὰρ ὀλυμπιάδι καὶ ἑξηκοστῇ καὶ οὐ πέρα ταύτης ἐστὶν ἐν τοῖς Ἠλείων γράμμασιν ἡ νίκη τῶν Φειδώλα παίδων. ταῦτα μὲν δὴ οὕτως

11 ἔχοντα ἴστω τις· Ἠλείοις δὲ ἀνδράσιν Ἀγαθίνῳ τε τῷ Θρασυβούλου καὶ Τηλεμάχῳ, Τηλεμάχῳ μὲν ἐπὶ ἵππων νίκῃ γέγονεν ἡ εἰκών, Ἀγαθῖνον δὲ ἀνέθεσαν Ἀχαιοὶ Πελληνεῖς. Ἀνέθηκε δὲ καὶ ὁ Ἀθηναίων δῆμος Ἀριστοφῶντα Λυσίνου παγκρατιαστὰς ἐν τῷ ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ κρατήσαντα ἄνδρας.

**XIV.** Φερίας δὲ Αἰγινήτης, οὗτος γὰρ δὴ παρὰ τὸν 485
Ἀθηναῖον Ἀριστοφῶντα ἀνάκειται, ὀγδόῃ μὲν πρὸς ταῖς ἑβδομήκοντα ὀλυμπιάδι κομιδῇ τε ἔδοξεν εἶναι νέος, καὶ οὐκ ἐπιτήδειός πω νομισθεὶς παλαίειν ἀπηλάθη τοῦ ἀγῶνος, τῇ δὲ ἑξῆς, κατεδέχθη γὰρ τηνικαῦτα ἐς τοὺς παῖδας, ἐνίκα παλαίων. τῷ δὲ Φερίᾳ τούτῳ διάφορον καὶ οὐδαμῶς ἐοικυῖαν ἔσχεν ἐν Ὀλυμπίᾳ τύχην Νικασύλος

2 Ῥόδιος. ὄγδοον γὰρ ἐπὶ τοῖς δέκα ἔτεσι γεγονὼς μὴ παλαῖσαι μὲν ἐν παισὶν ὑπὸ Ἠλείων ἀπηλάθη, ἀνηγορεύθη δὲ ἐν ἀνδράσιν, ὥσπερ γε καὶ ἐνίκησεν· ἀνηγορεύθη δὲ καὶ ὕστερον Νεμέᾳ τε καὶ Ἰσθμῷ. γεγονότα δὲ εἰκοσαετῆ

τὸ χρεὼν ἐπιλαμβάνει, πρὶν ἢ ἐς τὴν Ῥόδον αὐτὸν οἴ-
καδε ἀναστρέψαι. Τὸ δὲ ἐν Ὀλυμπίᾳ τοῦ Ῥοδίου παλαι-
στοῦ τόλμημα Ἀρτεμίδωρος γένος Τραλλιανὸς ὑπερεβά-
λετο κατὰ ἐμὴν δόξαν. Ἀρτεμιδώρῳ γὰρ ἁμαρτεῖν μὲν
Ὀλυμπίων συνέβη παγκρατιάζοντι ἐν παισίν· αἰτία δέ οἱ
ἐγένετο τῆς διαμαρτίας τὸ ἄγαν νέον. ὡς δὲ ἀφίκετο 3
ἀγῶνος καιρὸς ὃν Σμυρναῖοι Ἰώνων ἄγουσιν, ἐς τοσοῦτο
ἄρα αὐτῷ τὰ τῆς ῥώμης ἐπηύξητο ὡς κρατῆσαι παγκρα-
τιάζοντα ἐπὶ ἡμέρας τῆς αὐτῆς τούς τε ἐξ Ὀλυμπίας ἀντ-
αγωνιστάς, καὶ ἐπὶ τοῖς παισὶν οὓς ἀγενείους καλοῦσι,
καὶ τρίτα δὴ ὅ τι ἄριστον ἦν τῶν ἀνδρῶν. γενέσθαι δέ οἱ
τὴν ἅμιλλαν πρὸς ἀγενείους τε καὶ ἄνδρας τὴν μὲν ἐκ
γυμναστοῦ παρακλήσεώς φασι, τὴν δὲ ἐξ ἀνδρὸς παγ-
κρατιαστοῦ λοιδορίας. ἀνείλετο δὲ ἐν ἀνδράσιν ὁ Ἀρτε-
μίδωρος Ὀλυμπικὴν νίκην δευτέρᾳ καὶ δεκάτῃ πρὸς δια-
κοσίαις ὀλυμπιάδι. Νικασύλου δὲ τῆς εἰκόνος ἵππος τε 4
οὐ μέγας ἔχεται χαλκοῦς, ὃν Κρόκων Ἐρετριεὺς ἀνέθη-
κεν ἀνελόμενος κέλητι ἵππῳ στέφανον, καὶ πλησίον τοῦ
ἵππου Τελέστας ἐστὶ Μεσσήνιος, κρατήσας πυγμῇ παῖ-
δας· Σιλανίωνος δὲ ἔργον ἐστὶν ὁ Τελέστας.

486 2. Μίλωνα δὲ τὸν Διοτίμου πεποίηκε μὲν Δαμέας 5
ἐκ Κρότωνος καὶ οὗτος· ἐγένοντο δὲ τῷ Μίλωνι ἓξ μὲν
ἐν Ὀλυμπίᾳ πάλης νῖκαι, μία δὲ ἐν παισὶν ἐξ αὐτῶν,
Πυθοῖ δὲ ἔν τε ἀνδράσιν ἓξ καὶ μία καὶ ἐνταῦθα ἐν παισίν.
ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς Ὀλυμπίαν· ἀλλὰ
γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι Τιμασίθεον πολί-
την τε ὄντα αὐτῷ καὶ ἡλικίᾳ νέον, πρὸς δὲ καὶ σύνεγγυς
οὐκ ἐθέλοντα ἵστασθαι. λέγεται δὲ καὶ ὡς ἐσκομίσειεν 6
αὐτὸς αὑτοῦ τὸν ἀνδριάντα ἐς τὴν Ἄλτιν ὁ Μίλων. λέγε-
ται δὲ ἐς αὐτὸν καὶ τὸ ἐπὶ τῇ ῥοιᾷ καὶ τὸ ἐπὶ τῷ δίσκῳ.
ῥοιὰν μὲν δὴ οὕτω κατεῖχεν ὡς μήτε ἄλλῳ παρεῖναι βια-
ζομένῳ μήτε αὐτὸς λυμήνασθαι πιέζων· ἱστάμενος δὲ

*ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. παρείχετο δὲ*
7 *καὶ ἄλλα τοιάδε ἐς ἐπίδειξιν. περιεδεῖτο τῷ μετώπῳ χορδὴν κατὰ ταὐτὰ δὴ καὶ εἰ ταινίαν περιθεῖτο ἢ στέφανον· κατέχων δὲ ἐντὸς χειλῶν τὸ ἆσθμα καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας διερρήγνυεν ὑπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδήν. λέγεται δὲ καὶ ὡς τῆς δεξιᾶς χειρὸς τὸ μὲν ἐς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ' αὐτὴν καθίει τὴν πλευράν, τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν ἐς εὐθύ, τῶν δακτύλων τὸν μὲν αὐτῶν ἀναστρέφων τὸν ἀντίχειρα ἐς τὸ ἄνω, τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ στοῖχον· τὸν ἐλάχιστον οὖν τῶν δακτύλων κάτω γινό-*
8 *μενον οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος.* 3. *Ἀποθανεῖν δὲ ὑπὸ θηρίων φασὶν αὐτόν· ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ Κροτωνιάτιδι αὐαινομένῳ ξύλῳ, σφῆνες δὲ ἐγκείμενοι διίστασαν τὸ ξύλον· ὁ δὲ ὑπὸ φρονήματος ὁ Μίλων καθίησι τὰς χεῖρας ἐς τὸ ξύλον· ὀλισθάνουσί τε δὴ οἱ σφῆ-* 487
*νες, καὶ ἐχόμενος ὁ Μίλων ὑπὸ τοῦ ξύλου λύκοις ἐγίνετο εὕρημα. μάλιστα δὲ πως τὸ θηρίον τοῦτο ἐν τῇ Κροτωνιάτιδι πολύ τε νέμεται καὶ ἄφθονον. Μίλωνι μὲν δὴ τοιόνδε τέλος ἐπηκολούθησε.*

9 4. *Πύρρον δὲ τὸν Αἰακίδου βασιλεύσαντα ἐν τῇ Θεσπρωτίδι ἠπείρῳ καὶ ἔργα πολλὰ ἐργασάμενον καὶ ἄξια μνήμης, ἃ ἐν τῷ λόγῳ τῷ ἐς Ἀθηναίους ἐδήλωσα, τοῦτον ἐς τὴν Ἄλτιν ἀνέθηκε Θρασύβουλος Ἠλεῖος. Παρὰ δὲ τὸν Πύρρον ἀνὴρ μικρὸς αὐλοὺς ἔχων ἐστὶν ἐκτετυπωμένος ἐπὶ στήλῃ. τούτῳ Πυθικαὶ νῖκαι γεγόνασι τῷ ἀνδρὶ*
10 *δευτέρῳ μετὰ Σακάδαν τὸν Ἀργεῖον· Σακάδας μὲν γὰρ τὸν ἀγῶνα τὸν τεθέντα ὑπὸ Ἀμφικτυόνων οὐκ ὄντα πω στεφανίτην καὶ ἐπ' ἐκείνῳ στεφανίτας δύο ἐνίκησε,* 5. *Πυθόκριτος δὲ ὁ Σικυώνιος τὰς ἐφεξῆς τούτων πυθιάδας ἕξ, μόνος δὴ οὗτος αὐλητής. δῆλα δὲ ὅτι καὶ ἐν τῷ*

αγῶνι τῷ Ὀλυμπίασιν ἐπηύλησεν [ἑξάκις] τῷ πεντάθλῳ.
Πυθοκρίτῳ μὲν γέγονεν ἀντὶ τούτων ἡ ἐν Ὀλυμπίᾳ στήλη
καὶ ἐπίγραμμα ἐπ' αὐτῇ·

Πυθοκρίτου
τοῦ Καλλινίκου μνᾶμα ταὐλητᾶ τόδε.

Ἀνέθεσαν δὲ καὶ τὸ κοινὸν τὸ Αἰτωλῶν Κύλωνα, 11
ὃς ἀπὸ τῆς Ἀριστοτίμου τυραννίδος ἠλευθέρωσεν Ἠλεί-
ους. Γόργον δὲ τὸν Εὐκλήτου Μεσσήνιον ἀνελόμενον
πεντάθλου νίκην, καὶ Δαμάρετον καὶ τοῦτον Μεσσήνιον
κρατήσαντα πυγμῇ παῖδας, τὸν μὲν αὐτῶν Βοιώτιος
Θήρων, Δαμαρέτου δὲ τὴν εἰκόνα Ἀθηναῖος Σιλανίων
ἐποίησεν. Ἀναυχίδας δὲ ὁ Φίλυος Ἠλεῖος πάλης ἔσχεν ἐν
παισὶ στέφανον καὶ ἐν ἀνδράσιν ὕστερον. τούτῳ μὲν δὴ
τὴν εἰκόνα ὅστις ὁ εἰργασμένος ἐστὶν οὐκ ἴσμεν· Ἄνοχος
δὲ ὁ Ἀδαμάτα Ταραντῖνος, σταδίου λαβὼν καὶ διαύλου
νίκην, ἐστὶν Ἀγελάδα τέχνη τοῦ Ἀργείου. Παῖδα δὲ ἐφ' 12
ἵππου καθήμενον καὶ ἑστηκότα ἄνδρα παρὰ τὸν ἵππον,
φησὶ τὸ ἐπίγραμμα εἶναι Ξενόμβροτον ἐκ Κῶ τῆς Μερο-
488 πίδος, ἐπὶ ἵππου νίκῃ κεκηρυγμένον, Ξενόδικον δὲ ἐπὶ
πυγμῇ παίδων ἀναγορευθέντα· τὸν μὲν Παντίας αὐτῶν,
Ξενόμβροτον δὲ Φιλότιμος Αἰγινήτης ἐποίησε. Πύθου
δὲ τοῦ Ἀνδρομάχου, γένος ἀνδρὸς ἐξ Ἀβδήρων, ἐποίησε
μὲν Λύσιππος, ἀνέθεσαν δὲ οἱ στρατιῶται δύο εἰκόνας·
εἶναι δὲ ἡγεμών τις ξένων ἢ καὶ ἄλλως τὰ πολεμικὰ ἀγα-
θὸς ὁ Πύθης ἔοικε.

Κεῖνται δὲ καὶ ἐν παισὶν εἰληφότες δρόμου νίκας 13
Μενεπτόλεμος ἐξ Ἀπολλωνίας τῆς ἐν τῷ Ἰονίῳ κόλπῳ
καὶ Κορκυραῖος Φίλων, ἐπὶ δὲ αὐτοῖς Ἱερώνυμος Ἄν-
δριος, ὃς τὸν Ἠλεῖον Τισαμενὸν πενταθλοῦντα ἐν Ὀλυμ-
πίᾳ κατεπάλαισε, τὸν [ἐν] Ἕλλησιν ὕστερον τούτων
ἐναντία Μαρδονίου καὶ Μήδων Πλαταιᾶσι μαντευσάμε-
νον. οὗτός τε δὴ ὁ Ἱερώνυμος ἀνάκειται, καὶ παρ' αὐτὸν

*παλαιστὴς παῖς, Ἄνδριος καὶ οὗτος, Προκλῆς ὁ Λυκαστίδα. τοῖς πλάσταις δὲ οἳ τοὺς ἀνδριάντας ἐποίησαν, τῷ μὲν Στόμιός ἐστιν ὄνομα, τῷ δὲ τὸν Προκλέα εἰργασμένῳ Σῶμις. Αἰσχίνῃ δὲ Ἠλείῳ νῖκαί τε δύο ἐγένοντο πεντάθλου καὶ ἴσαι ταῖς νίκαις αἱ εἰκόνες.*

**XV.** *Ἀρχίππῳ δὲ Μιτυληναίῳ τοὺς ἐς τὴν πυγμὴν ἐσελθόντας κρατήσαντι ἄνδρας ἄλλο τοιόνδε προσποιοῦσιν οἱ Μιτυληναῖοι ἐς δόξαν, ὡς καὶ τὸν ἐν Ὀλυμπίᾳ καὶ Πυθοῖ καὶ Νεμέᾳ καὶ Ἰσθμῷ λάβοι στέφανον ἡλικίαν οὐ πρόσω γεγονὼς ἐτῶν εἴκοσι. Τὸν δὲ παῖδα σταδιοδρόμον Ξένωνα Καλλιτέλους ἐκ Λεπρέου τοῦ ἐν τῇ Τριφυλίᾳ Πυριλάμπης Μεσσήνιος, Κλεινόμαχον δὲ Ἠλεῖον ὅστις ὁ ποιήσας ἐστὶν οὐκ ἴσμεν· ἀνηγορεύθη δὲ ὁ Κλεινόμαχος*
2 *ἐπὶ νίκῃ πεντάθλου.* **2.** *Παντάρκην δὲ Ἠλεῖον Ἀχαιῶν ἀνάθημα εἶναι τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησίν· εἰρήνην τε γὰρ Ἀχαιοῖς ποιῆσαι καὶ Ἠλείοις αὐτόν, καὶ ὅσοι παρ' ἀμφοτέρων πολεμούντων ἑαλώκεσαν, ἄφεσιν καὶ τούτοις γενέσθαι δι' αὐτόν. οὗτος ἀνείλετο καὶ κέλητι ἵππῳ νίκην ὁ Παντάρκης, καί οἱ καὶ τῆς νίκης ὑπόμνημά ἐστιν* 489
*ἐν Ὀλυμπίᾳ. Ὀλίδαν δὲ ἀνέθηκεν Ἠλεῖον τὸ ἔθνος τὸ Αἰτωλῶν. Χαρῖνος δὲ Ἠλεῖος ἐπὶ διαύλου τε ἀνάκειται καὶ ὅπλου νίκῃ· παρὰ δὲ αὐτὸν Ἀγέλης Χῖος κρατήσας πυγμῇ παῖδας, Θεομνήστου Σαρδιανοῦ τέχνη.*

3 **3.** *Κλειτομάχου δὲ Θηβαίου τὴν μὲν εἰκόνα ἀνέθηκεν Ἑρμοκράτης ὁ τοῦ Κλειτομάχου πατήρ, τὰ δέ οἱ ἐς δόξαν ἦν τοιάδε. ἐν Ἰσθμῷ παλαιστὰς κατεπάλαισεν ἄνδρας, καὶ ἐπὶ ἡμέρας τῆς αὐτῆς τούς τε τὴν πυγμὴν καὶ τοὺς ἐς τὸ παγκράτιον ἐσελθόντας ἐκράτει τῇ μάχῃ. αἱ δὲ Πυθοῖ νῖκαι παγκρατίου μέν εἰσιν αὐτῷ πᾶσαι, τρεῖς δὲ ἀριθμόν. ἐν δὲ Ὀλυμπίᾳ δεύτερος ὁ Κλειτόμαχος οὗτος μετὰ τὸν Θάσιον Θεαγένην ἐπὶ παγκρατίῳ τε ἀνηγορεύθη*
4 *καὶ πυγμῇ. Παγκρατίου μὲν οὖν μιᾷ πρὸς ταῖς τεσσαρά-*

κοντα καὶ ἑκατὸν ὀλυμπιάδι ἔφθανεν ἀνῃρημένος νίκην. ἡ δὲ ὀλυμπιὰς ἡ ἐφεξῆς εἶχε μὲν τὸν Κλειτόμαχον τοῦτον παγκρατίου καὶ πυγμῆς ἀγωνιστήν, εἶχε δὲ καὶ Ἠλεῖον Κάπρον ἐπὶ ἡμέρας τῆς αὐτῆς παλαῖσαί τε ὁμοῦ καὶ παγ-
κρατιάσαι προθυμούμενον. γεγονυίας δὲ ἤδη τῷ Κάπρῳ 5
νίκης ἐπὶ τῇ πάλῃ, ἀνεδίδασκεν ὁ Κλειτόμαχος τοὺς Ἑλλανοδίκας γενήσεσθαι σὺν τῷ δικαίῳ σφίσιν, εἰ τὸ παγκράτιον ἐσκαλέσαιντο πρὶν ἢ πυκτεύσαντα αὐτὸν λαβεῖν τραύματα. λέγει τε δὴ εἰκότα, καὶ οὕτως ἐσκληθέντος τοῦ παγκρατίου κρατηθεὶς ὑπὸ τοῦ Κάπρου ὅμως ἐχρήσατο ἐς τοὺς πύκτας θυμῷ τε ἐρρωμένῳ καὶ ἀκμῆτι τῷ σώματι.
Ἐρυθραῖοι δὲ οἱ Ἴωνες Ἐπιθέρσην τὸν Μητροδώ- 6
ρου, δύο μὲν ἐν Ὀλυμπίᾳ πυγμῆς, δὶς δὲ Πυθοῖ νίκας καὶ ἐν Νεμέᾳ τε καὶ ἐν Ἰσθμῷ λαβόντα, οὗτοι μὲν τὸν Ἐπιθέρσην τοῦτον, Συρακόσιοι δὲ δύο μὲν Ἱέρωνος εἰκόνας τὸ δημόσιον, τρίτην δὲ ἀνέθεσαν οἱ τοῦ Ἱέρωνος παῖδες. ἐδήλωσα δὲ ὀλίγῳ τι πρότερον ὡς ὁμώνυμός τε τῷ Δεινομένους ὁ Ἱέρων οὗτος καὶ Συρακουσῶν εἴη κατὰ
490 ταὐτὰ ἐκείνῳ τύραννος. Ἀνέθεσαν δὲ καὶ Ἠλεῖον ἄνδρα 7
Τιμόπτολιν Λάμπιδος Παλεῖς, ἡ τετάρτη Κεφαλλήνων μοῖρα. οὗτοι δὲ οἱ Παλεῖς ἐκαλοῦντο Δουλιχιεῖς τὰ ἀρχαιότερα. 4. Ἀνάκειται δὲ καὶ Ἀρχίδαμος ὁ Ἀγησιλάου, καὶ ἀνὴρ ὅστις δὴ θηρεύοντος παρεχόμενος σχῆμα. Δημήτριον δὲ τὸν ἐλάσαντα ἐπὶ Σέλευκον στρατιᾷ καὶ ἁλόντα ἐν τῇ μάχῃ, καὶ τοῦ Δημητρίου τὸν παῖδα Ἀντίγονον, ἀναθήματα ἴστω τις Βυζαντίων ὄντας. Σπαρτιάτῃ δὲ 8
Εὐτελίδᾳ γεγόνασιν ἐν παισὶ νῖκαι δύο ἐπὶ τῆς ὀγδόης καὶ τριακοστῆς ὀλυμπιάδος πάλης, ἡ δὲ ἑτέρα πεντάθλου· πρῶτον γὰρ δὴ τότε οἱ παῖδες καὶ ὕστατον πενταθλήσοντες ἐσεκλήθησαν. ἔστι δὲ ἥ τε εἰκὼν ἀρχαία τοῦ Εὐτελίδα, καὶ τὰ ἐπὶ τῷ βάθρῳ γράμματα ἀμυδρὰ ὑπὸ τοῦ
χρόνου. 5. Μετὰ δὲ τὸν Εὐτελίδαν Ἀρεύς τε αὖθις ὁ 9

*Λακεδαιμονίων βασιλεὺς καὶ Ἠλεῖος παρ᾽ αὐτὸν ἀνάκει-
ται Γόργος. μόνῳ δὲ ἀνθρώπων ἄχρι ἐμοῦ τῷ Γόργῳ
τέσσαρες μὲν ἐν Ὀλυμπίᾳ γεγόνασιν ἐπὶ πεντάθλῳ, διαύ-
λου δὲ καὶ ὅπλου μία ἐφ᾽ ἑκατέρου νίκη.*
10 6. *Ὅτῳ δὲ παρεστήκασιν οἱ παῖδες, τοῦτον μὲν Πτο-
λεμαῖον τὸν Λάγου φασὶν εἶναι· παρὰ δὲ αὐτὸν ἀνδριάν-
τες δύο ἀνδρός εἰσιν Ἠλείου Κάπρου τοῦ Πυθαγόρου,
πάλης τε εἰληφότος καὶ παγκρατίου στέφανον ἐπὶ ἡμέρας
τῆς αὐτῆς. πρώτῳ δὲ γεγόνασιν ἀνθρώπων αἱ δύο νῖκαι
τῷ Κάπρῳ τούτῳ. τὸν μὲν δὴ ἐπὶ τοῦ παγκρατίου κατα-
γωνισθέντα ὑπ᾽ αὐτοῦ δεδήλωκεν ὁ λόγος ἤδη μοι· πα-
λαίων δὲ κατέβαλεν Ἠλεῖον Παιάνιον ὀλυμπιάδα πάλῃ
τὴν προτέραν ἀνῃρημένον καὶ Πύθια παίδων τε πυγμῇ
καὶ αὖθις ἐν ἀνδράσι πάλῃ τε καὶ πυγμῇ στεφανωθέντα
ἐπὶ ἡμέρας τῆς αὐτῆς.*

XVI. *Κάπρῳ μὲν δὴ οὐκ ἄνευ μεγάλων πόνων καὶ
ἰσχυρᾶς ταλαιπωρίας ἐγένοντο αἱ νῖκαι· εἰσὶ δὲ εἰκόνες* 491
*ἐν Ὀλυμπίᾳ καὶ Ἀναυχίδᾳ καὶ Φερενίκῳ, γένος μὲν Ἠλεί-
οις, πάλης δὲ ἐν παισὶν ἀνελομένοις στεφάνους. Πλεί-
σταινον δὲ τὸν Εὐρυδάμου τοῦ ἐναντία Γαλατῶν στρα-*
2 *τηγήσαντος Αἰτωλοῖς Θεσπιεῖς εἰσὶν οἱ ἀναθέντες. Τυ-
δεὺς δὲ Ἠλεῖος Ἀντίγονόν τε τὸν Δημητρίου πατέρα καὶ
Σέλευκον ἀνέθηκε. Σελεύκου δὲ ἐς ἅπαντας ἤρθη τὸ
ὄνομα ἀνθρώπους ἄλλων τε ἕνεκα καὶ διὰ τὴν Δημητρίου
μάλιστα ἅλωσιν.* 2. *Τίμωνι δὲ ἀγώνων τε νῖκαι τῶν ἐν
Ἕλλησιν ὑπάρχουσιν ἐπὶ πεντάθλῳ πλὴν τοῦ Ἰσθμικοῦ,
τούτου δὲ τὸ μὴ ἀγωνιστὴς γενέσθαι κατὰ τὰ αὐτὰ Ἠλεί-
οις τοῖς ἄλλοις εἴργετο, καὶ τάδε ἄλλα φησὶ τὸ ἐς αὐτὸν
ἐπίγραμμα, Αἰτωλοῖς αὐτὸν ἐπιστρατείας μετασχεῖν ἐπὶ
Θεσσαλούς, καὶ φρουρᾶς ἡγεμόνα ἐν Ναυπάκτῳ φιλίᾳ*
3 *γενέσθαι τῇ ἐς Αἰτωλούς.* 3. *Τίμωνος δὲ οὐ πόρρω τῆς
εἰκόνος Ἑλλάς τε δὴ καὶ Ἦλις παρὰ τὴν Ἑλλάδα, ἡ μὲν*

Ἀντίγονον τὸν ἐπιτροπεύσαντα Φιλίππου τοῦ Δημη-
τρίου, τῇ δὲ ἑτέρᾳ τῶν χειρῶν τὸν Φίλιππον στεφανοῦσα
αὐτόν, ἡ δὲ Ἦλις Δημήτριον τὸν στρατεύσαντα ἐπὶ Σέ-
λευκον καὶ Πτολεμαῖον τὸν Λάγου στεφανοῦσά ἐστιν.
Ἀριστείδῃ δὲ Ἠλείῳ γενέσθαι μὲν ὅπλου νίκην ἐν 4
Ὀλυμπίᾳ, γενέσθαι δὲ καὶ διαύλου Πυθοῖ τὸ ἐπίγραμμα
τὸ ἐπ' αὐτῷ δηλοῖ, Νεμείων τε ἐν παισὶν ἐπὶ τῷ ἱππίῳ
(δρόμῳ). 4. δρόμου δέ εἰσι τοῦ ἱππίου μῆκος μὲν δίαυλοι
δύο, ἐκλειφθέντα δὲ ἐκ Νεμείων τε καὶ Ἰσθμίων αὐτὸν
βασιλεὺς Ἀδριανὸς ἐς Νεμείων ἀγῶνα τῶν χειμερινῶν
ἀπέδωκεν Ἀργείοις.
Τοῦ δὲ Ἀριστείδου ἐγγύτατα Μενάλκης ἕστηκεν 5
Ἠλεῖος, ἀναγορευθεὶς Ὀλυμπίασιν ἐπὶ πεντάθλῳ, καὶ
Φιλωνίδης Ζώτου, γένος μὲν ἐκ Χερρονήσου τῆς Κρη-
492 τῶν, Ἀλεξάνδρου δὲ ἡμεροδρόμος τοῦ Φιλίππου. Μετὰ
δὲ τοῦτον Βριμίας ἐστὶν Ἠλεῖος, κρατήσας ἄνδρας πυγμῇ,
Λεωνίδα τε ἐκ Νάξου τῆς ἐν τῷ Αἰγαίῳ, Ψωφιδίων ἀνά-
θημα Ἀρκάδων, Ἀσάμωνός τε εἰκὼν ἐν ἀνδράσι πυγμῇ
νενικηκότος, ἡ δὲ Νικάνδρου, διαύλου μὲν δύο ἐν Ὀλυμ-
πίᾳ, Νεμείων δὲ ἀναμὶξ ἐπὶ δρόμῳ νίκας ἓξ ἀνῃρημένου.
ὁ δὲ Ἀσάμων καὶ ὁ Νίκανδρος Ἠλεῖοι μὲν ἦσαν, πεποίηκε
δὲ τῷ μὲν Δάϊππος τὴν εἰκόνα, Ἀσάμωνι δὲ Πυριλάμ-
πης Μεσσήνιος. Εὐαλκίδᾳ δὲ Ἠλείῳ καὶ Σελεάδᾳ Λακε- 6
δαιμονίῳ, τῷ μὲν ἐν παισὶν ἐγένοντο πυγμῆς νῖκαι, Σε-
λεάδᾳ δὲ ἀνδρῶν πάλης. 5. Ἐνταῦθα καὶ ἅρμα οὐ μέγα
ἀνάκειται Πολυπείθους Λάκωνος, καὶ ἐπὶ στήλης τῆς
αὐτῆς Καλλιτέλης ὁ τοῦ Πολυπείθους πατήρ, παλαιστὴς
ἀνήρ· νῖκαι δέ σφισι, τῷ μὲν ἵπποις, Καλλιτέλει δὲ πα-
λαίσαντί εἰσιν. Ἰδιώτας δὲ ἄνδρας Ἠλείους, Λάμπον 7
Ἀρνίσκου καὶ * * * Ἀριστάρχου, Ψωφίδιοι προξένους ὄν-
τας σφίσιν ἀνέθεσαν ἢ καὶ ἄλλην τινὰ ἐς αὐτοὺς ἔχοντας
εὔνοιαν. μέσος δὲ ἕστηκεν αὐτῶν Λύσιππος Ἠλεῖος, κα-

ταπαλαίσας τοὺς ἐσελθόντας τῶν παίδων· Ἀνδρέας δὲ Ἀργεῖος ἐποίησε τοῦ Λυσίππου τὴν εἰκόνα.

8 6. Λακεδαιμονίῳ δὲ Δεινοσθένει σταδίου τε ἐγένετο ἐν ἀνδράσιν Ὀλυμπικὴ νίκη, καὶ στήλην ἐν τῇ Ἄλτει παρὰ τὸν ἀνδριάντα ἀνέθηκεν ὁ Δεινοσθένης· ὁδοῦ δὲ τῆς ἐς Λακεδαίμονα ἐξ Ὀλυμπίας ἐπὶ ἑτέραν στήλην τὴν ἐν Λακεδαίμονι μέτρα εἶναι σταδίους ἑξήκοντα καὶ ἑξακοσίους. 7. Θεόδωρον δὲ λαβόντα ἐπὶ πεντάθλῳ νίκην, καὶ Πύτταλον Λάμπιδος πυγμῇ παῖδας κρατήσαντα, καὶ Νεολαΐδαν σταδίου τε ἀνελόμενον καὶ ὅπλου στέφανον, Ἠλείους σφᾶς ὄντας ἴστω τις. Ἐπὶ δὲ τῷ Πυττάλῳ καὶ τάδε ἔτι λέγουσιν, ὡς γενομένης πρὸς Ἀρκάδας Ἠλείοις ἀμφισβητήσεως περὶ γῆς ὅρων εἶπεν οὗτος ὁ Πύτταλος τὴν δίκην. ὁ δέ οἱ ἀνδριὰς ἔργον ἐστὶν Ὀλυνθίου Σθέννι-
9 δος. Ἐφεξῆς δὲ Πτολεμαῖός τέ ἐστιν ἀναβεβηκὼς ἵππον, καὶ παρ' αὐτὸν Ἠλεῖος ἀθλητὴς Παιάνιος ὁ Δαματρίου, πάλης τε ἐν Ὀλυμπίᾳ καὶ τὰς δύο Πυθικὰς ἀνῃρημένος 493
νίκας. Κλεάρετός τέ ἐστιν Ἠλεῖος πεντάθλου λαβὼν στέφανον, καὶ ἅρμα ἀνδρὸς Ἀθηναίου Γλαύκωνος τοῦ Ἐτεοκλέους· ἀνηγορεύθη δὲ ὁ Γλαύκων οὗτος ἐπὶ ἅρματος τελείου δρόμῳ.

XVII. Ταῦτα μὲν δὴ τὰ ἀξιολογώτατα ἀνδρὶ ποιουμένῳ τὴν ἔφοδον ἐν τῇ Ἄλτει κατὰ τὰ ἡμῖν εἰρημένα· εἰ δὲ ἀπὸ τοῦ Λεωνιδαίου πρὸς τὸν βωμὸν τὸν μέγαν ἀφικέσθαι τῇ δεξιᾷ θελήσειας, τοσάδε ἔστι σοι τῶν ἀνηκόντων ἐς μνήμην. Δημοκράτης Τενέδιος καὶ Ἠλεῖος Κριάννιος, οὗτος μὲν ὅπλου λαβὼν νίκην, Δημοκράτης δὲ ἀνδρῶν πάλης. ἀνδριάντας δὲ τοῦ μὲν Μιλήσιος Διονυσικλῆς, τοῦ δὲ Κριαννίου Μακεδὼν Λῦσός ἐστιν ὁ ἐργα-
2 σάμενος. Κλαζομενίου δὲ Ἡροδότου καὶ Φιλίνου τοῦ Ἡγεπόλιδος Κῴου ἀνέθεσαν τὰς εἰκόνας αἱ πόλεις, Κλαζομένιοι μὲν ὅτι ἐν Ὀλυμπίᾳ Κλαζομενίων πρῶτος ἀνη-

γορεύθη νικῶν Ἡρόδοτος, ἡ δέ οἱ νίκη σταδίου γέγονεν
ἐν παισί, Φιλῖνον δὲ οἱ Κῷοι δόξης ἕνεκα ἀνέθεσαν· ἐν
μέν γε Ὀλυμπίᾳ δρόμου γεγόνασιν αὐτῷ νῖκαι πέντε,
τέσσαρες δὲ Πυθοῖ καὶ ἴσαι Νεμείων, ἐν δὲ Ἰσθμῷ μία
ἐπὶ ταῖς δέκα. 2. Πτολεμαῖον δὲ τὸν Πτολεμαίου τοῦ Λά- 3
γου Ἀριστόλαος ἀνέθηκε Μακεδὼν ἀνήρ. Ἀνάκειται δὲ
καὶ πύκτης κρατήσας ἐν παισί, Βούτας Πολυνείκους
Μιλήσιος, καὶ Καλλικράτης ἀπὸ τῆς ἐπὶ Ληθαίῳ Μαγ-
νησίας, ἐπὶ τῷ ὁπλίτῃ δρόμῳ στεφάνους δύο ἀνῃρημέ-
νος· Λυσίππου δὲ ἔργον ἡ τοῦ Καλλικράτους ἐστὶν εἰκών.
Ἐμαντίωνι δὲ καὶ Ἀλεξιβίῳ, τῷ μὲν ἐν παισὶ σταδίου, 4
Ἀλεξιβίῳ δὲ πεντάθλου γέγονε νίκη, καὶ Ἡραία τε Ἀρ-
κάδων ἐστὶν αὐτῷ πατρὶς καὶ Ἀκέστωρ ὁ τὴν εἰκόνα εἰρ-
γασμένος· Ἐμαντίωνα δὲ ἥστινος ἦν οὐ δηλοῖ τὸ ἐπί-
γραμμα, ὅτι δὲ τοῦ Ἀρκάδων ἦν ἔθνους δηλοῖ. 3. Κολο-
φώνιοι δὲ Ἑρμησιάναξ Ἀγονέου καὶ Εἰκάσιος Λυκίνου τε
ὢν καὶ τῆς Ἑρμησιάνακτος θυγατρὸς κατεπάλαισαν μὲν
παῖδας ἀμφότεροι, Ἑρμησιάνακτι δὲ καὶ ἀπὸ τοῦ κοινοῦ
τοῦ Κολοφωνίων ὑπῆρξεν ἀνατεθῆναι τὴν εἰκόνα.

Τούτων δέ εἰσιν Ἠλεῖοι πλησίον πυγμῇ παῖδας κρα- 5
494 τήσαντες, ὁ μὲν Σθέννιδος ἔργον τοῦ Ὀλυνθίου Χοιρί-
λος, Θεότιμος δὲ Δαιτώνδα Σικυωνίου. παῖς δὲ ὁ Θεό-
τιμος ἦν Μοσχίωνος, Ἀλεξάνδρῳ τῷ Φιλίππου τῆς ἐπὶ
Δαρεῖον καὶ Πέρσας στρατείας μετασχόντος. 4. Δύο δὲ
αὖθις ἐξ Ἤλιδος, Ἀρχίδαμος τεθρίππῳ νενικηκὼς καὶ
Ἐπέραστός ἐστιν ὁ Θεογόνου ὅπλου νίκην ἀνῃρημένος.
εἶναι δὲ καὶ μάντις ὁ Ἐπέραστος τοῦ Κλυτιδῶν γένους 6
φησὶν ἐπὶ τοῦ ἐπιγράμματος τῇ τελευτῇ·

τῶν δ' ἱερογλώσσων Κλυτιδᾶν γένος εὔχομαι εἶναι
μάντις, ἀπ' ἰσοθέων αἷμα Μελαμποδιδᾶν.

Μελάμποδος γὰρ ἦν τοῦ Ἀμυθάονος Μάντιος, τοῦ δὲ
Ὀϊκλῆς· Κλυτίος δὲ Ἀλκμαίωνος τοῦ Ἀμφιαράου τοῦ

Ὀϊκλέους. ἐγεγόνει δὲ τῷ Ἀλκμαίωνι ὁ Κλυτίος ἐκ τῆς Φηγέως θυγατρός, καὶ ἐς τὴν Ἦλιν μετῴκησε, τοῖς ἀδελφοῖς εἶναι τῆς μητρὸς σύνοικος φεύγων, ἅτε τοῦ Ἀλκμαίωνος ἐπιστάμενος σφᾶς εἰργασμένους τὸν φόνον.

7 5. Ἀνδριάντας δὲ ἀναμεμιγμένους οὐκ ἐπιφανέσιν ἄγαν ἀναθήμασιν, Ἀλεξίνικόν τε Ἠλεῖον, τέχνην τοῦ Σικυωνίου Κανθάρου, πάλης ἐν παισὶν ἀνῃρημένον νίκην, καὶ τὸν Λεοντῖνον Γοργίαν ἰδεῖν ἔστιν· ἀναθεῖναι δὲ τὴν εἰκόνα ἐς Ὀλυμπίαν φησὶν Εὔμολπος ἀπόγονος τρίτος Δηϊκράτους συνοικήσαντος ἀδελφῇ τῇ Γορ-
8 γίου. οὗτος ὁ Γοργίας πατρὸς μὲν ἦν Καρμαντίδου, λέγεται δὲ ἀνασώσασθαι μελέτην λόγων πρῶτος ἠμελη- 495
μένην τε ἐς ἅπαν καὶ ἐς λήθην ὀλίγου δεῖν ἥκουσαν ἀνθρώποις. εὐδοκιμῆσαι δὲ Γοργίαν λόγων ἕνεκα ἔν τε πανηγύρει τῇ Ὀλυμπικῇ φασὶ καὶ ἀφικόμενον κατὰ πρεσβείαν ὁμοῦ Τισίᾳ παρ' Ἀθηναίους. καίτοι ἄλλα τε Τισίας ἐς λόγους ἐσηνέγκατο, καὶ πιθανώτατα τῶν καθ' αὑτὸν γυναικὶ Συρακουσίᾳ χρημάτων ἔγραψεν ἀμφισβήτησιν·
9 ἀλλά γε ἐκείνου τε ἐς πλέον τιμῆς ἀφίκετο ὁ Γοργίας παρὰ Ἀθηναίοις, καὶ Ἰάσων ἐν Θεσσαλίᾳ τυραννήσας Πολυκράτους οὐ τὰ ἔσχατα ἐνεγκαμένου διδασκαλείου τοῦ Ἀθήνησι, τούτου τοῦ ἀνδρὸς ἐπίπροσθεν αὐτὸν ὁ Ἰάσων ἐποιήσατο. βιῶναι δὲ ἔτη Γοργίαν πέντε φασὶν ἐπὶ τοῖς ἑκατόν. Λεοντίνων δὲ ἐρημωθεῖσάν ποτε ὑπὸ Συρακουσίων τὴν πόλιν κατ' ἐμὲ αὖθις συνέβαινεν οἰκεῖσθαι.

XVIII. Ἔστι δὲ καὶ τοῦ Κυρηναίου Κρατισθένους χαλκοῦν ἅρμα, καὶ Νίκη τε ἐπιβέβηκε τοῦ ἅρματος καὶ αὐτὸς ὁ Κρατισθένης. δῆλα μὲν δὴ ὅτι ἵππων γέγονεν αὐτῷ νίκη· λέγεται δὲ καὶ ὡς Μνασέου τοῦ δρομέως, ἐπικληθέντος δὲ ὑπὸ Ἑλλήνων Λίβυος, εἴη παῖς ὁ Κρατισθένης. τὰ δὲ ἀναθήματα αὐτῷ τὰ ἐς Ὀλυμπίαν ἐστὶ τοῦ Ῥηγίνου Πυθαγόρου τέχνη.

2. Ἐνταῦθα καὶ Ἀναξιμένους οἶδα εἰκόνα ἀνευρών, 2
ὃς τὰ ἐν Ἕλλησιν ἀρχαῖα, καὶ ὅσα Φίλιππος ὁ Ἀμύντου
καὶ ὕστερον Ἀλέξανδρος εἰργάσαντο, συνέγραψεν ὁμοίως
ἅπαντα· ἡ δέ οἱ τιμὴ γέγονεν ἐν Ὀλυμπίᾳ παρὰ τῶν
496 Λαμψακηνῶν τοῦ δήμου. ὑπελίπετο δὲ Ἀναξιμένης τοσάδε ἐς μνήμην· βασιλέα γὰρ οὐ τὰ πάντα ἤπιον, ἀλλὰ καὶ τὰ μάλιστα θυμῷ χρώμενον, Ἀλέξανδρον τὸν Φιλίππου τέχνῃ περιῆλθε τοιᾷδε. Λαμψακηνῶν τὰ βασιλέως 3
τοῦ Περσῶν φρονησάντων ἢ καὶ αἰτίαν φρονῆσαι λαβόντων ὁ Ἀλέξανδρος, ἅτε ὑπερζέων ἐς αὐτοὺς τῇ ὀργῇ, κακῶν ἠπείλει τὰ μέγιστα ἐργάσασθαι. οἱ δὲ ἅτε θέοντες περὶ γυναικῶν τε καὶ παίδων καὶ αὐτῆς πατρίδος ἀποστέλλουσιν Ἀναξιμένην ἱκετεύειν, Ἀλεξάνδρῳ τε αὐτῷ καὶ ἔτι Φιλίππῳ πρότερον γεγονότα ἐν γνώσει. προσήει τε ὁ Ἀναξιμένης, καὶ τὸν Ἀλέξανδρον πεπυσμένον καθ' ἥντινα αἰτίαν ἥκοι, κατομόσασθαί φασιν ἐπονομάζοντα θεοὺς τοὺς Ἑλλήνων ἦ μὴν αὐτοῦ ταῖς δεήσεσιν ὁπόσα ἐστὶν ἐναντία ἐργάσασθαι. ἔνθα δὴ εἶπεν Ἀναξιμένης, 4
χαρίσασθαί μοι τήνδε ὦ βασιλεῦ τὴν χάριν, ἐξανδραποδίσασθαι μὲν γυναῖκας καὶ τέκνα Λαμψακηνῶν, καταβαλεῖν δὲ καὶ ἐς ἔδαφος τὴν πόλιν πᾶσαν, τὰ δὲ ἱερὰ τῶν θεῶν σφίσιν ἐμπρῆσαι. ὁ μὲν ταῦτα ἔλεγεν, Ἀλέξανδρος δὲ οὔτε πρὸς τὸ σόφισμα ἀντιμηχανήσασθαί τι εὑρίσκων καὶ ἐνεχόμενος τῇ ἀνάγκῃ τοῦ ὅρκου συγγνώμην ἔνεμεν οὐκ ἐθέλων Λαμψακηνοῖς. 3. Φαίνεται δὲ καὶ ἄνδρα ὁ 5
Ἀναξιμένης ἐχθρὸν οὐκ ἀμαθέστατα ἀλλὰ καὶ ἐπιφθονώτατα ἀμυνάμενος. ἐπεφύκει μὲν αὐτὸς σοφιστὴς καὶ σοφιστῶν λόγους μιμεῖσθαι· ὡς δέ οἱ διαφορὰ ἐς Θεόπομπον ἐγεγόνει τὸν Δαμασιστράτου, γράφει βιβλίον ἐς Ἀθηναίους, καὶ ἐπὶ Λακεδαιμονίοις ὁμοῦ καὶ Θηβαίοις, συγγραφὴν λοίδορον. ὡς δὲ ἦν ἐς τὸ ἀκριβέστατον αὐτῷ μεμιμημένα, ἐπιγράψας τοῦ Θεοπόμπου τὸ ὄνομα

τῷ βιβλίῳ διέπεμπεν ἐς τὰς πόλεις· καὶ αὐτός τε συγγεγραφὼς ἦν, καὶ τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν
6 τὴν Ἑλλάδα ἐπηύξητο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξιμένους πρότερός ἐστιν εὑρηκώς. τὰ ἔπη δὲ τὰ ἐς Ἀλέξανδρον οὔ μοι πιστά ἐστιν Ἀναξιμένην τὸν ποιή- 497
σαντα εἶναι.

4. Σωτάδης δὲ ἐπὶ δολίχου νίκαις ὀλυμπιάδι μὲν ἐνάτῃ καὶ ἐνενηκοστῇ Κρής, καθάπερ γε καὶ ἦν, ἀνερρήθη, τῇ ἐπὶ ταύτῃ δὲ λαβὼν χρήματα παρὰ τοῦ Ἐφεσίων κοινοῦ Ἐφεσίοις ἐσεποίησεν αὑτόν· καὶ αὐτὸν ἐπὶ τῷ ἔργῳ φυγῇ ζημιοῦσιν οἱ Κρῆτες.

7 5. Πρῶται δὲ ἀθλητῶν ἀνετέθησαν ἐς Ὀλυμπίαν εἰκόνες Πραξιδάμαντός τε Αἰγινήτου νικήσαντος πυγμῇ τὴν ἐνάτην ὀλυμπιάδα ἐπὶ ταῖς πεντήκοντα, καὶ Ὀπουντίου Ῥηξιβίου παγκρατιαστὰς καταγωνισαμένου μιᾷ πρὸς ταῖς ἑξήκοντα ὀλυμπιάδι. αὗται κεῖνται μὲν αἱ εἰκόνες οὐ πρόσω τῆς Οἰνομάου κίονος, ξύλου δέ εἰσιν εἰργασμέναι, Ῥηξιβίου μὲν συκῆς, ἡ δὲ τοῦ Αἰγινήτου κυπαρίσσου, καὶ ἧσσον τῆς ἑτέρας πεπονηκυῖά ἐστιν.

**XIX.** Ἔστι δὲ λίθου πωρίνου κρηπὶς ἐν τῇ Ἄλτει, πρὸς ἄρκτον τοῦ Ἡραίου, κατὰ νώτου δὲ αὐτῆς παρήκει τὸ Κρόνιον. ἐπὶ ταύτης τῆς κρηπῖδός εἰσιν οἱ θησαυροί, καθὰ δὴ καὶ ἐν Δελφοῖς Ἑλλήνων τινὲς ἐποίησαν τῷ Ἀπόλλωνι θησαυρούς. 2. ἔστι δὲ θησαυρὸς ἐν Ὀλυμπίᾳ Σικυωνίων καλούμενος, Μύρωνος δὲ ἀνάθημα τυραννή-
2 σαντος Σικυωνίων. τοῦτον ᾠκοδόμησεν ὁ Μύρων νικήσας ἅρματι τὴν τρίτην καὶ τριακοστὴν ὀλυμπιάδα. ἐν δὲ τῷ θησαυρῷ καὶ θαλάμους δύο ἐποίησε, τὸν μὲν Δώριον, τὸν δὲ ἐργασίας τῆς Ἰώνων. χαλκοῦ μὲν δὴ αὐτοὺς ἑώρων εἰργασμένους· εἰ δὲ καὶ Ταρτήσσιος χαλκὸς λόγῳ τῷ
3 Ἠλείων ἐστίν, οὐκ οἶδα. 3. Ταρτήσσιον δὲ εἶναι ποταμὸν ἐν χώρᾳ τῇ Ἰβήρων λέγουσι, στόμασιν ἐς θάλασσαν κατ-

ερχόμενον δυσί, καὶ ὁμώνυμον αὐτῷ πόλιν, ἐν μέσῳ τοῦ ποταμοῦ τῶν ἐκβολῶν κειμένην. τὸν δὲ ποταμὸν μέγιστόν τε ὄντα τῶν ἐν Ἰβηρίᾳ καὶ ἄμπωτιν παρεχόμενον
98 Βαῖτιν ὠνόμασαν οἱ ὕστερον. εἰσὶ δ' οἳ Καρπίαν Ἰβήρων πόλιν καλεῖσθαι νομίζουσι τὰ ἀρχαιότερα Ταρτησσόν. ἐν 4
Ὀλυμπίᾳ δὲ ἐπιγράμματα ἐπὶ τῷ ἐλάσσονί ἐστι τῶν θαλάμων, ἐς μὲν τοῦ χαλκοῦ τὸν σταθμόν, ὅτι πεντακόσια εἴη τάλαντα, ἐς δὲ τοὺς ἀναθέντας, Μύρωνα εἶναι καὶ τὸν Σικυωνίων δῆμον. ἐν τούτῳ τῷ θησαυρῷ δίσκοι τὸν ἀριθμὸν ἀνάκεινται τρεῖς, οὓς ἐς τοῦ πεντάθλου τὸ ἀγώνισμα ἐσκομίζουσι. καὶ ἀσπίς ἐστιν ἐπίχαλκος γραφῇ τὰ ἐντὸς πεποικιλμένη, καὶ κράνος τε καὶ κνημῖδες ὁμοῦ τῇ ἀσπίδι. ἐπίγραμμα δὲ ἐπὶ τοῖς ὅπλοις, ἀκροθίνιον τῷ Διὶ ὑπὸ Μυάνων τεθῆναι. οἵτινες δὲ οὗτοι ἦσαν, οὐ κατὰ τὰ αὐτὰ παρίστατο ἅπασιν εἰκάζειν. ἐμὲ δὲ ἐσῆλθεν 5
ἀνάμνησις ὡς Θουκυδίδης ποιήσειεν ἐν τοῖς λόγοις Λοκρῶν τῶν πρὸς τῇ Φωκίδι καὶ ἄλλας πόλεις, ἐν δὲ αὐταῖς εἶναι καὶ Μυονέας. οἱ Μύανες οὖν οἱ ἐπὶ τῇ ἀσπίδι κατά γε ἡμετέραν γνώμην ἄνθρωποι μέν εἰσιν οἱ αὐτοὶ καὶ Μυονεῖς οἱ ἐν τῇ Λοκρίδι ἠπείρῳ· τὰ δὲ ἐπὶ τῇ ἀσπίδι γράμματα παρῆκται μὲν ἐπὶ βραχύ, πέπονθε δὲ αὐτὸ διὰ τοῦ ἀναθήματος τὸ ἀρχαῖον. κεῖνται δὲ καὶ ἄλλα ἐνταῦθα 6
ἄξια ἐπιμνησθῆναι, μάχαιρα ἡ Πέλοπος χρυσοῦ τὴν λαβὴν πεποιημένη, καὶ εἰργασμένον ἐλέφαντος κέρας τὸ Ἀμαλθείας, ἀνάθημα Μιλτιάδου τοῦ Κίμωνος, ὃς τὴν ἀρχὴν ἔσχεν ἐν χερρονήσῳ τῇ Θρᾳκίᾳ πρῶτος τῆς οἰκίας ταύτης· καὶ ἐπίγραμμα ἐπὶ τῷ κέρατί ἐστιν ἀρχαίοις Ἀττικοῖς γράμμασι,

99 Ζηνί μ' ἄγαλμ' ἀνέθηκαν Ὀλυμπίῳ ἐκ χερονήσου
τεῖχος ἑλόντες Ἀράτου· ἐπῆρχε δὲ Μιλτιάδης σφίν.

κεῖται δὲ καὶ ἄγαλμα πύξινον Ἀπόλλωνος ἐπιχρύσου τὴν κεφαλήν· ἀνατεθῆναι δὲ ὑπὸ Λοκρῶν φησὶ τῶν πρὸς

*Ζεφυρίῳ τῇ ἄκρᾳ, Πατροκλέα δὲ εἶναι Κατίλλου Κροτωνιάτην τὸν εἰργασμένον.*

7 4. *Ἐφεξῆς δὲ τῷ Σικυωνίων ἐστὶν ὁ Καρχηδονίων θησαυρός, Ποθαίου τέχνη καὶ Ἀντιφίλου τε καὶ Μεγακλέους. ἀναθήματα δὲ ἐν αὐτῷ Ζεὺς μεγέθει μέγας καὶ θώρακες λινοῖ τρεῖς ἀριθμόν, Γέλωνος δὲ ἀνάθημα καὶ Συρακοσίων Φοίνικας ἤτοι τριήρεσιν ἢ καὶ πεζῇ μάχῃ κρατησάντων.*

8 5. *Ὁ δὲ τρίτος τῶν θησαυρῶν καὶ ὁ τέταρτος ἀνάθημά ἐστιν Ἐπιδαμνίων *** ἔχει μὲν πόλον ἀνεχόμενον ὑπὸ Ἄτλαντος, ἔχει δὲ Ἡρακλέα καὶ δένδρον τὸ παρὰ Ἑσπερίσι, τὴν μηλέαν, καὶ περιειλιγμένον τῇ μηλέᾳ τὸν δράκοντα, κέδρου μὲν καὶ ταῦτα, Θεοκλέους δὲ ἔργα τοῦ Ἡγύλου· ποιῆσαι δὲ αὐτὸν ὁμοῦ τῷ παιδί φησι τὰ ἐπὶ τοῦ πόλου γράμματα. αἱ δὲ Ἑσπερίδες, μετεκινήθησαν γὰρ ὑπὸ Ἠλείων, αὐταὶ μὲν ἔτι καὶ ἐς ἐμὲ ἦσαν ἐν τῷ Ἡραίῳ· τὸν δὲ θησαυρὸν τοῖς Ἐπιδαμνίοις Πύρρος καὶ οἱ παῖδες Λακράτης τε καὶ Ἕρμων ἐποίησαν.*

9 6. *Ὠικοδόμησαν δὲ καὶ Συβαρῖται θησαυρόν, ἐχόμενον τοῦ Βυζαντίων. ὁπόσοι δὲ περὶ Ἰταλίας καὶ πόλεων ἐπολυπραγμόνησαν τῶν ἐν αὐτῇ, Λουπίας φασὶ κειμένην Βρεντεσίου τε μεταξὺ καὶ Ὑδροῦντος μεταβεβληκέναι τὸ ὄνομα, Σύβαριν οὖσαν τὸ ἀρχαῖον. ὁ δὲ ὅρμος ταῖς ναυσὶ χειροποίητος καὶ Ἀδριανοῦ βασιλέως ἐστὶν ἔργον.*

10 7. *Πρὸς δὲ τῷ Συβαριτῶν Λιβύων ἐστὶ τῶν ἐν Κυρήνῃ θησαυρός· κεῖνται δὲ βασιλεῖς ἐν αὐτῷ Ῥωμαίων. Σικελιώτας δὲ Σελινουντίους ἀνέστησαν μὲν Καρχηδόνιοι πολέμῳ· πρὶν δὲ ἢ τὴν συμφορὰν γενέσθαι σφίσι,* 500
*θησαυρὸν τῷ ἐν Ὀλυμπίᾳ Διὶ ἐποίησαν. Διόνυσος δέ ἐστιν ἐνταῦθα πρόσωπον καὶ ἄκρους πόδας καὶ τὰς χεῖρας ἐλέφαντος εἰργασμένος.*

11 8. *Ἐν δὲ τῷ Μεταποντίνων θησαυρῷ, προσεχὴς γὰρ*

τῷ Σελινουντίων ἐστὶν οὗτος, ἐν τούτῳ πεποιημένος
ἐστὶν Ἐνδυμίων· πλὴν δὲ ἐσθῆτός ἐστι τὰ λοιπὰ καὶ τῷ
Ἐνδυμίωνι ἐλέφαντος. Μεταποντίνους δὲ ἥτις μὲν ἐπέ-
λαβεν ἀπολέσθαι πρόφασις, οὐκ οἶδα· ἐπ' ἐμοῦ δὲ ὅτι
μὴ θέατρον καὶ περίβολοι τείχους ἄλλο ἐλείπετο οὐδὲν
Μεταποντίου. 9. Μεγαρεῖς δὲ οἱ πρὸς τῇ Ἀττικῇ θησαυ- 12
ρόν τε ᾠκοδομήσαντο καὶ ἀναθήματα ἀνέθεσαν ἐς τὸν
θησαυρόν, κέδρου ζῴδια χρυσῷ διηνθισμένα, τὴν πρὸς
Ἀχελῷον Ἡρακλέους μάχην. Ζεὺς δὲ ἐνταῦθα καὶ ἡ Δηϊ-
άνειρα καὶ Ἀχελῷος καὶ Ἡρακλῆς ἐστίν, Ἄρης τε τῷ Ἀχε-
λῴῳ βοηθῶν. εἱστήκει δὲ καὶ Ἀθηνᾶς ἄγαλμα ἅτε οὖσα
τῷ Ἡρακλεῖ σύμμαχος· αὕτη παρὰ τὰς Ἑσπερίδας ἀνάκει-
ται νῦν τὰς ἐν τῷ Ἡραίῳ. Τοῦ θησαυροῦ δὲ ἐπείργασται 13
τῷ ἀετῷ ὁ γιγάντων καὶ θεῶν πόλεμος· ἀνάκειται δὲ καὶ
ἀσπὶς ὑπὲρ τοῦ ἀετοῦ, τοὺς Μεγαρέας ἀπὸ Κορινθίων
ἀναθεῖναι τὸν θησαυρὸν λέγουσα. ταύτην Μεγαρεῦσιν
ἡγοῦμαι τὴν νίκην Ἀθήνησιν ἄρχοντος γενέσθαι Φόρ-
βαντος, ἄρχοντος δὲ διὰ τοῦ αὐτοῦ βίου παντός· ἐνιαύ-
σιαι γὰρ οὐκ ἦσάν πω τότε Ἀθηναίοις αἱ ἀρχαί, οὐ μὴν
οὐδὲ ὑπὸ Ἠλείων ἀνεγράφοντό πω τηνικαῦτα αἱ ὀλυμ-
πιάδες. λέγονται δὲ καὶ Ἀργεῖοι μετασχεῖν πρὸς τοὺς 14
Κορινθίους Μεγαρεῦσι τοῦ ἔργου. τὸν δὲ ἐν Ὀλυμπίᾳ
θησαυρὸν ἔτεσιν ὕστερον τῆς μάχης ἐποίησαν οἱ Μεγα-
ρεῖς. τὰ δὲ ἀναθήματα ἐκ παλαιοῦ σφᾶς ἔχειν εἰκός, ἅ γε
ὁ Λακεδαιμόνιος Δόντας Διποίνου καὶ Σκύλλιδος μαθη-
τὴς ἐποίησε. 10. Τελευταῖος δὲ τῶν θησαυρῶν πρὸς αὐτῷ 15
μέν ἐστιν ἤδη τῷ σταδίῳ, Γελῴων δὲ ἀνάθημα τόν τε
θησαυρὸν καὶ τὰ ἀγάλματα εἶναι τὰ ἐν αὐτῷ λέγει τὸ ἐπί-
γραμμα. οὐ μέντοι ἀνακείμενά γε ἔτι ἀγάλματά ἐστι.

501 XX. Τὸ δὲ ὄρος τὸ Κρόνιον κατὰ τὰ ἤδη λελεγμένα
μοι παρὰ τὴν κρηπῖδα καὶ τους ἐπ' αὐτῇ παρήκει θησαυ-
ρούς. ἐπὶ δὲ τοῦ ὄρους τῇ κορυφῇ θύουσιν οἱ Βασίλαι

καλούμενοι τῷ Κρόνῳ κατὰ ἰσημερίαν τὴν ἐν τῷ ἦρι
2 Ἐλαφίῳ μηνὶ παρὰ Ἠλείοις. 2. Ἐν δὲ τοῖς πέρασι τοῦ
Κρονίου κατὰ τὸ πρὸς τὴν ἄρκτον ἔστιν ἐν μέσῳ τῶν
θησαυρῶν καὶ τοῦ ὄρους ἱερὸν Εἰλειθυίας, ἐν δὲ αὐτῷ
Σωσίπολις Ἠλείοις ἐπιχώριος δαίμων ἔχει τιμάς. τὴν
μὲν δὴ Εἰλείθυιαν ἐπονομάζοντες Ὀλυμπίαν, ἱερασομέ-
νην αἱροῦνται τῇ θεῷ κατὰ ἔτος ἕκαστον· ἡ δὲ πρεσβῦτις
ἡ θεραπεύουσα τὸν Σωσίπολιν νόμῳ τε ἁγιστεύει τῷ
Ἠλείων καὶ αὐτή, λουτρά τε ἐσφέρει τῷ θεῷ καὶ μάζας
3 κατατίθησιν αὐτῷ μεμαγμένας μέλιτι. ἐν μὲν δὴ τῷ ἔμ-
προσθεν τοῦ ναοῦ, διπλοῦς γὰρ δὴ πεποίηται, τῆς τε
Εἰλειθυίας βωμὸς καὶ ἔσοδος ἐς αὐτό ἐστιν ἀνθρώποις·
ἐν δὲ τῷ ἐντὸς ὁ Σωσίπολις ἔχει τιμάς, καὶ ἐς αὐτὸ ἔσοδος
οὐκ ἔστι πλὴν τῇ θεραπευούσῃ τὸν θεόν, ἐπὶ τὴν κεφα-
λὴν καὶ τὸ πρόσωπον ἐφειλκυσμένῃ ὕφος λευκόν. παρ-
θένοι δὲ ἐν τῷ τῆς Εἰλειθυίας ὑπομένουσαι καὶ γυναῖκες
ὕμνον ᾄδουσι· καθαγίζουσι δὲ καὶ θυμιάματα παντοῖα
αὐτῷ, ** ἐπισπένδειν οὐ νομίζουσιν οἶνον. καὶ ὅρκος
4 παρὰ τῷ Σωσιπόλιδι ἐπὶ μεγίστοις καθέστηκεν. 3. Λέγε-
ται δὲ καὶ Ἀρκάδων ἐς τὴν Ἠλείαν ἐσβεβληκότων στρα-
τιᾷ καὶ τῶν Ἠλείων σφίσιν ἀντικαθημένων γυναῖκα ἀφι-
κομένην παρὰ τῶν Ἠλείων τοὺς στρατηγούς, νήπιον
παῖδα ἔχουσαν ἐπὶ τῷ μαστῷ, λέγειν ὡς τέκοι μὲν αὐτὴ
τὸν παῖδα, διδοίη δὲ ἐξ ὀνειράτων συμμαχήσοντα Ἠλεί-
οις. οἱ δὲ ἐν ταῖς ἀρχαῖς, πιστὰ γὰρ τὴν ἄνθρωπον
ἡγοῦντο εἰρηκέναι, τιθέασι τὸ παιδίον πρὸ τοῦ στρατεύ-
5 ματος γυμνόν. ἐπῄεσάν τε δὴ οἱ Ἀρκάδες, καὶ τὸ παιδίον
ἐνταῦθα ἤδη δράκων ἦν· ταραχθεῖσι δὲ ἐπὶ τῷ θεάματι
τοῖς Ἀρκάσι καὶ ἐνδοῦσιν ἐς φυγὴν ἐπέκειντο οἱ Ἠλεῖοι,
καὶ νίκην τε ἐπιφανεστάτην ἀνείλοντο καὶ ὄνομα τῷ θεῷ 502
τίθενται Σωσίπολιν. ἔνθα δέ σφισιν ὁ δράκων ἔδοξεν
ἐσδῦναι μετὰ τὴν μάχην, τὸ ἱερὸν ἐποίησαν ἐνταῦθα·

σὺν δὲ αὐτῷ σέβεσθαι καὶ τὴν Εἰλείθυιαν ἐνόμισαν, ὅτι τὸν παῖδά σφισιν ἡ θεὸς αὕτη προήγαγεν ἐς ἀνθρώπους. τοῖς δὲ τῶν Ἀρκάδων ἀποθανοῦσιν ἐν τῇ μάχῃ ἐστὶ τὸ 6
μνῆμα ἐπὶ τοῦ λόφου διαβάντων τὸν Κλάδεον ὡς ἐπὶ ἡλίου δυσμάς. Πλησίον δὲ τῆς Εἰλειθυίας ἐρείπια Ἀφροδίτης Οὐρανίας ἱεροῦ λείπεται, θύουσι δὲ καὶ αὐτόθι ἐπὶ τῶν βωμῶν.

4. Ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως κατὰ τὴν πομπικὴν 7
ἔσοδον Ἱπποδάμειον καλούμενον ὅσον πλέθρου χωρίον περιεχόμενον θριγκῷ. ἐς τοῦτο ἅπαξ κατὰ ἔτος ἕκαστον ἔστι ταῖς γυναιξὶν ἔσοδος, αἳ θύουσι τῇ Ἱπποδαμείᾳ καὶ ἄλλα ἐς τιμὴν δρῶσιν αὐτῆς. τὴν δὲ Ἱπποδάμειάν φασιν ἐς Μιδέαν τὴν ἐν τῇ Ἀργολίδι ἀποχωρῆσαι, ἅτε τοῦ Πέλοπος ἐπὶ τῷ Χρυσίππου θανάτῳ μάλιστα ἐς ἐκείνην ἔχοντος τὴν ὀργήν· αὐτοὶ δὲ ὕστερον ἐκ μαντείας κομίσαι φασὶ τῆς Ἱπποδαμείας τὰ ὀστᾶ ἐν Ὀλυμπίᾳ. 5. Ἔστι 8
δὲ ἐπὶ τῷ πέρατι τῶν ἀγαλμάτων ἃ ἐπὶ ζημίᾳ ἐποιήσαντο ἀθλητῶν, ἐπὶ τούτῳ τῷ πέρατί ἐστιν ἣν Κρυπτὴν ὀνομάζουσιν ἔσοδον· διὰ δὲ αὐτῆς τούς τε Ἑλλανοδίκας ἐσιέναι ἐς τὸ στάδιον καὶ τοὺς ἀγωνιστάς. τὸ μὲν δὴ στάδιον γῆς χῶμά ἐστι, πεποίηται δὲ ἐν αὐτῷ καθέδρα τοῖς τιθεῖσι τὸν ἀγῶνα. 6. ἔστι δὲ ἀπαντικρὺ τῶν Ἑλλανοδικῶν
βωμὸς λίθου λευκοῦ· ἐπὶ τούτου καθεζομένη τοῦ βωμοῦ 9
θεᾶται γυνὴ τὰ Ὀλύμπια, ἱέρεια Δήμητρος Χαμύνης, τιμὴν ταύτην ἄλλοτε ἄλλη λαμβάνουσα παρὰ Ἠλείων.
503 παρθένους δὲ οὐκ εἴργουσι θεᾶσθαι. πρὸς δὲ τοῦ σταδίου τῷ πέρατι, ᾗ τοῖς σταδιαδρόμοις ἄφεσις πεποίηται, Ἐνδυμίωνος μνῆμα ἐνταῦθα λόγῳ Ἠλείων ἐστίν.

7. Ὑπερβαλόντι δὲ ἐκ τοῦ σταδίου, καθότι οἱ Ἑλλα- 10
νοδίκαι καθέζονται, κατὰ τοῦτο χωρίον ἐς τῶν ἵππων ἀνειμένον τοὺς δρόμους καὶ ἡ ἄφεσίς ἐστι τῶν ἵππων. παρέχεται μὲν οὖν σχῆμα ἡ ἄφεσις κατὰ πρῷραν νεώς,

τέτραπται δὲ αὐτῆς τὸ ἔμβολον ἐς τὸν δρόμον. καθότι δὲ τῇ Ἀγνάπτου στοᾷ προσεχής ἐστιν ἡ πρῷρα, κατὰ τοῦτο εὐρεῖα γίνεται. δελφὶς δὲ ἐπὶ κανόνος κατὰ ἄκρον μά-
11 λιστα τὸ ἔμβολον πεποίηται χαλκοῦς. Ἑκατέρα μὲν δὴ πλευρὰ τῆς ἀφέσεως πλέον ἢ τετρακοσίους πόδας παρέχεται τοῦ μήκους, ᾠκοδόμηται δὲ ἐν αὐταῖς οἰκήματα. ταῦτα κλήρῳ τὰ οἰκήματα διαλαγχάνουσιν οἱ ἐσιόντες ἐς τὸν ἀγῶνα τῶν ἵππων. πρὸ δὲ τῶν ἁρμάτων ἢ καὶ ἵππων τῶν κελήτων, διήκει πρὸ αὐτῶν καλῴδιον ἀντὶ ὕσπληγος. βωμὸς δὲ ὠμῆς πλίνθου, τὰ ἐκτὸς κεκονιαμένος, ἐπὶ ἑκάστης ὀλυμπιάδος ποιεῖται κατὰ τὴν πρῷραν μά-
12 λιστά που μέσην. Ἀετὸς δὲ ἐπὶ τῷ βωμῷ χαλκοῦς κεῖται, τὰ πτερὰ ἐπὶ μήκιστον ἐκτείνων. ἀνακινεῖ μὲν δὴ τὸ ἐν τῷ βωμῷ μηχάνημα ὁ τεταγμένος ἐπὶ τῷ δρόμῳ· ἀνακινηθέντος δὲ ὁ μὲν ἐς τὸ ἄνω πεποίηται πηδᾶν ὁ ἀετός, ὡς τοῖς ἥκουσιν ἐπὶ τὴν θέαν γίνεσθαι σύνοπτος, ὁ δελ-
13 φὶς δὲ ἐς ἔδαφος πίπτει. Πρῶται μὲν δὴ ἑκατέρωθεν αἱ πρὸς τῇ στοᾷ τῇ Ἀγνάπτου χαλῶσιν ὕσπληγες, καὶ οἱ κατὰ ταύτας ἑστηκότες ἐκθέουσιν ἵπποι πρῶτοι· θέοντές τε δὴ γίνονται κατὰ τοὺς εἰληχότας ἑστάναι τὴν δευτέραν τάξιν, καὶ τηνικαῦτα χαλῶσιν αἱ ὕσπληγες αἱ ἐν τῇ δευτέρᾳ τάξει· διὰ πάντων τε κατὰ τὸν αὐτὸν λόγον συμβαίνει τῶν ἵππων, ἔστ' ἂν ἐξισωθῶσιν ἀλλήλοις κατὰ τῆς πρῴρας τὸ ἔμβολον. τὸ ἀπὸ τούτου δὲ ἤδη καθέστηκεν
14 ἐπίδειξις ἐπιστήμης τε ἡνιόχων καὶ ἵππων ὠκύτητος. Τὸ 504
μὲν δὴ ἐξ ἀρχῆς Κλεοίτας ἐστὶν ἄφεσιν μηχανησάμενος, καὶ φρονῆσαί γε ἐπὶ τῷ εὑρήματι, ὡς καὶ ἐπίγραμμα ἐπὶ ἀνδριάντι τῷ Ἀθήνῃσιν ἐπιγράψαι

ὃς τὴν ἱππάφεσιν ἐν Ὀλυμπίᾳ εὕρατο πρῶτος,
τεῦξέ με Κλειοίτας υἱὸς Ἀριστοκλέους.

Κλεοίτα δέ φασιν ὕστερον Ἀριστείδην σοφίαν τινὰ καὶ αὐτὸν ἐς τὸ μηχάνημα ἐσενέγκασθαι.

8. Παρεχομένου δὲ τοῦ ἱπποδρόμου παρήκουσαν ἐς 15
πλέον τὴν ἑτέραν τῶν πλευρῶν, ἔστιν ἐπὶ τῆς μείζονος
πλευρᾶς, οὔσης χώματος, κατὰ τὴν διέξοδον τὴν διὰ
τοῦ χώματος τὸ τῶν ἵππων δεῖμα ὁ Ταράξιππος. σχῆμα
μὲν βωμοῦ περιφεροῦς ἐστί, παραθέοντας δὲ κατὰ τοῦτο
τοὺς ἵππους φόβος τε αὐτίκα ἰσχυρὸς ἀπ᾽ οὐδεμιᾶς προ-
φάσεως φανερᾶς καὶ ἀπὸ τοῦ φόβου λαμβάνει ταραχή·
τά τε δὴ ἅρματα καταγνύουσιν ὡς ἐπίπαν, καὶ οἱ ἡνίοχοι
τιτρώσκονται. καὶ τοῦδε ἡνίοχοι ἕνεκα θυσίας θύουσι,
καὶ γενέσθαι σφίσιν ἵλεων εὔχονται τὸν Ταράξιππον.
Ἕλληνες δὲ οὐ κατὰ τὰ αὐτὰ νομίζουσιν ἐς τὸν Ταράξιπ- 16
πον, ἀλλ᾽ οἱ μὲν εἶναι τάφον ἀνδρὸς αὐτόχθονος καὶ ἀγα-
θοῦ τὰ ἐς ἱππικήν, καὶ ὄνομα Ὠλένιον αὐτῷ τίθενται·
ἀπὸ τούτου δὲ καὶ τὴν Ὠλενίαν ἐν τῇ Ἠλείᾳ πέτραν φα-
σὶν ὀνομασθῆναι. οἱ δὲ τὸν Φλιοῦντος Δαμέωνα, μετα-
σχόντα Ἡρακλεῖ τῆς ἐπὶ Αὐγέαν καὶ Ἠλείους στρατείας,
αὐτόν τε ἀποθανεῖν καὶ τὸν ἵππον ἐφ᾽ ᾧ ἐπωχεῖτο ὑπὸ
Κτεάτου λέγουσι τοῦ Ἄκτορος, καὶ τὸ μνῆμα κοινὸν Δα-
μέωνι καὶ τῷ ἵππῳ γενέσθαι. Λέγουσι δὲ καὶ ὡς Μυρ- 17
τίλῳ κενὸν ἐνταῦθα ἠρίον ποιήσειε Πέλοψ, καὶ θύσειέ
τε αὐτῷ τὸ ἐπὶ τῷ φόνῳ μήνιμα ἰώμενος, καὶ ἐπονομάσαι
Ταράξιππον, ὅτι τῷ Οἰνομάῳ διὰ τοῦ Μυρτίλου τῆς τέχ-
νης ἐταράχθησαν αἱ ἵπποι. τοῖς δέ ἐστιν εἰρημένον ὡς
505 αὐτὸς Οἰνόμαος ὁ τοὺς ἱππεύοντάς ἐστιν ἐν τῷ δρόμῳ
βλάπτων. ἤκουσα δὲ καὶ ἐς τὸν Πορθάονος Ἀλκάθουν
ἀγόντων τὴν αἰτίαν, ὡς ἐνταῦθα μέρη λάβοι γῆς ὁ Ἀλ-
κάθους ἀποθανὼν ὑπὸ Οἰνομάου τῶν Ἱπποδαμείας γά-
μων ἕνεκα· ἅτε δὲ ἀτυχήσαντα ἐν ἱπποδρόμῳ, βάσκανόν
τε εἶναι τοῖς ἱππεύουσι καὶ οὐκ εὐμενῆ δαίμονα. Ἀνὴρ 18
δὲ Αἰγύπτιος Πέλοπα ἔφη παρὰ τοῦ Θηβαίου λαβόντα
Ἀμφίονος κατορύξαι τι ἐνταῦθα ἔνθα καλοῦσι τὸν Ταρά-
ξιππον, καὶ ὑπὸ τοῦ κατορωρυγμένου ταραχθῆναι μὲν

*τῷ Οἰνομάῳ τότε, ταράσσεσθαι δὲ καὶ ὕστερον τοῖς πᾶσι τὰς ἵππους. ἠξίου δὲ οὗτος ὁ Αἰγύπτιος εἶναι μὲν Ἀμφίονα, εἶναι δὲ καὶ τὸν Θρᾷκα Ὀρφέα μαγεῦσαι δεινόν, καὶ αὐτοῖς ἐπᾴδουσι θηρία τε ἀφικνεῖσθαι τῷ Ὀρφεῖ, καὶ Ἀμφίονι ἐς τὰς τοῦ τείχους οἰκοδομίας τὰς πέτρας. ὁ δὲ πιθανώτατος, ἐμοὶ δοκεῖν, τῶν λόγων Ποσειδῶνος ἐπί-*
19 *κλησιν εἶναι τοῦ Ἱππίου φησίν.* 9. *Ἔστι δὲ καὶ ἐν Ἰσθμῷ Ταράξιππος Γλαῦκος ὁ Σισύφου· γενέσθαι δὲ αὐτῷ τὴν τελευτὴν λέγουσιν ὑπὸ τῶν ἵππων, ὅτε Ἄκαστος τὰ ἆθλα ἔθηκεν ἐπὶ τῷ πατρί. ἐν Νεμέᾳ δὲ τῇ Ἀργείων ἥρως μὲν ἦν οὐδεὶς ὅστις ἔβλαπτε τοὺς ἵππους, πέτρας δὲ ὑπὲρ τῶν ἵππων τὴν καμπὴν ἀνεστηκυίας χρόαν πυρρᾶς, ἡ ἀπ' αὐτῆς αὐγή, κατὰ ταὐτὰ καὶ εἰ πῦρ, ἐνεποίει φόβον τοῖς ἵπποις. ἀλλὰ γὰρ ὁ ἐν Ὀλυμπίᾳ Ταράξιππος πολὺ δή τι ὑπερηρκώς ἐστιν ἐς ἵππων φόβον.* 10. *Ἐπὶ δὲ νύσσης μιᾶς Ἱπποδαμείας ἐστὶν εἰκὼν χαλκῆ, ταινίαν τε ἔχουσα καὶ ἀναδεῖν τὸν Πέλοπα μέλλουσα ἐπὶ τῇ νίκῃ.*

XXI. *Τὸ δὲ ἕτερον τοῦ ἱπποδρόμου μέρος οὐ χῶμα γῆς ἐστίν, ὄρος δὲ οὐχ ὑψηλόν. ἐπὶ τῷ πέρατι τοῦ ὄρους ἱερὸν πεποίηται Δήμητρι ἐπίκλησιν Χαμύνῃ. καὶ οἱ μὲν ἀρχαῖον τὸ ὄνομα ἥγηνται· χανεῖν γὰρ τὴν γῆν ἐνταῦθα τὸ ἅρμα τοῦ Ἅιδου καὶ αὖθις μύσαι· οἱ δὲ Χάμυνον ἄν-* 506
*δρα Πισαῖον Πανταλέοντι ἐναντιούμενον τῷ Ὀμφαλίωνος τυραννοῦντι ἐν Πίσῃ καὶ ἀπόστασιν βουλεύοντι ἀπὸ Ἠλείων, ἀποθανεῖν φασὶν αὐτὸν ὑπὸ τοῦ Πανταλέοντος, καὶ ἀπὸ τοῦ Χαμύνου τῆς οὐσίας τῇ Δήμητρι οἰκοδομη-*
2 *θῆναι τὸ ἱερόν.* 2. *Ἀγάλματα δὲ ἀντὶ τῶν ἀρχαίων Κόρην καὶ Δήμητρα λίθου τοῦ Πεντέλησιν Ἀθηναῖος ἀνέθηκεν Ἡρώδης. Ἐν τῷ γυμνασίῳ τῷ ἐν Ὀλυμπίᾳ πεντάθλοις μὲν καθεστήκασιν ἐν αὐτῷ καὶ δρομεῦσιν αἱ μελέται, κρηπὶς δὲ ἐν τῷ ὑπαίθρῳ λίθου πεποίηται· τὸ δὲ ἐξ ἀρχῆς καὶ τρόπαιον κατὰ Ἀρκάδων ἐπὶ τῇ κρηπῖδι εἱστήκει.*

ἔστι δὲ καὶ ἄλλος ἐλάσσων περίβολος ἐν ἀριστερᾷ τῆς
ἐσόδου τῆς ἐς τὸ γυμνάσιον, καὶ αἱ παλαῖστραι τοῖς ἀθλη-
ταῖς εἰσὶν ἐνταῦθα. τῆς στοᾶς δὲ τῆς πρὸς ἀνίσχοντα
ἥλιον τοῦ γυμνασίου προσεχεῖς τῷ τοίχῳ τῶν ἀθλητῶν
εἰσὶν αἱ οἰκήσεις, ἐπί τε ἄνεμον τετραμμέναι Λίβα καὶ
ἡλίου δυσμάς. Διαβάντων δὲ τὸν Κλάδεον τάφος τε Οἰ- 3
νομάου γῆς χῶμα περιῳκοδομημένον λίθοις ἐστί, καὶ
ὑπὲρ τοῦ μνήματος ἐρείπια οἰκοδομημάτων ἔνθα τῷ Οἰνο-
μάῳ τὰς ἵππους αὐλίζεσθαι λέγουσιν. ὅροι δὲ πρὸς Ἀρ-
κάδας τῆς χώρας, τὰ μὲν παρόντα Ἠλείοις, τὰ δὲ ἐξ ἀρχῆς
οἱ αὐτοὶ Πισαίοις καθεστήκεσαν ἀνέχοντες κατὰ τάδε.

3. Διαβάντων ποταμὸν Ἐρύμανθον κατὰ τὴν Σαύρου
καλουμένην δειράδα τοῦ Σαύρου τε μνῆμα καὶ ἱερόν
ἐστιν Ἡρακλέους, ἐρείπια ἐφ' ἡμῶν. λέγουσι δὲ ὡς ὁδοι-
πόρους τε καὶ τοὺς προσοικοῦντας ὁ Σαῦρος ἐκακούργει,
πρὶν ἢ παρὰ Ἡρακλέους τὴν δίκην ἔσχε. 4. κατὰ ταύτην 4
τὴν ἐπώνυμον τοῦ λῃστοῦ δειράδα ὁ ποταμὸς ἀπὸ μεσημ-
βρίας κατιὼν ἐς τὸν Ἀλφειὸν καταντικρὺ τοῦ Ἐρυμάν-
θου μάλιστα, οὗτός ἐστιν ὁ τὴν Πισαίαν πρὸς Ἀρκάδας
507 διορίζων, ὄνομα δέ οἱ Διάγων. τεσσαράκοντα δὲ ἀπὸ τῆς
Σαύρου δειράδος προελθόντι στάδια ἔστιν Ἀσκληπιοῦ
ναός, ἐπίκλησιν μὲν Δημαινέτου ἀπὸ τοῦ ἱδρυσαμένου,
ἐρείπια δὲ καὶ αὐτός· ᾠκοδομήθη δὲ ἐπὶ τοῦ ὑψηλοῦ
παρὰ τὸν Ἀλφειόν. τούτου δὲ οὐ πόρρω ἱερὸν Διονύσου 5
Λευκυανίτου πεποίηται, καὶ ποταμὸς παρέξεισι ταύτῃ
Λευκυανίας· ἐκδίδωσι μὲν οὖν καὶ οὗτος ἐς τὸν Ἀλφειόν,
κάτεισι δὲ ἐκ Φολόης τοῦ ὄρους. 5. Διαβήσῃ τε δὴ τὸ ἀπὸ
τούτου τὸν Ἀλφειόν, καὶ ἐντὸς γῆς ἔσῃ τῆς Πισαίας.

Ἐν ταύτῃ τῇ χώρᾳ λόφος ἐστὶν ἀνήκων ἐς ὀξύ, ἐπὶ 6
δὲ αὐτῷ πόλεως Φρίξας ἐρείπια καὶ Ἀθηνᾶς ἐστὶν ἐπί-
κλησιν Κυδωνίας ναός. οὗτος μὲν οὐ τὰ πάντα ἐστὶ σῶς,
βωμὸς δὲ καὶ ἐς ἐμὲ ἔστιν· ἱδρύσασθαι δὲ τῇ θεῷ τὸ ἱερὸν

*Κλύμενόν φασιν, ἀπόγονον Ἡρακλέους τοῦ Ἰδαίου, πα-*
*ραγενέσθαι δὲ αὐτὸν ἀπὸ Κυδωνίας τῆς Κρητικῆς καὶ*
*τοῦ Ἰαρδάνου ποταμοῦ. λέγουσι δὲ καὶ Πέλοπα οἱ Ἠλεῖοι*
*τῇ Ἀθηνᾷ θῦσαι τῇ Κυδωνίᾳ πρὶν ἢ ἐς τὸν ἀγῶνα αὐτὸν*
7 *τῷ Οἰνομάῳ καθίστασθαι.* 6. *Προϊόντι δὲ ἐντεῦθεν τό τε*
*ὕδωρ τῆς Παρθενίας ἐστὶ καὶ πρὸς τῷ ποταμῷ τάφος ἵπ-*
*πων τῶν Μάρμακος. Ἱπποδαμείας δὲ μνηστῆρα ἔχει λό-*
*γος ἀφικέσθαι πρῶτον τοῦτον Μάρμακα, καὶ ἀποθανεῖν*
*ὑπὸ τοῦ Οἰνομάου πρὸ τῶν ἄλλων, ὀνόματα δὲ αὐτοῦ*
*ταῖς ἵπποις Παρθενίαν τε εἶναι καὶ Ἐρίφαν, Οἰνόμαον*
*δὲ ἐπικατασφάξαι μὲν τὰς ἵππους τῷ Μάρμακι, μετα-*
*δοῦναι μέντοι καὶ ταύταις ταφῆναι· καὶ ὄνομα Παρθε-*
8 *νίας τῷ ποταμῷ ἀπὸ ἵππου τῆς Μάρμακος. ἔστι δὲ καὶ*
*ἄλλος Ἁρπινάτης καλούμενος ποταμός, καὶ οὐ πολὺ ἀπὸ*
*τοῦ ποταμοῦ πόλεως Ἁρπίνης ἄλλα τε ἐρείπια καὶ μάλιστα*
*οἱ βωμοί· οἰκίσαι δὲ Οἰνόμαον τὴν πόλιν καὶ θέσθαι τὸ*
*ὄνομα ἀπὸ τῆς μητρὸς λέγουσιν Ἁρπίνης.*
9 7. *Προελθόντι δὲ οὐ πολὺ γῆς χῶμά ἐστιν ὑψηλόν,*
*τῶν μνηστήρων τῶν Ἱπποδαμείας τάφος. Οἰνόμαον μὲν*
*οὖν ἐγγὺς ἀλλήλων κρύπτειν γῇ φασὶν οὐκ ἐπιφανῶς*
*αὐτούς· Πέλοψ δὲ ὕστερον μνῆμα ἐν κοινῷ σφίσιν ἐπὶ* 508
*μέγα ἐξῆρε τιμῇ τῇ ἐς αὐτοὺς καὶ Ἱπποδαμείας χάριτι,*
*δοκεῖν δέ μοι καὶ ὑπόμνημα ἐς τοὺς ἔπειτα ὅσων τε καὶ*
10 *οἵων τὸν Οἰνόμαον κρατήσαντα ἐνίκησεν αὐτός. Ἀπέθα-*
*νον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας*
*Ἀλκάθους ὁ Πορθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρ-*
*μακι, μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε*
*καὶ Κρόταλος. τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας*
*οὐχ οἷά τε ἦν πυθέσθαι μοι· τὸν δὲ ἀποθανόντα ἐπ' αὐ-*
*τοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι*
*καὶ οἰκιστὴν Ἀκριῶν. ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν*
*ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι καὶ Λυκοῦργον Λάσιόν*

τε καὶ Χαλκώδοντα καὶ Τρικόλωνον· ἀπόγονον δὲ αὐτὸν
εἶναι καὶ ὁμώνυμον Τρικολώνῳ τῷ Λυκάονος λέγουσιν
οἱ Ἀρκάδες. Τρικολώνου δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ 11
δρόμῳ τὸ χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα, ἔτι δὲ Πε-
λάγοντα καὶ Αἰόλιόν τε καὶ Κρόνιον. οἱ δὲ καὶ ἐπαρι-
θμοῦσι τοῖς κατειλεγμένοις Ἐρύθραν παῖδα Λεύκωνος
τοῦ Ἀθάμαντος, ἀπὸ τούτου Ἐρυθραὶ πόλισμα ἐκαλεῖτο
Βοιωτῶν, καὶ Ἠϊονέα Μάγνητος τοῦ Αἰόλου. τούτοις
μὲν δὴ ἐνταῦθά ἐστι τὸ μνῆμα, καὶ τὸν Πέλοπα, ἡνίκα
τῶν Πισαίων ἔσχε τὴν ἀρχήν, φασὶν ἐναγίζειν αὐτοῖς
ἀνὰ πᾶν ἔτος.

**XXII.** Προελθόντι δὲ ὅσον τε στάδιον ἀπὸ τοῦ τάφου
σημεῖά ἐστιν ἱεροῦ Κορδάκας ἐπίκλησιν Ἀρτέμιδος, ὅτι
οἱ τοῦ Πέλοπος ἀκόλουθοι τὰ ἐπινίκια ἤγαγον παρὰ τῇ
θεῷ ταύτῃ καὶ ὠρχήσαντο ἐπιχώριον τοῖς περὶ τὸν Σίπυ-
λον κόρδακα ὄρχησιν. τοῦ ἱεροῦ δὲ οὐ πόρρω οἴκημά τε
οὐ μέγα καὶ κιβωτός ἐστιν ἐν αὐτῷ χαλκῆ· ὀστᾶ τὰ Πέ-
λοπος ἐν τῇ κιβωτῷ φυλάσσονται. τείχους δὲ ἢ ἄλλου
κατασκευάσματος ἐλείπετο οὐδὲν ἔτι, ἄμπελοι δὲ ἦσαν
509 διὰ τοῦ χωρίου πεφυτευμέναι παντός, ἔνθα ἡ Πίσα
ᾤκεῖτο. 2. οἰκιστὴν μὲν δὴ γενέσθαι τῇ πόλει Πίσον τὸν 2
Περιήρους φασὶ τοῦ Αἰόλου· Πισαῖοι δὲ ἐφειλκύσαντο
αὐθαίρετον συμφορὰν ἀπεχθανόμενοί τε Ἠλείοις καὶ
σπουδὴν ποιούμενοι τιθέναι τὸν Ὀλυμπικὸν ἀγῶνα ἀντὶ
Ἠλείων, οἵγε ὀλυμπιάδι μὲν τῇ ὀγδόῃ τὸν Ἀργεῖον ἐπη-
γάγοντο Φείδωνα τυράννων τῶν ἐν Ἕλλησι μάλιστα ὑβρί-
σαντα, καὶ τὸν ἀγῶνα ἔθεσαν ὁμοῦ τῷ Φείδωνι. Τετάρτῃ
δὲ ὀλυμπιάδι καὶ τριακοστῇ στρατὸν οἱ Πισαῖοι καὶ βασι-
λεὺς αὐτῶν Πανταλέων ὁ Ὀμφαλίωνος παρὰ τῶν προσ-
χώρων ἀθροίσαντες ἐποίησαν ἀντὶ Ἠλείων τὰ Ὀλύμπια.
Ταύτας τὰς ὀλυμπιάδας καὶ ἐπ' αὐταῖς τὴν τετάρτην τε 3
καὶ ἑκατοστήν, τεθεῖσαν δὲ ὑπὸ Ἀρκάδων, ἀνολυμπιά

δας οἱ Ἠλεῖοι καλοῦντες οὐ σφᾶς ἐν καταλόγῳ τῶν ὀλυμπιάδων γράφουσιν. ὀγδόῃ δὲ ἐπὶ ταῖς τεσσαράκοντα ὀλυμπιάδι Δαμοφῶν ὁ Πανταλέοντος ὑπόνοιαν μέν τινα παρέσχεν Ἠλείοις νεώτερα ἐς αὐτοὺς βουλεύειν, ἐσβαλόντας δὲ ἐς τὴν Πισαίαν σὺν ὅπλοις ἀπελθεῖν οἴκαδε
4 ἀπράκτους ἔπεισε δεήσεσί τε καὶ ὅρκοις. Πύρρου δὲ τοῦ Πανταλέοντος μετὰ Δαμοφῶντα τὸν ἀδελφὸν βασιλεύσαντος Πισαῖοι πόλεμον ἑκούσιον ἐπανείλοντο Ἠλείοις. συναπέστησαν δέ σφισιν ἀπὸ Ἠλείων Μακίστιοι καὶ Σκιλλούντιοι, οὗτοι μὲν ἐκ τῆς Τριφυλίας, τῶν δὲ ἄλλων περιοίκων Δυσπόντιοι. τούτοις καὶ μάλιστα ἐς τοὺς Πισαίους οἰκεῖα ἦν, καὶ οἰκιστὴν Δυσποντέα γενέσθαι σφίσιν Οἰνομάου παῖδα ἐμνημόνευον. Πισαίους μὲν δὴ καὶ ὅσοι τοῦ πολέμου Πισαίοις μετέσχον, ἐπέλαβεν ἀναστάτους ὑπὸ Ἠλείων γενέσθαι.

5 3. Πύλου δὲ τῆς ἐν τῇ Ἠλείᾳ δῆλα τὰ ἐρείπια κατὰ τὴν ἐξ Ὀλυμπίας ἐστὶν ἐς Ἦλιν ὀρεινὴν ὁδόν· ὀγδοήκοντα δὲ στάδια ἐς Ἦλιν ἀπὸ τῆς Πύλου. ταύτην τὴν Πύλον ᾤκισε μὲν κατὰ τὰ ἤδη λελεγμένα μοι Μεγαρεὺς ἀνὴρ Πύλων ὁ Κλήσωνος· γενομένη δὲ ὑπὸ Ἡρακλέους ἀνάστατος, καὶ αὖθις ἐπισυνοικισθεῖσα ὑπὸ Ἠλείων, ἔμελλεν ἀνὰ χρόνον οὐχ ἕξειν οἰκήτορας. Παρὰ δὲ αὐτὴν 510
6 ποταμὸς Λάδων κάτεισιν ἐς τὸν Πηνειόν. λέγουσι δὲ οἱ Ἠλεῖοι καὶ ἔπος ἐς τὴν Πύλον ταύτην ἔχειν τῶν Ὁμήρου·

γένος δ' ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅστ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης.

καὶ ἐμὲ ἔπειθον λέγοντες· ῥεῖ γὰρ δὴ διὰ τῆς χώρας ταύτης ὁ Ἀλφειός, ἐς δὲ ἄλλην Πύλον οὐκ ἔστιν ἐπενεγκεῖν τὸ ἔπος. Πυλίων γὰρ τῶν ὑπὲρ νήσου τῆς Σφακτηρίας οὐ πέφυκεν ἀρχὴν διοδεύειν τὴν γῆν ὁ Ἀλφειός· οὐ μὴν οὐδὲ ἐν τῇ Ἀρκάδων Πύλον ποτὲ ὀνομασθεῖσαν ἴσμεν
7 πόλιν. 4. Ἀπέχει δὲ ὡς πεντήκοντα Ὀλυμπίας σταδίους

κώμη τε Ἠλείων Ἡράκλεια καὶ πρὸς αὐτῇ Κύθηρος ποταμός· πηγὴ δὲ ἐκδιδοῦσα ἐς τὸν ποταμὸν καὶ νυμφῶν ἐστὶν ἱερὸν ἐπὶ τῇ πηγῇ. Ὀνόματα δὲ ἰδίᾳ μὲν ἑκάστῃ τῶν νυμφῶν Καλλιφάεια καὶ Συνάλλαξις καὶ Πηγαία τε καὶ Ἴασις, ἐν κοινῷ δέ σφισιν ἐπίκλησις Ἰωνίδες. λουμένοις δὲ ἐν τῇ πηγῇ καμάτων τέ ἐστι καὶ ἀλγημάτων παντοίων ἰάματα. καλεῖσθαι δὲ τὰς νύμφας ἀπὸ Ἴωνος λέγουσι τοῦ Γαργηττοῦ, μετοικήσαντος ἐνταῦθα ἐξ Ἀθηνῶν.

5. Εἰ δὲ ἐλθεῖν ἐς Ἦλιν διὰ τοῦ πεδίου θελήσειας, 8
σταδίους μὲν εἴκοσι καὶ ἑκατὸν ἐς Λετρίνους ἕξεις, ὀγδοήκοντα δὲ ἐκ Λετρίνων καὶ ἑκατὸν ἐπὶ Ἦλιν. Τὸ μὲν δὴ ἐξ ἀρχῆς πόλισμα ἦν οἱ Λετρῖνοι, καὶ Λετρεὺς ὁ Πέλοπος ἐγεγόνει σφίσιν οἰκιστής· ἐπ' ἐμοῦ δὲ οἰκήματά τε ἐλείπετο ὀλίγα καὶ Ἀλφειαίας Ἀρτέμιδος ἄγαλμα ἐν ναῷ. γε- 9
νέσθαι δὲ τὴν ἐπίκλησιν τῇ θεῷ λέγουσιν ἐπὶ λόγῳ τοιῷδε, ἐρασθῆναι τῆς Ἀρτέμιδος τὸν Ἀλφειόν, ἐρασθέντα δέ, ὡς ἐπέγνω μὴ γενήσεσθαί οἱ διὰ πειθοῦς καὶ δεήσεως τὸν γάμον, ἐπιτολμᾶν ὡς βιασόμενον τὴν θεόν, καὶ αὐτὸν ἐς παννυχίδα ἐς Λετρίνους ἐλθεῖν ὑπὸ αὐτῆς τε ἀγομένην τῆς Ἀρτέμιδος καὶ νυμφῶν, αἷς παίζων συνῆν αὐτῇ· τὴν δέ, ἐν ὑπονοίᾳ γὰρ τοῦ Ἀλφειοῦ τὴν ἐπιβουλὴν ἔχειν, ἀλείψασθαι τὸ πρόσωπον πηλῷ καὶ αὐτὴν καὶ ὅσαι τῶν νυμφῶν παρῆσαν, καὶ τὸν Ἀλφειόν, ὡς ἐσῆλ-
511 θεν, οὐκ ἔχειν αὐτὸν ἀπὸ τῶν ἄλλων διακρῖναι τὴν Ἄρτεμιν, ἅτε δὲ οὐ διαγινώσκοντα ἀπελθεῖν ἐπὶ ἀπράκτῳ τῷ ἐγχειρήματι. Λετριναῖοι μὲν δὴ Ἀλφειαίαν ἐκάλουν 10
τὴν θεὸν ἐπὶ τοῦ Ἀλφειοῦ τῷ ἐς αὐτὴν ἔρωτι· οἱ δὲ Ἠλεῖοι, φιλία γάρ σφισιν ὑπῆρχεν ἐξ ἀρχῆς ἐς Λετριναίους, τὰ παρὰ σφίσιν Ἀρτέμιδι ἐς τιμὴν τῇ Ἐλαφιαίᾳ καθεστηκότα ἐς Λετρίνους τε μετήγαγον καὶ τῇ Ἀρτέμιδι ἐνόμισαν τῇ Ἀλφειαίᾳ δρᾶν, καὶ οὕτω τὴν Ἀλφειαίαν

θεὸν Ἐλαφιαίαν ἀνὰ χρόνον ἐξενίκησεν ὀνομασθῆναι.
11 Ἐλαφιαίαν δὲ ἐκάλουν οἱ Ἠλεῖοι τὴν Ἄρτεμιν ἐπὶ τῶν
ἐλάφων, ἐμοὶ δοκεῖν, τῇ θήρᾳ· αὐτοὶ δὲ γυναικὸς ἐπι-
χωρίας ὄνομα εἶναι τὴν Ἐλάφιον, καὶ ὑπὸ ταύτης τρα-
φῆναι τὴν Ἄρτεμίν φασι. Λετρίνων δὲ ὅσον τε ἓξ ἀπω-
τέρω σταδίοις ἐστὶν ἀέναος λίμνη τριῶν που τὴν διάμε-
τρον σταδίων μάλιστα.

**XXIII.** Ἐν δὲ Ἤλιδι τὰ ἄξια μνήμης γυμνάσιόν ἐστιν
ἀρχαῖον· καὶ ὅσα ἐς τοὺς ἀθλητὰς πρὶν ἢ ἐς Ὀλυμπίαν
ἀφικνεῖσθαι νομίζουσιν, ἐν τούτῳ σφίσι τῷ γυμνασίῳ
δρᾶν καθέστηκε. πλάτανοι μὲν ὑψηλαὶ διὰ τῶν δρόμων
πεφύκασιν ἐντὸς τοίχου· ὁ σύμπας δὲ οὗτος περίβολος
καλεῖται Ξυστός, ὅτι Ἡρακλεῖ τῷ Ἀμφιτρύωνος ἐς ἄσκη-
2 σιν ἐγίνετο, ὅσαι τῶν ἀκανθῶν ἐφύοντο ἐνταῦθα ἐπὶ
ἑκάστῃ ἡμέρᾳ σφᾶς ἀναξύειν. χωρὶς μὲν δὴ ἐς ἅμιλλαν
τῶν δρομέων ἐστὶν ἀποκεκριμένος δρόμος, ὀνομάζεται δὲ
ὑπὸ τῶν ἐπιχωρίων ἱερός, χωρὶς δὲ ἔνθα ἐπὶ μελέτῃ
δρομεῖς καὶ οἱ πένταθλοι θέουσιν. 2. ἔστι δὲ ἐν τῷ γυμ-
νασίῳ καλούμενον Πλέθριον· ἐν δὲ αὐτῷ συμβάλλουσιν
οἱ Ἑλλανοδίκαι αὐτοὺς καθ' ἡλικίαν ἢ καὶ αὐτῷ διαφέ-
3 ροντας τῷ ἐπιτηδεύματι· συμβάλλουσι δὲ ἐπὶ πάλῃ. Εἰσὶ
δὲ καὶ θεῶν ἐν τῷ γυμνασίῳ βωμοί, Ἡρακλέους τοῦ
Ἰδαίου, Παραστάτου δὲ ἐπίκλησιν, καὶ Ἔρωτος, καὶ ὃν
Ἠλεῖοι καὶ Ἀθηναῖοι κατὰ ταὐτὰ Ἠλείοις Ἀντέρωτα ὀνο-
μάζουσι, Δήμητρός τε καὶ τῆς παιδός. Ἀχιλλεῖ δὲ οὐ
βωμός, κενὸν δέ ἐστιν αὐτῷ μνῆμα ἐκ μαντείας· τῆς 512
πανηγύρεως δὲ ἀρχομένης ἐν ἡμέρᾳ ῥητῇ περὶ ἀποκλί-
νοντα ἐς δυσμὰς τοῦ ἡλίου τὸν δρόμον αἱ γυναῖκες αἱ
Ἠλεῖαι ἄλλα τε τοῦ Ἀχιλλέως δρῶσιν ἐς τιμὴν καὶ κόπτε-
σθαι νομίζουσιν αὐτόν.
4 3. Ἔστι δὲ καὶ ἄλλος ἐλάσσων γυμνασίου περίβολος,
ὃς ἔχεται μὲν τοῦ μείζονος, τετράγωνον δὲ ὀνομάζουσιν

ἐπὶ τῷ σχήματι. καὶ παλαῖστραι τοῖς ἀθλοῦσιν ἐνταῦθα ποιοῦνται, καὶ συμβάλλουσιν αὐτόθι τοὺς ἀθλητὰς οὐ παλαίσοντας ἔτι, ἐπὶ δὲ ἱμάντων τῶν μαλακωτέρων ταῖς πληγαῖς. ἀνάκειται δὲ καὶ τῶν ἀγαλμάτων τὸ ἕτερον, ἃ ἐπὶ ζημίᾳ Σωσάνδρου τε τοῦ Σμυρναίου καὶ Ἠλείου Πολύκτορος τῷ Διὶ ἐποιήθη. 4. Ἔστι δὲ καὶ τρίτος γυμνα- 5
σίου περίβολος, ὄνομα μὲν Μαλθὼ τῆς μαλακότητος τοῦ ἐδάφους ἕνεκα, τοῖς δὲ ἐφήβοις ἀνεῖται τῆς πανηγύρεως τὸν χρόνον πάντα. ἔστι δὲ ἐν γωνίᾳ τῆς Μαλθοῦς πρόσωπον Ἡρακλέους ἄχρι ἐς τοὺς ὤμους, καὶ ἐν τῶν παλαιστρῶν μιᾷ τύπος Ἔρωτα ἔχων ἐπειργασμένον καὶ τὸν καλούμενον Ἀντέρωτα· ἔχει δὲ ὁ μὲν φοίνικος ὁ Ἔρως κλάδον, ὁ δὲ ἀφελέσθαι πειρᾶται τὸν φοίνικα ὁ Ἀντέρως.
τῆς ἐσόδου δὲ ἑκατέρωθεν τῆς ἐς τὴν Μαλθὼ παιδὸς 6
ἕστηκεν εἰκὼν πύκτου· καὶ αὐτὸν ἔφασκεν ὁ νομοφύλαξ Ἠλείων γένος μὲν Ἀλεξανδρέα εἶναι τῆς ὑπὲρ Φάρου τῆς νήσου, Σαραπίωνα δὲ ὄνομα, ἀφικόμενον δὲ ἐς Ἦλιν σπανίζουσι σίτου σφίσι τροφὰς δοῦναι. τούτῳ μὲν αὐτόθι ἀντὶ τούτου γεγόνασιν αἱ τιμαί· χρόνος δὲ στεφάνου τε τοῦ ἐν Ὀλυμπίᾳ καὶ εὐεργεσίας αὐτῷ τῆς ἐς Ἠλείους
ὀλυμπιὰς ἑβδόμη πρὸς ταῖς δέκα τε καὶ διακοσίαις. 5. Ἐν 7
τούτῳ τῷ γυμνασίῳ καὶ βουλευτήριόν ἐστιν Ἠλείοις, καὶ ἐπιδείξεις ἐνταῦθα λόγων τε αὐτοσχεδίων καὶ συγγραμμάτων ποιοῦνται παντοίων· καλεῖται δὲ Λαλίχμιον, τοῦ
13 ἀναθέντος ἐπώνυμον. Περὶ δὲ αὐτὸ ἀσπίδες ἀνάκεινται, θέας ἕνεκα καὶ οὐκ ἐς ἔργον πολέμου πεποιημέναι.

6. Ἐκ δὲ τοῦ γυμνασίου πρὸς τὰ λουτρὰ ἐρχομένῳ 8
δι' ἀγυιᾶς τε ἡ ὁδὸς Σιωπῆς καὶ παρὰ τὸ ἱερὸν τῆς Φιλομείρακός ἐστιν Ἀρτέμιδος. τῇ μὲν δὴ θεῷ γέγονεν ἡ ἐπίκλησις ἅτε τοῦ γυμνασίου γείτονι· τῇ ἀγυιᾷ δὲ Σιωπῇ ὄνομα ἐπὶ λόγῳ τοιῷδε τεθῆναι λέγουσιν. ἄνδρες τοῦ Ὀξύλου στρατεύματος ἐπὶ κατασκοπῇ τῶν ἐν Ἤλιδι ἀπο-

πεμφθέντες, καὶ ἀλλήλοις διακελευσάμενοι κατὰ τὴν ὁδόν, ἐπειδὰν πλησίον γίνωνται τοῦ τείχους, φθέγγεσθαι μὲν μηδὲν ἔτι αὐτοί, ἐπακροᾶσθαι δὲ εἴ τι παρὰ τῶν ἐντὸς πυθέσθαι δυνήσονται, οὕτω λανθάνουσι παρελθόντες ἐς τὴν πόλιν κατὰ τὴν ἀγυιὰν ταύτην, καὶ ἐπακούσαντες ὁπόσα ἐβούλοντο ἐπανίασιν αὖθις ἐς τοὺς Αἰτωλούς· καὶ ἡ ἀγυιὰ τὸ ὄνομα εἴληφεν ἀπὸ τῶν κατασκόπων τῆς σιωπῆς.

**XXIV.** Ἑτέρα δὲ ἔξοδος ἐκ τοῦ γυμνασίου φέρει μὲν ἔς τε τὴν ἀγορὰν καὶ ἐπὶ τὸν Ἑλλανοδικεῶνα καλούμενον, ἔστι δὲ ὑπὲρ τοῦ Ἀχιλλέως τὸν τάφον· καὶ ταύτῃ τοὺς Ἑλλανοδίκας ἰέναι καθέστηκεν ἐς τὸ γυμνάσιον. ἐσίασι δὲ πρὶν μὲν ἥλιον ἀνίσχειν συμβαλοῦντες δρομέας, μεσούσης δὲ τῆς ἡμέρας ἐπὶ τὸ πένταθλον καὶ ὅσα βαρέα ἆθλα ὀνομάζουσιν.

2 2. Ἡ δὲ ἀγορὰ τοῖς Ἠλείοις οὐ κατὰ τὰς Ἰώνων καὶ ὅσαι πρὸς Ἰωνίᾳ πόλεις εἰσὶν Ἑλλήνων, τρόπῳ δὲ πεποίηται τῷ ἀρχαιοτέρῳ, στοαῖς τε ἀπὸ ἀλλήλων διεστώσαις καὶ ἀγυιαῖς δι' αὐτῶν. ὄνομα δὲ τῇ ἀγορᾷ τὸ ἐφ' ἡμῶν ἐστὶν Ἱππόδρομος, καὶ οἱ ἐπιχώριοι τοὺς ἵππους παιδεύουσιν ἐνταῦθα. τῶν στοῶν δὲ ἡ πρὸς μεσημβρίαν ἐργασίας ἐστὶ τῆς Δωρίου, διαιροῦσι δὲ αὐτὴν ἐς μοίρας τρεῖς οἱ κίονες· ἐν ταύτῃ διημερεύουσι τὰ πολλὰ οἱ Ἑλλανοδί-
3 και. ποιοῦνται δὲ πρὸς αὐτοὺς καὶ βωμοὺς τῷ Διί, καὶ εἰσὶν ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς οἱ βωμοὶ πλῆθος οὐ πολλοί· καταλύονται γὰρ οὐ χαλεπῶς ἅτε αὐτοσχεδίως οἰκοδομούμενοι. 3. Κατὰ ταύτην τὴν στοὰν ἰόντι ἐς τὴν ἀγο- 514
ρὰν ἔστιν ἐν ἀριστερᾷ παρὰ τὸ πέρας τῆς στοᾶς ὁ Ἑλλανοδικεών· ἀγυιὰ δὲ ἡ διείργουσα ἀπὸ τῆς ἀγορᾶς ἐστὶν αὐτόν. ἐν τούτῳ τῷ Ἑλλανοδικεῶνι οἰκοῦσι δέκα ἐφεξῆς μῆνας οἱ αἱρεθέντες ἑλλανοδικεῖν, καὶ ὑπὸ τῶν νομοφυλάκων ὅσα ἐς τὸν ἀγῶνα [σφᾶς δεῖ ποιεῖν] διδάσκονται.

4. Τῇ στοᾷ δὲ ἔνθα οἱ Ἑλλανοδίκαι διημερεύουσιν ἔστιν 4 ἐγγὺς ἄλλη στοά· τὸ μεταξὺ αὐτῶν ἀγυιὰ μία. ταύτην ὀνομάζουσι Κορκυραϊκὴν οἱ Ἠλεῖοι· ναυσὶ γὰρ ἐς τὴν σφετέραν Κορκυραίους ἐλθόντας *** ἐλάσαι μοῖραν τῆς λείας λέγοντες λαβεῖν τε ἐκ τῆς Κορκυραίων πολλαπλάσια, καὶ οἰκοδομήσασθαι τὴν στοὰν ἀπὸ τῶν λαφύρων τῆς δεκάτης. ἔστι δὲ ἡ κατασκευὴ τῆς στοᾶς Δώριος καὶ 5 διπλῆ, τῇ μὲν ἐς τὴν ἀγορὰν τοὺς κίονας, τῇ δὲ ἐς τὰ ἐπέκεινα τῆς ἀγορᾶς ἔχουσα. κατὰ μέσον δὲ αὐτῆς οὐ κίονες, ἀλλὰ τοῖχος ὁ ταύτῃ τὸν ὄροφον ἀνέχων ἐστίν· ἀνάκεινται δὲ καὶ εἰκόνες ἑκατέρωθεν πρὸς τῷ τοίχῳ. κατὰ δὲ τῆς στοᾶς τὸ ἐς τὴν ἀγορὰν ἕστηκε Πύρρωνος τοῦ Πιστοκράτους εἰκών, σοφιστοῦ τε ἀνδρὸς καὶ ἐς βέβαιον ὁμολογίαν ἐπὶ οὐδενὶ λόγῳ καταστάντος. ἔστι δὲ καὶ μνῆμα τῷ Πύρρωνι οὐ πόρρω τοῦ Ἠλείων ἄστεως· Πέτρα μὲν τῷ χωρίῳ τὸ ὄνομα, λέγεται δὲ ὡς ἡ Πέτρα δῆμος εἴη τὸ ἀρχαῖον. 5. Ἠλείοις δὲ ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς τὰ ἐπι- 6 φανέστατα ναός ἐστι καὶ ἄγαλμα Ἀπόλλωνος Ἀκεσίου· σημαίνοι δ' ἂν τὸ ὄνομα οὐδέν τι ἀλλοῖον ἢ ὁ καλούμενος Ἀλεξίκακος ὑπὸ Ἀθηναίων. ἑτέρωθι δὲ Ἡλίῳ πεποίηται καὶ Σελήνῃ λίθου τὰ ἀγάλματα, καὶ τῆς μὲν κέρατα ἐκ τῆς κεφαλῆς, τοῦ δὲ αἱ ἀκτῖνες ἀνέχουσιν. ἔστι δὲ καὶ Χάρισιν ἱερόν, καὶ ξόανα ἐπίχρυσα τὰ ἐς ἐσθῆτα, πρόσωπα δὲ καὶ χεῖρες καὶ πόδες λίθου λευκοῦ· ἔχουσι δὲ ἡ μὲν αὐτῶν ῥόδον, ἀστράγαλον δὲ ἡ μέση, καὶ ἡ τρίτη κλῶνα οὐ μέγαν μυρσίνης. ἔχειν δὲ αὐτὰς ἐπὶ τοιῷδε 7 εἰκάζοι τις ἂν τὰ εἰρημένα, ῥόδον μὲν καὶ μυρσίνην Ἀφροδίτης τε ἱερὰ εἶναι καὶ οἰκεῖα τῷ ἐς Ἄδωνιν λόγῳ, Χάριτας δὲ Ἀφροδίτῃ μάλιστα εἶναι θεῶν· ἀστράγαλόν τε μειρακίων τε καὶ παρθένων, οἷς ἄχαρι οὐδέν πω πρόσεστιν ἐκ γήρως, τούτων εἶναι τὸν ἀστράγαλον παίγνιον. τῶν Χαρίτων δὲ ἐν δεξιᾷ ἄγαλμά ἐστιν Ἔρωτος· ἕστηκε

8 δὲ ἐπὶ βάθρου τοῦ αὐτοῦ. 6. Ἔστι δὲ καὶ Σιληνοῦ ναὸς
ἐνταῦθα, ἰδίᾳ τῷ Σιληνῷ καὶ οὐχ ὁμοῦ Διονύσῳ πεποι-
ημένος· Μέθη δὲ οἶνον ἐν ἐκπώματι αὐτῷ δίδωσι. θνη-
τὸν δὲ εἶναι τὸ γένος τῶν Σιληνῶν εἰκάσαι τις ἂν μάλιστα
ἐπὶ τοῖς τάφοις αὐτῶν· ἐν γὰρ τῇ Ἑβραίων χώρᾳ Σιληνοῦ
9 μνῆμα καὶ ἄλλου Σιληνοῦ Περγαμηνοῖς ἐστίν. 7. Ἠλείων
δὲ ἐν τῇ ἀγορᾷ καὶ ἄλλο τοιόνδε εἶδον, ναοῦ σχῆμα· ἔστι
δὲ οὐχ ὑψηλόν, καὶ τοῖχοι μὲν οὐκ εἰσί, τὸν ὄροφον δὲ
δρυὸς ἀνέχουσιν εἰργασμένοι κίονες. τοῦτο εἶναι μὲν
ὁμολογοῦσιν οἱ ἐπιχώριοι μνῆμα, ὅτου δὲ οὐ μνημονεύ-
ουσιν· εἰ δὲ ὁ γέρων ὅντινα ἠρόμην εἶπεν ἀληθῆ λόγον,
10 Ὀξύλου τοῦτο ἂν μνῆμα εἴη. 8. πεποίηται δὲ ἐν τῇ ἀγορᾷ
καὶ ταῖς γυναιξὶν οἴκημα ταῖς ἑκκαίδεκα καλουμέναις,
ἔνθα τὸν πέπλον ὑφαίνουσι τῇ Ἥρᾳ.

**XXV.** Ἔχεται δὲ τῆς ἀγορᾶς ναὸς ἀρχαῖος, στοαῖς
ἐν κύκλῳ περίστυλος· ὁ δὲ ὄροφος κατερρύηκε τῷ ναῷ,
καὶ ἄγαλμα οὐδὲν ἐλείπετο· βασιλεῦσι δὲ ἀνεῖται Ῥω-
μαίοις.

2. Ἔστι δὲ τῆς στοᾶς ὀπίσω τῆς ἀπὸ τῶν λαφύρων
τῶν ἐκ Κορκύρας Ἀφροδίτης ναός, τὸ δὲ ἐν ὑπαίθρῳ
τέμενος οὐ πολὺ ἀφεστηκὸς ἀπὸ τοῦ ναοῦ. καὶ τὴν μὲν
ἐν τῷ ναῷ καλοῦσιν Οὐρανίαν, ἐλέφαντος δέ ἐστι καὶ
χρυσοῦ, τέχνη Φειδίου, τῷ δὲ ἑτέρῳ ποδὶ ἐπὶ χελώνης
βέβηκε· τῆς δὲ περιέχεται μὲν τὸ τέμενος θριγκῷ, κρηπὶς 516
δὲ ἐντὸς τοῦ τεμένους πεποίηται, καὶ ἐπὶ τῇ κρηπῖδι
ἄγαλμα Ἀφροδίτης χαλκοῦν ἐπὶ τράγῳ κάθηται χαλκῷ·
Σκόπα τοῦτο ἔργον, Ἀφροδίτην δὲ Πάνδημον ὀνομά-
ζουσι. τὰ δὲ ἐπὶ τῇ χελώνῃ τε καὶ ἐς τὸν τράγον παρίημι
τοῖς θέλουσιν εἰκάζειν.

2 3. Ὁ δὲ ἱερὸς τοῦ Ἅιδου περίβολός τε καὶ ναός, ἔστι
γὰρ δὴ Ἠλείοις καὶ Ἅιδου περίβολός τε καὶ ναός, ἀνοί-
γνυται μὲν ἅπαξ κατὰ ἔτος ἕκαστον, ἐσελθεῖν δὲ οὐδὲ

τότε ἐφεῖται πέρα γε τοῦ ἱερωμένου. ἀνθρώπων δὲ ὧν ἴσμεν μόνοι τιμῶσιν Ἅιδην Ἠλεῖοι κατὰ αἰτίαν τήνδε. Ἡρακλεῖ στρατιὰν ἄγοντι ἐπὶ Πύλον τὴν ἐν τῇ Ἤλιδι παρεῖναί οἱ καὶ Ἀθηνᾶν συνεργὸν λέγουσιν· ἀφικέσθαι οὖν καὶ Πυλίοις τὸν Ἅιδην συμμαχήσοντα τῇ ἀπεχθείᾳ τοῦ
Ἡρακλέους, ἔχοντα ἐν τῇ Πύλῳ τιμάς. ἐπάγονται δὲ καὶ 3
Ὅμηρον τῷ λόγῳ μάρτυρα ποιήσαντα ἐν Ἰλιάδι·

Τλῆ δ' Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν,
εὖτέ μιν ωὑτὸς ἀνὴρ υἱὸς Διὸς αἰγιόχοιο
ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν.

Εἰ δὲ κατὰ τὴν Ἀγαμέμνονος καὶ Μενελάου στρατείαν ἐπὶ Ἴλιον Ποσειδῶν τῷ Ὁμήρου λόγῳ τοῖς Ἕλλησιν ἐπίκουρος ἦν, οὐκ ἂν ἄπο τοῦ εἰκότος οὐδὲ Ἅιδην εἴη, δόξῃ γε τοῦ αὐτοῦ ποιητοῦ, Πυλίοις ἀμῦναι. Ἠλεῖοι δ' οὖν ὡς σφίσι τε εὔνῳ καὶ ἀπεχθανομένῳ πρὸς τὸν Ἡρακλέα ἐποιήσαντο τὸ ἱερὸν τῷ θεῷ. Ἑκάστου δὲ ἅπαξ ἀνοίγειν τοῦ ἐνιαυτοῦ νομίζουσιν, ὅτι, οἶμαι, καὶ ἀνθρώποις
ἅπαξ ἡ κάθοδος ἡ ἐς τοῦ Ἅιδου γίνεται. 4. Τοῖς δὲ Ἠλεί- 4
οις καὶ Τύχης ἱερόν ἐστιν· ἐν στοᾷ δὲ τοῦ ἱεροῦ μεγέθει
517 μέγα ἄγαλμα ἀνάκειται, ξόανον ἐπίχρυσον πλὴν προσώπου καὶ χειρῶν τε ἄκρων καὶ ποδῶν· ταῦτα δέ οἵ ἐστι λίθου λευκοῦ. ἐνταῦθα ἔχει τιμὰς καὶ ὁ Σωσίπολις ἐν ἀριστερᾷ τῆς Τύχης, ἐν οἰκήματι οὐ μεγάλῳ. κατὰ δὲ ὄψιν ὀνείρατος γραφῇ μεμιμημένος ἐστὶν ὁ θεός, παῖς μὲν ἡλικίαν, ἀμπέχεται δὲ χλαμύδα ποικίλην ὑπὸ ἀστέρων, τῇ χειρὶ δὲ ἔχει τῇ ἑτέρᾳ τὸ κέρας τῆς Ἀμαλθείας.

5. Καθότι δὲ Ἠλείων ἡ πόλις πληθύει μάλιστα ἀν- 5
θρώποις, κατὰ τοῦτο ἀνδριάς σφισιν ἀνδρὸς οὐ μείζων μεγάλου χαλκοῦς ἐστίν, οὐκ ἔχων πω γένεια, τόν τε ἕτερον τῶν ποδῶν ἐπιπλέκων τῷ ἑτέρῳ καὶ ταῖς χερσὶν ἀμφοτέραις ἐπὶ δόρατι ἠρεισμένος· ἐσθῆτα δὲ ἐρεᾶν αὐτῷ
καὶ ἀπὸ λίνου τε καὶ βύσσου περιβάλλουσι. τοῦτο τὸ 6

*ἄγαλμα ἐλέγετο εἶναι Ποσειδῶνος, ἔχειν δὲ τὸ ἀρχαῖον ἐπὶ Σαμικῷ τῷ ἐν τῇ Τριφυλίᾳ τιμάς. μετακομισθὲν δὲ ἐς τὴν Ἦλιν τιμῆς μὲν καὶ ἐς πλέον ἔτι ἥκει, Σατράπην δὲ καὶ οὐ Ποσειδῶνα ὄνομα αὐτῷ τίθενται, μετὰ τὴν Πατρέων προσοίκησιν τὸ ὄνομα τοῦ Σατράπου διδαχθέντες· Κορύβαντός τε ἐπίκλησις ὁ Σατράπης ἐστί.*

XXVI. *Θέατρον δὲ ἀρχαῖον μεταξὺ τῆς ἀγορᾶς καὶ τοῦ Μηνίου τὸ θέατρόν τε καὶ ἱερόν ἐστι Διονύσου· τέχνη τὸ ἄγαλμα Πραξιτέλους. θεῶν δὲ ἐν τοῖς μάλιστα Διόνυσον σέβουσιν Ἠλεῖοι, καὶ τὸν θεόν σφισιν ἐπιφοιτᾶν ἐς τῶν Θυίων τὴν ἑορτὴν λέγουσιν. ἀπέχει μέν γε τῆς πόλεως ὅσον τε ὀκτὼ στάδια ἔνθα τὴν ἑορτὴν ἄγουσι Θυῖα ὀνομάζοντες· λέβητας δὲ ἀριθμὸν τρεῖς ἐς οἴκημα ἐσκομίσαντες οἱ ἱερεῖς κατατίθενται κενούς, παρόντων καὶ τῶν ἀστῶν καὶ ξένων, εἰ τύχοιεν ἐπιδημοῦντες·* 518
*σφραγῖδας δὲ αὐτοί τε οἱ ἱερεῖς, καὶ τῶν ἄλλων ὅσοις ἂν κατὰ γνώμην ᾖ, ταῖς θύραις τοῦ οἰκήματος ἐπιβάλλου-*
2 *σιν. ἐς δὲ τὴν ἐπιοῦσαν τά τε σημεῖα ἐπιγνῶναι πάρεστί σφισι, καὶ ἐσελθόντες ἐς τὸ οἴκημα εὑρίσκουσιν οἴνου πεπλησμένους τοὺς λέβητας. ταῦτα Ἠλείων τε οἱ δοκιμώτατοι ἄνδρες, σὺν αὐτοῖς δὲ καὶ ξένοι κατώμνυντο ἔχειν κατὰ τὰ εἰρημένα, ἐπεὶ αὐτός γε οὐκ ἐς καιρὸν ἀφικόμην τῆς ἑορτῆς. λέγουσι δὲ καὶ Ἄνδριοι παρὰ ἔτος σφίσιν ἐς τοῦ Διονύσου τὴν ἑορτὴν ῥεῖν οἶνον αὐτόματον ἐκ τοῦ ἱεροῦ. Εἰ πιστεύειν χρὴ ταῦτα Ἕλλησιν ἀποδέχοιτο ἄν τις τῷ λόγῳ γε τῷ αὐτῷ καὶ ὅσα Αἰθίοπες οἱ ὑπὲρ Συήνης ἐς τοῦ ἡλίου τὴν τράπεζαν λέγουσιν.*

3 2. *Ἐν ἀκροπόλει δὲ τῇ Ἠλείων ἐστὶν ἱερὸν Ἀθηνᾶς· ἐλέφαντος δὲ τὸ ἄγαλμα καὶ χρυσοῦ. εἶναι μὲν δὴ Φειδίου φασὶν αὐτήν, πεποίηται δὲ ἀλεκτρυὼν ἐπὶ τῷ κράνει, ὅτι [οὗτοι] προχειρότατα ἔχουσιν ἐς μάχας οἱ ἀλεκτρυό-*

νες· δύναιτο δ' ἂν καὶ Ἀθηνᾶς τῆς Ἐργάνης ἱερὸς ὁ ὄρνις νομίζεσθαι.

3. Κυλλήνη δὲ σταδίους μὲν εἴκοσιν Ἤλιδος καὶ ἑκα- 4
τὸν ἀφέστηκε, κεῖται δὲ τετραμμένη τε πρὸς Σικελίαν καὶ ὅρμον παρεχομένη ναυσὶν ἐπιτήδειον· ἐπίνειον δὲ οὖσα Ἠλείων ἀπὸ ἀνδρὸς Ἀρκάδος τὸ ὄνομα εἴληφε. Κυλλήνης δὲ ἐν μὲν Ἠλείων καταλόγῳ λόγον οὐδένα Ὅμηρος ἐποιήσατο· ἐν δὲ ἔπεσι τοῖς ὕστερον δεδήλωκεν ὡς πόλισμα οὖσαν καὶ τὴν Κυλλήνην ἐπίσταται·

Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξεν, 5
519 Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.

Θεῶν δὲ ἱερὰ ἐν Κυλλήνῃ Ἀσκληπιοῦ, τὸ δὲ Ἀφροδίτης ἐστί· τοῦ Ἑρμοῦ δὲ τὸ ἄγαλμα, ὃν οἱ ταύτῃ περισσῶς σέβουσιν, ὀρθόν ἐστιν αἰδοῖον ἐπὶ τοῦ βάθρου.

4. Ἡ δὲ Ἠλεία χώρα τά τε ἄλλα ἐστὶν ἐς καρποὺς καὶ 6
τὴν βύσσον οὐχ ἥκιστα ἐκτρέφειν ἀγαθή. τὴν μὲν δὴ καννaβίδα καὶ λίνον καὶ τὴν βύσσον σπείρουσιν ὅσοις ἡ γῆ τρέφειν ἐστὶν ἐπιτήδειος· οἱ μίτοι δὲ ἀφ' ὧν τὰς ἐσθῆτας ποιοῦσιν οἱ Σῆρες, ἀπὸ οὐδενὸς φλοιοῦ, τρόπον δὲ ἕτερον γίνονται τοιόνδε. ἔστιν ἐν τῇ γῇ ζωΰφιόν σφισιν ὃν σῆρα καλοῦσιν Ἕλληνες, ὑπὸ δὲ αὐτῶν Σηρῶν ἄλλο πού τι καὶ οὐ σὴρ ὀνομάζεται. μέγεθος μέν ἐστιν αὐτοῦ 7
διπλάσιον ἢ κανθάρων ὁ μέγιστος, τὰ δὲ ἄλλα εἴκασται τοῖς ἀράχναις οἳ ὑπὸ τοῖς δένδρεσιν ὑφαίνουσι, καὶ δὴ καὶ πόδας ἀριθμὸν ὀκτὼ κατὰ ταὐτὰ ἔχει τοῖς ἀράχναις. ταῦτα τὰ ζῷα τρέφουσιν οἱ Σῆρες οἴκους κατασκευασάμενοι χειμῶνός τε καὶ θέρους ὥρᾳ ἐπιτηδείους. τὸ δὲ ἔργον τῶν ζῴων κλῶσμα εὑρίσκεται λεπτόν, τοῖς ποσὶν αὐτῶν περιειλιγμένον. Τρέφουσι δὲ αὐτὰ ἐπὶ μὲν τέσ- 8
σαρα ἔτη παρέχοντες τροφήν σφισιν ἔλυμον· πέμπτῳ δέ, οὐ γὰρ πρόσω βιωσόμενα ἴσασι, κάλαμον διδόασιν ἐσθίειν χλωρόν. ἡ δέ ἐστιν ἡδίστη τροφὴ πασῶν τῷ ζῴῳ, καὶ

ἐμφορηθὲν τοῦ καλάμου ῥήγνυταί τε ὑπὸ πλησμονῆς,
καὶ ἀποθανόντος οὕτω τὸ πολὺ τῆς ἀρπεδόνης εὑρίσκου-
σιν ἔνδον. Γινώσκεται δὲ ἡ Σηρία νῆσος ἐν μυχῷ θαλάσ-
9 σης κειμένη τῆς Ἐρυθρᾶς. ἤκουσα δὲ καὶ ὡς οὐχ ἡ Ἐρυ-
θρά, ποταμὸς δὲ ὃν Σῆρα ὀνομάζουσιν, οὗτός ἐστιν ὁ
ποιῶν νῆσον αὐτήν, ὥσπερ καὶ Αἰγύπτου τὸ Δέλτα ὑπὸ
τοῦ Νείλου, καὶ οὐχ ὑπὸ μιᾶς περιέχεσθαι θαλάσσης·
τοιαύτην ἑτέραν καὶ τὴν Σηρίαν νῆσον εἶναι. Οὗτοι μὲν 520
δὴ τοῦ Αἰθιόπων γένους αὐτοί τέ εἰσιν οἱ Σῆρες καὶ ὅσοι
τὰς προσεχεῖς αὐτῇ νέμονται νήσους, Ἄβασαν καὶ Σα-
καίαν· οἱ δὲ αὐτοὺς οὐκ Αἰθίοπας, Σκύθας δὲ ἀναμε-
μιγμένους Ἰνδοῖς φασὶν εἶναι. ταῦτα μὲν δὴ οὕτω λέγεται.
10 5. Ἀνδρὶ δὲ ἐς Ἀχαΐαν ἰόντι ἐξ Ἤλιδος ἑπτὰ καὶ πεν-
τήκοντα στάδιοι καὶ ἑκατὸν ἐπὶ ποταμόν εἰσι Λάρισον,
καὶ Ἠλείοις ὅροι πρὸς Ἀχαιοὺς τῆς χώρας ὁ ποταμός ἐστιν
ἐφ' ἡμῶν ὁ Λάρισος· τὰ δὲ ἔτι ἀρχαιότερα ἄκρα σφίσι
πρὸς θαλάσσῃ ὄρος ἦν ὁ Ἄραξος.